M
16

16

**BIBLIOTECA**
DE LA
Universidad de Salamanca.
Est. 1 Caj. 1 Núm. 16.

antenidas
Nras ~~questiones~~ passadas ~~determine aqui acabar~~ que ser ya razon acabar
~~Determino aqui acabar~~
no digan lenguas malvadas
por ~~de~~ mys coplas mal ~~notadas~~ frisadas
trobar mal y porfiar ~~trina~~ ~~ensina~~ questa tan ojnar
~~de~~ ~~de tanta~~ doctrina ~~fa~~ de ~~tanta disciplina~~
~~el~~ qu viendo el vencedor
yo me fundo agn doctrinar
yo no a mediana
di my senor el doctor



Alexander in priora

I

M. Muñz

D.r Forcada

Aphrodisius (Alexander)

In analytica Aristotelis priora.

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

io francesco mio antonio

&

& mio marinno

oē al s

omnis ho al

omnis hō s

[illegible]
[illegible]
[illegible]

M
16

Ἀλεξάνδρου Ἀφροδισιέως ὑπόμνημα εἰς τὸ πρῶτον τῶν προτέρων Ἀριστοτέλους ἀναλυτικῶν.

Ἡ λογική τε καὶ συλλογιστικὴ πραγματεία, ἣ νῦν ἡμῖν προκειμένη, ὑφ' ἣν ἥ τε ἀποδει-
κτική, καὶ ἡ διαλεκτική τε καὶ πειραστική, ἔτι τε σοφιστικὴ μέθοδος, ἔστι μὲν ἔργον
φιλοσοφίας· χρῶνται δὲ αὐτῇ, καὶ ἄλλαι τινὲς ἐπιστῆμαί τε καὶ τέχναι· ἀλλὰ παρὰ
φιλοσοφίας λαβοῦσαι· ταύτης γὰρ ἥ τε εὕρεσις, καὶ ἡ σύστασις, καὶ ἡ πρὸς τὰς κυριωτάτας
χρήσεις. οὔσης δὲ ἔργον αὐτῆς, ζητεῖται μὲν, καὶ μέρος εἶναι φιλοσοφίας· οἱ δέ, οὐ μέρος
ἀλλ' ὄργανον αὐτῆς φασιν εἶναι. οἱ μὲν οὖν μέρος αὐτὴν λέγοντες, ὡς ἔχονται ἐπὶ
τούτῳ, διότι ὥσπερ περὶ τὰ ἄλλα ἃ ὁμολογεῖται πρὸς ἁπάντων, μέρη φιλοσοφίας
εἶναι, ἡ φιλοσοφία καταγίνεται, ἔργον ποιουμένη τήν τε εὕρεσιν αὐτῶν, καὶ τὴν
τάξιν τε καὶ τὴν σύστασιν, οὕτω δὴ καὶ περὶ τὴν πραγματείαν ταύτην· διὸ καὶ τοῦτο σοφὸν ταύτης
ἔργον. οὐδετέρου τῶν λοιπῶν τῆς φιλοσοφίας μερῶν μόριον ὄν· οὔτε τοῦ θε-
ωρητικοῦ, οὔτε τοῦ πρακτικοῦ. ἄλλο γάρ τι τὸ ὑποκείμενον ταύτῃ, καὶ ἀνόμοιον ἑ-
κατέρᾳ. καὶ διαφέρουσα ἡ πρόθεσις καθ' ἣν ἕκαστον αὐτῶν. οἷς δὲ τὰ διαφέροντα
ἑκάτερα ἀλλήλων ἀντιδιαιρεῖται ἀλλήλοις, τούτοις καὶ ἡ μέθοδος αὕτη ἑκατέρων
ἑκατέρῳ διαφέρουσα, εὐλόγως ἀντιδιαιρεῖται αὐτοῖς. καὶ γὰρ τὰ ὑποκείμενα
διαφέρουσα ἐκείνων· ἀξιοῦμεν γὰρ καὶ προτάσεις τὰ ὑποκείμενα ταύτῃ,
εἶναι τε καὶ τῇ προθέσει· ἡ γὰρ ταύτης πρόθεσις, τὸ διὰ τῆς ποιᾶς συνθέσεως
τῶν προτάσεων, ἐκ τῶν τιθεμένων τε καὶ συγχωρουμένων, ἐξ ἀνάγκης τι
συναγόμενον δεικνύναι· ὃ οὐδετέρας ἐκείνων τέλος. οἱ δὲ μὴ μέρος αὐτὴν
ἀλλ' ὄργανον φιλοσοφίας εἶναι λέγοντες, οὔ φασιν αὐτὴν ὀργανικὴν εἶναι, πρὸς τὸ μέρος
εἶναί τι τέχνης τινὸς ἢ ἐπιστήμης, τὸ τὴν τέχνην ἢ τὴν ἐπιστήμην, καὶ περὶ ἐκεῖνο
καταγίνεσθαι τὸ μόριον, ὁμοίως, ὡς καὶ περὶ ἕκαστον τῶν ἄλλων μερῶν αὐτῆς
περὶ ἃ πραγματεύεται· κρίνεσθαι γὰρ τὸ μέρος, οὐ κατὰ τὸ τῆς περὶ αὐτὸ σπουδῆς
τε καὶ πραγματείας μόνης· ἀλλ' ὅτι προσήκει τοῦτο τὸ τέλος αὐτὸ καὶ τὴν σύ-
στασιν

## ἀλεξάνδρου ἀφροδισιέως ὑπόμνημα εἰς τὸ πρῶτον τῶν προτέρων ἀριστοτέλους ἀναλυτικῶν.

Ἡ λογική τε καὶ συλλογιστικὴ πραγματεία, ἡ νῦν ἡμῖν προκειμένη· ὑφ' ἣν ἥ τε ἀποδεικτική· καὶ ἡ διαλεκτική τε καὶ πειραστική· ἔτι τε σοφιστικὴ μέθοδος, ἔστι μὲν ἔργον φιλοσοφίας· χρῶνται δὲ αὐτῇ, καὶ ἄλλαι τινὲς ἐπιστῆμαί τε καὶ τέχναι· ἀλλὰ παρὰ φιλοσοφίας λαβοῦσαι, ταύτης γὰρ ἥ τε εὕρεσις ἐστὶ καὶ ἡ σύστασις καὶ ἡ πρὸς τὰ κυριώτατα χρῆσις. οὖσα δὲ ἔργον αὐτῆς, τοῖς μὲν, καὶ μέρος εἶναι φιλοσοφίας δοκεῖ· οἱ δ' οὐ μέρος ἀλλ' ὄργανον αὐτῆς φασὶν εἶναι. οἱ μὲν οὖν μέρος αὐτὴν λέγοντες, ὡς ἐχρήσαντο ἐπὶ ταύτῃ, διὰ τὸ ὡς προείρηται ἀλλ' ὁμολογεῖσθαι πρὸς ἁπάντων, μέρη φιλοσοφίας εἶναι, ἃ φιλοσοφία καταγίνεται, ἔργον ποιουμένη τήν τε εὕρεσιν αὐτῶν, καὶ τὴν τάξιν τε καὶ τὴν σύστασιν· οὕτω δὴ καὶ περὶ τὴν πραγματείαν τήνδε· οὖσα δὲ ταύτης ἔργον· οὐδετέρου τῶν λοιπῶν τῆς φιλοσοφίας μερῶν μόριον οὖσα· οὔτε τοῦ θεωρητικοῦ, οὔτε τοῦ πρακτικοῦ· ἄλλο γάρ τι ἀντιδιῃρημένον ταύτῃ, καὶ ἀνάγκη ἑκάτερα· καὶ διαφέρουσα ἡ πρόθεσις καθ' ἣν ἑκάστη αὐτῶν· οἷς τε διαφέροντα ἑκάτερα ἀλλήλων ἀντιδιαιρεῖται ἀλλήλοις, τούτοις καὶ ἡ μέθοδος αὐτὴ ἑκατέρων ἑκατέρων διαφέρουσα, εὐλόγως ἀντιδιαιρεῖται αὐτοῖς· καὶ γὰρ τὰ ἀντιδιῃρημένα διαφέρουσα ἑκατέρων· ἀξιοῦμεν γὰρ καὶ προλαβοῦσα, τὰ ἀντιδιῃρημένα αὐτῇ, ἕτερα τέλη καὶ τὴν πρόθεσιν· ἡ γὰρ ταύτης πρόθεσις, τὸ διὰ τῆς ποιᾶς συνθέσεως τῶν προτάσεων, ἐκ τῶν τεθειμένων τε καὶ συγχωρουμένων, ἐξ ἀνάγκης τι συναγόμενον δεικνύναι· ὃ οὐδ' ἑτέρας ἐκείνων τέλος. οἱ δὲ μὴ μέρος αὐτὴν ἀλλ' ὄργανον φιλοσοφίας εἶναι λέγοντες, οὔ φασιν αὔταρκες εἶναι, πρὸς τὸ μέρος εἶναί τι τέχνης τινὸς ἢ ἐπιστήμης τὸ τὴν τέχνην ἢ τὴν ἐπιστήμην καὶ περὶ ἐκεῖνο καταγίνεσθαι τὸ μόριον, ὁμοίως ὡς καὶ περὶ ἕκαστον τῶν ἄλλων μερῶν αὐτῆς περὶ ἃ πραγματεύεται· κρίνεσθαι γὰρ τὸ μέρος, οὐκ ἀπὸ τῆς περὶ αὐτὸ σπουδῆς τε καὶ πραγματείας μόνης· ἀλλ' ὅτε προσῆν τούτῳ τό, καὶ τὸ τέλος αὐτοῦ καὶ τῶν σύ-

στασιν

μὴ πρὸς ἄλλο τι τῶν περὶ ἃ ἡ αὐτὴ ἐπιστήμη πραγματεύεται, τὴν ἀναφορὰν ἔχειν·
μηδὲ ἐκείνου χάριν ζητεῖσθαι τε καὶ συνίστασθαι. τὸ γὰρ ἐπ᾽ ἄλλων τινῶν χρείαις,
τῶν ὑπὸ τὴν αὐτὴν ἐπιστήμην ἢ τέχνην οὕτω τὴν ἀναφορὰν ἔχον· οὔτ᾽ ἂν ἀν-
τιδιαιρεῖτο δεόντως ἐκείνοις· ὧν χάριν ἐστί τε καὶ γίνεται. οὔτε μέρος ἐκείνοις
ἂν ὂν τούτου χάριν· τὸ γὰρ ἐπί τινα τὴν ἀναφορὰν ἔχον, καὶ οὗ τὸ τέλος πρὸς τὴν
ἄλλων εὕρεσίν τε καὶ σύστασιν συντελοῦν, διὰ τοῦτο σπουδαζόμενον, ὄργανον ἐκείνου
9ε ἐστίν· ὥσπερ γὰρ ἐπὶ τῶν διαφερουσῶν τεχνῶν τὸ τῆς τέχνης τινὸς ἔργον· ἄλλης τινός
ἐστὶ τέχνης ὄργανον, οὕτως ἀνάγκη ἐπὶ τῆς αὐτῆς ἐπιστήμης καὶ τέχνης γινόμε-
να τῶν δὲ τὴν τάξιν ἔχειν πρὸς ἄλληλα, ἔσται τὸ μὲν ὄργανον αὐτῶν· τὸ δὲ
προηγούμενον ἔργον τε καὶ μέρος· οὐδὲ γὰρ ἡ σφῦρα καὶ ὁ ἄκμων, ὄργανον κω-
λύει τῆς χαλκευτικῆς εἶναι, διότι καὶ αὐτῆς ἐστὶν ἔργα· ἐπειδὴ δὲ συμβαίνει τοῖς
μέρος αὐτὸ φιλοσοφίας λέγουσι τὸ φιλοσοφίας μέρος ὄργανον εἶναι λέγειν τῶν
ἄλλων ἐπιστημῶν ἢ τεχνῶν. ὅσαι πρὸς τὴν τῶν οἰκείων καθ᾽ ἑκάστην τε καὶ σύ-
στασιν, συλλογισμοῖς τε καὶ ἀποδείξεσι χρῶνται· χρῶνται γὰρ αὐταῖς, οὐχ
ὡς μέρεσιν οἰκείοις· οὔτε γὰρ τῶν διαφόρων ἐπιστημῶν οἷόν τε τὸ αὐτὸ ἀναιρεῖν
οὔτε τῆς ἐκείνων περὶ τὴν σύστασιν αὐτῶν καὶ τὴν εὕρεσιν πραγματεύεται.
ὥστε ἂν αὐταῖς ὡς ὀργάνοις χρώμεναι· ὅσαι δὲ ταῦτα, ἀρχιτεκτονικώτερα
δ᾽ ἂν εἴη τέχνη τε καὶ ἐπιστήμη ἡ πρὸς τὸ οἰκεῖον ἔργον χρωμένη ἔργῳ τε ἄλλης τινός
τέχνης τῆς τὸ ἴδιον ἔργον ἐπὶ τὴν ταύτης χρείαν ἀναφερούσης· ὡς ἔχει χαλι-
νοποιητικὴ μὲν πρὸς ἱππικήν· ναυπηγικὴ δὲ πρὸς κυβερνητικήν. εἰ δὲ αὐτὴ ἡ φι-
λοσοφία ἑτέρας τελειοτέρας καὶ τῶν ἄλλων ἐπιστημῶν τε καὶ τεχνῶν· ὧν ὄργανον
τὸ αὐτῆς μέρος. εἰ δὲ μὴ παρ᾽ ὅσον λέγοιτο τὸ λογικὸν πραγματεύεσθαι πρὸς εὕρε-
σίν τε καὶ σύστασιν τῶν κατὰ φιλοσοφίαν ζητουμένων τὴν ἀναφορὰν ἔχειν.
ἢ τῶν κατὰ τὰς ἄλλας ἐπιστήμας τε καὶ τέχνας τινὰ θεωρουμένων τε καὶ ζητουμένων· ἀλλ᾽
ἐπειδή τινα ἂν αὐτὸ θεωροῦν καὶ τε καὶ ζητούμενα· ἃ πρὸς οὐδέν ἐστι χρήσιμα, πρῶτον
μὲν συγχωρήσομεν καὶ οὕτως ὑπὸ τῶν ἀρχαίων, οἳ μέχρι χρείας προήγαγον
τὴν λογικὴν πραγματείαν, ὄργανον αὐτὴν ἀλλὰ μέρος λέγεσθαι· εἶτα δὲ καὶ
τὰ τοιαῦτα τὸ μὲν χρήσιμον αὐτῆς ἐστὶν ὄργανον· τὸ δὲ οὐ χρήσιμον, ἔσται μέρος· οὐ
τὸ δὲ τὸ χρήσιμον βέλτιόν τε καὶ πλείονος σπουδῆς τε καὶ πραγματείας ἄξιον,
ἔσται καὶ τὰ αὐτὰ ἔσται τὸ μὲν βέλτιον τῆς λογικῆς μόριον, ὄργανον φιλοσοφίας

ζει τῶν ἄλλων τεχνῶν τε καὶ ἐπιστημῶν. τὸ δὲ ἐλάττονος σπουδῆς ἄξιον, μέρος· καὶ τὸ
τὸ ὄργανον ἐν πᾶσι τοῦ ὡς μέρους ἔργου δευτέραν χώραν ἔχει. εἰ τοίνυν σπουδά
ζοιτο ὡς γύμνασμα ὂν τῆς διανοίας πρὸς εὕρεσιν τῶν ἐν τοῖς μέρεσι τῆς φιλοσοφί
ζητουμένων, καὶ οὕτως ἂν τὴν τοῦ ὀργάνου χώραν ἔχοι· εἰ δὲ διὰ τὴν ἐν αὐτοῖς ἀληθῆ
γνῶσιν, μόριον ἂν γένοιτο τῆς θεωρητικῆς· ἐκείνης γὰρ ἡ γνῶσις τέλος. τὸ δὲ τὸ
καλὸν ἔχουσα ἢ τῶν ἀχρήστων καὶ τὰ τῆς λογικῆς μέθοδον θεωρεῖ, σπουδῆς ἂν
ἀξιοῖτο ὡς οὖσα τῆς φιλοσοφίας μέρος· τὸ γὰρ σπουδῆς ἄξιον μὲν ἀδικοῦντας,
ἢ ἐπ' ἄλλα τινὰ τὴν ἀναφορὰν ἔχει ἀεὶ ἐστὶ δι' αὐτὸ ἀγαπητά, ἢ ἐν αὐτοῖς ἔχει τὸ
τῆς σπουδῆς ἄξιον· οὐ γὰρ ἦν πάντως καὶ ἡ τοῦ τυχόντος γνῶσις φιλοσοφίας ἀξία·
ἀγνοεῖν ἄμεινον ἀγνοεῖσθαι· ἀλλ' ἡ τῶν θείων τε καὶ τιμίων. τὰ ταῦτα δὲ ἔσται, ὧν
ἡ φύσις δημιουργός τε χρὴ καὶ οὖσα θεία· τὸ γὰρ θεωρεῖν καὶ ἀπ' αὐτοῦ τοῦ ὀνόματος
δηλοῦν ἐστιν· ὡς ἔστι περὶ τὴν τῶν θείων ὁ ἔνθεν καὶ γνῶσιν· σημαίνει γὰρ τὸ ὁρᾶν τὰ
θεῖα. διὸ καὶ τὴν θεωρητικὴν φιλοσοφίαν, ἐπιστήμην φαμὲν εἶναι θείων τε καὶ
τῶν φυσικῶν ὀνομασμένων καὶ σωμάτων. ἡ γὰρ τῶν τοιούτων γνῶσις, δι' αὐτὴν σπουδῆς ἀξία.
ἐνθάδε τὰ θεωρούμενα, μήτε ἐπ' ἄλλα τινὰ τὴν ἀναφορὰν ἔχει· μήτε ἐν αὐ
τοῖς τερπνόν τι καὶ τίμιον ἡ τούτων γνῶσις οὖσα πάντων πᾶσι περιττὴ· οὐδὲ μόνοι
καὶ φιλοσοφίας ἂν εἴη οὖσα μέρος ματαιοπονία τις. πάντως γὰρ μάλιστα οἰκεῖον φι
λοσοφία, τὸ μηδὲν εἰκῇ ὡς προοίμιον μήτε πράττειν, ὡς τῷ δὴ μήτε θεωρεῖν. ἀλ
λὰ χρόνον ὁρονόμοι ὡς τὴν πρᾶξιν καὶ τὴν θεωρίαν· οὐ γὰρ ὁμοία τοίνυν τὰ τῆς γεωμε
τρίας ὡς οἷον ταῦτα καὶ παραβάλλοιτο τοῖς τῆς διαλεκτικῆς ἀχρήστων. μὴ δὲ πρῶ
τον μὲν γὰρ οὐδὲ γεωμετρίας τῆς κυρίως λεγομένης φιλοσοφίας μέρος ὡς φασὶ
αὐτοί. ἔπειτα δὲ εἰ καὶ ἀστρολογίᾳ μόριον πῶς οὖσα τῆς γεωμετρίας περὶ θείων τὰ
σοφιστικὰ γοῦν ποιεῖσθαι τὴν θεωρίαν. ὧν ἡ γνῶσις ἐν αὐτῇ τὸ καλὸν καὶ τίμιον
ἔχει. πρὸς δὲ τούτοις πάμπολυ ἐστὶ τῶν ἀπὸ τῆς γεωμετρίας πρὸς φιλοσοφί
χρήσιμα. διὰ ταῦτα καὶ ὅλως σπουδάζει τοῖς ὅτι γὰρ μὴ περὶ τῶν ἀγαθῶν μόνον τὸν
λόγον ποιεῖσθαι. ἀλλὰ περὶ τῶν εὐκινήτων τε τῶν ἀγαθῶν καὶ νοητῶν,
χρηστῶν μὲν τοίνυν τινὰ τὰ φιλοσοφίαν θεωρία. ἔτι γε ἀσώματα τὰ τε καὶ νοητὰ
οὐσίαι, πρῶτα καὶ τιμιώτερα τῶν ἀγαθῶν, ὧν ὁ φιλόσοφος θεωρητικός.
εἰ ἡ γεωμετρία, κἂν προσηρεθῇ ζητεῖ περὶ γραμμῶν, καὶ ἐπιπέδων καὶ στερε
τεῖ διὰ περὶ ἐκεῖνα σπουδάζουσα τὸν λόγον ποιεῖσθαι. ὧν οὐδὲν ἐστὶν ἀΐδιον.

τό τε γὰρ διαιρεῖν ἀπ' ἀλλήλων τῷ λόγῳ διωρίσθαι, καὶ διαφέρον τὰ μὲν ἄλλην καὶ τὰ ἐν οὐσίᾳ· τὴν μέντοι ὑπόστασιν τὴν αὐτὴν ἔχει. καὶ δύναται μὲν ἀχώριστα ἀλλήλων εἶναι, ἀναγκαιότερον πρὸς τὴν φιλόσοφον θεωρίαν· καὶ τάς τε γὰρ ἀρχὰς τῶν φυσικῶν συνιστᾶμεν· αὐτὸ δὲ εἶδος ὕλη τε καὶ εἶδος, οὕτως λαμβάνει· ἀχώριστα γάρ τι ὑπόστασιν τὰ ἀπ' ἀλλήλων. καὶ οὐ δύναται μὲν θάτερον αὐτὸ εἶναι χωρὶς θατέρου. ἀλλὰ αἱ καὶ τῶν νοητῶν διαφοραί· καὶ τὸν ἀριθμὸν τῶν γενῶν οἷς πάντα τὰ ὄντα ὑποτάττεται, διὰ τοῦ τῷ λόγῳ χωρίζειν τὰ σύμπαντα μὲν ἀπ'ἀλλήλων(?) ἐπεὶ τά τε συνέχεται, ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ, ὅτι καὶ ἀδύνατα χωρὶς αὐτῆς ὑποστῆναι καὶ πρὸς τοῦτο δή, ἀναγκαῖα οὕτως ἐν ἡ γεωμετρίᾳ καὶ χρήσιμος. ἔστι ζητεῖν χωρὶς μὲν περιγραμμένης λευκόν. ὡς φυσικῶς τινος οὔσης καθ' αὑτῶν. χωρὶς δὲ περὶ ἐπιπέδου καὶ στερεοῦ. ὧν οὐδέν, ἔξω τοῦ φυσικοῦ σώματος, οἷόν τε ὑποστῆναι· Ἔτι δὲ συλλογισμοῖς τε καὶ ἀποδείξεσι πρὸς τὰς τῶν καθ' αὐτὴν δείξεις χρωμένη, προσαρμόζει καὶ ἐν τοῖς κατὰ φιλοσοφίαν, καὶ μυθώδους φλυαρίας ἀπαλλαγῆναι, πείθειν περὶ τῶν προκειμένων, ἀλλ' ἀποδείξεις αὐτῶν ἀπαιτεῖν, καὶ μόνον οὕτως εἶναι πιστά, τὰ ἐξ αὐτῶν γνώριμα· ἢ δι' ἀποδείξεως τεθέντα. καὶ ἀναλογίας δὲ καὶ συμμετρίας χρῆται πρὸς τὰς τῶν οἰκείων δείξεις. δι' ὧν πολλὰ καὶ τῶν κατὰ φιλοσοφίαν δείκνυται. ὧν οὐδέν, οἷόν τε παρὰ τῆς ἀχρήστου διαλεκτικῆς συντελοῦσα φιλοσοφίαν λαβεῖν. διὸ καὶ ὡς πάντα περὶ ταύτης ἄχρηστα, οὐδὲ καὶ περιττή, δικαίως ἂν τῆς φιλοσόφου θεωρίας ἐξορίζοιτο. οὐ καὶ τὸ ὄργανον δὲ καὶ οὐ μέρος φιλοσοφίας ἡ ἀναλυτική, διὰ τοῦτο ἔλαττον ἢ μὲν ἄλλη σπουδῆς ἀξία. ἡ γὰρ σπουδὴ τῶν ὀργάνων, τῇ τῶν γινομένων ἢ δεικνυμένων δι' αὐτῶν ἀξίᾳ κρίνεται. πλείστου δὲ καὶ τὰ φιλοσοφίας ὄντα ἄξια, δι' ἀποδείξεως δείκνυται. καὶ τά τε γὰρ ἄλλα τὰ ἐν φιλοσοφίᾳ, πάσης πλείστης ἀξία σπουδῆς· καὶ πρὸ τῶν ἄλλων ἡ θεωρία τε καὶ γνῶσις τῆς ἀληθείας. οἰκεῖον τι τέλος γὰρ τοῖς ἀνθρώποις ἡ ἀλήθεια. τὸ μέγιστον ἀγαθόν· καὶ ὅτι μὲν οἰκεῖον τέλος· δῆλον γε αὐτοῦ, ὡς περὶ τῶν ἄλλων ζῴων ἑκάστῳ ἐστί τι οἰκεῖον τέλος καὶ κατὰ φύσιν. τῷ μέν, τὸ βρέχειν. τῷ δέ, τὸ ἵπτασθαι. τῷ δέ, τὸ θηρᾶν. τῷ δέ, τὸ φυλακτεῖν. τῷ δέ, τὸ ἀχθοφορεῖν. τὸ ἄγειν ἄλλο, οὕτως δὲ καὶ τῷ ἀνθρώπῳ οἰκεῖον τέλος καὶ κατὰ φύσιν εἶναι ἐπιστήμην τε καὶ θεωρίαν. πάντες γὰρ ἄνθρωποι, τοῦ εἰδέναι ὀρέγονται φύσει. σημεῖον δὲ, τό τε

τῶν ἀγαθῶν ἡσσῶν ταύταις προτιμᾶν ἀεὶ πλείονος αὐτῆς γνώσεως ἄξιον ἀξιοῦν· καὶ τὸ εὐθὺς
ἐκ νέου φιληκόους τε καὶ φιλομύθους εἶναι· τὸ γὰρ παιδία σπουδάζειν περὶ τὴν τῶν
μύθων ἀκρόασιν· ὡς οὔσης κατὰ φύσιν τοῖς ἀνθρώποις τῆς γνώσεως· καὶ τοῖς μηδὲν ἄλλο
παρὰ τῶν γονέων αὐτῶν ἢ τῶν μύθων λαμβάνοντας· καὶ κρίνεται τὸ τῶν φύσει σφόδρα
αὐτῶν, τῇ σπουδῇ τῇ περὶ τῶν μύθων ἀκρόασιν· ὡς οὔσης κατὰ φύσιν τοῖς ἀνθρώποις,
τῆς ἐπιστήμης τε καὶ γνώσεως. Εἰ δέ, ἐκ τοῦ τῇ τοῦ ἀληθοῦς γνώσει μάλιστα τε
τὸ φανερώτατον, τῶν ἄλλων ζώων τὸν ἄνθρωπον διαφέρειν· τῶν μὲν γὰρ ἀρετῶν καὶ τῶν
κατὰ ταύτας πράξεων ἐστὶν ἴχνη τινὰ εὑρεῖν καὶ ἐν τοῖς ἀλόγοις ζώοις· τὰ μὲν γὰρ ἀν-
δρείας αὐτῶν μετέχειν δοκεῖ· τὰ δέ, σωφροσύνης· τὰ δέ, δικαιοσύνης· ἤδη δέ
τινα αὐτῶν καὶ φρόνιμα εἶναι προσυπείληπται· τὰ δέ τινα, ἐλευθερίας· ὡς ἔστι
μαθεῖν ἐκ τῆς περὶ ζώων ἱστορίας Ἀριστοτέλει γεγραμμένοις ἐν βιβλίοις πλείοσιν.
ἀληθείας δὲ καὶ τοῦ θεωρητικοῦ νοῦ πάντα ταῦτα ἄμοιρα τυγχάνει· διὸ καὶ μέγιστον
τῶν ἀνθρωπίνων ἀγαθῶν ἡ θεωρία. ἀλήθεια γὰρ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖ-
ται· πάντων δὲ ἀνθρώποις· εἴ γε καὶ δεῖ περὶ τῶν ὑπὲρ ἡμᾶς ἀποφαίνεσθαι· οὐκ ἄλλη
τινὰ τοῖς θεοῖς ἀνδραγαθίαν παρὰ ταύτην ὑποληπτέον· τὸ γὰρ κατά τινα τῶν ἄλλων
ἀρετῶν αὐτοὺς ἐνεργεῖν λέγειν, οὐδαμῶς ὁμολογούμενον· ἅτε περὶ πάθη μὲν
αἱ ἀρεταὶ τούτων οὖν σωματικαί, καὶ ταῦτα ῥυθμίζουσαι· ἀπαθὲς δὲ τὸ θεῖον.
Εἰ δὲ αἱ μὲν ἠθικαὶ ἀρεταί, μετὰ προαιρέσεως· ἐδείχθησαν γάρ, ἕξεις οὖ-
σαι προαιρετικαί· ἀλλὰ μὴν ἡ προαίρεσις ὄρεξίς ἐστι βουλευτική· ἡ δὲ βουλὴ
περὶ τῶν βουλευτῶν· βουλεύονται δὲ περὶ τῶν ἐφ᾽ ἡμῖν· ἄδηλον δὲ πῶς ἀποβή-
σεται· οὐδὲ γὰρ βουλεύονται ἐν αὐτοῖς θεοί· ἃ δὲ μὴ τοῦτο, οὐδὲ βουλή· ἃ δὲ μὴ
βουλή, οὐδὲ προαίρεσις· ἃ δὲ μὴ προαίρεσις, οὐδὲ ἀρετὴ τοιαύτη· τοῖς μὲν
οὖν θεοῖς, συνεχής τε καὶ ἀδιάλειπτος ἡ τῆς ἀληθείας θεωρία· τοῖς δὲ ἀνθρώποις
οὐχ οἷόν τε κατὰ ταύτην ἐνεργεῖν· πολλαὶ γὰρ αἱ κατὰ τὸν βίον περιστάσεις αἱ
συγκεκληρωμέναι, αἱ ἀπάγουσαι αὐτοὺς τῶν τιμιωτέρων· οὐ μὴν ἀλλ᾽ ἐφ᾽ ὅ-
σον οἷόν τε ἐστὶν ἀνακύψασα ἀπὸ τῶν παθῶν τε καὶ τῶν ἀνθρωπίνων περιστά-
σεων κατὰ ταύτην ἑαυτὴν καὶ διάγουσα καλουμένην θεωρίαν ἐνεργοῦσα τὰ
τιμιώτατα· ὅ γε δὴ κατὰ ταύτην τὴν δύναμιν τῆς ψυχῆς ἐνεργῶν, ὁμοίας
ἐνεργείας ἐνεργῶν τοῖς θεοῖς, ὅμοιος τούτοις· ὁ δὴ τῷ θεῷ ὅμοιος οὗτος ἂν εἴη μέ-
γιστον ἀγαθὸν ἀνθρώπῳ· τοῦτο δ᾽ αὐτῷ διὰ θεωρίας τε καὶ γνώσεως τῆς ἀληθοῦς περι-

ζήτει.

+

ἡ δὲ τὰ ἀληθῆ τοῖς γνωστοῖς διὰ ἀποδείξεως· διὸ καὶ ἀντιπαραθετέα(?) ἀξία τῇ τιμιωτάτῃ(?).
διὰ δὴ τοῦτο καὶ ἡ συλλογιστική· ἐπειδὴ ἀπόδειξις συλλογισμός τίς ἐστιν, εἰκότως
πρῶτον περὶ συλλογισμοῦ ὁ Ἀριστοτέλης πρὸ τοῦ περὶ ἀποδείξεως λέγειν, πρα-
γματεύεται ἐν τούτοις οἷς ἡ ἐπιγραφὴ περὶ προτέρων ἀναλυτικῶν· διδάσκει δὲ
ἡμᾶς τί ἐστι συλλογισμὸς καὶ ἐκ τίνων σύγκειται· καὶ πόσα σχήματα τοῦ συλλο-
γισμοῦ· καὶ τίνες αὐτῶν διαφοραί. τύπῳ γάρ τινι κοινῷ τὰ σχήματα ἔοικεν,
ἐν οἷς ἐστιν ἐναρμόσαντα ὕλην, ὅλως τι δύνασθαι ἐργάζεσθαι(?)· τῶν τε γὰρ ἐπὶ ταῖς
διαφόροις ὕλαις· ὥσπερ γὰρ ἐπὶ τῶν τύπων τῶν αὐτῶν ἡ διαφορὰ οὐ κατὰ τὸ
εἶδος γίνεται καὶ τὸ σχῆμα τοῖς ἐναρμοζομένοις, ἀλλὰ κατὰ τὴν ὕλην, οὕτω
δὴ καὶ ἐπὶ τῶν σχημάτων τῶν συλλογιστικῶν. λέγει δὲ καὶ πόσαι καθ᾽ ἕκαστον σχῆ-
μα συζυγίαι· καὶ τίνες τούτων εἰσὶ συλλογιστικαί· καὶ τίνες ἀσυλλόγιστοι.
τίνες διαφοραὶ τῶν καθ᾽ ἕκαστον σχῆμα συλλογισμῶν πρὸς ἀλλήλους.
τίνες μὲν τέλειοι τῶν συλλογισμῶν καὶ αὐτόθεν γνώριμοι καὶ οὐ δεόμενοι ἀ-
ποδείξεως· τίνες δὲ ἀτελεῖς καὶ οὐκ ἄνευ ἀποδείξεως· καὶ πόθεν τοῖς ἀτελέσιν
ἀρρήτοις(?) τὸ εἶναι συλλογισμοῖς. λέγει δὲ ἐν αὐτοῖς καὶ περὶ εὑρέσεως προτά-
σεων· πῶς ἂν εὑρίσκοιμεν προτάσεις πρὸς τὸ καθ᾽ ἕκαστον σχῆμα τῶν οἰκείων
εὐπορεῖν συλλογισμῶν. λέγει δὲ καὶ περὶ ἀναλύσεως συλλογισμῶν· καὶ καθόλου
ὅσα τῆς συλλογιστικῆς ἐστιν ἰδία πραγματείας. περὶ τούτων ἁπάντων ἐν τοῖς
δυσὶ τοῖς προτέροις ἀναλυτικοῖς, μετὰ ταῦτα τὸν περὶ ἀποδείξεως ἐπὶ τοῖς
ἐνθάδε προτεθεῖσι ποιήσεται λόγον· ἐν τοῖς ἐπιγεγραμμένοις ὑστέροις
ἀναλυτικοῖς· ἃ καὶ αὐτά ἐστι δύο. διὰ τοῦτο καὶ ἐπιγράφεται πρότερα μὲν
ἀναλυτικὰ τὰ περὶ συλλογισμοῦ. ὕστερα δὲ τὰ περὶ ἀποδείξεως τῇ φύσει.
μεμαθήκαμεν γὰρ καὶ ἐν ταῖς κατηγορίαις ὅτι ἐστὶ πρότερα τῇ φύσει τὰ μὴ
ἀντιστρέφοντα κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, ἐκεῖνα οἷς τεθεῖσιν αὐτὰ
ἕπεται· τοιαῦτα δὲ ἐστὶ καὶ τὰ γένη· πᾶν γὰρ γένος ἑκάστου τῶν ὑπ᾽ αὐτὸ εἰδῶν πρό-
τερον τῇ φύσει. τεθέντων μὲν τῶν εἰδῶν, πάντως τὸ γένος ἕπεσθαι· μὴ ὄντος δὲ
τοῦ γένους τὸ εἶδος(?)· ὁμοίως δὲ ἔχει καὶ τὰ ἄλλα πρὸς τὰ ἀφ᾽ ὧν ἐστιν εἴδη· πρότερα
γὰρ καὶ αὐτὰ ἐκείνων. οὕτω δὲ ἔχει καὶ ὁ συλλογισμὸς πρὸς ἀπόδειξιν. ἀ-
ποδείξεως μὲν οὔσης πάντως ἔσται συλλογισμός· ἡ γὰρ ἀπόδειξις συλλο-
γισμός τις· συλλογισμοῦ δὲ ὄντος, οὐ πάντως ἐστὶν ἀπόδειξις· διὰ τὸ

ἐπειδὴ πρότερος ὁ συλλογισμὸς τῆς ἀποδείξεως

συλλογισμὸν ἀναγκαῖον, διαλεκτικὸν καὶ σοφιστικόν· ἐπεὶ δεῖ νοεῖν πρότερον
μὲν συλλογισμόν, ὕστερον δὲ ἀπόδειξιν, εἰκότως ἐν οἷς μὲν βιβλίοις περὶ τοῦ
προτέρου τὸν λόγον ποιεῖται, ταῦτα πρότερα ἐπιγράφει· ἐν οἷς περὶ τοῦ
ὑστέρου, ταῦτα ὕστερα. ἀναλυτικὰ δέ, ὅτι ἡ παντὸς συνθέτου εἰς τὰ ἐξ ὧν
ἡ σύνθεσις αὐτῶν ἀναγωγή, ἀνάλυσις καλεῖται. ἀντεστραμμένως γὰρ ἡ ἀνά-
λυσις ἔχει τῇ συνθέσει. ἡ μὲν γὰρ σύνθεσις, ἀπὸ τῶν ἀρχῶν ὁδός ἐστιν ἐπὶ τὰ
ἐκ τῶν ἀρχῶν. ἡ δὲ ἀνάλυσις ἐπάνοδός ἐστιν ἐπὶ τὰς ἀρχάς, ἀπὸ τοῦ τέλους.
οἵ τε γὰρ γεωμέτραι ἀναλύειν λέγονται· ὅταν ἀπὸ τοῦ συμπεράσματος ἀρξά-
μενοι κατὰ τὴν τάξιν τῶν εἰς τὴν τοῦ συμπεράσματος δεῖξιν ληφθέντων, ἐπὶ
τὰς ἀρχάς, καὶ τὸ πρόβλημα ἀνίωσιν. ἀλλὰ καὶ ὁ τὰ σύνθετα σώματα ἀνά-
γων εἰς τὰ ἁπλᾶ σώματα, ἀναλύσει χρῆται· καὶ ὁ τῶν ἁπλῶν ἕκαστον· εἰς τὰ ἐξ ὧν
αὐτοῖς τὸ εἶναι, ὅπερ ἐστὶν ὕλη καὶ εἶδος, ἀναλύει. ἀλλὰ καὶ ὁ τὸν λόγον εἰς τὰ μέρη
τοῦ λόγου διαιρῶν· καὶ ὁ τὰ μέρη τοῦ λόγου εἰς τὰς συλλαβάς· καὶ ὁ ταύτας εἰς τὰ
στοιχεῖα ἀναλύει. ἀναλύειν δὲ ἰδίως λέγονται καὶ οἱ τοὺς συνθέτους συλλογισμοὺς
ἀναλύοντες εἰς τοὺς ἁπλοῦς· ἀλλὰ καὶ οἱ τοὺς ἁπλοῦς εἰς τὰς προτάσεις, ἐξ
ὧν αὐτοῖς τὸ εἶναι. ἀλλὰ καὶ τὸ τοὺς ἀτελεῖς συλλογισμοὺς εἰς τοὺς τελείους ἀνάγειν,
ἀναλύειν λέγεται. ἀλλὰ καὶ τὴν τῶν κειμένων συλλογισμῶν ἀναγωγὴν εἰς τὰ οἰ-
κεῖα σχήματα, ἀναλύειν λέγουσιν. ὃ δὴ καὶ κατὰ τοῦτο τὸ σημαινόμενον τῆς
ἀναλύσεως μάλιστα ἀναλυτικὰ καὶ ταῦτα ἐπιγέγραπται. ὑπογράφει
γάρ τινα ἡμῖν μέθοδον ἐπὶ τέλει τοῦ πρώτου, δι᾽ ἧς τοῦτο ποιεῖν δυνησό-
μεθα. ἀλλὰ καὶ πῶς τῶν ἁπλῶν συλλογισμῶν εἰς τὰς οἰκείας προτάσεις
ἐξ ὧν αὐτοῖς τὸ εἶναι, καὶ αὐτῶν ἀναγωγὴν ποιεῖν δυνησόμεθα. εὑρήσομεν
δέ που αὐτὸν λέγοντα· καὶ πῶς οἱ σύνθετοι συλλογισμοὶ γίνονται ἐκ τῶν
ἁπλῶν· καὶ πῶς αὐτοὺς εἰς ἐκείνους ἀνάξομεν. ἐν οἷς μὲν οὖν περὶ τῆς τῶν
συλλογισμῶν ἀναλύσεως πεπραγμάτευται, ταῦτα ἀναλυτικὰ πρότερα.
ἐν οἷς δὲ περὶ τῶν ἀποδείξεων, ταῦτα δὲ ἀναλυτικὰ μὲν καὶ αὐτά, ὕστερα
δὲ ἐπιγράφει. οὐδὲ πρὸς διδασκαλίας χρήσιμα ταῦτα, τοῦ δὲ τῶν ῥη-
θησομένων τὸν σκοπὸν καὶ τὴν πρόθεσιν λέγειν. οἱ γὰρ ἀρξάμενοι ἐπὶ τῶν
λεγομένων ἑκάστου τὴν πρόθεσιν καὶ τὴν ἀφορμὴν ἔχει, ῥᾷον μανθάνουσι τῶν
οὐκ εἰδότων. παραπλησία γὰρ τῶν οὕτως μανθανόντων ἡ διαφορὰ τοῖς

ὁδοῦ

βαδίζουσι τὴν αὐτήν· ὧν οἱ μέν, ἴσασι τὸ πέρας τῆς ὁδοῦ ἐν ᾧ δεῖ ἀφικέσθαι
δεῖ. οἱ δέ, ἀγνοοῦσι· καὶ γὰρ ἐκείνων οἱ μὲν εἰδότες, ῥᾷόν τε βαδίζουσι, καὶ χωρ(ὶς)
καμάτου ἀνύουσι τὸ προκείμενον· οἱ δ' ἀγνοοῦντες κάμνουσι μᾶλλον· ἐν
παντὶ γὰρ ἡ ἄγνωσις ἀπειρίᾳ τινὶ ἔοικε· τοῦτο δὴ οὕτως οὐ χρὴ ὅτι μὲν ἐν τε
ταῖς ἄλλαις πραγματείαις ὡς ἐπὶ τὸ πλεῖστον εἴωθε ποιεῖν· καὶ δὴ καὶ ἐν ταύτῃ δ(ε).
εὐθὺς γὰρ ἐν ἀρχῇ λέγει τί ποτέ ἐστι τὸ προκείμενον αὐτῷ. καὶ συντόμως εἰπὼν
τε διὰ βραχέος, ἐφεξῆς ἐξηγεῖται τῶν λόγων ἐπὶ τὰ προκείμενα. καὶ γὰρ ἀρχὴ
ἐστὶν ὥσπερ ἐν τοῖς γινομένοις τὸ οὗ ἕνεκεν, οὕτως καὶ ἐν τοῖς λεγομένοις.
τὸ γὰρ οὗ χάριν γενέσθαι τι, τοῦτό ἐστιν ὅπερ ποιεῖ· ἄξιον τῶν ἐκείνου χάριν
λεγομένων. ἡ δὲ ἀρχή, ὡς ἀπὸ ἀρχῆς αὐτοῦ ἄρχεσθαι χρή. ἔστι δὲ καὶ
πρὸς τὸ κρίνειν συντελοῦν τοῖς λεγομένοις τῶν λεγομένων καὶ τοῖς μανθάνουσιν
ἀκούουσι γνωριζόμενος ὁ σκοπός· ἅμα δὲ καὶ ἡ μερὶς διὰ τοῦ τὴν πρόθεσιν τοῦτο
ἀπὸ πάσης εἶναι τῆς περὶ συλλογισμῶν πραγματείας, τὸ περὶ ἀποδείξεως ἀπο-
δίδωσι· ὅτι προηγούμενον ἔργον τῆς συλλογιστικῆς πραγματείας πάσης
μεθόδου, χρὴ τὸν περὶ ἀποδείξεως ἡγεῖσθαι λόγον, καὶ γὰρ ἡ περὶ τὰ ἄλλα
ἐν τῇ τοῦ συλλογισμοῦ πραγματείᾳ τὰ φιλοσόφων γέγονε, καθ' ὅσον καὶ τὸν
περὶ ἐκείνων διειληφέναι· χρὴ δὲ μὴ μόνον πρὸς ἀπόδειξιν καὶ τὴν τοῦ ἀληθοῦς
εὕρεσιν· ὅ τε γὰρ ἐν τοῖς διαλεκτικοῖς γεγυμνασμένος συλλογισμοῖς. καὶ τὸ
πιθανὸν καὶ τὸ περικείμενον τῷ ἀληθεῖ συνορᾶν δυνάμενος· ῥᾷον τὸ ἀληθὲς
εὑρίσκει· οὐ κατὰ πάντα μὲν ὑπὸ τῆς ὁμοιότητος τοῦ πιθανοῦ τῆς πρὸς τὸ ἀ-
ληθές· ἀλλ' εἰ δέοι αὖ τούτων διαφοράν· ὅ τε τοὺς σοφιστικοὺς λόγους εἰδὼς
ὅπερ γίνεται δυνάμει τοῦ ψεύδους φυλάττεσθαι ἢ δι' αὐτοῦ φυγῇ, πλεῖστα
πρὸς τὴν τοῦ ἀληθοῦς εὕρεσιν συνεργεῖ. παραπλήσιον δὲ καὶ ἐν τοῖς ἠθικοῖς
πεποίηκε ταῦτ' ἐνταῦθα· καὶ γὰρ ἐκεῖ προειπών· ἡ μὲν οὖν μέθοδος τού-
των ἐφίεται, πολιτική τις οὖσα. καὶ εἰπὼν τὴν πρόθεσιν εἶναι αὐτῷ περὶ πο-
λιτείας καὶ τῆς πολιτικῆς δυνάμεως, μετὰ δὲ ἐκεῖνα βιβλία, περὶ ἐκείνης
ποιεῖται τὸν λόγον, ὡς οὖν τὸ ἀναγκαῖον πρῶτον εἰπεῖν περὶ τῶν ἐθνῶν τῶν
ἀγνώστων, ὁποῖα τινὰ χρὴ εἶναι ταῦτα· τῶν συμπληρούντων τὴν πόλιν.

τῶν τε γὰρ πρῶτα τῆς πόλεως μέρη :· +

+

Πρῶτον εἰπεῖν περὶ τί καὶ τίνος ἐστὶν ἡ σκέψις, ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς.

Εἶπε μὲν διὰ βραχέων, τίς ἡ πρόθεσις καὶ τίς ὁ σκοπὸς, πάσης τῆς ἀναλυτικῆς ἐπιστήμης. προσθεὶς δὲ τὸ περὶ τί· ὅπερ ἐστὶν αἰτιατικῆς πτώσεως ἀπαιτητικόν· καὶ τό, τίνος γενικῆς πτώσεως· τῷ ἀποδοῦναι ἐποιήσατο κατὰ ἀκολουθίαν τῶν πτώσεων· μόνον εἰπὼν περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς. ἡ μὲν καταλιπὼν τὸ μετασχηματίσαι καὶ εἰς γενικὴν πτῶσιν τὰ εἰρημένα γραφῆ δέχεται οὐ διὰ τοῦ ν, ἀλλὰ διὰ τοῦ σ, ἐπιστήμης ἀποδεικτικῆς· καὶ ἤδη ἂν οὕτως ἐχούσης τῆς γραφῆς, πρὸς ἑκάτερον τῶν προτεθέντων ἀπήντησεν· πρὸς μὲν τό, περὶ τί, διὰ τοῦ, περὶ ἀπόδειξιν· πρὸς δὲ τό, τίνος, διὰ τοῦ, ἐπιστήμης ἀποδεικτικῆς:· δύναται δὲ καὶ διὰ τοῦ ν γεγραμμένου τοῦ, ἐπιστήμην ἀποδεικτικήν, τὰ προειρημένα τό, περὶ τί καὶ τίνος, μὴ ἀρκεῖσθαι περὶ τοῦ ὑποκειμένου ἀμφοτέροις· ἀλλὰ τὸ μὲν ἕτερον τὸ περὶ τί, περὶ τοῦ ὑποκειμένου· περὶ γὰρ τί ὑποκείμενον· τὸ δέ, τίνος, περὶ τῆς θεωρούσης τὸ ὑποκείμενον ἕξεως· ὡς εἶναι περὶ μὲν ὑποκείμενον τὴν ἀπόδειξιν· θεωρούσης δὲ ταύτην, τῆς ἀποδεικτικῆς ἐπιστήμης· καὶ ἤδη ἂν πρὸς ἑκάτερον τῶν προτεθέντων, οἰκείως οὕτως ἀπήντησεν. ἔστι δὲ ἡ μὲν ἀπόδειξις, συλλογισμὸς ἀποδεικτικός· ἐπιστήμη δὲ ἀποδεικτική· ἕξις ἀφ᾽ ἧς οἱ ἔχοντες εἰσὶν ἀποδεικτικοὶ συλλογίζεσθαι· τὸ γὰρ περὶ ἀποδείξεως εἰπεῖν, ἐπιστήμης ἐστὶν ἀποδεικτικῆς, καὶ τοῦ ταύτην ἔχοντος:·

Εἶτα διορίσαι τί ἐστι πρότασις.

Ἐπεὶ ἀναγκαῖος μὲν, ὡς τὸν περὶ ἀποδείξεως λόγον· ὁ περὶ συλλογισμοῦ ὡς ἔφθημεν εἰρηκότες· ὁ δὲ συλλογισμὸς, ἐκ προτάσεων σύγκειται· αἱ δὲ προτάσεις ἐξ ὅρων, εἰκότως περὶ τούτων λέγει, πρὸ τοῦ περὶ συλλογισμοῦ λέξαι, ἐξ ὧν τὰ συλλογισμοῦ τὰ εἶναι· οὐδὲ ἢ περὶ ὀνομάτων οἷόν τε δεῖ, εἰδέναι, τὸν μὴ εἰδότα περὶ συλλαβῶν καὶ στοιχείων:· Μαθεῖν, περὶ συλλογισμοῦ πρὸ τοῦ εἰπεῖν· ἐνδεικνύμενος ἡμῖν, ὅτι διὰ τοῦτον, καὶ τὸν περὶ ἀναγκαίων ποιεῖται λόγον· ὥσπερ καὶ τὸν περὶ συλλογισμοῦ, διὰ τὸν περὶ ἀποδείξεων· τίνας δὲ ἔσται οἱ συλλογισμοὶ καὶ τίνας ἀτελεῖς, αὐτὸς προϊὼν ποιήσει γνώριμον· καὶ τὸ ἐν ὅλῳ δὲ εἶναι καὶ τὸ μὴ εἶναι· τοῦ τὸ γὰρ ἐστὶ σημαινόμενον

ὑπὸ τοῦ εἶναι ἢ μὴ εἶναι, ὅτι τοιοῦτόν ἐστι· τὸ μέν, τὸ κατὰ παντός· τὸ δέ, τὸ κατὰ
μηδενός, σημαίνει δὲ τὴν καθόλου κατάφασιν· καὶ τὴν καθόλου ἀπόφασιν· ὡς
προϊών, γνώριμον ποιήσει. ἐπεὶ δὲ χρήσεται ἐν τῇ τῶν συλλογισμῶν ἀπο-
δόσει· καὶ τῶν συζυγιῶν ὅλως τῶν ἐν τοῖς σχήμασι, τῷ ἐν ὅλῳ εἶναι, ἀντὶ τοῦ ὅτι κατὰ πα-
ντί, καὶ τῷ ἐν μηδενί, διὰ τοῦτο προλέγει περὶ αὐτῶν:· +

Πρότασις μὲν οὖν ἐστὶ λόγος καταφατικὸς ἢ ἀποφατικός τινος κατά τινος·
οὗτος δέ, ἢ καθόλου, ἢ ἐν μέρει, ἢ ἀδιόριστος:·

Εἰ μὲν οὖν λόγος τῆς προτάσεως, κοινός ἐστι τῆς ἀποφάνσεως ὡς ἀπέδωκεν
ἐν τῷ περὶ ἑρμηνείας· λόγος γὰρ ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει· οὐ μήν,
ἀλλ' ἰδίως τὴν πρότασιν ὁρίζεται· καὶ γὰρ ταὐτὸν καὶ τὸ ὑποκείμενον πρό-
τασίς τε καὶ ἀπόφανσις, ἀλλὰ τῷ λόγῳ διαφέρει· καθὸ μὲν γὰρ ἢ ἀληθὴς
ἐστὶν ἢ ψευδής, ἀπόφανσίς ἐστι· καθὸ δὲ καταφατικὸς ἢ ἀποφατικός,
λέγεται πρότασις· ὁ μὲν ἀποφαντικὸς λόγος, ἐν τῷ ἀληθὴς ἢ ψευδὴς εἶναι ἁ-
πλῶς τὸ εἶναι ἔχει:· ἡ δὲ πρότασις ἤδη, ἐν τῷ πῶς ἔχειν ταῦτα· διὸ ἀεὶ μὴ
ὁμοίως ἔχουσαι αὐταί, λόγοι μὲν οἱ αὐτοί· προτάσεις δὲ οὐχ αἱ αὐταί· δεόντως
δὲ ἀπὸ τῶν ὑποκειμένων τὴν πρότασιν, τὴν πρότασιν ὁρίζεται. τοῦτο δὲ ἀξιοῖ ἐπεὶ
εἶπεν ἐν τῷ περὶ ἑρμηνείας, ὅτι ἐστὶν εἷς πρῶτος λόγος ἀποφαντικός, κατά-
φασις, εἶτα ἀπόφασις· ἐν οἷς δὲ τάξις ἐστί· καὶ τὸ μέν, πρῶτόν ἐστι, τὸ δέ, ὕστερον,
τῶν ὑποτεταγμένων· ὡς ἐν τῷ ὑστέρῳ τὸ πρῶτον ἐμφαίνεσθαι, ἐν τούτοις τὸ κοινὸν
αὐτῶν κατηγορούμενον, οὐχ ὡς γένος αὐτῶν κατηγορεῖται· ἐν γὰρ τοῖς γένεσι
τὰ εἴδη ἐπίσης ἀντιδιαιρεῖται ἀλλήλοις· καὶ οὐ τὸ μέν, πρῶτόν ἐστιν αὐτῶν· τὸ δ',
ὕστερον· ἐπεὶ τοίνυν ἡ πρότασις οὐ γένος· οὐδὲ φύσις ἐστί τις ἄλλη παρὰ ταῦτα ὧν κα-
τηγορεῖται καὶ ἐν οἷς αὐτῇ τὸ εἶναι· ὡς ἐπὶ τῶν γενῶν ἐστι, διὰ τοῦτο ταύτης καὶ κατα-
φάσεως καὶ τῆς ἀποφάσεως ὧν κατηγορεῖται, ἐδήλωσεν αὐτήν· καὶ γὰρ τὸ
ἐν τῷ περὶ ἑρμηνείας εἰρημένον, ἴδιόν ἐστι τούτῳ· τό, ἔστιν οὖν ἁπλῆ ἀπόφανσις
φωνὴ σημαντικὴ περὶ τοῦ εἰ ὑπάρχει τι ἢ μὴ ὑπάρχει· ἀλλὰ καὶ τὸ ἀπόφαν-
σις θάτερον μόριον ἀντιφάσεως· ὡς ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς λέγει· ἴσον
τούτοις· ὥσπερ οὖν ἐκεῖ προσέθηκε τό, καὶ τὰ ποσὰ ἢ τοὺς χρόνους· ὅτι ἐν τῇ
ἀντιφάσει ταῦτα ἀναλείπεται· ἔστι γὰρ καὶ κατὰ ταῦτα αἱ ἀντιφάσεις· ὅμοιον
τούτοις, καὶ ὁ λόγος ἀποφαντικὸς τινὸς περί τινος· ἀλλὰ μὴν ἄρα οὐ τὸ κοινότερον·

ὅτι γὰρ αὐτὸ οὔπω σύνθετον ἀλλ᾽ ἁπλοῦν, οὔτε κατάφασις οὔτε ἀπόφασις· ὡς δ᾽ πολλαχῶς λεγομένης τῆς προτάσεως, ἔοικε καὶ θεόφραστος ἐν τῷ περὶ καταφάσεως φρονεῖν· αὐτὸ οὖν οὐχ ὁρίζεται· ἀλλ᾽ ἢ κατάφασιν ἢ ἀπόφασιν. διὸ δὲ οὐκ ἴδιοι οἱ ὅροι προτάσεως οὐ πάσης, ἀλλὰ τῆς ἁπλῆς τε καὶ καλουμένης κατηγορικῆς. τὸ γὰρ τὶ κατά τινος ἔχειν· καὶ τὸ ἢ καθόλου ἢ ἐν μέρει ἢ ἀδιόριστον, ἴδια ταύτης. ἡ γὰρ ὑποθετική, οὐκ ἐν τῷ τὶ κατά τινος λέγεσθαι. ἀλλ᾽ ἐν ἀκολουθίᾳ ἢ μάχῃ ἔχει τὸ ἀληθὲς ἢ ψεῦδος ἔχει. ἔστι δὲ οὐδὲ τῆς διαλεκτικῆς ὁ ἀποδεδομένος ὁρισμός· ἀνάγκη γὰρ ἐν ἐρωτήσει. ἀλλὰ μόνης τῆς συλλογιστικῆς. τὸ δὲ κατά τινος, καὶ τὸ τῆς ἀποφάσεως ἔχει. ἐπεὶ καὶ ἐν τῇ ἀποφάσει ὁ ὑποκείμενος καὶ ὁ ὅρος ἐστὶ κατηγορούμενος. τὸ γὰρ τὶ κατά τινος νῦν, οὐ τὸ καταφατικῶς δηλωτικόν ἐστιν, ἀλλὰ τὸ ὑποκειμένου κατηγορούμενον ὃ κατηγορεῖται ἢ καταφατικῶς, ἢ ἀποφατικῶς. ἐν μὲν γὰρ τῷ περὶ ἑρμηνείας ὁριζόμενος τὴν κατάφασιν ἢ ἀπόφασιν, τῷ κατά τινος, ἐπὶ τῆς καταφάσεως ἐχρήσατο. ἐπὶ δὲ τῆς ἀποφάσεως οὐκ ἔτι τῷ κατά τινος, ἀλλὰ τῷ ἀπό τινος. ἔφη γὰρ αὐτὴν, ἀπόφανσιν τινος ἀπό τινος. διὸ δὲ οὕτως ὡς τῆς κατηγορικῆς προτάσεως ὁρίζεται· ποιὰ γὰρ καὶ ποσὰ, ἀμφότερα παρέλαβεν ἐν τῷ τῆς προτάσεως λόγῳ. τὸ μὲν ποιὸν διὰ τοῦ εἰπεῖν λόγον αὐτὴν εἶναι καταφατικὸν ἢ ἀποφατικόν. αὕτη γὰρ προτάσεων προσεχεστάτη ποιότης. τὸ δὲ ποσὸν διὰ τοῦ εἰπεῖν· οὗτος δὲ ἢ καθόλου ἢ ἐν μέρει ἢ ἀδιόριστος. καὶ νῦν μὲν αὐτὸ τὸ σημαινόμενον. ἐπὶ πλέον δὲ περὶ αὐτῶν ἐν τῷ περὶ ἑρμηνείας εἴρηκε. σημειωτέον δὲ ὅτι οὐχ ὁμοίως ἐν τοῖς λογικοῖς καὶ ἐν τοῖς ἀναλυτικοῖς ἀποδίδωσι τὸ καθόλου:·

διαφέρει δὲ ἡ ἀποδεικτικὴ πρότασις τῆς διαλεκτικῆς, ὅτι ἡ μὲν ἀποδεικτική λῆψις θατέρου μορίου τῆς ἀντιφάσεώς ἐστιν: +

Εἰπὼν τὸν κοινὸν λόγον τῆς προτάσεως, προτίθεται καὶ τὰς διαφορὰς αἷς διαφέρουσιν ἀλλήλων ἥ τε ἀποδεικτικὴ καὶ ἡ διαλεκτική. ἀρκτέον δὲ, δεικνὺς ὅτι ἐν ταύταις ἐστὶν, ὅτι κοινός ἐστι καὶ ὁ ἀποδεδομένος λόγος τῆς προτάσεως. καὶ οὐ κατὰ τοῦτο ἐστὶν αὐταῖς ἡ διαφορά· ἐν πάσαις γὰρ ταῖς προτάσεσι ταῖς συλλογιστικαῖς, ὁ ἀποδεδομένος λόγος, οὐ μόνον καὶ ἐν τῇ ἐρωτήσει. οὐδὲ γὰρ ἁπλῶς ἐστὶν ἡ πρότασις. ἀλλὰ τὸ ὅλον διαλεκτικὴ πρότασις. ἀρκεσθεὶς καὶ ἐπὶ τοῖς τότε ποιοῖς ὁριζομένης τῶν προτάσεων, λέγει ἀποδιδοὺς αὐτῆς. ὁ μὲν γὰρ εἰ πρότασις διαλεκτική.

ἐρωτήσεως εἴληχεν· ἵνα μή τις ὑπολάβῃ τῆς καθόλου προτάσεως ἐκεῖνον εἶναι τὸν
λόγον· καὶ αὐτῷ παραδιασαφῆσαι καὶ τὰς τῶν προτάσεων τούτων διαφοράς· δείκνυσιν ὅτι τῆς
κοινῶς λεγομένης προτάσεως, τῆς πρὸς τὸ συλλογίσασθαι λαμβανομένης,
ὁ ἀποδεδομένος νῦν λόγος ἐστίν, ἀλλ' οὐχ ὁ ἐν τοῖς τοπικοῖς εἰρημένος· ἐκεῖνος
γὰρ διαλεκτικῆς ἐστι προτάσεως λόγος· καὶ ταύτης οὐδέ πως συλλογιστικῆς· καὶ τὰς
γὰρ τὰς διαφορὰς τῶν συλλογισμῶν, διαφοραὶ καὶ προτάσεων εἰσίν· ὄντος
τινὸς κοινοῦ προτάσεως λόγου· ὥσπερ οὖν καὶ συλλογισμοῦ· ἐπὶ πλέον μὲν οὖν
περὶ τῆς ἀποδεικτικῆς προτάσεως ἔν τινι τῶν ἄλλων διαφέρει, ἐν τοῖς ὑστέροις ἀνα-
λυτικοῖς διαλαμβάνει· καὶ γὰρ τῇ ὕλῃ διαφέρει αὐτῶν· ἀληθὴς γὰρ καὶ προτέρα
ἔτι γνώριμος καὶ ἀναγκαία καὶ αἰτία· τῇ χρήσει τε καὶ τῇ λήψει· ὅτι καὶ ἐρωτᾷ ὁ ἀποδεικνύς.
νῦν δὲ ἐνδείκνυται αὐτῆς τὴν πρὸς τὴν διαλεκτικὴν πρότασιν διαφορὰν ἀ-
πὸ τοῦ τρόπου τῆς λήψεως πρῶτον· ὅτι μὴ ἐρωτᾶσθαι δεῖ τὴν ἀποδεικτικὴν
μηδὲ δι' ἐρωτήσεως λαμβάνεσθαι· ὁ μὲν γὰρ ἐρωτῶν τὴν ἀντίφασιν ὡς παρα-
σκευασμένος παντὶ τῷ ὑποκειμένῳ ὑπὸ τοῦ ἀποκρινομένου ἐπιστῆναι.
τὸ ἀναιρεῖν αὐτὸ διὰ τοῦ ἑπομένου ὑπ' αὐτοῦ τοῦ συλλογισμοῦ· δι' ὧν ἐκεῖνος
ἀποκρινόμενος δίδωσιν, οὕτως ἐρωτᾷ· τοιοῦτος δέ ἐστιν ὁ διαλεκτικὸς ὁ ἐ-
ξ ἐνδόξων συλλογιζόμενος· εὐπορῆσαι γὰρ οὗτος ἐνδόξων καὶ πρὸς τὰ ἀν-
τικείμενα· ὁ δὲ ἀποδεικνύς, οὐκ ἐκ πάντων τῶν δοθέντων ἀποδείξει· οὐ γὰρ
οἷόν τε τὰ ἀντικείμενα ἀλλήλοις ἀληθῆ εἶναι, οὐκ ἐρωτᾷ οὖν ὁ ἀποδεικνύς,
ἀλλὰ παρ' ἑαυτοῦ λαμβάνει· τὸ γὰρ ἀκόλουθον ταῖς ἀρχαῖς λαμβάνει καὶ ταῖς
ὑποθέσεσιν· ὡς ἐν τῇ γεωμετρίᾳ γινόμενον ὁρῶμεν· οὐ γὰρ ὁ βουλόμενος δεῖ-
ξαι τὰς τρεῖς τοῦ τριγώνου γωνίας δυσὶν ὀρθαῖς ἴσας, διὰ προτάσεων δεί-
κνυσιν ἐξ ἐρωτήσεως ληφθεισῶν· ἐρώτησις δέ ἐστιν ἀντιφάσεως ἐπὶ τῆς διαλε-
κτικῆς προτάσεως, ἀντὶ τοῦ δι' ἐρωτήσεως ἀντιφάσεως λαμβανομένης.
ὡς δηλοῖ καὶ τὸ ἐπιφερόμενον· τοῖς οὐδὲν διοίσει· οὔτε γὰρ ὁ ἐρωτῶν, διὰ
τῆς ἐρωτήσεως συλλογίζεται· ἀλλὰ διὰ τοῦ ληφθέντος διὰ τῆς ἐρωτήσεως.
ὑποθέσεις δὲ τῶν ἀποδείξεων αἱ ἀρχαί· ὅτι οὐκ ἔστιν ἀπόδειξις τῶν τοιούτων
προτάσεων καὶ τῶν ἀρχῶν· ἀλλ' ἢ ὡς ἐναργεῖς καὶ αὐτόθεν γνώριμοι τίθενται.
ἢ ὡς τοῖς τοιούτοις ἑπόμεναι· τὸ δὲ μὴ δι' ἀποδείξεως λαμβανόμενον, ὑπο-
θέσιν τε καὶ ὑποτίθεσθαι καλοῦμεν· κοινότερον ἔτι, θέσιν· καὶ τούτων δὲ

τὴν ἀπόδειξιν ποιεῖται· ἔπειτα δὲ τίνι καὶ τί χρὴ σὺν διαφορὰν αὐτῶν, προστίθησι
ἐφεξῆς καὶ τίνι, καὶ τὰ τῶν ὕλην· πρῶτον δεῖξαι, ὅτι κοινὸς ὁ ἀποδεδειγμένος
τῆς προτάσεως ὅρος· καὶ ἐφαρμόζων καὶ τῇ ἀποδεικτικῇ καὶ διαλεκτικῇ, ὅτῳ δὲ
συλλογισμοῦ λαμβάνειν ταύτην εἰπεῖν· ἔπειτα, οὐδὲν δὲ διοίσει πρὸς τὸ γενέσθαι
τὸν ἑκατέρου συλλογισμόν· καὶ γὰρ καὶ ὁ ἀποδεικνύων καὶ ὁ ἐρωτῶν, συλλογίζεται
λαβών τι κατά τινος ὑπάρχειν ἢ μὴ ὑπάρχειν· οὕτω ἀποδεδειγμένος προ-
τάσεως λόγος· καὶ γὰρ ὁ τρόπος τῆς συλλήψεως αὐτῶν διάφορος, ἀλλὰ ταῦτα
λαμβανόμενα, καὶ τὰ τὸν τῆς προτάσεως κοινωνεῖ λόγου· τῇ λαμβανομένῃ
οὖν διαλεκτικῇ προτάσει, ὁ εἰρημένος κοινὸς τῆς προτάσεως λόγος ἐφαρμόζει·
οὔτε ἐρωτωμένῃ· καὶ γὰρ τῇ ἀποδεικτικῶς ληφθείσῃ καὶ τῇ διαλεκτικῶς, κοινὸν
τὸ κατάφασιν εἶναι ἢ ἀπόφασιν τινὸς κατά τινος· ἡ πρότασις πρὸς τὸν κοινὸν
τὸ ἁπλῶς συλλογισμὸν χρώμεθα· τὸ γὰρ καταφατικόν τε καὶ ἀποφατικὸν αὐτῶν,
πρὸς συλλογισμὸν χρήσιμον· ἐδήλωσε δὲ ἡμῖν διὰ τῆς λέξεως ταύτης, ἀπό
καὶ ἐπὶ τῆς ἀποφάσεως, τὸ κατά τινος ἁρμόζει εἰπεῖν· τι κατά τινος ὑπάρχειν
ἢ μὴ ὑπάρχειν· καὶ προσθεὶς δὲ τοῖς ἑξῆς τὸν προειρημένον τρόπον, τοῦ τὸ δηλοῦς
ἔοικεν· ὅτι κοινόν ἐστι τὸ, κατά τινος· ἢ τὸ, τὸν προειρημένον τρόπον, δηλωτικόν
ἐστι τοῦ, καθόλου· ἢ ἐν μέρει· ἢ ἀδιορίστως· ποιεῖται δέ τινα καὶ τῆς διαλεκτικῆς
προτάσεως διαίρεσιν· ἄλλως μὲν γάρ φησιν εἶναι τὴν, πυνθανομένου καὶ ἐρωτῶν-
τος· ἐρώτησις γάρ ἐστιν ἀντιφάσεως· ἢ τίς ἐστιν ἡ τῇ παρ' ἄλλου αἰτήσει· ἢ τις
οὐδέπω λόγος ἀποφαντικός· οὐδὲ κατάφασις ἢ ἀπόφασις· ἄλλως δὲ συλ-
λογιζομένου· ἢ καὶ μέρος ἐστὶ τοῦ συλλογισμοῦ τινὸς ἤ· ἢ τις ἐστὶν ἀπὸ τῆς ὕλης,
ἡ γὰρ ἐρώτησις ἀντιφάσεως, οὐκ ἔστιν συλλογισμοῦ μέρος· τί δὲ τὸ, φαινομένου
τε καὶ ἐνδόξου, εἴρηκεν ἐν τοῖς τοπικοῖς:· + + +

Τί μὲν οὖν ἐστι πρότασις, καὶ τίνι διαφέρει συλλογιστική· καὶ ἀπο-
δεικτικὴ καὶ διαλεκτική: +

Εἰρηκὼς ὅτι ἡ μὲν πρότασίς ἐστι, λόγος καταφατικὸς ἢ ἀποφατικὸς τινὸς κατά
τινος· καὶ οὗτος ὁ λόγος, ἀνὰ τῆς συλλογιστικῆς προτάσεως· ὅδε ἀποδεικτικῆς
προτάσεώς ἐστιν ὡς μὲν ἔνθα δὲ εἴρηκεν, ἀληθὴς καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων
εἰλημμένη ὡς δὲ ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς, ἢ ἀληθὴς καὶ ἄμεσος πρότασις.
τε γνωριμωτέρα καὶ αἰτία τοῦ συμπεράσματος· ἡ δὲ διαλεκτική, πυνθανομένῳ μὲν

ἐρωτήσεως ἀντιφάσεως· συλλογιζομένων δὲ λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου·
ἀποδεικτικῆς καὶ σοφιστικῆς οὐκ ἐμνημόνευσεν· λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου.
ἡ γὰρ ἐπιπόλαιον τὸ πιθανὸν καὶ εὐφώρατον τὸ ψεῦδος ἔχουσα, σοφιστικὴ πρότασίς
ἐστι· διακριβώσας δὲ περὶ αὐτῶν λέγει, περὶ μὲν τῆς ἀποδεικτικῆς ἐν τοῖς ὑστέροις
ἀναλυτικοῖς· περὶ δὲ τῆς διαλεκτικῆς, ἐν τοῖς τοπικοῖς· περὶ δὲ τῆς σοφιστικῆς,
ἐν τοῖς σοφιστικοῖς ἐλέγχοις· ἁπάντων δὲ ἐπίκοινον τὴν κοινὴν περὶ συλλογισμῶν
πραγματείαν· καὶ ἄλλως δὲ διὰ τοῦ ἅπαντος ὅτι ἐν τοῖς ἑπομένοις ῥηθήσεται, ὅτι
πρῶτα τῶν ἐξ ἁπάντων τὰ βιβλία, ἀναγνωστέων πραγματειῶν διαδηλώσεως:

ζή. διὰ τί περὶ προτάσεως πρῶτον διέλαβεν:-

ὅρον δὲ καλῶ, εἰς ὃν διαλύεται ἡ πρότασις·

Ἔοικεν ἐνδείκνυσθαι καὶ αὐτό, ὅτι μὴ συνήθως τὸ τοῦ ὅρου ὄνομα· κυρίως δὲ τὸ γνώριμον
ἐπὶ τοῦ τῆς προτάσεως τασσόμενον μέρους εἴπων· ὅρον δὲ καλῶ· διὰ τοῦτο καὶ περὶ
προτάσεως λόγον ἐποιήσατο· ὅτι καὶ τῆς προτάσεως καὶ τοῦ ὅρου ἀπόδοσιν
ἐμφαίνεσθαι· ὡς δύο ὅροι ἐν τῇ ἁπλῇ προτάσει ὄνομα καὶ ῥῆμα· ἄρα γίνονται
δὲ ὅροι τὰ τῆς προτάσεως μέρη, ἀπὸ τοῦ τοὺς ὅρους ὁρίζεσθαι τὴν πρότασιν· καὶ ἐκ
τούτων συνίστασθαι· ἔστι δὲ ὁ μὲν καθ' οὗ κατηγορεῖται, ὁ ὑποκείμενος ὅρος περὶ
οὗ ὁ λόγος γίνεται· ὁ δὲ κατηγορούμενος, ὁ ἐπιφερόμενος τῷ ὑποκειμένῳ.
τε λεγόμενος περὶ αὐτοῦ· πᾶσα γὰρ πρότασις κατηγορική, ἐξ ὑποκειμένου
ὅρου καὶ κατηγορουμένου συνίσταται· τὸ δέ, προστιθεμένου ἢ διαιρουμένου τοῦ
εἶναι ἢ μὴ εἶναι προσέθηκεν, ἵνα μή τινες ἀγνοήσαντες ὅτι τὸ ἔστι τρίτον προσ-
κατηγορεῖται ἐν τῇ προτάσει· διαιροῦντες τὴν πρότασιν, τὸ εἶναι ἢ μὴ εἶναι,
τρίτον ὅρον ἡγῶνται εἶναι· οὐ γὰρ ὅρος ἐν ταῖς τοιαύταις προτάσεσι τὸ ἔστιν.
ἀλλὰ προστιθέμενον μέν, συνθέσεως σημαντικὸν τοῦ κατηγορουμένου καὶ τοῦ ὑποκει-
μένου· καὶ ἔστι καταφάσεως δηλωτικόν· εἰς γὰρ δύο ὅρους πᾶσα διαιρεῖται
πρότασις· ὅτι γὰρ μὴ τρίτος ὅρος τὸ ἔστι μηδὲ τρίτου ὅρου μέρος, δῆλον ἐν τῷ εἶναι συνδετικὸν τοῦ,
καὶ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν τὰς ἀντικειμένας, ἐκ τῶν αὐτῶν ὅρων
συνίστασθαι· σημαίνει δὲ ὁ ὅρος γίνεσθαι τὸ ἔστιν, ὅταν μόνον κεῖται· σημαίνει γὰρ
τότε τὸ ἔστι κατηγορούμενος ὅρος εἶναι· οὐ μὴν ἀλλὰ ἀμφίβολον γὰρ τοῦτο, οὐ
δεῖ τότε ἐστὶ καθ' αὑτὸ ὅρος τὸ ἔστιν· ἡ γὰρ λέγουσα πρότασις Σωκράτης ἐστίν,
ἰσοδυναμεῖ τῇ, Σωκράτης ὤν ἐστιν, ἐν ᾗ γίνεται τό, ὢν μετὰ τοῦ ἐστίν· ὁ δὲ
κατηγορούμενος ὅρος οὐ τὸ ἐστίν· ἐπειδὴ δὲ τῷ ὤν· τὸ ἐστὶν ἰσοδυναμοῦσα.

ἀποφαντικῶς δὲ λεγόμενον, διαφέρει γὰρ τοῖς ὅροις ἀπαλλαγή· καὶ ἔστιν ἀποφάσεως δηλωτικόν:~

ἐπεὶ καὶ λοιπὸν ἀπὸ τοῦ ζῴου μέχρι καὶ τοῦ μὴ τὸν λέγοντα λόγον, μόνον συντε-
θεῖται τὸ ὑποκείμενον· οὕτως δὲ συντεθέν, ὅρος γίνεται καὶ τῆς προτάσεως
μόριον· ἐπεὶ δὲ συντεθέντος ἢ διαιρουμένου, προστίθησι τοῦ εἶναι ἢ μὴ εἶναι·
ἀντὶ τοῦ ἀλλήλοις ἕτερον μέν πως τῷ ἑτέρῳ κατηγορεῖσθαι· διὰ τὴν τοῦ μὴ εἶναι
πρόσθεσιν· δοκεῖ γὰρ ἀντιφατικὰ εἶναι τό, προστιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι.
ἡ μὲν γὰρ πρόσθεσις τοῦ εἶναι, κατάφασιν ποιεῖ· ἡ δὲ διαίρεσις, ἀπόφασιν.
οὐ μήν, ἀλλὰ καὶ προστίθημι αὐτό, ὥσπερ τοῦ δηλῶσαι τίνα τρόπον τοῦ εἶναι
διαιρουμένου, ἀπόφασις γίνεται· διαίρεσις γάρ ἐστι, καὶ ἡ παντελὴς ἀφαίρεσις τοῦ
ἔστι· διαίρεσις γάρ ἐστι, καὶ ἡ μετὰ τοῦ ἀποφατικοῦ μορίου σύνταξις· ὁποῖόν ἐστι
τὸ οὐκ ἔστιν· ἀλλὰ τέλεον μὲν ἀφαιρεθέντος τοῦ, ἔστιν ἀπὸ τῆς προτάσεως,
τὸ οὕτως διαιρεθέντος, οὔτε ἀπόφασις τὸ καταλειπόμενον οὔτε πρότασις
ὅλως· ὁ γὰρ ἀφελὼν ἀπὸ τῆς προτάσεως τῆς, λευκός ἐστι, τὸ ἔστι, καὶ καταλιπὼν
τὸ Σωκράτης λευκός, οὔτε ἀπόφασιν πεποίηκεν, οὔτε ἄλλην πρότασιν· τὸ γὰρ
καταλειπόμενον τετήρηκεν· ἡ γὰρ πρότασις, τέλειός ἐστι λόγος καὶ ἀποφαντικός· ὥσπερ
τοῦ, οὖν δεδεῖξαι τίνα τρόπον χρὴ διαιρεῖν τὸ ἔστιν ἐν τῇ ἀποφάσει, προστί-
θησι τὸ μὴ εἶναι· ἵν᾽ ἦ προστιθεμένου μὲν τοῦ, ἔστιν ἐν ταῖς καταφάσεσιν· διαι-
ρουμένου δὲ τοῦ αὐτοῦ τούτου ἐν ταῖς ἀποφάσεσι καὶ γινομένου μὴ εἶναι. οὐ
γὰρ τέλεον διαιρουμένου καὶ ἀφαιρουμένου· ἢ προστίθησι τό, προστιθεμένου,
ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι, ὥσπερ τοῦ ἐνδείξασθαι ὅτι τὸ τοιοῦτο εἶ-
ναι ἢ μὴ εἶναι, οὐ μόριά ἐστι τῆς προτάσεως οὐδὲ ὅροι· ἀλλ᾽ ἔστιν ἔξωθεν
τῶν ὅρων, καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι· ἢ προστιθέμενα τοῖς κατηγορουμένοις
ὅροις ἔξωθεν ἐν τῇ τῶν προτάσεων εἰς τοὺς ὅρους διαιρέσει, ἢ χωριζόμενα
αὐτῶν· οὐδὲ γὰρ πλέον ὡς πρὸς τὴν εἰς τοὺς ὅρους τῶν προτάσεων διαίρεσιν,
ποιεῖ ταῦτα προστιθέμενα ἢ ἀφαιρούμενα· δῆλον οὖν ὅτι γὰρ οἱ ὅροι εἰσὶ τῆς
Σωκράτης λευκός ἐστι· τό, Σωκράτης καὶ τό, λευκός· καὶ δὴ δύναται ἀλλήλων τῶν
ἡ λέξις ἔχουσα, εἰ οὕτως λέγοιτο· προστιθεμένου τοῦ εἶναι ἢ μὴ εἶναι ἢ διαι-
ρουμένου, ἢ ἄτοπον· τὸ μὴ δὲ ὅλως λέγειν τὸ ἔστιν ἐν ταῖς οὕτως ἐχούσαις προ-
τάσεσι, κατηγορεῖσθαι· καὶ τοῦτο καὶ αὐτὸ δὴ μὲν ἐν τῷ πρώτῳ περὶ λέξεως
δεικνύντες τοῦτο διὰ πλειόνων: ⁘

+

συλλογισμὸς δέ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι: +

Εἰπὼν περὶ προτάσεως καὶ περὶ τῶν τῆς προτάσεως μορίων, ἃ δὴ καλοῦμεν ὅρους, ἀκολούθως ἀποδίδωσι τί ποτέ ἐστι συλλογισμός. ὁ μὲν οὖν λόγος γένος ἐστὶν ὁ συλλογισμός· καὶ ὡς γένει τῷ λόγῳ ἐστὶ δῆλον. λαβὼν δὲ τὸ κοινὸν γένος αὐτοῦ ὁ τῶν ὁρισμῶν τῆς λογικῆς φύσεως ἐστὶ διδάσκαλος· καθ᾽ ὅλων τῶν διαφερόντων καὶ τὸ γένος χωρίζει. τοῦτο γὰρ ἐν τοῖς ὁριζομένοις ἡ τοῦ γένους θέσις ἀναγκαία. δεῖ μὲν γὰρ ὑπὸ τοῦ ὅρου τὸ ὁριζόμενον πάντως χωρισθῆναι. ἐπειδὴ δὲ τῶν διαφερόντων αὐτοῦ τὰ μὲν, πλεῖον ἀφέστηκε τοῦ τούτου τῷ τοῦ κοινωνεῖν τοῦ γένους, τὰ δὲ ἐγγυτέρω τέ ἐστι καὶ ὁμογενῆ αὐτῷ, τῶν μὲν οὖν ἀνομογενῶν τὸ γένος αὐτὸ χωρίζει. τῶν δὲ ὁμογενῶν αἱ διαφοραί. διὸ πρότερον ἐν τοῖς ὁρισμοῖς λαμβάνεται τὸ γένος· χωριστικὸν ὂν τῶν πλεῖστον διαφερόντων. λαβὼν δὲ τὸ γένος τοῦ συλλογισμοῦ, μετὰ ταῦτα διὰ τῶν διαφορῶν τούτου, τῶν οἰκείων καὶ ἰδίων οὐσῶν αὐτοῦ συλλογισμοῦ, [illegible] τὸ γένος ἀπέδειξε. διὰ μὲν τοῦ τεθέντων τινῶν, ἐνδεικνύμενος τὸ δεῖν εἶναί τινας προτάσεις ἀληθευούσας ἢ συγχωρουμένας ὑπὸ τοῦ συλλογιζομένου. ὁ οὖν πᾶς ἔχει λόγος. τὸ γὰρ ἐν τῇ εὐχῇ τέθειται ἢ ἐν τῇ ἐντολῇ· ἢ ἐν τῇ ἐρωτήσει· ἢ ἐν τῇ κλήσει· σημαίνει δὲ τὸ τεθέντων, μὴ ἁπλῶς σημαίνειν τὸ ληφθέντων· ἀλλὰ καὶ τὸν τρόπον δηλοῦν τῶν λαμβανομένων. ὅτι γὰρ κατηγορικὰς εἶναι δεῖ τὰς λαμβανομένας προτάσεις· δηλοῦται διὰ τοῦ τεθέντων· ταύτας γὰρ ὡρίσατο· δεῖ ἔξω γὰρ ὅτι αἱ ὑποθετικαὶ προτάσεις, αὐταὶ καθ᾽ αὑτὰς οὐ ποιοῦσι συλλογισμόν. διὰ τοῦτο, τεθέντων εἶπεν· οὐ ληφθέντων. καὶ προσέτι, ὅτι μὴ ἐνδέχεται τὸ τεθὲν εἶναι μὴ δύο ἄνευ προτάσεων; τὸ τεθέντων δηλοῖ. ἀλλὰ τὸ ἐλάχιστον, δύο. οὐ γάρ εἰσι συλλογισμοί, οἱ λεγόμενοι ὑπὸ τῶν νεωτέρων μονολήμματοι. ὁ γὰρ συλλογισμὸς ἀπὸ τοῦ τοῦ ὀνόματος, σύνθεσίν τινα δηλοῖ λόγων. οἷς γὰρ ἂν ἀνῇ τὸ σὺν προσκείμενον· συμπλοκὴν τούτων καὶ σύνθεσιν δηλοῖ· καὶ σύνοδον σημαίνει· ὁμοίως τὸ συμμαχεῖν· μαχομένων γὰρ· καὶ τὸ συμπαλαίειν παλαιόντων· καὶ τὸ συζητεῖν δὲ ζητούντων· ἀλλὰ καὶ τὸ συμψηφίζειν ψῆφον δηλοῖ σύνθεσιν. οὕτως καὶ συλλογισμὸς, σύνθεσίς ἐστι λόγων. οἱ δὲ μονολήμματοι λεγόμενοι, δηλοῦσιν εἶναί ποτε συλλογισμοί· τῷ τινὰ ἑτέραν τῶν προτάσεων

σημείωσαι μονολήμματοι

διὰ τὸ εἶναι γνώριμον, τοῖς ἀκούουσιν προστίθεσθαι· τὸ γὰρ ἀναπνεῖ, ζῇ ἄρα·
δοκεῖ συλλογισμὸς εἶναι· ὅτι παρὰ τοῦ προστιθέντος τοῖς ἀκούσασι τὴν δευτέραν
πρότασιν οὖσαν γνώριμον· ὁ ἀναπνέων, ζῇ· ἐπεὶ δέ γε μὴ ἦν γνώριμος αὕτη,
οὐδεὶς ἂν συνεχώρει τὸ συμπέρασμα· τὸ ζῇ ἄρα, ἐπὶ τοῦ, ἀναπνεῖ· ἀλ-
λὰ ἐπιζητεῖ τὴν αἰτίαν· βούλεται γὰρ ὁ συλλογισμὸς τὸ συμπέρασμα ἀθροί-
ζειν ἐκ τῶν προτάσεων· ὃ οὐ γίνεται ἐκ μιᾶς προτάσεως· καὶ γὰρ εἰ ὅτι μάλιστα
ἕποιτο ἐξ ἀνάγκης ἔν τισιν, ἀλλ' οὐ διὰ τοῦτο ἤδη καὶ συλλογισμός· οὐ γὰρ ἐπεὶ
ὁ συλλογισμὸς, ἀναγκαίως ἔχει τὸ συμπέρασμα ἑπόμενον τοῖς κειμένοις,
ἤδη καὶ εἴ τι ἀναγκαίως ἕπεταί τινι, τοῦτο συλλογιστικῶς ἕπεται· ἐπὶ πλεῖον
γὰρ τὸ ἀναγκαῖον τοῦ συλλογισμοῦ· ἀλλ' οὖν ταῖς ἀκολουθίαις καὶ ταῖς σχέ-
σεσι· καὶ συνεχέσι· καὶ συνημμένοις τοῖς ἐστιν, ἐξ ἀνάγκης ἀκολουθεῖ
τῷ ἡγουμένῳ τὸ ἑπόμενον· ἀλλ' οὐ συλλογισμὸς ἤδη τοῦτο· ἐν γὰρ τῷ εἰ
ἡμέρα ἐστί, φῶς ἐστιν, ἐξ ἀνάγκης ἕπεται τῷ ἡμέραν εἶναι, τὸ φῶς εἶναι.
ἀλλ' οὐ συλλογιστικῶς· καὶ τῷ κλέπτοντι ἕπεται τὸ ἀδικεῖν· καὶ τῷ ὑβρί-
ζοντι τὸ ἀδικεῖν· ἀλλ' οὐ διὰ τοῦτο, συλλογισμὸς ταῦτα· ἴδιον γὰρ συλλο-
γισμοῦ, τὸ διὰ πλειόνων τὸ ἀναγκαῖον συνάγεσθαι· διὸ οὐδ' εἶναι μίαν λέ-
ξεως ἢ πλειόνων τῶν τεθειμένων· τούτων δὲ τῶν σημαινόντων τὰ πρῶτα,
οὐδ' οὕτω συλλογισμὸς ἐκ τῶν τοιούτων ἔσται· καὶ γὰρ ὁ οὕτως ἔχων λόγος,
τῷ δύνασθαι μονολήμματος. ἡμέρα ἐστίν· ἀλλὰ μὴν οὐχὶ οὐχ ἡμέρα ἐστί·
φῶς ἄρα ἐστί· τὸ γὰρ οὐχὶ οὐχ ἡμέρα ἐστί, τῷ ἡμέρα ἐστί, μόνῃ τῇ λέξει
διαφέρει· τὸ οὕτω τεθέντων, τοῦτ' ἐστὶ δηλοῦν· τὸ δ' ἕτερον τῶν
κειμένων ἐξ ἀνάγκης συμβαίνειν χωρίζει τὸν συλλογισμὸν, ἐπακτικοῦ
λόγου· τὸ γὰρ ἀναγκαίως ἕπεσθαι τοῖς κειμένοις τὸ συμπέρασμα δηλοῖ.
ὃ οὔτε ὁ παραδειγματικὸς οὔτε ὁ ἐπακτικὸς ἔχουσι· καὶ τοῖς ἐν ἐκείνοις
τιθεμένοις τινά, ἤ τι· ἢ ὅτε ἕτερον τῶν κειμένων τὸ συμπέρασμα· πάνυ
δεικτικῶς· τὸ δεῖν ἕτερον εἶναι τῶν τεθέντων τὸ συμπέρασμα, προσέθηκεν·
ἄχρηστον γὰρ καὶ συλλογιστικῆς χρείας φορτικόν· τὸ, τὸ ὁμολογούμενον
κείμενον ἐπιφέρειν· τὸ γὰρ χρεῶδες οὐ παρέχεται τὸ ἡμέρα ἐστίν.
ἀλλὰ μὴν ἡμέρα ἐστίν, ἡμέρα ἄρα ἐστί· καὶ ὅλως οἱ λεγόμενοι παρὰ
τῶν νεωτέρων ἀδιαφόρως περαίνοντες· τοιοῦτοι δὲ καὶ οἱ διαφορούμενοι. Συλλ. διαφορούμενοι
Syll. indifferent. concl.

Hic ṽr alex. nolle syll^m geminu & no simplici syll^m esse ~~~ li, pt.

οἷός ἐστιν· εἰ ἡμέρα ἔστιν, ἡμέρα ἔστιν· ἀλλὰ μὴν ἡμέρα ἔστιν, ἡμέρα ἄρα ἔστι. σχῆμα μὲν γὰρ συλλογιστικὸν δοκεῖ ἔχειν διὰ τὸ τοιοῦτον εἶναι καὶ ἐν συλλογιστικοῖς· συλλογισμὸς δὲ οὐδαμῶς. ὄργανον γὰρ ὁ συλλογισμὸς τοῦ χρωμένου χάριν καὶ δεόντως παραλαμβανόμενον· ὥστε τὸ μὴ χρήσιμον οὐδὲ συλλογισμός. ὅτι δὲ οὐδὲ χρήσιμον τὸ τοιοῦτον, ὅλως εἰ μάθοιμεν ἂν δὲ ἐπελθοῦσι μὲν τὰ τοῦ συλλογισμοῦ εἴδη, καὶ ἐξετάσασι μὲν τίνι αὐτῶν οἰκεῖον, τὸ τοιοῦτον ἐπιφέρειν ἐστί· πότερον γὰρ τῷ ἀποδεικτικῷ; ἀλλ' οὐ τοιοῦτος· τὸ ἄδηλον περαίνει διὰ τῶν φανερῶν καὶ γνωρίμων ἐκκαλύπτειν· καὶ τὸ ὕστερον διὰ τῶν πρώτων. ἀλλὰ τῷ διαλεκτικῷ; ἀλλ' οὐδὲ οὗτος· ὁ μὴ βούλεται συγχωρεῖν ὁ προσδιαλεγόμενος, τοῦτο περαίνει διὰ τῶν ἐνδόξων καὶ ὧν συγχωρεῖ δεδωκέναι, εἰς ἀντίφασιν περιάγων. ἀλλὰ τῷ ἐριστικῷ; ἀλλ' οὐδὲ τούτῳ· πρόκειται γὰρ εἰς ἀντίφασιν ἢ ἀσφαλιζόμενον ἀντίφασιν περιάγειν τὸν ἀποκρινόμενον, ἐξ ὧν δίδωσιν. οὐχ ὃ δίδωσι γοῦν συμπεραίνεται, ἀλλ' ἐξ ὧν δίδωσιν, ὃ μὴ βούλεται δοῦναι. διὸ λέγουσιν ὡς ἄλλο τι τῶν δεδομένων ἐπιφέρεσθαι· ὃ δὲ ἔστι τέλος αὐτοῖς, δεῖξαι αὐτοῦ· καὶ ἔστιν ὁ συλλογισμὸς τέλος τῶν αὐτοῦ εἰδῶν. οὐδενὶ δὲ αὐτῶν ταὐτὸν τοῖς εἰλημμένοις τὸ ἐπιφερόμενον, οὐδ' ἂν εἶεν συλλογισμοὶ ἁπλῶς. ὁ γὰρ ἐξ ἀντιφάσεως διαιρετικὸς συλλογισμός, οὐχ ὡς ταὐτὸν τῷ μεταλαμβανομένῳ ἢ ὥς τινες νεώτεροι φασὶ προσλαμβανομένῳ τὸ συμπέρασμα ἐπιφέρει. ὁ γὰρ λέγων, ἤτοι ἡμέρα ἔστιν ἢ οὐκ ἔστιν ἡμέρα· ἀλλὰ προσλαμβανομένου τὸ ἕτερον τῶν ἐν τῷ διαιρετικῷ ἢ τὸ ἀποφατικόν, τό, ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα· ἢ τὸ καταφατικὸν τό, ἡμέρα ἔστιν, ἐχόμενον συναγόμενα ἢ τό, οὐκ ἄρα ἡμέρα ἐστίν· ἢ τὸ ἡμέρα ἄρα ἔστιν· ὃ δὴ οὐ ταὐτὸν ἐκείνῳ τῷ προσειλημμένῳ, τῷ ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα ἢ τῷ, ἀλλὰ μὴν ἡμέρα ἐστίν· οὐ μὴν ὡς ταὐτὸν αὐτῷ ἐπιφέρεται· ἀλλ' ὡς ἀντικείμενον τῷ ἑτέρῳ τῶν ἐν τῷ διαιρετικῷ. συμβαίνει δὲ τό, ἐκεῖνο ἀντικείμενον ἐν τοῖς τοιούτοις συλλογισμοῖς ταὐτὸν γίνεσθαι τῇ προσλήψει· πάμπολυ δὲ διαφέρει τοῦ προηγουμένως ταὐτὸν τινὶ τῶν κειμένων λαβεῖν τὸ συμπέρασμα, τὸ λαβεῖν μὲν αὐτὸ ὡς ἄλλο· συμπεσεῖν δὲ αὐτῷ τὸ ταὐτὸν αὐτῷ γίνεσθαι. οὐδέποτε οὖν ἄλλο τι ἢ τότε ταὐτὸν γίνεται

·N· non omne quod ē in figura syll^i est syll^s nã multis syll^s non est syll^s

ana τὸ (

Cu

Syll^s simplex [illegible]

τὸ ἀντικείμενον τοῦ ἑπομένου τῇ προσλήψει ἤτοι αὐτὴ ἐπιφορά· καὶ τὸ τέταρτον ὡσαύτως ἕ-
τερον λαμβάνεται· ἀλλ' ἐὰν ἕτερον ἐστὶ τὸ ἀναιρετέον δέ ἐστι· καὶ τὸ ἀναιρ. ἀντικειμένω,
τοῦ ἑτέρου τῶν ἀντιδιαιρέσεως· τῇ λέξει ὡσαύτως οὐ τῇ δυνάμει· καὶ τὸ τέταρτον οὕ-
τως. ὁ δ' ἀναπόδεικτος ἐκ τῆς ... λέγεται· ἀλλ' ἐν τοῖς διαιρετικοῖς ἤτοις
διαζευκτικοῖς συλλογισμοῖς φασὶ τῇ προσλήψει θατέρου τῶν ἐν τῷ διαζευ-
γμένῳ τὸ ἀντικείμενον ἕπεσθαι τοῦ λοιποῦ τῆς συλλογιστικῆς συμπλοκῆς·
ἀλλὰ δὲ τοῦτο οὐκ ἂν εἴη συλλογισμὸς καὶ τοιοῦτος· ἐν τῇ θατέρου προσληφθέντος τοῦ
ἑτέρου μὴ τὸ ἀντικείμενον· τὸ δὲ ὅλον τὸ τῶν προσληφθέντων ἐν τῷ διαζευ-
κτικῷ ἐπιφέρεται· ὥστε οὐ συλλογιστικὴ ἡ ἐπιφερομένη συμπλοκή. ὡς
τὸ αὐτὸ τῶν προσλαμβανομένων τῶν ἐν τῷ διαζευκτικῷ ἐπιφέρει ἡ συλλο-
γιστική· καὶ κατὰ τοῦτο οὐχ ὡς τὸ αὐτὸ ἀληπτὸν τῶν προειλημμένων, τὸ ἐπιφερό-
μενον· οὐ γὰρ ἀσύμπτωτα τὰ αὐτὰ ἅμα τὰ ἀντικείμενα ἀναιρετέα ἑκατέρου
τῶν ἐν τῷ διαιρετικῷ· καὶ τῷ ἑτέρῳ αὐτῶν τὸ αὐτὸ γίνεσθαι ἤδη καὶ τοῦτον
ἐστὶν αὐτὸ τὸ ἀναιρετέον αὐτῷ τῷ ἑτέρῳ· καὶ τὸ ἀναιρεῖ ἀντικειμένῳ τοῦ ἑτέρου.
ἀλλὰ γὰρ ἦν ἀλλήλοις ταῦτα, ἐν παντὶ τοῖς διαιρετικοῖς τὸ ἀντικείμενον τῷ ἑτέρῳ,
ὃ θάτερον καὶ τοῦτον τῷ λοιπῷ. διαφέρουσι δὲ ἐν τοῖς πλείοσιν· καὶ ἐνίοις
ἅμα τὰ αὐτὰ ὑπάρχειν, οὐχ ὡς τοῦτο ὑπάρχειν. ὡς τοῦ δὲ λαμβάνειν
αὐτῶν τι ὡς ἀντικείμενον τῷ ἑτέρῳ, ὥστε τοῦτο ἂν τῷ ἑτέρῳ λαμβάνοις ...
τοῖς μὴ ἐξ ἀντικειμένων διαιρετικοῖς ὥσπερ τοῖς ἐξ ἀντιθέτων οὐδετέρῳ τῶν κει-
μένων αὐτῷ τοῦτο συμπέρασμα. οὐδὲ τῇ λέξει ὅτι μὴ συμπίπτει ἐπὶ τού-
των τὸ ἀντικείμενον τῷ ἑτέρῳ, τῷ λοιπῷ τοῦτο εἶναι. ἐν γὰρ τῷ ἤτοι ἡμέρα
ἐστὶν ἢ νὺξ ἐστίν· ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα· νὺξ ἄρα ἐστί, τὸ ὅλον τοῦτο. οὔτε
τῇ προσλήψει· ἡ γὰρ πρόσληψις, ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα. τῶν ἀμφοτέρ(ων)
ἕτερον ἐστί, τὸ νὺξ ἄρα ἐστίν. ἀλλὰ μὴν οὐδὲ οἱ διαφορούμενοι λεγόμενοι
ὑπ' αὐτῶν συλλογιστικοί· οἷος, ἔστιν ἡ ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα
ἐστίν· ἡμέρα ἄρα ἐστίν. οὔτε γὰρ τὴν χρείαν τοῦ συλλογισμοῦ παρέχεται.
Εἶτ' ἐπεὶ ἡ τοῦ ἑπομένου πρόσληψις ἐν τοῖς συνημμένοις ἀσυλλόγιστος.
ἐν δὲ τοῖς τοιούτοις συνημμένοις τοῦτο τὸ ἡγούμενον τῷ ἑπομένῳ, ἡ πρόσ-
ληψις μᾶλλον τοῦ ἑπομένου ἢ τοῦ ἡγουμένου γίνεται. οὐ γὰρ ἀληθὲς
τὸ αὐτὸ αὐτῷ τινι ἕπεσθαι, ὥστε καὶ πρὸς συλλογισμοῦ χρήσιμον τὸ τοιοῦτον
συνημμένον.

ὥσπερ οὐδὲ τὰ προσληπτέον· οἷον ἔστι τὸ, ἵππος ἄζωον· ἀλλὰ καὶ τὰ ἀμφότερα
προσλαμβάνειν· καὶ τὸ ἡγούμενον καὶ τὸ ἑπόμενον, ἀσυλλόγιστον εἶναι καὶ τοῦτο
ἐλεγχόμενος ὁ τοιοῦτος λόγος· ἐν οἷς γὰρ τοῦ τὸ ἡγούμενον τῷ ἑπομένῳ,
ἢ πρόσληψις ἢ ἀμφοτέρων ἢ οὐδετέρου· ἢ καὶ ἄλλου τοῦ ἑπομένου γίνεται
τὸ ὁμοιότερον οὕτω· ἀλλὰ καὶ τὸ ἐν ἀρχῇ λαμβάνειν ἀσυλλόγιστον· καὶ τοῦτο ὁ
τοῦτον ἐπιφέρων τῶν αὐτῶν κειμένων τινί, ἀσύνθετος λόγος· ὁ γὰρ βουλόμενος
δεῖξαι τοῦτο προσλαμβάνει; ἔτι αὐτὸ ἐξαρχόμενος τῆς πραγματείας.
ὅτι ἄλλας αὐτῆς καὶ σκοπός ἐστι, προεῖπεν· ἀπόδειξις γὰρ καὶ ἐπιστήμη ἀπο
δεικτική· ὡς τὸ ὁρισμὸν δὲ ἐς τοῦτο συντελεῖ, οὐκ ἂν οἰκεῖα τῆς προκειμένης
ἂν πραγματείας· καὶ γὰρ ἐπαγωγῇ μὲν ἀπὸ τῶν ὑποκειμένων λέγει αὐτὰ ἀληθῶν εἰλημμένων τε
τεθειμένων ἐπιφέροι τι αὐτὰ ἐπακτικῷ λόγῳ· συλλογισμὸν δ' ἀξιοῖ ἂν
εἶναι τὸν τοιοῦτον λόγον· τὸ δὲ ἐξ ἀνάγκης συμβαίνειν, οὐ τοῦ ἀναγκαῖον εἶναι
τὸ συμπέρασμα δηλωτικόν ἐστι· τοῦτο γὰρ καὶ ἐπὶ τῶν ἀναγκαίων μόνων γίνοιτ'
ἂν τῶν προτάσεων· ἀλλὰ τοῦ ἐξ ἀνάγκης ἀκολουθεῖν τοῖς κειμένοις αὐτὸ
τὸ ὑπάρχον ἢ, αὐτὸ ἐνδεχόμενον· αὐτὸ ἀναγκαῖον τὸ συμπέρασμα.
τὸ γὰρ καὶ ἐνδεχόμενον ἢ τὸ συμπέρασμα, ἀλλ' ἐξ ἀνάγκης τε καὶ αὐτὸ
ἕπεται ταῖς προτάσεσιν αὐταῖς συλλογιστικαῖς συζυγίαις· οὐ γὰρ τούτων
συμπεραινομένων δεῖ προτάσεων ἀναγκαίων εἶναι, ὁ λόγος ἐστὶ δηλωτικός·
ἀλλὰ τῆς τοῦ συμπεράσματος πρὸς τὰς προτάσεις ποιᾶς σχέσεως μόνου
δεικτικόν· κἂν οὖν ληφθῇ πρότασις, πᾶς ἄνθρωπος κινεῖται· καὶ τοῦτο προσ
ληφθῇ ἡ λέγουσα πᾶς ὁ κινούμενος κινεῖται, ἐξ ἀνάγκης καὶ τοῦτο συνημμένα
ἀκολουθήσει· τὸ πᾶς ἄνθρωπος κινεῖται· οὐ μὴν ἀναγκαῖον ἐστὶ τὸ πάντα
ἄνθρωπον κινεῖσθαι· τὸ δὲ, τῷ ταῦτα εἶναι, τίνος χάριν τῷ τοῦ συλλογισμοῦ
ὅρῳ προσέθηκεν, αὐτὸς ἐξηγήσατο, εἰπών· λέγω δὲ τῷ ταῦτα εἶναι, τὸ
διὰ ταῦτα συμβαίνειν· ὃ καὶ αὐτὸ ἔτι σαφέστερον ἀσαφὲς δ' αὖ ἔχειν· τὸ γὰρ
διὰ ταῦτα, αἰτίας ἐστὶ δηλωτικόν· δυνατὸν δὲ καὶ μὴ διὰ αἰτίων συλλο
γισμὸν γίνεσθαι· τῆς γὰρ ἀποδείξεως ἴδιον τοῦτο· δεῖ μὲν γὰρ αἰτίας τοῦ
συμπεράσματος τὰς προτάσεις εἶναι εἰ συλλογισμὸς ἔσται· οὐ μέντοι
δεῖ πάντως τὰ ὑπὸ τῶν προτάσεων δηλούμενα, αἴτια εἶναι τοῦ πράγματος
τοῦ δηλουμένου ὑπὸ τοῦ συμπεράσματος· δύναται γάρ τις καὶ διὰ

τὸ β, τὸ α πρότερα συλλογίσασθαι· ὡς ὅτι καὶ τοῦ γ, ἀλλ' ἔχειν τὸ ἕτερον μὲν αὐτῶν ἐκ
τὸ δὲ διὰ τῆς ἐμφάσεως τὸ πῦρ· καὶ ὅλως οἱ διὰ σημείων συλλογισμοί, τοιοῦτοι· οὐ γὰρ
τὸ ὕστερον τοῦ προτέρου αἴτιον· διὰ τοῦτο καὶ τὸ διὰ ταῦτα εἶναι ἐξηγήσατο.
ἀπὸ τοῦ· τῷ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον·
τουτέστι, τὸ αὐτάρκη εἶναι τὰ κείμενα ὅρους πρὸς τὸ συμπέρασμα.
διὰ ταύτης τῆς προσθήκης, ἐνδείκνυσιν ὅτι μηδὲ οἱ λεγόμενοι μονολήμ-
ματοι, συλλογισμοί· προσδέονται γὰρ καὶ οὗτοι ἔξωθέν τινος ὅρου καὶ προ-
τάσεως πρὸς τὸ συμπέρασμα· οὗ ὅρου καὶ προτάσεως, προστεθείσης περι-
πρὸς οὗ ὁ λόγος γίνεται ἀναγνώριμον. καθόλου γὰρ ὅτε ἀδήλως παραλείπεται ὁμοίως
μὲν οὐ μὴν ἐκ τῶν κειμένων. ἀλλ' ἑτέρας προτάσεως προσληφθείσης, τοιοῦτον,
ἀναγκαῖον μὲν ῥηθήσεται· οὐ μὴν συλλογισμὸς ἤδη τοῦτο. ὁποῖοι εἰσὶ καὶ
οἱ ἀμεθόδως περαίνοντες λόγοι παρὰ τοῖς στωϊκοῖς. οἷον ὅταν λέγηται· τὸ πρῶ-
τον τοῦ δευτέρου μεῖζον· τὸ δὲ δεύτερον τοῦ τρίτου· τὸ ἄρα πρῶτον τοῦ τρίτου
μεῖζον· τοῦτο γὰρ ἀναγκαίως μὲν ἕπεται· οὐ μὴν καὶ συλλογιστικῶς· ἀλλ' εἰ μὴ
προσληφθείη τις ἔξωθεν πρότασις. ἡ λέγουσα ὅτι τὸ τοῦ μείζονος μεῖζον
καὶ τοῦ ἐλάττονος ἐκείνου μεῖζόν ἐστι· τοιοῦτόν ἐστι καὶ τὸ αὐτὰ πρῶτα τῶν κοινῶν
στοιχείων θεώρημα· τὸ ἴσα τῷ δ' ἴσον· καὶ ἴσα ἄρα τῷ δ' ἴσα· καὶ γὰρ τούτῳ
ληφθέντι, ἀλλ' εἰ μὴ καθόλου πρότασις ἵνα συναχθῇ ἡ συλλογιστικῶς.
ἔστι δὲ αὕτη· τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. οὕτως ἔχει καὶ τὸ παρὰ
πλατωνικῇ πολιτείᾳ· ὁ θεοῦ ὢν παῖς οὐκ ἔστιν αἰσχρουργός· ὁ δὲ αἰσχρο-
υργὸς οὐκ ἦν θεοῦ παῖς, οὐκ ἄρα ἀμφω. καὶ γὰρ τοῦτο, οὐ διὰ τῶν κειμένων
συνάγεται. ἀλλὰ προσλήψει τῆς καθόλου προτάσεως· ὡς ἑκατέρου τῶν
ἀντικειμένων τὸ θάτερον ἕπεται ἀντικείμενον, ταῦτα, ἀδύνατον ἀμφω
ὑπάρχειν ἅμα τῷ αὐτῷ. ταύτης γὰρ τῆς προτάσεως οὔσης καθόλου προσλη-
φθείσης τινός, τῷ δὲ θεοῦ παιδὶ εἶναι καὶ τῷ αἰσχρουργῶς, ἕπεται ἑκατέρῳ
αὐτῶν τὸ ἀντικείμενον θατέρου, ἐπὶ τούτοις συμπέρασμα· οὐκ ἄρα ἀμφω
ταῦτα τῷ αὐτῷ. τῷ μὲν γὰρ θεοῦ παιδὶ ἕπεται· τὸ ἀντικείμενον τῷ αἰσχρο-
υργεῖν ταῦτα ἀντικείμενα· ἡ γὰρ ἀπόφασις αὐτοῦ, τῷ δὲ αἰσχρουργῷ ἕπεται
ἡ ἀπόφασις τοῦ, θεοῦ παῖδα εἶναι. καὶ ὅλως τοιοῦτον τὸ εἶδος ἐστὶ ταῦτα.
οὓς οἱ νεώτεροι λέγουσιν ἀμεθόδως περαίνοντας. οἷον ἐστὶ καὶ τὸ ἡμέρα
ἐστίν.

+

ἀλλὰ τὸ λέγεσθαι τὸ ἡμέρα ἐστίν, ἀληθὲς ἄρα. οὐ γὰρ συλλογισμὸς τοῦτο. εἰ δὲ προστεθείσης τῆς καθόλου προτάσεως· τῆς ὅτι τὸ ὂν ἀναγκαῖον ἀληθές. ἢ προστεθείσης, ὅτε ἡμέρας οὔσης, ἡμέραν ἀναγκαῖον· τὸ ὂν ἀναγκαῖον συμπέρασμα καὶ ἐπὶ τοῖς κειμένοις. ὅτ᾽ ἄρα ἡμέρας οὔσης ἡμέραν ἀναγκαῖον, ἀληθές. διὰ τοῦτο τοὺς λόγους τοὺς μονολημμάτους καὶ διὰ τοὺς ἀμεθόδως περαίνοντας, πρὸς καὶ ταῦτα τὸ εἶναι· καὶ ἔτι διὰ τοὺς μὴ ἔχοντας κυρίως προτάσεις. ἀλλ᾽ ὀφείλοντας ἐκείνας μεταληφθῆναι, ἵνα γένωνται συλλογιστικοί. ὡς ὁ λόγος ἔχει ὁ λέγων· μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀναιρεῖται οὐσία. ὃ δέ ἐστιν ἀναιρούμενον, καὶ τὸ ἐκ τούτων ἀν[...] εἶναι. τὸ μέρος ἄρα τῆς οὐσίας οὐσία. οὗ καὶ αὐτὸς ἐπὶ τέλει τοῦ λόγου μνημονεύει. οὐ γὰρ τῷ ταῦτα εἶναι τὸ συμπέρασμα. ἀλλὰ δεῖ μεταληφθῆναι τὰς προτάσεις. περαίνεται γὰρ διὰ τῆς προσθήκης ταύτης καὶ οἱ παρέλκον τι προσκείμενον ἔχοντες, ὡς εἶπον. ἐν οἷς ἐστι τῶν σχηματισμῶν τὸ αἴτιον ἀγνοούμενα. παρὰ τοῦ δὲ ἕνεκα καὶ τὸ τεθέντων, ὡς μηδὲ ὄντως εἰρημένον συμφανῆ. λέγει οὖν τῷ θέσει, ἐπισημαίνεται λέγεσθαι κυρίως τῶν τόπον κατεχόντων. ἀσώματον δὲ εἶναι τὸν λόγον. μηδὲν δὲ ἢ καὶ τοῦτο τὸν Ἀριστοτέλη μεταφορᾷ ἐν τοῖς ὁριστικοῖς λόγοις κεχρῆσθαι. ἀλλ᾽ οὐ τοιοῦτος ὢν ἀγνοεῖν δεῖ ὅτι οὐ χρὴ μεταφοραῖς ἐν τοῖς ὁριστικοῖς λόγοις κεχρῆσθαι. ἔστι δὲ αἴτιον τὸ ἀσαφεῖς τοὺς λόγους συμβαίνειν γίνεσθαι. ὥστε ταῖς τοιαύταις χρῆ μεταφοραῖς φυλάττεσθαι. ὅταν γε τις δὲ ἡ μεταφορὰ διὰ συνήθειαν γνωριμωτέρα τῶν κυρίως λεγομένων ᾖ, οὐ καὶ τότε ὁ ταύτῃ χρώμενος ἁμαρτάνει. πλήρης δὲ ἡ συνήθεια τῆς προειρημένης μεταφορᾶς. διὸ καὶ πλεῖστον ὡς ἐναργεῖ αὐτῇ ἐνθάδε τῷ χρῆται. λέγων· φασὶ δὴ κοινὴ κρίνουσιν καὶ μεταδοῦν ἐν τῇ ψυχῇ:. Τέλειον μὲν οὖν καλῶ συλλογισμὸν, τὸν μηδενὸς ἄλλου προσδεόμενον παρὰ τὰ εἰλημμένα πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον: +

Δόξει προχειροτέρως ὁ ποσός ἐστι τοῦ τελείου συλλογισμοῦ τὸν προειρημένον ὅρον ἀποδεδόσθαι· ἔπει γὰρ ἐπ᾽ αὐτοῦ τὸ μηδενὸς ἔξωθεν προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. λέγεται δὲ ἀτελὴς συλλογισμὸς εἶναι, ὁ προσδεόμενος ἢ ἑνὸς ἢ πλειόνων. ἃ δὲ τούτων, οὐ δεῖ συλλογισμοὶ εἰσὶν οἱ ἀτελεῖς. τοιοῦτοι δὲ οἱ ἐν δευτέρῳ σχήματι καὶ τρίτῳ συλλογισμοί· οὓς καὶ μᾶλλον πάντων λέγει.

ἀπορ(ία)

λύσ(ις)

τὸ αὐτοὺς συλλογισμοὺς εἶναι· ἀλλὰ καὶ ἀρχόμενος, ὥσπερ ἐπὶ συλλογισμῶν τῶν ἀτελῶν εἴρηκα· ἀλλὰ καὶ ἀρχόμενος τῶν περὶ συλλογισμῶν προέθετο ζητῆσαι ποῖος τέλειος καὶ ποῖος ἀτελής· ὧν γὰρ φησὶ προσδεῖσθαι τὸν ἀτελῆ, οὐχ ὡς ἔξωθεν αὐτῷ προσφερόντων προσληφθῆναι λέγει, ἀλλ' ὡς ἐνυπαρχόντων μὲν ἐν τοῖς κειμένοις· δεομένων δὲ ἔξωθεν· λέγει γὰρ ἁπάντων ἃ ἐστὶ μὲν ἀναγκαῖα διὰ τῶν ὑποκειμένων ὅρων· οὐ μὴν εἴληπται διὰ προτάσεων· ἃ δὲ ἐστι τὰ ἔξω τοῦ τὸ συμπέρασμα ἐν τοῖς κειμένοις· ἀνάγκη γε ἐπὶ τοῖς ἀτελέσι συλλογισμοῖς συναγόμενον συμπέρασμα ταῦτα εἶναι· ὥστε καὶ οὗτοι συλλογισμοί. οὐκ ἔτι δὲ ἀτελεῖς συλλογισμοί, οἱ ἀμεθόδως περαίνοντες· ἔξωθεν γὰρ αὐτοῖς προστίθεται τὸ τῆς συναγωγῆς αἴτιον· ἑνὸς μὲν οὖν προσδέονται οἱ ἀτελεῖς συλλογισμοί, οἱ μιᾶς ἀντιστροφῆς δεόμενοι πρὸς τὸ ἀναχθῆναι εἰς τῶν ἐν τῷ πρώτῳ σχήματι τῶν τελείων καὶ ἀναποδείκτων· πλειόνων δέ, ὁ διὰ δύο ἀντιστροφῶν δεῖ ἐκείνων τινά              προϊὼν δείξει.

οἱ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεικνύμενοι, ἀτελεῖς καὶ αὐτοί· ὅτι
προσδεῖ τινος προσθήκης λόγου πρὸς τὸ τὸ συμπέρασμα
συναχθῆναι· οὔτι, οὐδὲ τὴν ἀρχὴν ἂν εἶεν συλλογισμοί· ὧν λέγων εἰσὶ καὶ οἱ ἀμεθόδως περαίνοντες· οἷς δὲ τὸ ἐνδέον, δυνάμει μὲν ἐν τοῖς κειμένοις ἐστί· βοηθείας δὲ δεῖται καὶ τοῦ ἐκκαλυφθῆναι, οὗτοι συλλογισμοὶ μὲν εἰσίν, ἀλλ' ἀτελεῖς· οὗτοι δὲ εἰσὶν οἱ οὐκ ἀναπόδεικτοι· οἱ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι: ὥσπερ ἐστὶν ἐν τοῖς ἀδυνάτοις οὐκ ἔξωθεν λαμβανόμενα, ἢ ἔξωθεν μὲν λαμβανόμενα καὶ οὐ δὲ δυνάμει ὄντα ἐν τοῖς κειμένοις ὥσπερ αἱ ἀντιστροφαί· ἀλλὰ λαμβανόμενα οὐ τοῦ προκειμένου εἰσὶ συλλογιστικά, ἀλλ' ἄλλου τινος· ἐκείνου γὰρ ὁ συλλογισμὸς τὸ ἀδύνατον τὸ εἶναι ἀναιρετικῆς τοῦ τοῦ ὑποθέσεως αἴτιον· διὸ τοῦτο μέν, οὐ διὰ συλλογισμοῦ φαμὲν ἀλλ' ἐξ ὑποθέσεως δείκνυσθαι· ὁ δὲ συλλογισμὸς ἄλλου: τὸ δὲ ἐν ὅλῳ εἶναι ἕτερον ἑτέρῳ καὶ τὸ κατὰ παντὸς κατηγορεῖσθαι θάτερον θατέρου, ταὐτόν ἐστιν: +

Οἷς προϊόντος τοῦ λόγου μέλλει χρῆσθαι· ἔστι δὲ ταῦτα, τὸ κατὰ παντὸς καὶ τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ μηδενὸς καὶ τὸ ἐν μηδενὶ τὸ δὲ τοιόνδε, πρῶτον τοῦτον γνώριμα ποιεῖ καὶ διδάσκει ἡμᾶς· τὸ μὲν ἐστὶ τὸ ἐν ὅλῳ εἶναι· καὶ τὸ κατὰ παντὸς καὶ ὅτι ταὐτά ἐστιν ἀλλήλοις ἀμφότερα ταῦτα· ἐπὶ τῆς καθόλου καταφατικῆς

ἐ λ

προτάσεως λεγόμενα. τὸ δὲ τὸ κατὰ μηδενὸς ἢ τὸ ἐν μηδενί, ἢ ὅτι κατὰ ταὐτά,
ἀλλ' ἢ λοιπόν ἐστι ταῦτα. λέγεται δ' ἀεὶ ἐπὶ τῆς καθόλου ἀποφατικῆς προτάσεως.
τὸ οὖν κατὰ παντὸς φησὶν εἶναι, ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ'
οὗ θάτερον οὐ λεχθήσεται· τουτέστιν ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου
καθ' οὗ τὸ κατηγορούμενον οὐ ῥηθήσεται. ἐπεὶ γὰρ πᾶσα πρότασις κατηγορικὴ
ἐξ ὑποκειμένου ἐστὶ καὶ κατηγορουμένου, τότε λέγεται ὁ κατηγορούμενος
κατὰ παντὸς τοῦ ὑποκειμένου ἀληθῶς, ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκει-
μένου καθ' οὗ τὸ κατηγορούμενον οὐ ῥηθήσεται· οἷον τὸ ζῷον κατὰ παντὸς
ἀνθρώπου· οὐδένα γὰρ ἄνθρωπόν ἐστι λαβεῖν καθ' οὗ τὸ ζῷον οὐ ῥηθήσεται. οὕτως
δὲ ἐχόντων ὁ ἄνθρωπος ἐν ὅλῳ γίνεται τῷ ζῴῳ· τουτέστι περιεχόμενον ὑπ' αὐτοῦ
ὡς ὅλου. μέρος γάρ πως πρὸς τὸ καθόλου τὸ ἐν ὅλῳ. τὸ γὰρ ἐν ὅλῳ σημαντικὸν
ἐστὶ τοῦ μὴ ἔξω πίπτειν τι τοῦ λεγομένου ἐν ὅλῳ εἶναι ἐκείνῳ ἐν ᾧ λέγεται
ὡς ἐν ὅλῳ. οὐ γὰρ τὸ περιεχόμενον τινὶ διὰ παντὸς ἐν ὅλῳ λέγεται μόνον.
ἐν ὅλῳ γὰρ καὶ τὸ ἐπὶ μέρους ἐστίν, ἐνδέχεται γὰρ καὶ ἐπὶ πλέον εἶναι τὸ κατὰ
παντός τινα λεγόμενον ὡς τὸ ζῷον τοῦ ἀνθρώπου· ἐνδέχεται καὶ ἐπίσης ὡς τὸ γε-
λαστικὸν τοῦ ἀνθρώπου. ἐν δὲ τοῖς οὕτως ἔχουσι, κατὰ παντὸς μὲν λέγομεν, ἀ-
πὸ τοῦ κατηγορουμένου ἀρχόμενοι. οὕτως γάρ ἐστι τὸ κατὰ παντός. ἐν ὅλῳ δὲ ἤ,
ἀπὸ τοῦ ὑποκειμένου· οὕτως γάρ ἐστι τὸ ἐν ὅλῳ. σημειωτέον δὲ ὅτι οὐχ ὅμοιον
αὐτὸ τοῦτο καὶ ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς ἀποδίδωσι τὸ καθόλου. ἀποδοὺς
δὲ τί ποτέ ἐστι τὸ κατὰ παντός, φησὶ ὅτι καὶ τὸ κατὰ μηδενὸς ὡσαύτως. οὐ τοῦ-
το λέγων, ὅτι ταὐτόν ἐστι τὸ κατὰ παντὸς καὶ τὸ κατὰ μηδενός. ἐναντία γάρ
ἐστιν. ἀλλ' ὅτι ὁμοίως ἂν ὁρίσαιτο αὐτό, ὁρμώμενος ἀπὸ τοῦ περὶ τοῦ
κατὰ παντὸς εἰρημένου. ὅταν γὰρ μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ'
οὗ τὸ κατηγορούμενον ῥηθήσεται, τοῦτό ἐστι τὸ κατὰ μηδενός· οἷον τὸ χρε-
μετιστικὸν κατὰ παντὸς ἀνθρώπου· οὐδένα γάρ ἐστιν ἄνθρωπον καθ' οὗ τὸ χρεμετι-
στικὸν κατηγορεῖται· καὶ τοὐδενὸς οὗ ἄνθρωπος τὸ χρεμετιστικόν ἐστιν. ἐν οὐ-
δενὶ δὲ τῷ χρεμετιστικῷ ὁ ἄνθρωπος. ἀμφότερα γὰρ ταῦτα λέγεται ἐπὶ τῆς κα-
θόλου ἀποφατικῆς προτάσεως: ἐπεὶ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν
ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν, ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν: +
Τῷ πᾶσα πρότασις, δεῖ τὸ κατηγορικὴ προσυπακούειν. περὶ γὰρ τῶν τοιού-

προτάσεων τε καὶ συλλογισμῶν τὸν λόγον ποιούμενοι. ὧν καὶ τὸν λόγον ἀπο-
δώσομεν. ἐπεὶ δὴ τοίνυν πᾶσα πρότασις κατηγορικὴ ἢ τοῦ ὑπάρχειν, ἢ τοῦ ἐ-
ξ ἀνάγκης ὑπάρχειν, ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν, ὅρον ὅρου κατηγορού-
μενον ἔχει· ἢ καταφατικῶς ἢ ἀποφατικῶς· τουτέστιν ὡς ὑπάρχοντα,
τῷ ὑποκειμένῳ, ἢ μὴ ὑπάρχοντα. τῶν δὲ ὑπαρχόντων τισὶ τὰ μὲν ἀεὶ
ὑπάρχει· τὰ δὲ, ποτὲ μὲν ὑπάρχει ποτὲ δὲ οὐχ ὑπάρχει· ὅσα μὲν οὖν ἀεὶ
ὑπάρχει τὸ ὑπάρχειν λεγόμενον, καὶ οὕτως λαμβάνει τὸ ὑπάρχον, ἀ-
ναγκαία γίνεται ἡ πρότασις ἡ τοιαύτη καταφατικὴ ἀληθής. ἀναγκαία
δὲ ἀποφατικὴ ἀληθής· ἡ τὸ μηδέποτε πεφυκὸς ὑπάρχειν τινὶ, μὴ ὑπάρ-
χειν αὐτὸ λαμβάνουσα. ὅσα δὲ μὴ ἀεὶ ὑπάρχει τὸ κατηγορούμενον, τῷ ὑποκει-
μένῳ. ἀλλὰ καὶ τὸ ἀορίστως ὑπάρχει, ἡ τοῦτο λαμβάνουσα πρότασις, ὑ-
πάρχουσα γίνεται καταφατικὴ ἀληθής. ὁμοίως καὶ ὑπάρχουσα ἀπο-
φατικὴ ἀληθής, ἡ τὸ νῦν μὴ ὑπάρχον, μὴ ὑπάρχειν λέγουσα. ὅσα δὲ μὴ
ὑπάρχει ἐπὶ τοῦ παρόντος, τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ δυνατὸν δ' ἐστὶν
αὐτῷ ὑπάρχειν· καὶ οὕτως ὡς δυνάμενον λαμβάνει τὸ, ἐνδεχομένη κατα-
φατικὴ ἀληθὴς ἡ πρότασις. ἡ δὲ ἐνδεχόμενον ὑπάρχειν ἢ τὸ ὑπάρχον
ἢ τὸ μὴ ὑπάρχον μέν, οἷόν τε δὲ ὑπάρχειν, καὶ μὴ ὑπάρχον λέγουσα ἐνδε-
χομένη ἀποφατικὴ ἀληθής. ψευδεῖς δέ εἰσιν, αἱ τὸ μὴ τοῦτον ἔχοντα τὸν τρόπον
ὡς οὕτως ἔχοντα σημαίνουσαι. δηλωτικαὶ γὰρ οὖσαι τῆς ὑπάρξεως τῶν ὑπ' αὐ-
τῶν λεγομένων αἱ προτάσεις. ὥσπερ ἂν ἐκεῖνα ἔχῃ ὑπάρξεως, οὕτως ἔχουσι
καὶ αὗται, σχεδὸν ἐξομοιούμεναι τῷ τῶν δηλουμένων ὑπ' αὐτῶν τρόπῳ.
Ἔτι ἐπεὶ πᾶν τὸ ὑπάρχον τινὶ ἀχώριστόν ἐστιν αὐτοῦ· ἢ καθόλου τὸ ὑπάρ-
χον ἢ χωριστόν. εἰ μὲν ἀχώριστον ὄν, ἡ τοῦτο δηλοῦσα πρότασις ἀναγκαία. εἰ δὲ
χωριστόν, ἐνδεχομένη. καὶ εἰ μὲν τὸ παρὸν ἤδη δηλοῦσα, ὑπάρχουσα. εἰ δὲ
τὸ κεχωρισμένον ἤτοι τὸ μήπω παρόν· οἷόν τε δὲ ὑπάρξαι, ἐνδεχομένη
ἰδίως: · + Τούτων δὲ αἱ μέν, καταφατικαί· αἱ δὲ ἀποφατικαί,
καθὼς ἐπὶ τῶν προειρημένων: +

Τρεῖς διαφορὰς προτάσεων εἴπομεν· ἀναγκαίας. ὑπαρχούσας. ἐνδεχομένας·
καθὼς καὶ ἔστι τούτων διαφοραί. ταῖς μὲν καταφατικαῖς γίνεσθαι τῶν προ-
τάσεων· ταῖς δὲ ἀποφατικαῖς· ἡ γὰρ ἀναγκαία καταφατικὴ ἢ ἀναγκαία

+

ἀποφατικὴ ὡς προειρήκαμεν· ὁμοίως καὶ ὑπάρχουσα, καὶ ἐνδεχομένη· ὡς
τὰς ἓξ διαφορὰς προτάσεων αὐτάς· τὸ δὲ καθ᾽ ἑκάστην προσρηθὲν, τὸ κα-
θ᾽ ἑκάστην τῆς κατηγορίας διαφορῶν, καὶ καθ᾽ ἑκάστην πρὸς θήκην βραχὺ ἀπ[ὸ τ]οῦ
δηλοῖ· οὐ γὰρ ἀξιοῖ τὰς προτάσεις ἀπὸ τῶν δεδηλωμένων αὐταῖς καὶ δηλου-
μένων ὑπ᾽ αὐτῶν λαμβάνειν τὸ ἀναγκαῖον· καὶ τὸ ὑπάρχον καὶ τὸ ἐν-
δεχόμενον· ἀλλ᾽ ἀπὸ τῆς προσθήκης τῆς προστεθείσης καὶ προσκατη-
γορουμένης τῆς λεγούσης ὅτι τὸ δεῖνα τῷ δεῖνι ἐξ ἀνάγκης ὑπάρχει· ἢ ἐνδέ-
χεται ὑπάρχειν· οὕτως γὰρ ἔσονται καὶ αἱ ἀναγκαῖαι· καὶ ψευδεῖς ὁ-
μοίως· καὶ ὑπάρχουσαι καὶ ἐνδεχόμεναι· οὐδὲ γὰρ οἱ λόγοι ψευδεῖς
εἰσί τοι ἀμόνος οὗτος ὁ τρόπος λέγεται· ὁ δηλῶν τὴν τῶν πραγμάτων
φύσιν· καὶ αὐτὸ τοιοῦτός ἐστιν ὁποῖα τὰ δηλούμενα· ἐπεὶ δὲ λέγομεν τὸν ἀπο-
φατικὸν λόγον τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ὁμοίως δέχεσθαι· λέγομεν
δὲ καταφάσεις εἶναι ἀληθεῖς· καὶ ἀποφάσεις εἶναι ψευδεῖς τινάς, οὐχ ὡς ἔχει τὸ περὶ
οὗ λέγεται λεγόμενον· οὕτως ἐροῦμεν καὶ ἀναγκαίας εἶναι ψευδεῖς· ψευ-
δεῖς γὰρ ἔστιν ἀναγκαῖαι, ἢ λέγουσαι τὸ μὴ ἀναγκαῖον ἀναγκαῖον· διαφορὰ
τῆς προτάσεως οὖν πρὸς καθόλου τὰς προσρήσεις καὶ τοὺς τρόπους:·

πάλιν δὲ τῶν καταφατικῶν καὶ ἀποφατικῶν, αἱ μὲν καθόλου·
αἱ δὲ, ἐν μέρει· αἱ δὲ, ἀδιόριστοι:· +

Τούτων τῶν προειρημένων προτάσεων προστίθησι τῶν διαφορῶν· κοινῶς
ἅπασαι προτάσεις κατηγορικαί εἰσι καὶ δέκα· τρεῖς μὲν καταφα-
τικαὶ ἀναγκαῖαι· καθόλου, ἐπὶ μέρους, ἀδιόριστος· τρεῖς δὲ ταύταις
ἀντικείμεναι ἀποφατικαί· ὁμοίως δὲ καὶ ὑπάρχουσαι· τρεῖς μὲν κα-
ταφατικαί· τρεῖς δὲ ἀποφατικαί· καὶ ἐνδεχόμεναι τὸν αὐτὸν τρόπον·
ὥστε ἀριθμεῖν ἐξ πᾶσαι ἔσονται αἱ κατὰ ὅλας ἀλλήλων διαφέρουσαι· ἐξ ὧν
οἱ κατηγορικοὶ συλλογισμοὶ συντίθενται· οὐσῶν δὴ τούτων τῶν καὶ τοσού-
των προτάσεων, ἑξῆς παραδίδωσι περὶ ἀντιστροφῶν αὐτῶν τὸν λόγον
ποιεῖσθαι· ἐπειδὴ οἱ πλεῖστοι τῶν ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι συλλο-
γισμῶν· πάντων ἀτελῶν ὄντων πρὸς τὸ ἀποδείκνυσθαι συλλογιστικῶς,
δέονται τῶν καὶ τοιούτων προτάσεων ἀντιστροφῶν· ἢ μᾶλλον ἢ πλειόνων ὡς
δειχθήσεται:· ἄξιον δὲ ἐνδοξότερον ἐπισκέψεως εἶναι τί δήποτε περὶ

ἀπ

συλλογισμῶν ἢ σχημάτων ἐν τούτοις τὸν λόγον ποιούμενος. παραλαμβάνει
ἑκάστων προτάσεων ἢ τὰς ὑλικὰς διαφοράς· ὑλικαὶ γὰρ διαφοραὶ τὸ, οὕτως
ἢ οὕτως τὰ πράγματα ἔχειν. ἢ δὴ γὰρ οὐδὲ ἕξουσιν αἱ τοιαῦται διαφοραὶ τῶν προτάσεων,
οὐχ ἁπλῶς ἀλλὰ πρὸς συλλογισμὸν ὄντων τελείως. ἀλλὰ πρὸς τὸ, τοιοῦτον ἢ
τοιοῦτον αὐτὸν εἶναι. ἀποδεικτικὸν ἢ οὕτως τυχὸν ἢ διαλεκτικόν:
ἡ δὲ διαφοραὶ αἱ τοιαῦται τῶν προτάσεων πρὸς συλλογιστικὴν μέθοδόν τε
καὶ πραγματείαν, αἱ ἀναγκαῖαι καθόλου· τό, τε γὰρ μὴ ὁμοίως γίνεσθαι τὰς
ἀντιστροφὰς τῶν κατὰ τοὺς προειρημένους τρόπους διαφερουσῶν προτά
σεων· διὰ δὲ τῶν ἀντιστροφῶν· τοὺς πλείους τῶν ἐν τῷ παρὰ τὸ πρῶτον σχῆ
μα συλλογισμῶν δείκνυσθαι συμβαίνει. ἀναγκαία ἢ κατὰ τοὺς τρόπους
τούτους αὐτῶν διαίρεσις. ἄλλως μὲν ἐπὶ τῶν ἀναγκαίων ἢ ἐπὶ τῶν ὑ
παρχουσῶν· ἄλλως δὲ ἐπὶ τῶν ἐνδεχομένων ἀντιστρεφόμεναι αἱ προτά
σεις, ποιοῦσι τοὺς συλλογισμούς. ἀλλὰ τὰς μεμιγμένας ἀλλήλαις τάς τε κατὰ
τοὺς δὲ ἢ τοὺς δὲ τοὺς τρόπους διαφερούσας προτάσεις. διαφοράς τινα
ποιεῖν συλλογισμῶν, ἢ καὶ τοῦτο πρὸς τὴν συλλογιστικὴν πραγματείαν
ἢ κατὰ τοὺς δὲ τοὺς τρόπους διαφορὰ τῶν προτάσεων ἀναγκαία. χωρὶς
οὖν τῆς ὕλης αὐτοὺς τοὺς τρόπους προστιθεὶς ταῖς προτάσεσι, καθολικὰς
ἐπ' αὐτῶν τὰς δείξεις ποιεῖται. οὐ παρὰ τὴν δὲ ἢ τὴν δὲ τὴν ὕλην δεικνὺς τὴν
διαφορὰν γινομένην τῶν συλλογισμῶν· ἀλλὰ παρὰ τὸν προκείμενον τρόπον.
οὕτω γοῦν αἱ ἀποδείξεις αὐτῷ καθολικαί, ἴδιαι δ' ἂν εἶεν τῆς περὶ συλλο
γισμοῦ πραγματείας. ὅτε γὰρ ὡς πρὸς τὴν συλλογιστικὴν μέθοδον τῶν
τρόπων τούτων χρησίμων ὄντων μνημονεύει, δῆλον καὶ τοῦ εἶναι μὲν προ
τάσεων καὶ τὰς ἄλλας τινὰς τρόπους διαφοράς. ἢ τό, καλῶς προσκείμενον.
ἢ τό, κακῶς. ἢ τό, μακρῶς. ἢ τό, βραχέως. ἢ τό, ταχέως. ἢ τό, βραδέως.
τρόποι προτάσεων εἰσὶ διάφοροι. οἷς ὥσπερ ἅτε καλῶς διαλέγεται· ἢ μα
κρῶς· ἢ συντόμως. ἀλλ' οὐδενὸς τοιούτου μνημονεύει. ποιούμενος τὴν
τῶν προτάσεων διαίρεσιν. ὅτι μηδεμία πρὸς γένεσιν ἡ διαφορὰ συλλογισ
τικὴν τελοῦσι. πρὸς μὲν οὖν τὴν τῶν συλλογισμῶν γένεσιν καὶ σύστασιν.
ἡ τῶν τρόπων τούτων διαφορὰ χρήσιμος. οὐκέτι δὲ ἢ πρὸς τὴν τῶν εἰδῶν
τοῦ συλλογισμοῦ. οὐ γὰρ κατὰ ταύτην τὴν προαίρεσιν, αἱ τῶν συλλογισμῶν
διαφοραί.

τοῦ ἀποδεικτικοῦ ἢ τοῦ διαλεκτικοῦ ἢ τοῦ σοφιστικοῦ· ἀλλὰ καθόλου αὐτὸς
δείκνυσιν ἐν ταῖς οἰκείαις αὐτῶν πραγματείαις:. +

Τὴν μὲν οὖν ἐν τῷ ὑπάρχειν καθόλου στερητικὴν ἀνάγκη τοῖς ὅροις ἀντιστρέφειν.

Ἐφεξῆς τοῖς εἰρημένοις περὶ ἀντιστροφῆς προτάσεων ποιεῖται τὸν λόγον.
χρήσιμος γὰρ αὐτῷ ἡ τοῦδε τοῦ θεωρήματος διδασκαλία, πρὸς τοὺς ἀτελεῖς
συλλογισμοὺς τοὺς ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι συναγομένους ὡς ἔφα-
μεν. οἱ γὰρ πλεῖστοι αὐτῶν δείκνυνται συλλογισμοὶ δι' ἀντιστροφῆς ἢ δι' ἀντι-
στροφῶν. λέγεται δὲ πλεοναχῶς ἡ ἀντιστροφή. καὶ γὰρ ἐπὶ συλλογισμῶν
ἀντιστροφὴ γίνεται· καὶ λέγονται συλλογισμοὶ ἀντιστρέφειν. λέγεται μὲν οὖν
ὁ τῶν συλλογιστικῶν λόγων ἀντιστρέφων, συλλογιστικὸς καὶ αὐτὸς εἶναι. ἀλλ' οὐ
τοι μὲν σὺν ἀντιθέσει ἀντιστρέφουσιν. ὅταν γὰρ τὸ ἀντικείμενον τοῦ συμπε-
ράσματος λαβόντες μετὰ τῆς ἑτέρας τῶν προτάσεων προσλαμβάνωμεν συλλογιστικῶς
τὸ ἀντικείμενον τῆς ἑτέρας προτάσεως συνάγωμεν. ὁ γὰρ τὸν συλλογιστικὸν τρόπον
ἀντιστρέφων οὕτως, καὶ αὐτὸς συλλογιστικός ἐστιν. ἀλλὰ περὶ μὲν τῆς τῶν συλ-
λογισμῶν ἀντιστροφῆς, διδάξει ἡμᾶς ἐν τῷ δευτέρῳ τῆσδε τῆς πραγμα-
τείας. ἔστι δὲ ἐν προτάσεσιν ἀντιστροφὴ ἀντίθεσις. ἀντιστρέφει γὰρ τῷ ἄνθρωπος
ζῷόν ἐστιν, ἢ λέγειν ὅτι τὸ μὴ ζῷον οὐδὲ ἄνθρωπός ἐστιν. ἐν προτάσεσι δέ ἐστιν ἀν-
τιστροφή, καὶ ὅταν ἡ καταφατικὴ τῇ ἀποφατικῇ ὁμοίως λαμβανομένου
σῴζῃ ἀλήθειαν. οὕτως λέγεται ἀντιστρέφειν ἡ ἐνδεχομένη καταφατική,
τῇ ἐνδεχομένῃ ἀποφατικῇ· οἷον ἀληθές ἐστι τὸ ἐνδέχεσθαι πάντα ἄνθρωπον
περιπατεῖν ὡς ἐνδεχόμενον· ἀληθές ἐστι καὶ τὸ μηδένα ἄνθρωπον περιπατεῖν.
λέγεται καὶ ἡ ἀντιστροφὴ τῶν ὅρων, κατηγορούμενον ποιησάντων· τουτέστι
κατηγορούμενον, ὑποκείμενον ποιεῖν. τηροῦντας τῆς ἀντιστρεφομένης
προτάσεως τὴν ποιότητα. ἁπλῶς μὲν οὖν ἡ ἀντὶ ἀλλήλων τῶν ὅρων κατὰ
τὸν εἰρημένον τρόπον, ἀντιστροφὴ καλεῖται. οἷον πᾶς ἄνθρωπος ζῷον· πᾶν ζῷον
ἄνθρωπος. ἀντεστράφησαν γὰρ οἱ ὅροι. ὅταν δὲ πρὸς τῇ ἀντιστροφῇ καὶ σωζομένη ἀ-
ληθεύωσιν ἀλλήλαις αἱ ἀντιστρεφόμεναι προτάσεις ὁμοίως λαμβανό-
μεναι, ἀντιστρέφειν ἑαυταῖς αἱ προτάσεις αὗται λέγονται. περὶ τῆς τοιαύ-
της τοίνυν τῶν προτάσεων ἀντιστροφῆς τὸν λόγον ποιεῖται νῦν. καὶ δείκνυσι
τίνες μὲν τῶν προειρημένων προτάσεων ἀντιστρέφουσιν ἀλλήλαις τίνες

τοῦ οὐ· δειχθήσεται δὲ ὅτι ὧν μὲν αἱ ἀντικείμεναι ἀντιστρέφουσιν ἀλλήλαις, καὶ αὗται ἀντιστρέφουσιν· ὧν δὲ αἱ ἀντικείμεναι μὴ ἀντιστρέφουσιν, οὐδὲ αὗται ἀντιστρέφουσιν. οἷον αἱ ἀντικείμεναι ἀντιφατικῶς, τῇ μὲν καθόλου ἀποφατικῇ ἡ ἐπὶ μέρους καταφατική· τῇ δὲ καθόλου καταφατικῇ, ἡ ἐπὶ μέρους ἀποφατική· ἡ μὲν οὖν καθόλου ἀποφατική, ἑαυτῇ ἀντιστρέφει ὡς δέδεικται. ἀληθοῦς γὰρ οὔσης τῆς καθόλου ἀποφατικῆς, ἀληθὴς γίνεται καὶ ἡ ἀνάπαλιν κατὰ τοὺς ὅρους ὁμοίως λαμβανομένη, οἷον, οὐδεὶς ἄνθρωπος ἵππος, ἀληθές. ἀληθὲς καὶ οὐδεὶς ἵππος ἄνθρωπος. καὶ ἡ ἐπὶ μέρους δὲ καταφατική, ἥτις ἀντίκειται τῇ καθόλου ἀποφατικῇ, ἀντιστρέφει καὶ αὐτή. ἀληθοῦς γὰρ οὔσης τῆς ἐπὶ μέρους καταφατικῆς, ἀληθὴς γίνεται καὶ ἡ ἀνάπαλιν κατὰ τοὺς ὅρους ταὐτὰ λαμβανομένη. οἷον τὶς ἄνθρωπος μουσικὸς ἀληθής· ἀληθὴς καὶ ἡ λέγουσα τὶ μουσικὸν ἄνθρωπον. καὶ αὗται μὲν οὖν ἀντιστρέφουσιν ἑαυταῖς. ἡ δὲ καθόλου καταφατικὴ οὐκ ἀντιστρέφει ἑαυτῇ. οὐ γὰρ εἰ ἀληθὲς ἐστὶ τὸ πάντα ἄνθρωπον ζῷον εἶναι, ἤδη ἀληθὴς γίνεται, ἡ καὶ τὸ πᾶν ζῷον ἄνθρωπον εἶναι λέγουσα. οὕτως γὰρ ἂν ἀντιστρέφοι ἑαυτῇ. ἀντιστρέφει δὲ αὐτὴ τῇ ἐπὶ μέρους καταφατικῇ· λεγούσῃ τὶ ζῷον ἄνθρωπον εἶναι. ὥστε ἡ ἐπὶ μέρους καταφατική, καὶ πρὸς ἑαυτὴν ἀντιστρέφει καὶ πρὸς τὴν καθόλου καταφατικήν. ὥσπερ μέντοι ἡ καθόλου καταφατικὴ οὐκ ἀντιστρέφει ἑαυτῇ, οὕτως οὐδὲ ἡ τῇ καθόλου καταφατικῇ ἀντικειμένη· ἡ ἐπὶ μέρους ἀποφατικὴ οὐδὲ αὕτη ἀντιστρέφει· οὐ γὰρ εἰ ἀληθές ἐστι τό, τὶ ζῷον μὴ εἶναι ἄνθρωπον, ἀληθὴς γίνεται καὶ τὸ τινὰ ἄνθρωπον μὴ εἶναι ζῷον. οὐκ ἀδύνατον δέ ποτε ἐν αὐταῖς συναληθευομένας ληφθῆναι ταῖς ἀντιστροφαῖς. διὰ τοῦτο τὸ εἰρημένον ὑφ' ἡμῶν διαβάλλεται· ἱκανὸν γὰρ ἐπὶ πάντων τῶν τοιούτων πρὸς ἀναίρεσιν τοῦ καθόλου τὸ ἐπί τινος δεῖξαι μὴ οὕτως ἔχον. τὸ γὰρ μὴ ἐπὶ πάντων ἀληθευόμενον, οὐ παρὰ τῆς οἰκείας φύσεως τὸ ἀντιστρέφειν ἔχει· ἀλλὰ παρὰ τὴν τινος ὕλης ἰδιότητα. λέγει δὲ περὶ τῶν τοιούτων κατὰ τὰς προτάσεις ἀντιστροφῶν. ἐπειρᾶται μὴ ἐν τοῖς ἀορίστοις μόνον ἀλλὰ καὶ τοῖς καθολικοῖς προσχρώμενος, τὰς ἐν αὐταῖς ἀντιστροφὰς δεικνύναι. περὶ δὲ τῶν ἀδιορίστων οὐ λέγει. ὅτι μηδὲ χρήσιμοι πρὸς συλλογισμοὺς εἰσὶν αὗται. καὶ ὅτι ἴσον ταῖς ἐπὶ μέρους δύνανται: +

πρῶτον μὲν οὖν ἔστω στερητικὴ καθόλου ἡ αβ πρότασις. εἰ οὖν μηδενὶ τῷ β τὸ α ὑπάρχει, οὐδὲ τῷ α οὐδενὶ ὑπάρξει τὸ β: +

Θεόφραστος μὲν οὖν καὶ Εὔδημος ἁπλούστερον ἔδειξαν τὴν καθόλου ἀποφατικὴν ἀντιστρέφουσαν ἑαυτῇ. τὴν γὰρ καθόλου ἀποφατικὴν ὀνομάσαντες καθόλου στερητικήν. τὴν δὲ δεῖξιν οὕτως ποιοῦνται. κείσθω τὸ α κατὰ μηδενὸς τοῦ β. εἰ δὲ κατὰ μηδενός, ἀπέζευκται, καὶ τὸ β ἄρα πάντως ἀπέζευκται τοῦ α. εἰ δὲ τοῦτο, καὶ τὸ οὐδενὸς αὐτοῦ. οὕτως μὲν οὖν ἐκεῖνοι. ὁ δὲ Ἀριστοτέλης δείκνυσι προσχρώμενος τῇ διὰ ἀδυνάτου ἀπαγωγῇ. ὅταν οὖν βουλόμεθα δεῖξαι τὸ ἀντικείμενον ὑποθέμενοι καὶ προσλαμβάνοντες αὐτῷ τι τῶν ὁμολογουμένων τε καὶ φανερῶν ἀναιροῦμεν αὐτὸ τῶν ἐν ἀρχῇ συλλογιστικῶς. διὸ γὰρ ὑποτεθὲν ἀναιρεῖται τὸ ἐν ἀρχῇ καὶ ὁμολογούμενον· τοῦτο ἐλέγχεται ψεῦδος ὄν, διὰ τῆς τοιαύτης ἀπαγωγῆς. τούτου δὲ δειχθέντος ψευδοῦς, τὸ ἀντικείμενον αὐτῷ ἀληθὲς ὂν εὑρίσκεται. ἐπειδὴ ἐπὶ πάντως, θάτερον μόριον τῆς ἀντιφάσεως, ψεῦδος. θάτερον δὲ ἀληθές. ὅπερ ἦν τὸ προκείμενον καὶ δεικνύμενον. τούτῳ τῷ τρόπῳ, πολλάκις μὲν καὶ οἱ γεωμέτραι χρῶνται, οὐ μὴν, ἀλλὰ καὶ οἱ διαλεκτικοί. δείκνυσι δὲ ὁ Ἀριστοτέλης, νῦν αὐτῷ προσχρήσασθαι. φησὶ γὰρ ὅτι εἰ μηδενὶ τῷ β τὸ α ὑπάρχει, οὐδὲ τῷ α οὐδενὶ ὑπάρξει τὸ β. ὃ βούλεται δεῖξαι. εἰ γὰρ μὴ συγχωροίη τις τοῦτο, δηλονότι τὸ ἀντικείμενον τούτου ἀληθὲς φήσει. τὸ τὸ β, τινὶ τῷ α ὑπάρχειν. τῷ γὰρ μηδενὶ τὸ, τινὶ ἀντικεῖται ἀντιφατικῶς. ὡς αὐτὸς περὶ ἑρμηνείας δέδειχεν, ὑποθέμενος δὲ τὸ β τινὶ τῷ α ὑπάρχειν, λαμβάνει. ὅτι τινὶ τῷ α τὸ β ὑπάρχειν. τὸ γὰρ γ μόριον τι οὖν τοῦ καὶ διὰ τούτου δείκνυσιν ὅτι καὶ τὸ α τινὶ τῷ β ὑπάρξει. πάνυ δὲ διὰ βραχέων τὸ προκείμενον ἔδειξε. διό, καὶ τινὲς αὐτὸν αἰτιῶνται διὰ τῆς ἐπὶ μέρους καταφατικῆς ὡς ἀντιστρεφούσης, τὴν δεῖξιν ποιήσασθαι. οἱ καὶ ἐπιτηδεύουσιν αὐτὸν ὡς χρώμενον τῇ δι' ἀλλήλων δείξει. θέλων μὲν γὰρ τὴν καθόλου ἀποφατικὴν δεῖξαι ἀντιστρέφουσαν, προσχρῆται δὲ εἰς τὴν τούτου δεῖξιν τῇ ἐπὶ μέρους καταφατικῇ ὡς φανερῶς καὶ τῇ ταύτης ἀντιστροφῇ. δεικνὺς δὲ μετὰ τὸ ὀλίγον πάλιν τὴν ἐπὶ μέρους καταφατικὴν ἀντιστρέφουσαν, τῇ καθόλου ἀποφατικῇ προσχρῆται ὡς ἀντιστρεφούσῃ. ὁ δὲ τοιοῦτος τρόπος τῆς δείξεως, συγχωρεῖται πρὸς ὁμολογουμένων. οὐ μὴν τοῦτο ὁ Ἀριστοτέλης πεποίηκεν ὡς οἴονται.



τὴν μὲν γὰρ ἐπὶ μέρους καταφατικὴν ὁμολογουμένως δείξει διὰ τῆς καθόλου ἀ-
ποφατικῆς ἀντιστρεφούσης· τὴν δὲ καθόλου ἀποφατικὴν οὐ δύναταί γε, διὰ
τοῦ τὴν ἐπὶ μέρους καταφατικὴν λαβεῖν ἀντιστρέφουσαν· δύναται μὲν γὰρ
τὸ προκείμενον· ἀλλ' οὐ χρῆται αὐτῷ ὁμολογουμένῳ ὡς ἤδη κειμένῳ· δύναται δὲ
διὰ τῶν ἀφθάρτων δεδεῖχθαι τέχνης αὐθαι· ἔστι δὲ τοῦτο, τὸ τινὶ καὶ τὸ παντὶ τὸ ἐ-
ναντίον καὶ τὸ μηδενός· καὶ ἐν ὅλῳ καὶ ἐν μηδενί· τούτοις γὰρ προσχρώμενος, δύναται
τὴν τῆς καθόλου ἀποφατικῆς ὑπαρχούσης ἀντιστροφήν· κειμένου γὰρ τοῦ
τὸ α μηδενὶ τῷ β, φησὶν ἐπεὶ ἀνάγκη οὕτω, τὸ καὶ τὸ β μηδενὶ τῷ α· εἰ γὰρ τὸ β τινὶ
τῷ α ὑπάρχει· τοῦτο γάρ ἐστι τὸ ἀντικείμενον τῷ ἀντικειμένῳ· καὶ δεῖ τὸ ἕτερον
αὐτῶν ἀληθὲς εἶναι· ὑπαρχέτω τῷ γ. ἔστω γὰρ τοῦτο τὶ τοῦ α. ᾧ ὑπάρχει
τὸ β. ἔστω δὴ τὸ γ ἐν ὅλῳ καὶ τὸ κατὰ παντὸς αὐτοῦ ῥηθήσεται τὸ α. ᾧ δὲ τὸ γ
τι τοῦ β, καὶ τὸ α ἄρα κατά τινος τοῦ β κατηγορηθήσεται· ἀλλ' ἔκειτο κατὰ μη-
δενὸς τὸ α τοῦ β. ὥστε δὴ καὶ τὸ μηδενός. τὸ μηδὲ εἶναι τοῦ β καθ' οὗ τὸ α κατηγο-
ρηθήσεται. ὅτι καὶ μὴ διὰ τῆς ἐπὶ μέρους καταφατικῆς ὡς ἀντιστρεφούσης
τὴν δεῖξιν πεποίηται, δῆλον καὶ ἐξ αὐτῆς τῆς λέξεως· οὐ γὰρ εἶπεν εἰ γὰρ τινὶ
τὸ β τῷ α, καὶ τὸ α τῷ β τινί· τοῦτο γὰρ ἦν τὸ διὰ τῆς ἐπὶ μέρους καταφατικῆς
δεῖξαι· τὴν γοῦν ἐπὶ μέρους καταφατικὴν δείκνυσιν ἐν τοῖς ἑξῆς ἀντιστρέφουσαν,
προσχρώμενος τῇ τῆς καθόλου ἀποφατικῆς ἀντιστροφῇ. οὕτως ἐχρῆ-
σεν δ' ἄν πως, εἰ γὰρ μηδενί· οὐδὲ τὸ α οὐδενὶ τῷ β· τοῦτο γάρ ἐστι τὸ ὡς ὁμολο-
γουμένῳ χρῆσθαι. ὁ δέ, οὐ λαμβάνει μὲν ὡς ὁμολογούμενον τὸ τὴν ἐπὶ μέρους
καταφατικὴν ἀντιστρέφειν· ἐκθέμενος δὲ τοῦ β τι τὸ γ, ἐπὶ τούτου τὴν
δεῖξιν ποιεῖται· καθ' οὗ οὐκ ἔστι τὸ β κατά τινος. διὸ οὔτε ἡ ἐπὶ μέρους ἀντι-
στροφή. ἀλλὰ τὸ κατὰ παντὸς καὶ ἐν ὅλῳ ῥητέον αὐτὸν ἂν χρῆσθαι πρὸς τὴν
δεῖξιν· ἢ ἄμεινον ἐστὶ καὶ οἰκειότερον τοῖς λεγομένοις τὸ διὰ ἐκθέσεως καὶ αἰσθη-
τικῶς λέγειν τὴν δεῖξιν γεγονέναι· ἀλλὰ μὴ τὸν εἰρημένον τρόπον· καὶ μηδὲ συλ-
λογιστικῶς· τοιοῦτος γὰρ ὁ διὰ τῆς ἐκθέσεως τρόπος. δι' αἰσθήσεως γίνεται
τε οὐ συλλογιστικῶς· τοιοῦτον γάρ τι λαμβάνειν τὸ γ τὸ ἐκτιθέμενον, ὃ αἰσθητὸν
μόριον ἐστὶ τοῦ α. οὗ τε τοῦ γ αἰσθητοῦ τινος καὶ καθ' οὗ κατηγορεῖται τὸ β. ἀν-
γοῦν τοῦ β μόριον τὸ αὐτὸ γ. ὂν ἐν αὐτῷ. ὥστε τὸ γ, ἀνάγκη ἀμφοτέρων μόριον
εἶναι ἀμφοτέροις αὐτοῖς· καὶ τηρούμενον δὴ τὸ α τοῦ γ, οὔτε ἰδίου μορίου

καὶ τὸ τινὸς ἄρα τοῦ β καὶ τοῖς γ ἀροῖτο· ἐπεὶ τοῦ β τὸ γ μόριον ἐστὶν οὗ τινι αὐτῷ.
οὐ κείμενον ἦν τὸ α ὅτι μηδενὶ ἵππῳ ὑπάρχειν· καὶ μὴ συγχωροίη τις τοῦ
τῷ τινὶ ἵππον μηδενὶ ἀνθρώπῳ ὑπάρχειν· ἀντὶ δὴ ληφθῇ λέγοι αὐτινὶ ἀνθρώπῳ οὕτως
οἱ θέων γ' ἔσται· καὶ ὁ αὐτὸς τινὶ ἵππῳ ὑπάρχει· ἐπεὶ δή, ὃ θέων, καὶ ἄνθρωπος καὶ
ἵππος ἂν ἐλήφθη· ἀδύνατον δὲ τοῦτο, ὑπόκειται γὰρ τὸ τὸν ἄνθρωπον μη
δενὶ ὑπάρχειν ἵππῳ· ἀντικρυς δὲ ἐπὶ β' τοῦ σχήματος χρώμενος τῇ δι'
ἐκθέσεως δείξει· οὕτως κέχρηται ὡς οὐ συναγωγικῇ ἀλλ' οὐ συλλογιστικῇ.
διὸ καὶ ἐν τούτῳ θαυμάζεται αὐτῇ. οὐδέπω γὰρ περὶ τῶν συλλογισμῶν δέδειχεν
γνώριμον· ἐπεὶ δὲ τῇ αὐτῇ τῇ δείξει προσχρώμενος, ἐνασίν καὶ τὴν ἐπὶ μέρει
καταφατικὴν ἀντιστρέφουσαν δείκνυσι, τὸ ἐπικαθ... τοῖς προειρημένοις
καὶ ἀνάγνου τοῦτο δείκνυσι διὰ τῆς ἀντιστροφῆς τῆς ἐπὶ μέρους καταφατικῆς.
πεποίηκε δὲ ταύτην δείξιν τῷ αὐτῷ. οὐ μὴν ὑπεποίημεν οὕτως. οὐ γὰρ προσκεχρη
μένος ἐστὶ τῇ ἀντιστροφῇ τῆς ἐπὶ μέρους καταφατικῆς· τὸ γὰρ α λαμβάνει
τινὶ τῷ β ὑπάρχον, οὐχ ὅτι ἀντιστρέφον, ἀλλ' ὅτι τὸ γ μόριον οὗ τοῦ α, καὶ
τοῦ β μόριον ἐστίν· ἐπεὶ γὰρ κοινὸν τὸ γὰρ γ τοῦ β τι ἐστίν· ὥστε ἐπεὶ τοῦ καὶ τὸ ἀν
τιστρέφειν· ἀλλ' αὐτὸ τοῦτο οὐ προσκέχρηται αὐτῷ. ἐπεὶ τῇ αὐτῇ δείξει ἀνάγκη
χρησάμενος, δείξει καὶ τὴν καθόλου καταφατικὴν τὴν ἐπὶ μέρους ἀντιστρέ
φουσαν· ἀλλ' οὐ διὰ τοῦτο ὁ ἀριστοτέλης αὐτὴν κέχρηται· ὅτι γὰρ ἄλλη
τῆς δι' ἀντιστροφῆς δείξεως ἡ διὰ τῆς ἐκθέσεως, ἐπὶ τοῦ
β' τοῦ σχήματος δέδειχε· λαβὼν γὰρ συζυγίαν ἐν ᾗ τὰ ἄκρα ἀμφότερα
κατὰ παντὸς τοῦ μέσου κατηγορεῖται. καὶ δείξας πρῶτον διὰ ἀντιστρο
φῆς τῆς ἑτέρας τῶν προτάσεων, τὸ συναγόμενον συλλογιστικῶς μετὰ ταῦτα
καὶ διὰ ἐκθέσεως τὴν δεῖξιν ποιεῖται· ὡς ἄλλης οὔσης παρὰ τὴν δι' ἀντιστροφῆς.
ὁμοίως τῇ δὲ τῇ διὰ ἐκθέσεως ἐκείνῃ δείξει, ἣν νῦν ἐπὶ τῆς ἀντιστροφῆς κέχρη
ται αὐτῇ μὲν ἡ δεῖξις ἣ ἐπὶ τῆς καθόλου ἀποφατικῆς ὁ ἀριστοτέλης κέχρηται.
οὔτε τῇ δι' ἀλλήλων προσκεχρημένος δείξει· οὔτε τῇ εἰς ἀδύνατον ἀπαγωγῇ
συλλογιστικῶς· καὶ γὰρ οὐδὲ αὕτη κατὰ τὸ ἀκριβὲς ἡ δεῖξις. οὐδὲ γὰρ δέδειχ
ται τοῖς εἰρημένοις ἡ διὰ ἀδυνάτου δεῖξις, ἤδη καὶ οὕτως διὰ ταύτης ἡ δεῖξις τὸ
προκείμενον· ἄλλος γὰρ καὶ τῆς τοιαύτης δείξεως ὁ καθ' ἕκαστον τρόπος· ἡ γὰρ
διὰ ἀδυνάτου δεῖξις τοῦ προκειμένου ἐν β' τῷ σχήματι γίνεται· ὑπόκειται γὰρ



τοῦ τὸ β τινὶ τῷ α· τοῦτ' ἔστι τῷ τοῦ προκειμένου ἐν τρίτῳ σχήματι γίνεται ὑπόθεσις· δείκνυται γὰρ τὸ τὸ β τινὶ τῷ α· τοῦτ' ἔστι τὸ γ παντί· ὅ ἐστι τὸ τοῦ α· καὶ προσληφθείσης προτάσεως τῆς τὸ α καὶ τὸ παντὶ τὸ β τοῦ γ· οὔσης ἐν ἀρίστοις, συνάγεται ἐν τρίτῳ σχήματι τὸ, τὸ α τινὶ τῷ β ὑπάρχειν· ὅ ἐστιν ἀδύνατον· ἔκειτο γὰρ μηδενὶ αὐτῷ ὑπάρχειν· ἀνῄρηται δὲ ὅλως καὶ ἡ διὰ τοῦ τρίτου σχήματος δεῖξις· ἀμφοῖν δὲ λέγειν περὶ τῶν εἰρημένων, δεικνυμένου ἀνάγκη τοῦ δεῖν ἀπεζεῦχθαι· καὶ τὸ β τοῦ α, εἰ τὸ α τοῦ β ἀπέζευκται· ὃ οἱ περὶ Θεόφραστον ὡς ἐναργὲς ὂν λαμβάνουσι χωρὶς δείξεως· καὶ ἔστι δὲ καὶ διὰ συλλογισμοῦ δεῖξαι διὰ τοῦ πρώτου σχήματος γινομένου· ὡς καὶ αὐτὸς προσχρῆται τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. εἰ γάρ τις μὴ λέγοι ἀντιστρέφειν τὴν καθόλου ἀποφατικήν, κείσθω τὸ α μηδενὶ τῷ β· εἰ δὲ μὴ ἀντιστρέφει, ἔστω τὸ β τινὶ τῷ α· γίνεται δὴ ἐν πρώτῳ σχήματι, τὸ α τινὶ τῷ α μὴ ὑπάρχον· ὅπερ ἄτοπον· ἀλλ' ἀνῄρηται τὸ διὰ συλλογισμοῦ δεικνύναι· μηδέπω περὶ συλλογισμῶν εἰρηκότα· διὸ χρησάμενον αὐτὸν ἐκθέσει τε καὶ τῷ τρόπῳ τῆς δείξεως· δείξας δὲ ταύτην ἀντιστρέφουσαν, προσχρῆται αὐτῇ εἰς δεῖξιν, πρὸς τὰ ἀφεξῆς δεικνύμενα. ὅτι γὰρ ἡ ἐπὶ μέρους καταφατικὴ ἀντιστρέφει, πάλιν δὲ προσχρησάμενος τῇ τῆς καθόλου ἀποφατικῆς ἀντιστροφῆς, δείκνυσιν· εἰ γὰρ τὸ α τινὶ ὑπάρχει τῷ β· καὶ τὸ β τινὶ ὑπάρχει τῷ α· εἰ γὰρ μηδενί. αὕτη γὰρ ἀντικειμένη τῇ τινί, οὐδὲ τὸ α οὐδενὶ ὑπάρξει τῷ β· ἀντιστρέφουσα γὰρ δέδεικται ἡ καθόλου ἀποφατική· ἀλλ' ἔκειτο τινὶ τῷ β τὸ α ὑπάρχειν· καὶ τὸ β ἄρα τινὶ τῷ α ὑπάρξει· ἀλλὰ καὶ ἡ καθόλου καταφατικὴ ὅτι ἐπὶ μέρους ἀντιστρέφει, ὁμοίως δείκνυται· εἰ γὰρ τὸ α παντὶ τῷ β, καὶ τὸ β τινὶ τῷ α· εἰ γὰρ μηδενί, γίνεται καθόλου ἀποφατική· ἥτις ἐδείχθη ἀντιστρέφουσα ἑαυτῇ· ὥστε ἔσται καὶ τὸ α οὐδενὶ τῷ β· καίτοι ἔκειτο παντὶ ὑπάρχειν· οὕτω δὲ λέγεται, ὅτι ἡ καθόλου καταφατική, οὐδέποτε ἑαυτῇ ἀντιστρέφει· ἀντιστρέφει γὰρ ἐπὶ ὕλης τινός· οἷον ἐπὶ τῶν ἐξισαζόντων καὶ ἰδίων· ἀλλ' ἐπεὶ μὴ ἀεί· ἀεὶ δὲ τῇ ἐπὶ μέρους, καὶ γὰρ ὅταν ἡ καθόλου ἀντιστρέφουσα καὶ τότε ἡ ἐπὶ μέρους ἀληθεύει· διὰ τοῦτο αὐτὴ ἀντιστρέφειν αὐτῇ λέγεται· καὶ γὰρ αἱ ἀντιστροφαὶ ὅλως καὶ αἱ κατὰ σχήματα συναγωγαί, οὐ παρὰ τὴν τῆς ὕλης ἰδιότητα γίνονται ὡς προείπομεν ἤδη· αὕτη γὰρ ἀλλοτρία· ἀλλ' ἀπ' αὐτῆς τῆς τῶν σχημάτων φύσεως.

διὸ καθολικὴ καὶ ἀποδέδεικται ἐπ' αὐτῶν· τὴν δὲ ἐπὶ μέρους ἀποφατικὴν
ὅτι μὴ ἀντιστρέφει, ἔδειξεν ἐπὶ ὕλης· εἰ γὰρ ἐστὶν ὅτε καὶ ἀφ' ὧν μὴ ἀντιστρέ-
φει, ἀπολώλεκε τὸ καθόλου· οὔσης γὰρ ἀληθοῦς τῆς ἄνθρωπος οὐ παντὶ ζώῳ
ὑπάρχει· ἢ τινὶ ζώῳ ὑπάρχει, οὐκέτι ἀληθής ἐστιν ἡ λέγουσα τὸ ζῷον οὐ
παντὶ ἀνθρώπῳ ἢ τινὶ ἀνθρώπῳ οὐχ ὑπάρχει· οὐδὲ γὰρ τὸ ἀντικείμενον αὐτὸ ληφθὲν
τῆς ἀδύνατόν τι ἕπεται· ὡς ἐπὶ τῶν ἀντιστρεφουσῶν δέδειχεν· ἀντικει-
μένου γὰρ τῷ τινὶ μὴ τὸ παντί· ληφθέντος δὲ τοῦ β τῷ α παντὶ ὑπάρχειν· ἀκο-
λουθήσει καὶ τὸ α τινὶ τῷ β ὑπάρχειν· ἔκειτο δὲ αὐτῷ τινὶ μὴ ὑπάρχειν·
οὐκ ἔστι δὲ ἀδύνατον ὅτι τινὶ ὑπάρχει τοῦ τὸ καὶ τινὶ μὴ ὑπάρχειν· ὥσπερ ἄνθρωπος
τινὶ ζώῳ μὴ ὑπάρχων, καὶ ὑπάρχει τινί:· +

τὸν αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἀναγκαίων προτάσεων·

καί φησιν ὅτι ὡς καὶ τὸ ὑπάρχον καὶ τὰς ἀναγκαίας ἀντιστρέφειν προτάσεις.
τὸ δὲ ἐγκείμενον παράδειγμα καὶ ἐπὶ τούτων ἡ καθόλου στερητικὴ ἀντιστρέφουσα ἑαυτῇ οὖσα:·

εἰ μὲν γὰρ ἀνάγκη τὸ α τῷ β μηδενὶ ὑπάρχειν ἀνάγκη καὶ τὸ β τῷ α μηδενὶ
ὑπάρχειν· εἰ γὰρ τινὶ ἐνδέχεται καὶ τὸ α τῷ β τινὶ ἐνδέχοιτο:· +

Ἡ μὲν καθόλου ἀποφατικὴ ὑπάρχουσα, ἐδείχθη ἀντιστρέφειν· ἐπεὶ δὲ ἡ
ἀναγκαία καθόλου ἀποφατικὴ τῆς μὲν ὑπαρχούσης καθόλου ἀποφατικῆς
διαφέρει τῷ ἐξ ἀνάγκης, κατὰ δὲ τῆς δειχθείσης ἢ [illegible] διαφέρει.
ἔστι δὲ τοῦτο τὸ ἀναγκαῖον· καὶ τὰ τοῦ τοιῶσδε ξυνποιεῖται· εἰ γὰρ μή, ἐξ ἀνάγ-
κης τὸ β τῷ α μηδενὶ ὑπάρχει ἀλλ' ἐνδέχοιτο τινὶ ὑπάρχειν, αὕτη γὰρ ἀ-
ναιρεσις καὶ ἀντίφασις πρὸς τὴν καθόλου ἀποφατικὴν ἀναγκαίαν· ὡς
ἐν τῷ περὶ τῆς καταφάσεως δέδεικται λόγῳ, καὶ τὸ α φησὶ τῷ β ἐνδέχοιτο τινί.
ἀλλ' ἔκειτο ἐξ ἀνάγκης μηδενὶ ὑπάρχειν· δῆλον δὲ καὶ ἀντιθεῖναι πάλιν,
διὰ τῆς ἐνδεχομένης ἐπὶ μέρους καταφατικῆς ἀντιστρεφούσης, τὴν δεῖξιν
περὶ τῆς ἀναγκαίας καθόλου ἀποφατικῆς ποιεῖσθαι· καὶ τοι μηδέπω περὶ
τῶν καταφατικῶν ἐνδεχομένας ἀντιστροφὰς εἰρηκώς ἢ, τὸ μὲν ἀντικεῖσθαι τῇ
καθόλου ἀναγκαίᾳ ἀποφατικῇ τὴν ἐπὶ μέρους καταφατικὴν ἐνδεχομένην
ἔχει ὁμολογούμενον· ἀντίφασις γάρ· διὸ καὶ τοῦτο ἔλαβε· λαβὼν δὲ αὖ
τὸ ἐπεὶ καὶ τὸ ὑπάρχει τινὶ εἰ μὴ ἐξ ἀνάγκης ὑπάρχει, ἐνδέχεται καὶ ἐνδε-
χομένως ὑπάρχειν λέγεται· ἡ δὲ αὐτῷ δεδειγμένον τὸ τῆς ἐπὶ μέρους ὑπάρ






χουσαν ἀντιστρέφειν ἐν αὐτῇ ταύτῃ προσεχρήσατο· ἀντιθεὶς γὰρ τὸ ἀναγκαῖον διὰ τοῦ τινὶ ἐνδέχεσθαι ὑπάρχειν, τῷ τινὶ ὑπάρχον ὅτι ὑπάρχει ἀντιστρέφειν. τὸ δὲ ἐνδεχόμενον τινὶ ὑπάρχειν ἢ τῷ ἤδη ὑπάρχον αὐτῷ ἢ οἷόν τέ ἐστιν ὑπάρξαι ποτέ· ὁπότερον δὲ ὑπάρχει ἀντιστρέφειν, οὕτως ἔσται τὸ ἐξ ἀνάγκης μηδενὶ ὑπάρχον· ὑπάρχον ποτέ τινὶ, ἐναντίως ἀδύνατον· ὅτι δὲ τὸ ἐνδεχόμενον ἐπὶ τοῦ ὑπάρχοντος μὲν οὐκ ἐξ ἀνάγκης δὲ λέγεται, ὀλίγον προελθὼν, διαιρούμενος τὸ ἐνδεχόμενον λέγει· σημαίνει γάρ φησιν αὐτὸ ὡς περὶ τὸ ἀναγκαῖον οὕτω δὲ καὶ τὸ μὴ ἀναγκαῖον ἀλλὰ ὑπάρχον· ἐφ' οὗ καὶ γνωστὸν αὐτῷ κέχρηται. τὸ δὴ αὐτὸ τὸ ἐξ ἀνάγκης μηδενὶ τὸ ἐνδεχόμενον τινὶ ὑπάρχον ἢ ὑπάρξον, ἀντικείμενον· ἐπεὶ δὲ τοῦ ἀναγκαίου τὸ μέν ἐστιν ἀναγκαῖον ἁπλῶς· τὸ δὲ, μετὰ διορισμοῦ λέγεται· ὡς τὸ ἀνάγκης ἐξ ἀνάγκης πάντα τὸν γραμματικὸν οὕτω ἢ γραμματικόν· αὕτη οὐχ ἁπλῶς ἐστιν ἡ πρότασις ἀναγκαία· δεῖ δὲ χα δὲ αὐτῶν τὴν διαφορὰν καὶ ἡ φράσις· οὐ γὰρ ἀεὶ γραμματικός ἐστιν. ἀλλ' οὐδὲ ὁ ἄνθρωπος γραμματικός· ἐπεὶ τοίνυν διαφέρει, δεῖ ἡμᾶς εἰδέναι ὅτι περὶ τῶν ἁπλῶς καὶ κυρίως ἀναγκαίων τὸν λόγον ποιεῖται νῦν ὁ ἀριστοτέλης. αἱ γὰρ οὕτως ἀναγκαῖαι ἀντιστρέφουσιν: + +

Εἰ δὲ ἐξ ἀνάγκης τὸ α παντὶ ἢ τινὶ τῷ β ὑπάρχει, καὶ τὸ β τινὶ τῷ α ἀνάγκη ὑπάρχειν: +

Ὅτι καὶ ἡ καθόλου καταφατικὴ ἀναγκαία καὶ ἡ ἐπὶ μέρους καταφατικὴ ἀναγκαία, ἀντιστρέφει εἰς ἐπὶ μέρους καταφατικὴν ἀναγκαίαν ὁμοίως δείκνυσιν· ὡς ἐδείξε ἐπὶ τῆς ὑπαρχούσης καθόλου. εἰ μὴ γὰρ τὸ α ἢ παντὶ ἢ τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχειν ἢ τινί· τὸ δὲ β μὴ ὑπάρχειν τινὶ τῷ α ἐξ ἀνάγκης, ἐνδέχοιτο ἂν αὐτῷ ποτὲ μηδενὶ ὑπάρχειν· ἀπόφασις γὰρ τῆς ἀνάγκης τινί, τὸ οὐκ ἀνάγκη τινί· ὃ ἴσον δύναται τῷ ἐνδέχεται μηδενί· ἐπεὶ τὸ οὐκ ἀνάγκη τινὶ ἢ οὐδενὶ ἀνάγκη ταὐτά· ὅτε μηδενὶ ὑπάρχει τὸ β τῷ α, οὐδὲ τὸ α οὐδενὶ τῷ β ὑπάρχει· δέδεικται γάρ· ὥστε οὐδὲ τὸ α ἢ παντὶ ἢ τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει· παρὰ ἀσυνδέτως τὸ παντί· καὶ ἦν ὑπόθεσις τὸ λαβεῖν ὅτι μηδὲ τὸ α ἐστὶν ἐξ ἀνάγκης τινὶ τῷ β. ἀντὶ γὰρ τοῦ ἀπεῖπε τὸ γὰρ μηδενὶ ἀνάγκη, ἁπλῶς εἶπεν ἀγὰρ μὴ ἀνάγκη· ὅτι οὐ πεποίηται τὴν δεῖξιν ἐπὶ τῆς ἐνδεχομένης ἀποφατικῆς, δῆλον· οὐδὲ γὰρ ἀντιστρέφειν αὐτὴν δοκεῖ αὐτῷ· ἀλλ' ἐπὶ τῆς ὑπαρχούσης

ἀποφατικὴ ἡ τάξις· καὶ ταύτης ἀφελὼν τὸ ἀναγκαῖον ἐδήλωσε διὰ τοῦ μηκέτι
χρήσασθαι τῷ ἐνδεχομένῳ. ἀλλ' ἁπλῶς τῷ εἰ γὰρ μὴ ἀνάγκη· εἰ γὰρ ὑπάρ-
χοι τῷ αὐτῷ ἀντιστρέφουσα καὶ δεῖται· ἐξ οὗ δῆλον ὅτι καὶ ἐπὶ τῆς προ τοιαύτης λέ-
ξεως τό τινὶ ἐνδέχεσθαι, ἀκουστέον ὡς εἰρημένον ἐκεῖ· ἀντὶ τοῦ εἰ γὰρ τινὶ ἐνδε-
χομένως ὑπάρχει. καὶ ἡ ἐπὶ μέρους δὲ ἀποφατικὴ ἀναγκαία, οὐδὲ μίαν
φησὶν ἀντιστρέφειν. διότι μηδὲ ἡ ὑπάρχουσα ἀντέστρεφε. τουτέστι διὰ τὸ ἐπὶ
ὅρων καὶ ὕλης τινός, ὁμοίως ὅτι μὴ ἀντιστρέφει δείκνυσθαι· ἐπὶ γὰρ τῶν αὐτῶν
ὅρων ὁ ἔλεγχος. ὁ γὰρ ἄνθρωπος τινὶ ζώῳ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· καὶ τὸ ζῶον
παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει:· ἐπὶ δὲ τῶν ἐνδεχομένων ἐπειδὴ πολ-
ιγ λὴν τοῦ ἐνδεχομένου ὁμωνυμίαν, ἐδήλωσε μὲν· πολλαχῶς λέγεται τὸ ἐνδέχεσθαι·
τες ἐν τῷ περὶ ἑρμηνείας. καὶ γὰρ κατὰ τοῦ ἀναγκαίου τῷ ἐνδέχεσθαι χρώμεθα.
ὡς ὅταν εἴπωμεν τὸ ζῶον ἐνδέχεσθαι κατὰ παντὸς ἀνθρώπου. καὶ κατὰ τοῦ ὑπάρ-
χοντος ἂν εἴπωμεν τὸ ὑπάρχον τινὶ ἐνδέχεσθαι ὑπάρχειν. ἐδήλωσε δὲ
καὶ τὸ ὑπάρχον διὰ τοῦ μὴ ἀναγκαῖον εἰπεῖν. ἐπεὶ ταύτῃ τοῦ ἀναγκαίου
διαφέρει τῷ εἰς τὸν παρόντα χρόνον ὕπαρξιν καὶ σημεῖον ἔχων πρὸς αὐτό, καὶ
σημειωτέον τὴν λέξιν. ὅτι τὸ ὑπάρχον ἐνδεχόμενος ὡς ὑπὸ τῆς ὑπαρχού-σης
προτάσεως σημαινόμενον ταὐτόν ἐστι. λέγεται δὲ καὶ κατὰ τοῦ δυνατοῦ τὸ
ἐνδεχόμενον. ὃ μὴ ὂν λοιπὸν ποτὲ σημαίνεται ὁρᾷ. λέγων ὁ δὲ τῷ ὡς ἐπὶ τὸ
πολὺ καὶ τῷ πεφυκέναι ἐνδέχεσθαι λέγεται, καθ' ὃν τρόπον ὁριζόμενον τὸ
ἐνδεχόμενον. ὁμωνύμου δὲ ὄντος τοῦ ἐνδεχομένου. καὶ κατὰ τοσούτων
κατηγορουμένου τὰς μὲν καταφατικὰς ἐνδεχομένας προτάσεις καθ'
οὗ τὸ ἐνδέχεσθαι λαμβάνεται. ἀντὶ καὶ κατὰ τοῦ ἀναγκαίου ἀντὶ καὶ κατὰ τοῦ
ὑπάρχοντος καὶ ἀντὶ κατὰ τοῦ δυνατοῦ, ὁμοίως φησὶν ἀντιστρέφειν. τὴν μὲν καθόλου
καταφατικὴν τῇ ἐπὶ μέρους καταφατικῇ. ὁμοίως δὲ καὶ τὴν ἐπὶ μέρους
καταφατικὴν καὶ αὐτὴν τῇ ἐπὶ μέρους καταφατικῇ, καὶ ὁ δεικνὺς τοῦτο τοῖς
προειρημένοις καὶ δεδειγμένοις προσχρώμενος. εἰ γὰρ τὸ α παντὶ τῷ β ἢ τινὶ
ἐνδέχεται, καὶ τὸ β τινὶ τῷ α ἐνδέχοιτο ἄν. εἰ γὰρ μηδενὶ ἐνδέχοιτο, γίνεται καθ-
όλου ἀποφατικὴ ἡ τοιαύτη ἣ δέδεικται ἀντιστρέφουσα αὐτῇ. ἀλλὰ μὲν οὖν τὸ δυνατὸν
σημαίνοι τὸ τῷ ἐνδέχεσθαι, γίνεται τὸ ἀποφατικὸν λαμβανόμενον καὶ τὸ
ὑποτεθέμενον καθόλου ἀναγκαῖον. τὸ οὐ γὰρ τὸ οὐκ ἐνδέχεται τινὶ

ὃ ἐνδέχεται ἀντιστρέφον· ὅδε τὸ ὑπάρχον. ὑπάρχουσα πάλιν μὲν ἡ καθόλου ἀποφατικὴ ὑποτεθεῖσα, ἡ καὶ αὐτὴ ἐνδέχεται ἀντιστρέφουσα· καὶ ἡ ἀναγκαία διὰ τὸ σημαινόμενον ὑπὸ τοῦ ἐνδέχεσθαι πάντῃ ἢ τινὶ τὸ α τῷ β ἐνδέχεται τὸ ἐπὶ τοῦ τοιοῦτο ἀντικείμενον αὐτῷ καθόλου ἀποφατικοῦ ἐνδεχομένου· οὕτως ἔχειν ἐπεὶ αὐτῷ μηδενὶ ὑπάρχον· οὕτως γὰρ ἀληθὲς τὸ ἐνδεχόμενον καὶ τοιόνδε ἡ ὑπάρχουσα ἀποφατικὴ ἀντιστρέφουσα· οὕτως τὴν δεῖξιν ἐποιήσατο ἐπὶ τῆς ἀναγκαίας τῆς τε καθόλου καταφατικῆς καὶ τῆς ἐπὶ μέρους· ἐπὶ μὲν οὖν τῶν καταφατικῶν πασῶν, ὁμοίως φησὶν ἔχειν τὰς ἀντιστροφάς. ἐπὶ δὲ τῶν ἀποφατικῶν οὐκέτι. ἀλλ' ὅσα μὲν μὴ ἀναγκαίως ὑπάρχοντα ὑπὸ τοῦ ἐνδέχεσθαι σημαίνεται· ἢ ὅσα ἐξ ἀνάγκης ὑπάρχοντα. τῶν γὰρ ὑπαρχουσῶν ἀποφατικῶν ἐδήλωσε διὰ τοῦ ἀπεῖναι ἢ τοῦ μὴ ἐξ ἀνάγκης ὑπάρχειν· τὰ μὲν οὖν τοιαῦτα σημαίνει καὶ ἐνδεχόμενα ὁμοίως ἀντιστρέφει ἐκείνοις· οὐδὲν γὰρ ἄλλο ἢ ὀνόματα τῇ γενικῇ παραλλάξει παρ' αὐτῶν. τὰ δὲ σημαινόμενα· τοῦτό ἐστι τοῖς φθαρτοῖς ἐνδέχεσθαι. ἐπεὶ δὴ τῶν οὕτως λεγομένων ἐνδεχομένων, ἡ μὲν καθόλου ἀποφατικὴ ἢ καθόλου ἀποφατικὴ ἀντιστρέφει· ἡ δὲ ἐπὶ μέρους οὐδεμία. τῶν δὲ παραδειγμάτων· τὸ μὲν τὸν ἄνθρωπον ἐνδέχεσθαι μὴ εἶναι ἵππον τῆς ἀναγκαίας ἀποφατικῆς ἐστὶ σημαντικόν· τὸ δὲ τὸ λευκὸν ἐνδέχεσθαι μηδενὶ ἱματίῳ ὑπάρχειν τῆς ὑπαρχούσης· καὶ αἱ ἀντιστροφαὶ αὐτῶν ἃς παρέθετο, σαφεῖς. τὸ δέ, ὅτι γάρ τινι ἀνάγκη, καὶ τὸ λευκὸν τῷ ἱματίῳ ἐνίοτε ἐξ ἀνάγκης ἀπεῖναι. ἐπεὶ ἐδείχθη ἡ ἐνδεχομένη καθόλου ἀποφατικὴ τῇ ἐπὶ μέρους καταφατικῇ ἀναγκαίᾳ ἀντιτίθεσθαι· τῷ δὲ ἡ ὑπάρχουσα κατὰ τὴν λέξιν ἐνδεχομένη καλουμένη, καὶ ἡ ἀντικειμένη δὲ αὐτῇ κατὰ τὴν λέξιν ἀναγκαῖον ἔχει. τὸ μὲν τὸ σημαινόμενον ὑπάρχει τῆς ἐπὶ μέρους καταφατικὸν ὑπάρχον ἐστί. τούτῳ γὰρ ἀντικείμενον τὸ καθόλου ἀποφατικὸν ὑπάρχοντι. καὶ τὸ κυρίως δὲ ἀναγκαῖον ἐπὶ μέρους καταφατικὸν ληφθέν, δέδεικται καὶ αὐτὸ ἀντιστρέφον. ὁμοίως δέ φησι καὶ ἐπὶ τῆς ἐπὶ μέρους ἀποφατικῆς δῆλον ὅτι ἔχει. οὐδὲ μὲν γὰρ ἀντιστρέφει ἡ ἐπὶ μέρους ἀποφατικὴ ἐνδεχομένη ὅταν ἢ τὸ ἀναγκαῖον ἢ τὸ ὑπάρχον σημαίνῃ:

ὅτι δὲ ἄλλως ἐπὶ τὸ πολὺ καὶ τῷ πεφυκέναι ἐνδέχεσθαι λέγεται.

Ἡ πρὶν ὑπὸ τοῦ ἐνδεχομένου σημαινόμενον δῶσαι· ὅπως τί ποτέ ἐστιν ἀπ.

χρ̄· ὁ κατὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἢ τῷ πεφυκέναι λέγεται, παρὰ θάτερον δὲ τοῦ τοιούτου
τοῦ ἐνδεχομένου, τὸ ὡς ἐπὶ τὸ πολὺ ἢ τὸ πεφυκός· τὸ γὰρ πεφυκὸς ὡς ἐπὶ τὸ
πολύ, ὃ καὶ μόνον τοῦ τοῦ πρὸς συλλογιστικὴν χρείαν ἐστὶ χρήσιμον· ἔστι μὲν γὰρ
τοῦ δυνατοῦ τοῦ καὶ τὸ ἐπίσης καὶ τὸ ἐπ' ἔλαττον· ἀλλὰ ἄχρηστον· ἐπὶ τῆς τοιαύτης
ὕλης οὐδὲν ἧττον ἢ μᾶλλον τοῦ δυνατοῦ μένου συλλογιστικῶς ὑπάρχειν τὸ ἀν-
τικείμενον ἐστίν· ἐπεὶ δὲ τε τοῦ ἐπ' ἔλαττον καὶ μᾶλλον τοῦ συναγομένου τὸ ἀν-
τικείμενον· ὥσπερ καὶ αὐτὸς ἐν τοῖς περὶ τῶν ἐνδεχομένων συλλογισμοῖς ἐρεῖ. περὶ δὴ
μόνου ποιεῖται τὸν λόγον τοῦ ἐνδεχομένου καὶ δυνατοῦ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον
ἔν τε τοῦ πεφυκότος ἐστὶ καὶ κατὰ φύσιν· ὃ καὶ αὐτὸ ὡς ἐπὶ τὸ πλεῖστον ἐστίν· ἐπειδὴ
ἐν τῶν τοιούτων καὶ δείκνυται καὶ τινα τῶν κατὰ φύσιν γινομένων· καὶ εἰσί τινες
τέχναι περὶ τὸ οὕτως ἐνδεχόμενον, ὡς αἱ στοχαστικαί· λαβὼν γὰρ ὁ ἰατρὸς τὸ,
τὸν οὕτως νοσοῦντα, ὡς ἐπὶ τὸ πλεῖστον ὑπὸ πλήθους ἐνοχλεῖσθαι, καὶ τὸ,
τὸν ὑπὸ πλήθους ἐνοχλούμενον, διὰ φλεβοτομίας θεραπεύεσθαι, συνά-
γει τὸ, τὸν οὕτως νοσοῦντα ἐνδέχεσθαι ὑπὸ φλεβοτομίας θεραπευθῆναι.
ὃ λαβὼν χρῆται τῇ φλεβοτομίᾳ· διὸ καὶ ἔστιν ἐν συλλογιστικῇ χρείᾳ. ἐπεὶ δὲ
τοῦ τοῦ λεγομένου οὕτως ἐνδέχεσθαι, οὐκ ἔθ' ὁμοίως φησὶν ἔχειν τὰς ἀπο-
φατικὰς ἀντιστροφὰς ὡς ἐδείχθησαν ἔχουσαι ἐπὶ τοῦ ἀναγκαίου καὶ τοῦ
ὑπάρχοντος· ἐπὶ μὲν γὰρ ἐκείνων ἡ καθόλου ἀποφατική, ἀντέστρεφεν αὐτῇ.
ἡ δὲ ἐπὶ μέρους ἀποφατικὴ οὐκ ἀντέστρεφεν· ἐπὶ δὲ τούτων τῶν
μὲν καθόλου ἀποφατικῶν ἐνδεχομένων, οὔ φησιν ἀντιστρέφειν πρὸς ἑ-
αυτάς. ἀλλὰ δηλονότι πρὸς τὴν ἐπὶ μέρους· τοῦτο γὰρ βούλεται. τὴν δὲ ἐπὶ
μέρους ἀποφατικὴν ἀνάπαλιν πως ἢ ὡς ἐπ' ἐκείνων τὸν τρόπον ἔχειν.
τὴν δὲ αἰτίαν τῆς τοιαύτης ἀντιστροφῆς, φανερὰν φησὶ ποιήσειν· ἐπειδὰν
περὶ τῶν ἐξ ἐνδεχομένων προτάσεων συλλογισμῶν, λέγῃ:· +

*νῦν δὲ τοσοῦτον ἡμῖν ἔστω πρὸς τοῖς εἰρημένοις δῆλον· ὅτι τὸ ἐνδέχεσθαι*
*μηδενὶ ἢ τινὶ μὴ ὑπάρχειν, καταφατικὸν ἔχει τὸ σχῆμα:· +*

Τὸ λεγόμενον ὑπ' αὐτοῦ τοιοῦτον, τὸ ἐνδέχεσθαι ἐν ταῖς ἀντιπροτάσεσιν ἢ προσ-
κατηγορούμενον καταφάσιν ἑκάστην εἶναι· ὥσπερ καὶ ἐν ταῖς χωρὶς τοῦ ἐνδέ-
χεσθαι τὸ ἐστὶ προσκατηγορεῖται, ἀληθεῖς τε ἐστὶ καὶ ἀρνηταὶ καὶ δέδεικται ἐν τῷ
περὶ ἑρμηνείας. οὐ μὴν ἀλλὰ καὶ φησιν αἰτία αὐτὸ τοῦ τὰς ἐνδεχομένας ἀπο-

φατικαῖς· ἐπεὶ ἡ καταφατικὴ ἐνδεχομένη ὁμοίως ἀντιστρέφει ταῖς ἀναγκαίαις καταφάσεσι·
τῷ ἐπὶ μέρους πρὸς ἀμφοτέρας τῷ τῆς καθόλου καὶ τῷ ἐπὶ μέρους· ἄτοπον γὰρ τῷ αὐ-
τὰς καθ᾽ αὑτὰς τοῦτο ἐνδέχεσθαι ἐπὶ τῶν ἀναγκαίων οὕτως ἔχειν· ἡ γὰρ τὸ ἀναγκαῖον ἀναγκαί-
αν ἀνάγκη πρότασις ἢ προσκατηγορουμένων, καταφάσεις ἐνδεχομένας οὔσας
ταύτας· ἀλλ᾽ ὁμοίως καὶ τοιούτως ἐχουσῶν αὐτῶν, ἐξεταζομένων καθόλου ἀ-
ποφατικαῖς ἀναγκαίαις, ἀντιστρεφούσαις αὑταῖς, καί τοι καταφάσεσιν οὔσαις·
ἡ γὰρ ἀναγκαία ἀποφατικὴ καταφάσει ἁπλῶς οὖσα, τὸ ὅλον ἀποφατικὴ
ἀναγκαία λέγεται· τῆς δὲ τῆς ἐπὶ μέρους ἀναγκαίας ἀποφατικῆς, οὐδεμία ἀντι-
στρέφει· οὐχ ὡς ἄλλην αἰτίαν οὖν τοῦ ταύτην ἀποδείξας τοῦ μὴ ἀντιστρέφειν τὴν καθό-
λου ἐνδεχομένην ἀποφατικὴν ἐκτίθεται· ἡ γὰρ ὑπόθεσις αὐτὸ ὡς εὔσημον
φανερὸν ποιήσων· παραμυθίας δὲ χάριν τοῦ ὡς καταφάσεσιν ἡμᾶς προ-
σέχειν αὐταῖς· δεῖν οὕτως ζητεῖν αὐτῶν τὰς ἀντιστροφάς, ἐπεὶ τοί γε ἀληθῆ
αἰτίαν δι᾽ ἣν ὡς καταφάσεις αὐταῖς ἀντιστρέφουσι, ἀποδώσει προελθών·
διότι γὰρ ἀντιστρέφει τὸ καθόλου ἐνδεχόμενον ἀποφατικὸν καὶ τὸ καθόλου ἐν-
δεχόμενον καταφατικὸν ἀλλήλοις καὶ συναληθεύουσιν ὅτι καὶ τὴν τάξιν τῶν αὐτῶν
φυλασσομένων τῶν ὅρων ἐπὶ τοῦ οὕτως λεγομένου ἐνδεχομένου, διὰ τοῦτο
αὐτῶν καὶ αἱ ἀντιστροφαὶ ὡς καταφατικῶν γίνονται· ὃ γὰρ ἐνδέχεται μηδενὶ
ὑπάρχειν, καὶ ὃ παντὶ ἐνδέχεται καὶ μηδενί· ὁ ἐπαλλάγων οὖν καὶ ἔστι προτάσεων
ἡ μόνων τῶν οὕτως ἐνδεχομένων· κατὰ τοῦ τοιούτου ἰσοδυναμοῦσα ἡ καθό-
λου ἀποφατικὴ τῇ καθόλου καταφατικῇ οὖσα καὶ ἄλλως καταφάσει, ὁμοίως ἐκεί-
νῃ ἀντιστρέφει· οὐ διότι τὸ ἐνδέχεται προσκατηγορούμενον ἔχει· ἄτε γὰρ ἰσοδυ-
ναμοῦσα τῆς ἀποφάσεως, τῇ καταφάσει ἀντιστρέφει ἡ καθόλου ἀποφα-
τική, ἀντιστρέφουσα καὶ ἡ καθόλου καταφατικὴ ἐνδεχομένη πρὸς αὐτήν· τοῦ-
το δ᾽ ἔστιν εὔδηλον· εἰ γὰρ τὸ α ἐνδέχεται τῷ β μηδενὶ καὶ παντί, λέγοιτο ἂν καὶ
τὸ β τῷ α ἐνδέχεσθαι μηδενί τε καὶ παντὶ ἐνδέχεσθαι· ἐπειδὴ ἡ καθόλου κατα-
φατικὴ ἐνδεχομένη ἀντιστρέφουσα αὐτῇ· ὅπερ οὖν καὶ ἔστιν ἀληθές· οὐ γὰρ ἅπαν τὰ
ἀλλ᾽ ὂν ἐνδέχεται λευκὸν εἶναι, ἤδη καὶ πᾶν λευκὸν ἐνδέχεται ἄνθρωπον εἶναι·
Ἀριστοτέλης μὲν οὖν διὰ τοῦτο τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην οὔ φησιν
ἀντιστρέφειν αὐτῇ· Θεόφραστος δὲ καὶ ταύτην ὁμοίως ταῖς ἄλλαις ἀποφατικαῖς
φησὶν ἀντιστρέφειν· περὶ οὖν τῆς διαφορᾶς ὅταν περὶ τῶν ἐνδεχομένων λέγωμεν,
ἐπὶ πλέον ἐροῦμεν:

σημ

Ἀριστοτέλης·

Θεόφραστος·

κατὰ δὲ τὰς ἀντιστροφάς, ὁμοίως ἕξουσι ταῖς ἄλλαις:

Εἰπὼν τὰς ἐνδεχομένας ἀποφατικὰς καὶ καταφατικὰς εἶναι, κατὰ τὰς ἀντιστροφὰς αὐτάς φησιν ὁμοίως ἕξειν ταῖς ἄλλαις, δηλονότι ταῖς καταφατικαῖς· ἀντιστρέφειν γὰρ καὶ τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην, καὶ τὴν ἐπὶ μέρους, τῇ ἐπὶ μέρους καταφατικῇ· τοιαύτη γὰρ ἡ τῶν καταφατικῶν ἀντιστροφή:

διωρισμένων δὲ τούτων, λέγωμεν ἤδη διὰ τίνων καὶ πότε καὶ πῶς γίνεται πᾶς συλλογισμός· ὕστερον δὲ λεκτέον περὶ ἀποδείξεως.

Ἐφεξῆς τοῖς προειρημένοις λέγειν προτίθεται, ὧν ἕνεκα καὶ περὶ ἐκείνων ἀπῆρξεν. ἔστι δὲ τὸ διὰ τίνων οἱ συλλογισμοὶ γίνονται, καὶ ὅτι διὰ προτάσεων· ἐπεὶ δὲ διὰ ποιῶν προτάσεων συντεθεισῶν οἱ συλλογισμοὶ γίνονται, διὰ τοῦτο προσέθηκε τῷ διὰ τίνων, τὸ καὶ πότε καὶ πῶς· σημαίνει καὶ δι᾽ οὗ τὸ μὲν πότε, τῶν συζυγιῶν τε τῶν σχημάτων· ὅ ἐστι κατὰ τὸ ὅρον τινὰ ἀλλὰ κοινωνεῖν τὰς προτάσεις. ἐν οἷς σχήμασι καὶ ἐν αἷς συζυγίαις οἱ συλλογισμοί, καὶ ἔτι τῆς τῶν προτάσεων ποιότητος· οὐ γὰρ ἐκ πασῶν συντεθεισῶν προτάσεων γίνονται συλλογισμοί· οὔτε γὰρ ἐκ δύο ἀποφατικῶν· οὔτε ἐκ δύο ἐπὶ μέρους, ὡς δέδεικται. τὸ δὲ πῶς, τῶν καθ᾽ ἕκαστον τῶν σχημάτων συζυγιῶν καὶ τρόπων συλλογιστικῶν ἐστι δηλωτικόν· καὶ γὰρ ἐκ προτάσεων γίνεται συλλογισμός, οὐχ ὁπωσοῦν συντεθεισῶν γίνεται, ἀλλ᾽ ὅταν ἔχῃ τὰ οἰκεῖα. διά τε γὰρ προτάσεων οἱ συλλογισμοὶ ποιῶν· καὶ ἐν σχήμασι τοῖς ὅροις· καὶ ἔτι τοιαῖσδε καὶ ποιαῖς τῶν προτάσεων πρὸς ἀλλήλας συμπλοκαῖς. καθ᾽ ἕκαστον γὰρ σχῆμα καὶ ἀσυλλόγιστοι καὶ συλλογιστικαί εἰσι συζυγίαι· παρὰ τὸ ποιὰς τῶν προτάσεων συντεθῆναι. διὰ τίνων μὲν οὖν, διὰ γὰρ τῶν προτάσεων· πότε δὲ καὶ πῶς, ἐκ γὰρ τοιῶνδε προτάσεων καὶ οὕτω συντεθεισῶν· ὡς εἶναι τὸ μὲν πότε, τοῦ τοιαύτας δεῖν λαμβάνεσθαι· τὸ δὲ πῶς, τῆς τοιᾶσδε συνθέσεως δηλωτικόν· τὴν δ᾽ αἰτίαν τοῦ προθέμενον λέγειν περὶ ἀποδείξεως, πρότερον περὶ συλλογισμῶν τὸν λόγον ποιεῖσθαι, αὐτὸς σαφῶς ἀποδέδωκεν ἐνταῦθα. ὅτι γὰρ καθόλου μᾶλλον ὁ συλλογισμός· καὶ πῶς καθόλου, ἐδίδαξε διὰ τοῦ δεῖξαι ὅτι μὴ ἀντιστρέφειν. ἡ μὲν γὰρ ἀπόδειξις συλλογισμός τις· ὁ δὲ συλλογισμὸς οὐ πᾶς ἀπόδειξις. οὕτως δ᾽ ἔχων ὁ συλλογισμὸς πρὸς τὴν ἀπόδειξιν, πρότερός ἐστιν αὐτῆς· αὕτη γὰρ καὶ ἡ τῆς ἐπιγραφῆς αἰτία· τοῦ πρότερα μὲν ἀναλυτικά, τὰ ὕστερα ἐπιγράφεσθαι τὰ δὲ τῆς πραγματείας, ὡς ἔφαμεν· ἔδει γὰρ τὸν

μέλλοντα τὴν ἀπόδειξιν ὁρίζεσθαι καὶ τιθέναι ἐν ταῖς τοῦ συλλογισμοῦ, πρῶτον ἐγνωκέναι τί ποτέ ἐστι συλλογισμός· καὶ διὰ τίνων γίνεται· καὶ πότε· καὶ πῶς ἐχόντων πρὸς ἄλληλα· ποιεῖται δὲ τὸν λόγον ἀκολούθως πρῶτον περὶ τοῦ πρώτου σχήματος· προστίθησι δὲ ὅτι πᾶς συλλογισμὸς καὶ τοι περὶ τῶν κατηγορικῶν μὲν ποιούμενος τὸν λόγον, ὅτι μόνος οὗτος ἐστὶ κυρίως εἶναι συλλογισμοὺς ὡς ἐκ προϊὼν δείξει· τοὺς γὰρ ἐξ ὑποθέσεως· οὐδ' ἀπλῶς τὸ προκείμενον συλλογίζεσθαι:· +

## σχῆμα πρῶτον:

ὅταν οὖν ὅροι τρεῖς οὕτως ἔχωσι πρὸς ἀλλήλους:

εἰρημένου λόγου αὐτῷ περὶ τῶν σχημάτων τῶν συλλογιστικῶν· ἐν οἷς σχήμασι πάντα γὰρ οἱ τέλειοι καὶ ἀτελεῖς συλλογισμοὶ τὴν σύστασιν λαμβάνουσι· καὶ ποιεῖται τὸν λόγον πρῶτον περὶ τοῦ λεγομένου πρώτου σχήματος· ἐν ᾧ οἱ τῶν τελείων εἰσὶ συλλογισμοί· ἐπεὶ δὲ ἐστὶν ὁ συλλογισμὸς πίστις τις· πιστοῦται γὰρ διά τινων συλλογιζόμενός τι καὶ δείκνυσι· διὰ γὰρ τῶν πεπιστευμένων τὸ ἀμφισβητούμενον πιστὸν ὁ συλλογιζόμενος ποιεῖ· οὐ πᾶσα δὲ ἐπὶ πίστις συλλογισμός· οὐδὲν χεῖρον ἴσως ὀλίγα προειπεῖν περὶ πίστεως· γνωριμωτέρα γὰρ οὕτως καὶ ἡ συλλογιστικὴ πίστις ἔσται· πᾶς δὴ ὁ πιστούμενός τι καὶ γνώριμον βουλόμενος ποιῆσαι, ἐξ ἄλλου ἢ ἄλλων αὐτὸ πιστοῦται· αὐτὸ γὰρ ἐξ ἑαυτοῦ οὐδεὶς δείκνυσι καὶ πιστοῦται· ἐπεὶ πάντως αὐτὸ οὕτως ἦν πιστόν· ἐπεὶ τοίνυν ἐξ ἄλλου ἢ τινῶν τοῦ ὅλου τε καὶ καθόλου καὶ περιέχοντος δείκνυσι τὸ προκείμενον, ὅ ἐστι μέρος τι τοῦ ἰδίου ἡ πίστις· ὅλως τι αὐτοῦ δεικνύμενον τὸ ὅλον ἢ ἐκ μέρους τινὸς τῶν ὑπὸ τὸ ὅλον περὶ αὐτοῦ· ἢ τὸ ἐκ μέρους μέρος ἐκ μέρους παραδεικνύμενον ἢ καὶ πιστούμενον· τὸ τοιοῦτον καὶ ἡ οὕτως γινομένη πίστις, παράδειγμα καλεῖται· ὡς ὅταν λέγω Διονύσιον φυλακὴν αἰτοῦντα τοῦ σώματος, τύραννος ἔσεσθαι αὐτόν τε· ὡς ἀληθῶς ἐπιθέμενον τῇ τυραννίδι· καὶ πιστούμενος τοῦτο, διὰ τοῦ ὅτι καὶ Πεισίστρατος αἰτήσας παρὰ Ἀθηναίων λαβὼν ἐτυράννησε· καὶ Θεαγένης παρὰ Μεγαρέων· ἑκάτερον γὰρ τούτων καὶ τὸ δεικνύμενον καὶ τὸ δι' οὗ δείκνυται καὶ πολλὰ τοι μέρη ἐστὶ τοῦ ὅλου· τοῦ ὅτι οἱ φυλακὴν

διονυ.
πεισίστρατος
θεαγένης

αἰτοῦντες τοῦ σώματος φυλακὰς πάντες ἐπὶ τῇ ἐφόδῳ τῇ τυραννίδι. ὁ δὲ διὰ τοῦ ἑτέρου μὲν πιστὸν ποιήσας, χρῆται αὐτῷ πρὸς τὸ ἕτερον. ὡς ἔστι λόγος δεικτικὸς μέρους διὰ μέρους γνωρίμου καὶ πιστοῦ ἀγνοουμένου τινὸς καὶ ἀμφισβητουμένου. ὅταν δὲ ἐκ τῶν μερῶν ἢ τὸ ὅλον πιστούμενοί τε καὶ δεικνύμενοι, τὸ τοιοῦτον ἐπαγωγὴ καλεῖται. οἷον, ὅτι ὁ ἄνθρωπος τὴν κάτω γένυν κινεῖ. καὶ ἵππος. καὶ κύων. καὶ βοῦς. καὶ πρόβατον. καὶ παρδάλεως (?). λόγος δέ τις ἐπαγωγὴ ἡ διὰ τῶν καθ' ἕκαστα γνωρίμων τὸ ἐπὶ πᾶσιν, ὅπερ ἐστὶ τὸ καθόλου ἄγνωστον. ἄμφω δὲ ταῦτα ἥ τε ἐπαγωγὴ καὶ τὸ παράδειγμα, τὸ μὲν πιθανὸν ἐν αὐτοῖς ἔχει, τὸ δὲ ἀναγκαῖον οὐκ ἔχει. τὸ δὲ ἐπὶ πλέον περὶ τούτων τῶν πίστεων, καὶ αὐτὰ ἐν τοῖς δευτέροις διώρισεν (?) αὐτῶν τινὰ τὰ πρὸς τὴν συλλογιστικὴν πίστιν διαφοράν. καὶ ὅτι αὐταῖς χρῆσθαί πως ἀνάλογον (?) τῇ πίστει τῇ συλλογιστικῇ. διὸ ὡς πρὸς τὰ προκείμενα, ἱκανὰ τὰ νῦν περὶ αὐτῶν εἰρημένα. ὅταν δὲ ἐκ τοῦ ὅλου τὸ μέρος λαμβάνηται τὴν πίστιν, ἡ τοιαύτη πίστις ἤδη συλλογιστικὴ καλεῖται, καὶ ἔστιν ἀναγκαστικωτάτη (?) τῶν πίστεων αὕτη. ὅταν γὰρ τὸ καθόλου τεθῇ καὶ παντί τι συμβεβηκέναι, ἀνάγκη ὑπάρχειν τοῦτο ἐξ ἀνάγκης καὶ τοῖς ὑπὸ τοῦτο οὖσι καὶ περιεχομένοις. ὅταν γὰρ πᾶσαν δικαιοσύνην καλὸν λάβω. πᾶν δὲ τὸ καλὸν ἀγαθόν. διὰ τοῦ ὅλου τε καὶ καθόλου τοῦ πᾶν τὸ καλὸν ἀγαθὸν εἶναι. μέρος οὖν τοῦ πᾶν τὸ καλὸν ἀγαθὸν εἶναι. δείκνυται καὶ ἡ δικαιοσύνη καλόν. τίς δὲ ὁ τοῦ συλλογισμοῦ λόγος ἀποδέδωκεν (?). ἐπεὶ τοίνυν ὁ συλλογισμὸς δεῖξις τινός ἐστιν ἀμφισβητουμένου διά τινων ὁμολογουμένων. τὸ δὲ ἀμφισβητούμενον καὶ ὃ δεῖ δεῖξαι προτεινόμενον πρόβλημα καλεῖται, εἴπωμεν βραχέα περὶ αὐτοῦ. ἔστι δὴ τὸ πρόβλημα, τὸ μὲν πρότασις. τὸ γὰρ αὐτὸ γίνεται πρόβλημα. καὶ λῆμμα. καὶ ὁμολόγημα. καὶ συμπέρασμα. καὶ ἀξίωμα. πάντα γὰρ προτάσεις ἐστὶ κατὰ τὴν διαφορὰν ἔχοντα. προτεινόμενον γὰρ ὡς δεῖ δεῖξαι ὡς μὴ γνώριμον πρόβλημα καλεῖται. λαμβανόμενον δὲ εἰς ἄλλου δεῖξιν, λῆμμα τε ὁμολόγημα ὡς παρὰ τῶν (?). καὶ ἰδίως προτάσεις. ἀξίωμα δέ, ὅταν ἀληθὲς ᾖ τε ἐξ ἑαυτοῦ γνώριμον. δεδειγμένον δέ, συμπέρασμα. τὸ γὰρ δειχθέν, γίνεται συμπέρασμα τῶν ἐξ ὧν ἐδείχθη. ἐπεὶ τοίνυν τὸ πρόβλημα πρότασις ἐστὶ μέν. πᾶσα δὲ πρότασις, ἐξ ὑποκειμένου ὅρου ἐστὶ καὶ κατηγορουμένου. τοῦ μὲν ὑποκειμένου ὄντος, τοῦ περὶ οὗ ὁ λόγος, κατηγορουμένου δέ, τοῦ περὶ τούτου λεγομένου. καὶ ὑποκειμένου μὲν ὄντος, ὡς οἷα τὰ τὸ ποσὸν ὁρισμοῦ (?)

τῆς προτάσεως προστίθεται· τὸ πᾶς· ἢ οὐδείς· ἢ τίς· ἢ οὐ πᾶς· ὡς δὲ τὸ ἐστίν·
ἤτοι τοῦ τούτῳ συνημμένον· ἢ περιέχον ἐν αὐτῷ συνημμένα αὐτὸ τοῦ τε κατηγορουμένου.
διὸ δὴ ὅρων ὄντων τῶν ἐν τῷ προβλήματι, τοῦ μὲν ὑποκειμένου· τοῦ δέ, κατη-
γορουμένου· οὐδὲ ὑπάρχοντα δείκνυται τῷ ὑποκειμένῳ ἐπί τινος ὅρου
δεῖ πρὸς τὴν ἀνάγκην οὖν δεῖ ἐστιν· ὃς προσληφθεὶς ἢ συνάψει τοὺς ἐν τῷ προβλήματι,
ἢ χωρίσει καὶ διαστήσει· δεῖ δὲ τοῦτον τὸν προσλαμβανόμενον ἔξωθεν ὅρον.
σχέσιν τινὰ ἔχειν ποιάν, πρὸς τοὺς ἐν τῷ προβλήματι δύο ὅρους· οὗτος δὲ ληφθεὶς
μέσος ἀμφοτέρων, ἢ συνάπτει ἢ διαιρεῖ τὸ πρόβλημα· καὶ ποιεῖ τὴν μὲν πρότασιν
ἐν ἑκατέρῳ αὐτῶν καὶ αὐτὸς παραλαμβανόμενος, καὶ ἑκατέρῳ συντιθέμενος
τῶν ἐν τῷ προβλήματι ὅρων ἐν μέρει· ποτὲ μὲν τῷ ὑποκειμένῳ· ποτὲ δὲ τῷ
κατηγορουμένῳ· καὶ τούτῳ γνωρίζεται ὁ μέσος, ὁ ἔξωθεν προσειλημμένος τῷ δὶς
λαμβάνεσθαι καὶ ἐν ἀμφοτέραις ταῖς προτάσεσιν εἶναι· καὶ καλεῖται ἡ τοι-
αύτη τῶν προτάσεων συμπλοκή, συζυγία· συζυγία γάρ ἐστι κοινωνία δύο
προτάσεων κατά τινα ὅρον ὅς ἐστι μέσος· τῶν γὰρ διαφερουσῶν προτάσεων,
αἱ μέν, οὐδ᾽ ὅλως κοινωνοῦσιν ἀλλήλαις· ὡς ἡ ἡδονὴ δίκαιον καλόν· καὶ ἡ παιδεία
ὅλον ἀγαθόν· αἱ δέ, κοινωνοῦσιν ἀλλήλαις· καὶ τῶν κοινωνουσῶν, αἱ μέν, κατὰ
ἕνα ὅρον κοινωνοῦσιν· αἱ δέ, κατὰ τοὺς δύο· αἱ μὲν οὖν τοῖς κατὰ τοὺς δύο ὅρους κοι-
νωνούσαις προτάσεσιν, αἵ τε ἀντιθέσεις τῶν προτάσεών εἰσι, καὶ αἱ ἀντιστρο-
φαί· ὅταν μὲν γὰρ οὕτω κοινωνοῦσι τῶν ὅρων, ὡς τὴν αὐτὴν αὐτοῖς τάξιν φυλάτ-
τειν ἐν ταῖς προτάσεσι· διαφέρειν δέ, ἢ κατὰ τὸ ποιόν, ἢ κατὰ τὸ ποσόν· ἢ κατ᾽
ἄμφω, αἱ ἀντιθέσεις εὑρίσκονται αὐτῶν· καὶ αἱ τῶν ἀντιθέσεων διαφοραί.
ὅταν δὲ τούς τε ὅρους ὁμοίως ἔχωσι κειμένους· καὶ τὸ ποσὸν ταὐτὸν ἐν ἀμφοτέραις
διαφέρωσι δὲ κατὰ τὸ ποιόν, ἂν μὲν καθόλου ὦσιν, ἐναντίαι γίνονται· ἡ γὰρ
καθόλου καταφατικὴ τῇ καθόλου ἀποφατικῇ· ὅταν ἀπὸ τῶν αὐτῶν ὅρων
ὦσιν καὶ τῆς αὐτῆς τάξεως· καὶ τῷ καταφατικῷ μόνον καὶ ἀποφατικῷ διαφέρωσιν,
ἐναντίαι εἰσίν· ὅταν δὲ ὦσιν ἐπὶ μέρους ἀμφότεραι, ὑπεναντίαι καλοῦν-
ται· αἱ δοκοῦσι μὲν ἀντίθεσιν ἔχειν πρὸς ἀλλήλας· οὐ μὴν ἀντίκεινται,
ὅταν δὲ τὸ μὲν ποιὸν ταὐτὸν ἔχωσι πρὸς τῇ ὁμοίᾳ τάξει τῶν ὅρων, διαφέρωσι
δὲ κατὰ τὸ ποσόν, ὑπάλληλοι γίνονται· αἳ τινες οὐκ εἰσὶν ὅλως ἀντικείμεναι.
οὕτως γὰρ ἔχουσι πρὸς ἀλλήλας· ἥ τε καθόλου καταφατικὴ πρὸς τὴν ἐπὶ μέρους

καταφατικήν· καὶ ἡ καθόλου ἀποφατικὴ πρὸς τὴν ἐπὶ μέρους ἀποφατικήν. ὅταν δὲ καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιὸν ὦσι διαφέρουσαι καὶ τοὺς αὐτοὺς ἔχωσιν ὅρους καὶ ὁμοίως τεταγμένους, τὰς ἀντιφάσεις ποιοῦσιν· οὕτως ἔχουσιν ἥ τε καθόλου καταφατικὴ καὶ ἡ ἐπὶ μέρους ἀποφατικὴ πρὸς ἀλλήλας· καὶ ἡ καθόλου ἀποφατικὴ καὶ ἡ ἐπὶ μέρους καταφατικὴ πάλιν πρὸς ἀλλήλας· ἀντιφατικῶς γὰρ αὗται αὐταῖς ἀντίκεινται· ὅταν δὲ κοινωνῶσι μὲν κατὰ τοὺς δύο ὅρους αἱ προτάσεις ἀλλήλαις· μὴ τὴν αὐτὴν δὲ τάξιν ἔχωσιν ἐν αὐταῖς οἱ ὅροι ἀλλ᾽ ἀνάπαλιν λαμβάνονται, αἱ τοῖς οὕτω κοινωνούσαις εἰσὶν αἱ τῶν προτάσεων ἀντιστροφαί· ἔστι γὰρ προτάσεως ἀντιστροφή, κοινωνία δύο προτάσεων κατὰ τοὺς ὅρους ἀνάπαλιν τιθεμένους μετὰ τοῦ συναληθεύειν· ὅταν μὲν οὖν καὶ κατὰ τὸ ποιὸν διαφέρωσιν αἱ τοιαῦται, αἱ ἀντιστροφαὶ γίνονται, αἵ τε καὶ λέγονται τῶν προτάσεων σὺν ἀντιθέσει· ὅταν δὲ κατ᾽ αὐτὸ καὶ κατὰ τὸ ποιὸν ὦσιν, αἱ οὕτως λαμβανόμεναι καὶ συναληθεύουσαι ἀντιστροφαὶ χωρὶς ἀντιθέσεως γίνονται· τῶν δὲ οὕτως ἀντιστρεφουσῶν, αἱ μὲν πρὸς τὸ ποιὸν καὶ τὸ ποσὸν ταὐτὸν φυλάττουσιν, ὡς αἱ καθόλου ἀποφατικαὶ αἵ τε ὑπάρχουσαί τε καὶ ἀναγκαῖαι· ὁμοίως τε αἱ ἐπὶ μέρους καταφατικαί· αἱ δέ τινες, τὸ μὲν ποιὸν ταὐτὸν ἔχουσι, κατὰ δὲ τὸ ποσὸν διαφωνοῦσιν· ὡς αἱ πρὸς τὰς καθόλου καταφατικὰς ἀντιστρέφουσαι· εἰσὶ γὰρ αἱ ἐπὶ μέρους καταφατικαί· ὁμοίως δὲ καὶ πρὸς τὰς καθόλου ἀποφατικὰς ἐνδεχομένας· καὶ γὰρ πρὸς ταύτας, αἱ ἐπὶ μέρους καταφατικαὶ ἐνδεχόμεναι ἀντιστρέφουσι· καὶ τοιαύτη μὲν ἡ κατὰ τοὺς δύο ὅρους τῶν κοινωνουσῶν ἀλλήλαις προτάσεων διαφορά· αἱ δὲ κατὰ τὸν ἕνα ὅρον κοινωνοῦσαι, ποιοῦσι μὲν τὰς συζυγίας ὡς προεῖπον· κατὰ δὲ τὴν διαφορὰν τοῦ μέσου πρὸς τοὺς ἄκρους τοὺς ἐν τῷ προβλήματι κοινωνοῦντας, ἡ τῶν συλλογιστικῶν σχημάτων γίνεται διαφορά· ὁ γὰρ μέσος οὗτος ὁ δὶς λαμβανόμενος καὶ ἑκατέρῳ τῶν ἄκρων συντασσόμενος· ὃς ἢ οὕτω τοῦ προβλήματος μέσος, ἢ οὕτως λαμβάνεται· ὡς καὶ τὴν θέσιν μέσην ἔχειν ἐκείνων· τοῦ μὲν ὑποκειμένου ἐν τῷ προβλήματι, κατηγορούμενος· τῷ δὲ κατηγορουμένῳ ὑποκείμενος, ὡς ἔχει ἐπὶ τοῦ προβλήματος τοῦ, πότερον πᾶν δίκαιον ἀγαθόν, ἢ οὔ· ἔξωθεν γὰρ ὅρος παραληφθεὶς τὸ καλόν· καὶ κατηγορηθεὶς μὲν τοῦ δικαίου ὡς τῷ ὑποκειμένῳ, ὑποτεθεὶς δὲ τῷ ἀγαθῷ ὡς ἦν κατηγορούμενος· ἐποίησε συζυγίαν τοιαύτην.

παντὶ δίκαιον καλόν· παντὶ καλὸν ἀγαθόν· ἡ τοιαύτη τοῦ μέσου θέσις· καὶ ἡ οὕτως γι-
νομένη τῶν προτάσεων καὶ τοῦ μέσου ὅρου κοινωνία, καλεῖται σχῆμα πρῶ-
τον. ἐν ᾗ γὰρ συζυγίᾳ ὁ μέσος δὶς λαμβανόμενος· τοῦ μὲν, κατηγορεῖται τῶν ἄκρων
τοῦ προβλήματος ὅρων· τοῦ δὲ, ὑποκεῖται, τοῦτο τὸ σχῆμα πρῶτον καλεῖται.
εἰ πάλιν ὁ μέσος ἀμφοτέρων τῶν τοῦ προβλήματος ὅρων κατηγορεῖται.
ὡς γίνεται ἐπὶ τῆς τοιαύτης συζυγίας· ζητουμένου γὰρ εἰ ὁ ἄνθρωπος χρεμετιστικόν
ἐστιν, ἢ οὔ· μέσος ὅρος ληφθεὶς τὸ λογικόν· καὶ κατηγορηθεὶς ἀμφοτέρων ἐκείνων.
τοῦ τε ἀνθρώπου καὶ τοῦ χρεμετιστικοῦ· τοῦ μὲν ἀνθρώπου καταφατικῶς· τοῦ δὲ χρεμ-
ετιστικοῦ ἀποφατικῶς, ποιεῖ συζυγίαν τοιαύτην· πᾶς ἄνθρωπος λογικόν·
οὐδὲν χρεμετιστικὸν λογικόν· ἡ τοιαύτη τοῦ μέσου πρὸς τοὺς ἄκρους κοινω-
νία, διαφέρουσα τῶν προειρημένων· ἐστὶ δὲ αὕτη, ὅταν ἀμφοτέροις τοῖς
ὅροις τοῖς τοῦ προβλήματος ὁ μέσος λαμβανόμενος, ὑποκείμενος ᾖ.
οἷον εἰ ζητουμένου· εἰ οὐσία τὸ ἔμψυχόν ἐστιν, ἢ οὔ· ληφθείη δὲ μέσος
ὅρος τὸ ζῶον· καὶ ὑποτεθείη ἀμφοτέροις τοῖς ὅροις· τῇ τε οὐσίᾳ καὶ τῷ ἐμ-
ψύχῳ· καὶ γένοιτο· πᾶν ζῶον οὐσία ἐστί· πᾶν ζῶον ἔμψυχόν ἐστι· τὶς ἄρα
οὐσία, ἔμψυχός ἐστιν. ἐν γὰρ τοιαύτῃ συζυγίᾳ ὁ μέσος ἀμφοτέροις ὑποκεῖ[ται].
ἡ τοιαύτη συμπλοκὴ τοῦ μέσου πρὸς τοὺς ἄκρους, τὸ λεγόμενον τρίτον σχῆ-
μα ποιεῖ· καὶ ἔστι μόνα ταῦτα τὰ τρία σχήματα· ὅτι καθόλου μὲν ἡ τοῦ μέσου
λῆψις, ἐκ τῶν συζυγιῶν καὶ τῶν σχημάτων γεννητική· παρὰ δὲ τοὺς προειρη-
μένους τρόπους, ἀδύνατον καὶ τὸ ἄλλως τινὰ σχέσιν ἐν τρισὶν ὅροις, μέσου ὅρ[ου]
πρὸς τοὺς ἄκρους τοὺς δύο συνταχθῆναι· πᾶς δὲ συλλογισμὸς ἁπλοῦς,
ἐκ τριῶν ὅρων, καὶ δύο προτάσεων ὡς εἴρηται· ἐπεὶ δὲ καθ᾽ ἕκαστον σχῆμα
τὰς συλλογιστικάς τινας εἶναι συζυγίας· καὶ ἀσυλλογίστους περὶ τούτων ποιήσο[μαι]
τὸν λόγον· καὶ δείξω πόσαι· καὶ τίνες εἰσὶ καθ᾽ ἕκαστον σχῆμα συλλογισμοί.
ἐν πρώτοις δὲ τὸν λόγον περὶ τοῦ πρώτου σχήματος ὡς εἶπον, ποιήσομαι· εἰκότως
γὰρ πρῶτον τοῦτο. ἐν ᾧ ὁ μέσος, οὐ τὴν πρὸς τοὺς ἄκρους σχέσιν μόνον, ἀλλὰ
καὶ τὴν τοῦ μέσου ἔχει καὶ τὴν θέσιν· οἷς γὰρ σχήμασι τῆς γενέσεως ὁ μέσος
ὅρος αἴτιος, τούτων καὶ τῆς τάξεως ἂν εἰκότως αὐτὸς εἴη κύριος. προτιμᾶται
οὖν τοῦτο τὸ σχῆμα τῶν ἄλλων, ἐν ᾧ τυγχάνει ὁ μέσος ὁ αὐτὸς ὢν καὶ τὴν τάξιν.
ἔτι οἱ μὲν ἐν τούτῳ τῷ σχήματι γινόμενοι συλλογισμοὶ τέλειοί εἰσιν.

ἀτελεῖς οὖσαι ἐν τοῖς ἄλλοις, καὶ παρὰ τούτου βοηθούμεναι. πρότερον δὲ τὸ τέλειον τοῦ ἀτελοῦς. ἔχει δὲ καὶ τὸ σχῆμα τάξιν τινὰ ἀπὸ τοῦ πρώτου. οὐσῶν γὰρ δύο προτάσεων ἐν αὐτῷ. τῆς μὲν πρὸς τῷ μείζονι ἄκρῳ. τῆς δὲ πρὸς τῷ ἐλάττονι. ἔστι δὲ μείζων ὅρος ὁ ἐν τῷ προβλήματι κατηγορούμενος. ὁμοίως δὲ καὶ ἐν τῷ συμπεράσματι, μείζων λεγόμενος. ὅτι ἐστὶν ἐπὶ πλέον οὗ κατηγορεῖται. οὐκ ἀεὶ μὲν γὰρ τοῦτο. ἔστι γὰρ ποτὲ καὶ ἐπίσης. ἀλλὰ τὸ μὲν ἐπίσης ποτὲ γίνεσθαι, κοινόν ἐστι τῶν τε κατηγορουμένων καὶ τῶν ὑποκειμένων. ὅτε δὲ μὴ ἐστὶν ἴσοι, ἴδιον τοῦ κατηγορουμένου τὸ ἐπὶ πλέον λέγεσθαι. τοῦ δὲ ὑποκειμένου τὸ ἐπ᾽ ἔλαττον. λέγω δὲ ἐν ταῖς ἀληθέσι προτάσεσιν. οὐδέποτε γὰρ ἀνάπαλιν. ἀπὸ τοῦ ἰδίου δὴ ἑκάτερος, καὶ ὅτε δὴ ἐστὶν ἴσοι ἔχει τὸ ὄνομα. ὁ μὲν κατηγορούμενος μείζων λέγεσθαι. καὶ ὅτε οὐκ ἐστὶν ἴσος. ἐπεὶ ἴδιον αὐτοῦ τὸ ποτὲ μὲν μεῖζον. καὶ δέποτε δὲ ὡς ὁ ὑποκείμενος ἐλάττων. τοῦτο γὰρ τούτου ἴδιον. οὐδέποτε γὰρ μείζων οὗτος. οὐσῶν οὖν δύο προτάσεων ἐν τῷ πρώτῳ σχήματι. τῆς μὲν, ἐχούσης τὸ μέσον, συμπλεκόμενον τῷ κατηγορουμένῳ καὶ μείζονι. διὰ τοῦτο καὶ αὐτῆς μείζονος λεγομένης. τῆς δὲ ἐχούσης τὸ μέσον τῷ ὑποκειμένῳ καὶ ἐλάττονι συμπλεκόμενον. καὶ διὰ τοῦτο καὶ αὐτῆς ἐλάττονος λεγομένης, ἢ ἑκατέρας τούτων τῶν προτάσεων ἀντιστροφῇ, ἑκάτερον ἀνακάμψαν τῶν σχημάτων γεννᾶται. ὥστε καὶ κατὰ τὸ κοινόν, τοῦτο πρῶτον ἐν ἀνάγκῃ. ὅτι καὶ τῶν ἄλλων γεννητικόν. ἐπεὶ δὲ ἐν ᾗ ἐστιν ὁ συλλογισμὸς κύριον τὸ καθόλου, ἴδιον γὰρ τῆς συλλογιστικῆς πίστεως τὸ ἐν καθόλου δεικνύναι. καὶ ἔστιν ἡ μείζων πρότασις καθόλου ἐν τῷ πρώτῳ σχήματι ἐν συλλογιστικῇ συζυγίᾳ. ἐκ τῆς μείζονος καὶ κυριωτέρας ἀντιστροφῆς, τὸ πρῶτον καὶ κυριώτερον τῶν λοιπῶν σχημάτων γεννήσεως. γίνεται δὲ ἀντιστραφείσης ἐκείνης ὁ μέσος ἀμφοτέρων κατηγορούμενος. ἀνὰ τὸ μέσον σχῆμα καὶ δεύτερον, ἐν ᾧ ὁ μέσος ἀμφοτέρων κατηγορεῖται. τρίτον δὲ καὶ ἔσχατον, τὸ κατὰ τὴν ἀντιστροφὴν γινόμενον τῆς ἐν τῷ πρώτῳ σχήματι, ἐλάττονος προτάσεως. ἧς ἀντιστραφείσης, ὁ μέσος ἀμφοτέροις ὑποκείμενος γίνεται. Τί καὶ διὰ τοῦτο τὸ πρῶτον, πρῶτόν ἐστι σχῆμα; ὅτι ἐν τῷ σχήματι τούτῳ, συνάγεται πάντα τὰ προβλήματα. καὶ καθόλου καταφατικὰ καὶ καθόλου ἀποφατικά. καὶ ἐπὶ μέρους καταφατικὰ καὶ ἀπο-



φατικά· ὥστε καὶ διὰ τοῦτο εὐλόγως τοῦτο πρῶτον· ὁλόκληρον καὶ τέλειον πάντοθεν. ἐπὶ γὰρ τῶν δύο τῶν λοιπῶν σχημάτων, οὐ συνάγεται πάντα. δύο γὰρ οὐσῶν κα-θέσεων πρὸς ταῖς τοῦ ποιοῦ τε καὶ ποσοῦ· καὶ ὄντος ἐν μὲν ποσῷ, τιμιωτέρου τοῦ καθόλου· ἐν δὲ τῷ ποιῷ, τοῦ καταφατικοῦ· ἑκάτερον αὐτῶν πλεονεκτεῖ κατὰ τὸ θάτερον· τὸ μὲν δεύτερον, τοῦ τρίτου· τῷ ἐν αὐτῷ καθόλου συνάγεσθαι. ὅπερ ἐστὶ τιμιώτερον ἐν ποσῷ· καταφατικὸν γὰρ οὐδὲν ἐν τούτῳ τῷ σχήματι δείκνυται. τὸ δὲ τρίτον τοῦ δευτέρου, τῷ ἐν τούτῳ πάλιν τὸ καταφατικὸν συνάγεσθαι· ὅπερ τιμιώτερον ἐν ποιῷ· καθόλου γὰρ οὐδὲν ἐν τούτῳ τῷ σχήματι συνάγεται. ἐπεὶ ἴδιον μᾶλλον συλλογισμοῦ, τὸ καθόλου ἢ τὸ καταφατικόν· καὶ γὰρ ἐπιστήμης αὐτὸ ἐστὶ τοῦτο· καὶ τούτῳ τῶν ἄλλων πίστεων διαφέρει, εἰκότως τὸ ἐν τῷ ἰδίῳ τοῦ συλλογισμοῦ πλεονεκτοῦν σχῆμα· καὶ τοῦτο ἔχον· πρὸ τοῦ κατὰ τὸ μὴ δεικνύντος καθόλου· οὐκοῦν δεύτερος ἂν ἀποδοθείη. πλεονεκτῶν τοῦ τρίτου, τῷ τὸ πρὸ αὐτοῦ τάξιν ἔχειν. ἀλλὰ καὶ ὄντος συλλογισμοῦ, τοῦ μὲν ἀποδεικτικοῦ· τοῦ δὲ, διαλεκτικοῦ· τοῦ δὲ, σοφιστικοῦ· καὶ τιμιωτάτου μὲν τοῦ ἀποδεικτικοῦ· δευτέραν δὲ ἔχοντος τάξιν τοῦ διαλεκτικοῦ, καὶ τρίτην τοῦ σοφιστικοῦ· τὰ μὲν ἀποδεικτικὰ τῷ πρώτῳ σχήματι οἰκειότατα· οἱ γὰρ ἀποδεικτικοὶ κυρίως, καθόλου καταφατικοὶ συμπεραίνονται. διὰ τοιούτων γὰρ αἱ ἀποδείξεις. ἃ μόνον διὰ τοῦ πρώτου δείκνυται σχήματος. ὅθεν εὐλόγως καὶ διὰ τοῦτο πρῶτον· τὰ δὲ διαλεκτικὰ τὸ δεύτερον· σχεδὸν γὰρ ὁ διαλεκτικὸς ἀεὶ τὰς θέσεις ἀνελὼν τοῦ προσδιαλεγομένου ἀνασκευάζειν πειρώμενος, ἀποφατικὰ συνάγει· τούτοις δὲ τὸ δεύτερον ἀναλογεῖ σχῆμα. οἱ δὲ σοφισταὶ ἀδιόριστα ἐρωτῶντες καὶ συνάγοντες, τὰ τὸ ἀδιόριστον ἰσοδύνασθαι τῷ ἐπὶ μέρους. ἐπὶ μέρους δὲ πάντα ἐν τῷ τρίτῳ σχήματι συνάγεσθαι, εἰκότως ἂν ἔχοιεν τοῦτο τὸ σχῆμα. ἡ μὲν οὖν ποιότης τῶν σχημάτων καὶ ἡ τάξις, καὶ ἡ τῆς τάξεως αἰτία, αὕτη τε καὶ διὰ ταῦτα. δεῖ δὲ ἐν τῷ πρώτῳ σχήματι τὰ ἔχοντα τὸν μὲν μείζονα ὅρον κατηγορούμενον τοῦ μέσου· τὸν δὲ μέσον τοῦ ἐσχάτου καὶ ἐλάττονος, τὸν μὲν ἐλάττονα καὶ ἔσχατον ὅρον ἐν ὅλῳ εἶναι τῷ μέσῳ ἐξ ἀνάγκης ἢ ὅλον ἢ μέρος αὐτοῦ· εἰ μέλλει συλλογισμὸς ἔσεσθαι. οὕτως δὲ ἐχόντων τῶν ὅρων τούτων πρὸς ἀλλήλους, ἔσται ἢ ἐλαττόνων προτάσεις· ἐλαττόνων δὲ ἢ πρὸς τὰ ἐλάττονι ἄκρῳ, ἢ καθόλου καταφατική, ἢ ἐπὶ μέρους καταφατική.

+

καταφατικῆς δὲ πάντως ὑπαρχούσης ἐν τῷ πρώτῳ σχήματι ταύτης τῆς καταφάσεως,
ἀδύνατον γενέσθαι συλλογισμόν. τὴν δὲ μείζονα πρότασιν, ἀναγκαῖον εἶναι
πάλιν καθόλου, εἰ μέλλει συλλογισμὸς ἔσεσθαι ἐν πρώτῳ σχήματι. ἐπεὶ
γὰρ ἐν ὅλῳ τῷ μέσῳ ὅρῳ ὁ ἐλάττων ἐστίν, καὶ κατὰ μέρος αὐτοῦ δυνατὸν
εἶναι. ἀνάγκη ποτὲ εἰς τὸ αὐτὸ λαμβάνεσθαι. καὶ μεῖζον ὁ μέσος τοῦ ἐλάττονος.
ἐὰν καὶ τὰ πάντα τὰ τοῦ μέσου ὁ μείζων ἄκρος κατηγορῆται. καὶ τὰ δὲ μέρος αὐτοῦ,
οὐκ ἐξ ἀνάγκης οὐδὲ ὁ ἐλάττων ὅρος περιλαμβάνοιτο ὑπ' αὐτοῦ. δυνατὸν
γὰρ ἑτέρου τινὸς μέρους τοῦ μέσου ὁ μείζων κατηγορεῖσθαι εἰ ἐπὶ μέρους εἴη,
τὸ μὴ τοῦτο ὅ ἐστιν ἢ ὅλον ὁ ἐλάττων ὅρος ἢ μέρος αὐτοῦ. ὥσπερ γὰρ ὁ μὲν μέρος
τοῦ προσώπου ῥαφθεὶς οὐ πάντως ἤδη τὸν ὀφθαλμὸν τετρώκει. οὐδὲ πάντα αὐτὸν
τετρωμένος. εἰ δὲ καὶ τὸν ὀφθαλμὸν τετρωμένον οὕτω καὶ ὅλῳ τῷ προσώπῳ,
οὕτως καὶ ἐπὶ τῆς προκειμένης συζυγίας ὁ μὲν ἄκρος ὅλον τὸν μέσον περιλα-
μβάνων, καὶ τὰ μέρη αὐτοῦ πάντα συμπεριείληφεν. ὁ δὲ μέρος αὐτοῦ οὐ πάντα
ἤδη καὶ τοῦτο ὅ ἐστιν ἢ ὅλον ὁ ἐλάττων ἢ μέρος αὐτοῦ. ἔστω οὖν καὶ ἡ μείζων πρό-
τασις ἐξ ἀνάγκης καθόλου. ἢ καταφατικὴ ἢ ἀποφατική. καὶ ἕξει ἐν πρώτῳ
σχήματι, ἡ μὲν μείζων πρότασις, τὸ ποσὸν ὡρισμένον, ἀόριστον δὲ τὸ ποιόν.
ἡ δὲ ἐλάττων, ἀνάπαλιν. τὸ μὲν ποιόν, ὡρισμένον ἕξει. πάντως γὰρ ἐστὶ κα-
ταφατικόν. ἀόριστον δὲ τὸ ποσόν. καὶ γὰρ καθόλου οὔσης τῆς καταφατικῆς.
καὶ ἐπὶ μέρους, συλλογισμὸς ἔσται. ὥστε ἔσται ἡ μὲν μείζων πρότασις, ἐν πρώτῳ
σχήματι. ἢ καθόλου καταφατική, ἢ καθόλου ἀποφατική. ἡ δὲ ἐλάττων, κα-
ταφατική. ἢ καθόλου ἢ ἐπὶ μέρους. τεσσάρων δὴ οὐσῶν προτάσεων. δύο μὲν
καθόλου ἢ καταφατικῶν ἢ ἀποφατικῶν. δύο δὲ καταφατικῶν ἢ καθόλου
ἢ ἐπὶ μέρους, συμπλεκομένων τούτων τέσσαρες γίνονται συμπλοκαί. διὸ καὶ
τέσσαρες συλλογισμοὶ τοῦ πρώτου σχήματος. ἢ γὰρ καθόλου οὖσα ἡ ἐλάτ-
των καταφατικὴ συμπλακήσεται τῇ μείζονι. οὔσῃ καὶ αὐτῇ καθόλου κα-
ταφατικῇ, ἢ μέντοι καὶ αὐτὴ καθόλου καταφατική, τῇ μείζονι καθόλου
ἀποφατικῇ συμπλακήσεται. ἢ γενομένη ἐπὶ μέρους καταφατική, συμπλα-
κήσεται τῇ μείζονι. ποτὲ μὲν καθόλου καταφατικῇ οὔσῃ. ποτὲ δὲ κα-
θόλου ἀποφατικῇ. τὸ δὲ συμπέρασμα, ἀεὶ ἐν πρώτῳ σχήματι. παρὰ μὲν
τῆς μείζονος προτάσεως τὸ ποιὸν ἕξει. ὁποία γὰρ ἂν ἡ μείζων ᾖ. αὐτῇ καὶ τὸ

φατικὴ αὕτη ἀποφατική, καὶ τὸ συμπέρασμα τοιοῦτον ἔσται. τὸ δὲ ποσὸν παρὰ
τῆς ἐλάττονος, ἔσται καὶ τὸ συμπέρασμα καθόλου. εἰ δὲ ἐπὶ μέρους ἐστὶν ἡ ἐλάττων,
ἐπὶ μέρους καὶ τὸ συμπέρασμα. ὁρίζεται δὲ καὶ τὸ συμπέρασμα, τὸ τοῦ (?) ἑκα-
τέρα πρότασις ἀορίστου. ὅτι γὰρ τὸ μαρτύριον ἀν (?) … τῶν τεθέντων …
τοῦ συλλογισμοῦ. τουτέστιν ἐκ τῶν συγχωρουμένων. συγχωρεῖται γὰρ ταῦτα
ἅπερ μὴ συγχωρηθῆναι δύναται. ἃ δέ ἐστιν ἀναγκαῖα. καὶ ὡς ἐκ … ὁμολογουμένων οὐ
καὶ γίνονται συλλογισμοί. τοῦτο οὖν καὶ ἀντὶ τεθέντα (?) συγχωρούμενα. ὅτι ὡς
ἐκ τῶν τεθέντων. δηλονότι τούτοις ὅμοιον γίνεσθαι τὸ συμπέρασμα τοῖς συγχω-
ρηθεῖσιν. οὐ τοῖς ἐξ ἀνάγκης … χρονοῦ (?). καὶ γὰρ ἀπὸ τῶν ὡρισμένων τῶν προτάσεων
ἐγίνετο ὅμοιον τὸ συμπέρασμα, ἀλλ' ἀνάγκη καὶ τοῦτο συνάγεσθαι (?). καθόλου γὰρ
καὶ καταφατική. καταφατικὴ μὲν διὰ τὴν ἐλάττω. καθόλου δὲ διὰ τὴν μείζω.
τὸ οὖν ἀλλ' ὅτι ἀνοίσοντες (?) … συλλογιστικῶς ἐν πρώτῳ σχήματι. ἀντὶ οὕτως
γίνεται ταῖς τῷ χρόνῳ τῶν λαμβανομένων, ὅμοιον γίνεσθαι τὸ συμπέρασμα.
ὅταν μὲν οὖν ἀμφότεραι αἱ προτάσεις ὦσι καθόλου τε καὶ καταφατικαί,
τὸ συμπέρασμα γίνεται τοιοῦτον. καὶ ἀπὸ τοιούτου συλλογισμοῦ,
τῷ πρώτῳ ἀξιοῦται ἔχον ἐν τῷ συμπεράσματι καὶ τὸ ἀποσῶ (?), καὶ τὸ αὐτοῦ βέλ-
τιον. καταποσούσης δὲ τῆς μείζονος εἰς τὸ καθόλου ἀποφατικόν, ὅθεν
τέραν ἔχων τάξιν. τὸ γὰρ ἐν ταῖς δι' ὧν τοῦ συλλογισμοῦ βέλτιον, ἔχει πάλιν οὗτος
ὁ συλλογισμὸς ἀνάγκην ἀμφότερα. τὸ γὰρ καθόλου. ἂν δὲ ἡ ἐλάττων καταπ-
πέσῃ καὶ ἐπὶ μέρους γένηται, καθόλου μὲν καταφατικῆς οὔσης τῆς μείζονος.
ἐπὶ μέρους δὲ τῆς ἐλάττονος, καταφατικὸν ἔσται τὸ συμπέρασμα. καὶ τρίτος
οὗτος τῇ τάξει συλλογισμός, πλέον ἔχων τοῦ … ἐν τῷ ποιῷ βελ-
τίονι. καταφατικὸς μὲν γὰρ οὗτος, ἐκεῖνος δὲ ἀποφατικός. ὅταν δὲ οὔσης τῆς
ἐλάττονος ἐπὶ μέρους καταφατικῆς ἡ μείζων γένηται καθόλου ἀποφατική,
γίνεται τὸ συμπέρασμα ἐπὶ μέρους ἀποφατικόν. καὶ ἔσχατος οὗτος συλλογισμὸς
ἐν τῷ πρώτῳ σχήματι. τοῦ μὲν κατὰ τὸ ποιόν, τοῦ δὲ κατὰ τὸ ποσόν. τοῦ δὲ κατὰ ἀμ-
φω ἡττώμενος τῶν πρὸ αὐτοῦ. καὶ τοσαῦται μὲν αἱ ἐν τῷ πρώτῳ σχήματι
συλλογιστικαὶ συζυγίαι. καὶ οὕτως εὑρίσκονται. αἱ ἐπὶ τῶν διωρισμένων προτά-
σεων λαμβάνονται. αἱ δὲ καὶ ταῖς ἐξ ἀδιορίστων συζυγίαις συναριθμοῦμεν, διὸ
ἄλλοι συλλογισμοὶ ἐν πρώτῳ σχήματι εὑρίσκονται, τῆς ἐλάττονος ἀδιορί-

καταφατικῆς λαμβανομένης· ἢ τὸ τέταρτον· ποτὲ μὲν τῇ μείζονι καθόλου οὔσῃ
καταφατικῇ· καὶ τὸ συμπέρασμα, ἀδιόριστον καταφατικὸν ἔσται·
ποτὲ δὲ τῇ μείζονι καθόλου ἀποφατικῇ ληφθείσῃ· καὶ τὸ συμπέρασμα ἀδι-
όριστον καταφατικὸν ἔσται· ποτὲ δὲ τῇ μείζονι καθόλου ἀποφατικῇ ληφθείσῃ·
καὶ τὸ συμπέρασμα ἀδιόριστον ἀποφατικόν· ἀδύνατον γὰρ τῆς μείζονος
ἀδιορίστου ληφθείσης, συλλογισμὸν γενέσθαι. αἱ δὲ δύο τελευταῖαι καὶ τὸ συμπέρασμα
ὅμοιον γίνεσθαι τῷ χείρονι τῶν ἐν ταῖς προτάσεσιν ἀναληφθέντων· ἢ κατὰ τὸ
ποσόν· ἢ κατὰ τὸ ποιόν. τοσαῦται μὲν οὖν ἐν τῷ πρώτῳ σχήματι συλλογιστικαὶ
συζυγίαι· αἱ δὲ πᾶσαι ἐν τῷ πρώτῳ σχήματι, κατὰ τοὺς παλαιοὺς, ἑκκαίδεκα συζυγίαι
ἀλλὰ ταῖς ἀδιορίστοις συναριθμούμεναι, λϛ. καθ᾽ ἕκαστον σχῆμα, ἑξαχῶς
τῆς προτάσεως συντιθεμένης τῇ ἑτέρᾳ. ὁμοίως καὶ αὐτῆς ἑξαχῶς λαμβανο-
μένης· οὔσης μὲν γὰρ τῆς μείζονος καθόλου καταφατικῆς, ἓξ ἔσονται συ-
ζυγίαι· τῆς ἐλάττονος, ἢ καθόλου ληφθείσης καταφατικῆς, ἢ καθόλου
ἀποφατικῆς· ἢ ἐπὶ μέρους καταφατικῆς· ἢ ἐπὶ μέρους ἀποφατικῆς·
ἢ ἀδιορίστου καταφατικῆς, ἢ ἀποφατικῆς. ἂν δὲ πάλιν ἡ μείζων καθόλου
ἀποφατική, πάλιν ἓξ ἄλλαι συμπλοκαί. τῆς ἐλάττονος ἑξαχῶς αὐτῇ
κατὰ τὰ προειρημένα, συντεθεῖσθαι δυναμένης. ἑξαχῶς δὲ πάλιν ἡ ἐλάτ-
των τῇ μείζονι συντεθήσεται, κἂν ἀόριστος καταφατικὴ ληφθῇ· ὁμοίως
δὲ καὶ ἑξαχῶς, ἀδιορίστου αὐτῆς ἀποφατικῆς ληφθείσης. τὸν αὐτὸν δὲ τρόπον
καὶ ἐπὶ μέρους λαμβανομένης, ποτὲ μὲν καταφατικῆς. ποτὲ μὲν καθόλου
καταφατικῆς· ποτὲ δὲ καθόλου ἀποφατικῆς· ποτὲ δὲ μερικῆς καταφατικῆς.
ποτὲ δὲ μερικῆς ἀποφατικῆς. ποτὲ δὲ ἀδιορίστου καταφατικῆς ἢ ἀπο-
φατικῆς, τῶν καθ᾽ ἑκάστην διαφορὰν ἑξαχῶς αὐτῇ τῶν ἐλαττόνων συντί-
θεσθαι, ἔσονται ἑξάκις ἓξ αἱ πᾶσαι τῶν προτάσεων ἐν τούτῳ τῷ σχήματι
συμπλοκαί· αἱ αὐταὶ δὲ καὶ ἐν τοῖς ἄλλοις δυσίν. ἐξαιρουμένων δὲ τῶν ἀδιορίστων,
γίνονται αἱ πᾶσαι συμπλοκαὶ τετράκις τέσσαρες αἳ γίνονται δεκαέξ. ἐξ ὧν
ἀφαιρουμένων τεσσάρων τῶν συλλογιστικῶν, αἱ καταλειπόμεναι γίνονται
ἀσυλλόγιστοι δώδεκα. συλλογιστικαὶ δὲ καὶ ἀσυλλόγιστοι συζυγίαι λέγονται,
αἱ μὴ συμβάλλουσαι τῇ τῆς ὕλης διαφορᾷ, μηδὲ ἄλλοτε ἄλλο τι συνά-
γουσαι καὶ δεικνύουσαι. ἀλλὰ καὶ ἐπὶ πάσης ὕλης, ὅμοιον [illegible]

ἔχοντες ἐν τῷ συμπεράσματι φυλάττουσαι· ἡ δὲ συμμεταπίπτουσα τῇ ὕλῃ
τὸ συμμετασχηματιζομένη καὶ ἄλλοτε ἀλλοῖον καὶ μαχόμενον ἴσχουσα τὸ συμ-
πέρασμα, ἀσυλλόγιστός ἐστι καὶ ἀδόκιμος συζυγία· ὡς αὐτὸς ἀποδείκνυσιν, ὁ μὴ
ἕως τῶν γνωρίμων μηδὲ βεβαίως ποιούμενος τὸν λόγον:· Ἐπὶ τοῦ πρώτου
σχήματος πρῶτον διαπαραδείκνυται τὸ αὐτὸ ὁποῖόν ἐστιν ἐν ἑκάστῳ αὐτῶν:·

Ὅταν οὖν ὅροι τρεῖς οὕτως ἔχωσι πρὸς ἀλλήλους· ὥστε τὸν ἔσχατον ἐν ὅλῳ εἶναι τῷ
μέσῳ· καὶ τὸν μέσον ἐν ὅλῳ τῷ πρώτῳ εἶναι ἢ μὴ εἶναι: +

Ταῦτα γὰρ παραδείκνυται τὸ μέν, τοῦ πρώτου συλλογισμοῦ· τὸ δέ, τοῦ δευτέρου.
ἀνωτέρω ὁ λόγος τοῦ πρώτου σχήματος οὐ λέγεται, οὐ ἐξ ἀρχῆς ἀποδέδωκε λέγων
περὶ τοῦ μέσου ὅρου· ἐν ᾧ γὰρ σχήματι ὁ μέσος αὐτός τε ἐν ἄλλῳ ἐστί, καὶ ἄλλος
ἐν τούτῳ· τοῦτο ἐστὶ πρῶτον σχῆμα· ὅταν μέσος ἐν τούτῳ, τοῦ μέν, κατηγορεῖται
τῶν ὅρων, τῷ δέ, ὑπόκειται· μέσος τοῦ δὲ λόγου οὐ καθόλου ἀποδέδωκεν· ἀλλὰ
τοῦ ἐν πρώτῳ σχήματι, ἐκεῖθεν καθόλου, μέσος ὅρος ἐν συζυγίᾳ, ὁ δὶς λαμ-
βανόμενος, καὶ ὁ ἐν ἀμφοτέραις ταῖς προτάσεσι· καὶ καθόλου κοινὸν
ὂν ἐν ἁπάσαις ταῖς συζυγίαις προτάσεσιν ἀλλήλαις· ἐδήλωσε διὰ τῆς λέξεως,
τὴν αἰτίαν, τοῦ πρῶτον εἶναι σχῆμα τοῦτο ἁπλῶς· ἐν ᾧ ἀνυπόπτως ἄκρων ἐστὶ
συλλογισμὸν τέλειον· ἐν ᾧ γὰρ οἱ τέλειοι συλλογισμοί, τοῦτο εἰκότως σχῆμα
πρῶτον· οὐ τοῦτο δὲ λέγω ὅτι ἐν ᾗ συζυγίᾳ ὁ μέσος καὶ αὐτὸς ἐν ἄλλῳ ἐστί· καὶ ἄλ-
λος ἐν τούτῳ· καὶ ἔχει ὁ μέσος καὶ τὴν θέσιν μέσην, πάντως αὕτη συλλογιστική·
τὸ συλλογισμὸς τέλειος, ἐξ αὐτῆς γίνεται· ἐπεὶ οὕτως ἔχουσι πᾶσαι αἱ ἐν
τούτῳ τῷ σχήματι συζυγίαι, συλλογιστικαί· ἀλλὰ τὸ λεγόμενον ἐστίν, ὅτι τῶν οὕτως
ἐχουσῶν ὡς προειρήκαμεν παραλειφθέντων· πῶς δὲ εἶπεν, ὥστε φησὶ τὸν ἔ-
σχατον ἐν ὅλῳ εἶναι τῷ μέσῳ· καὶ τὸν μέσον ἐν τῷ ἢ εἶναι ἢ μὴ εἶναι· τότε γὰρ οὕτως
ἐχουσῶν τῶν προτάσεων, τῶν ἄκρων συλλογισμὸς γίνεται πρὸς ἀλλήλα
τέλειος· συλλογισμὸν δὲ εἶπε νῦν, τὸ συμπέρασμα· ποιεῖται δὲ τὴν ἀρχὴν
τῆς τῶν συλλογισμῶν διδασκαλίας, ποτὲ μὲν ἀπὸ τοῦ ἐν ὅλῳ ποτὲ δὲ ἀπὸ
τοῦ κατὰ παντός· ἐπεὶ ἑκάτερον αὐτῶν, ἀρχή τίς ἐστι καὶ πρῶτον· τὸ μὲν γὰρ
ἐν ὅλῳ, ἀρχὴ καὶ πρῶτον πρὸς ἡμᾶς· ἡμῖν γὰρ γνωριμώτερα τὰ ἐν ὅλῳ, καὶ
ὑποκείμενα μᾶλλον τῶν ἐπὶ πλέον λεγομένων· ἐγγύτερα γὰρ τῶν αἰσθητῶν
ταῦτα· τὸ δὲ κατὰ παντός πάλιν τῇ φύσει πρῶτον· κοινότερον γὰρ καὶ γενικώτερον



τὰ δὲ ἤδη κατὰ τὴν φύσιν πρῶτα. οὕτως δὲ καὶ αἱ ἀρχαί:· ὅταν γὰρ τὸ α̅ κατὰ παντὸς τοῦ β̅, καὶ τὸ β̅ κατὰ παντὸς τοῦ γ̅, ἀνάγκη τὸ α̅ κατὰ παντὸς τοῦ γ̅ κατηγορεῖσθαι.

πρὸς στοιχεῖα τὴν διδασκαλίαν ποιεῖται ὑπὲρ τοῦ δεδεῖχθαι ἡμῖν. ὅτι οὐ παρὰ τὴν ὕλην γίνεται τὸ συμπέρασμα, ἀλλὰ παρὰ τὸ σχῆμα καὶ τὴν τοιαύτην τῶν προτάσεων συμπλοκὴν καὶ τὸν τρόπον. οὐ γὰρ ὅτι ἡ δὲ ἡ ὕλη συνάγεται συλλογιστικῶς τόδε, ἀλλ' ὅτι ἡ συζυγία τοιαύτη. τὰ δ' οὖν στοιχεῖα τοῦ καθόλου καὶ ἀεὶ ὡς ἐπὶ πάντας τοὺς ληφθέντας ὅρους τοιοῦτον ἔσεσθαι τὸ συμπέρασμα, δηλωτικά ἐστιν. ἐδίδαξε δὲ ἡμᾶς ὅτι τὸ ἐν ὅλῳ εἶναι ἕτερον ἑτέρῳ καὶ τὸ κατὰ παντὸς λέγεσθαι θάτερον θατέρου ταὐτόν ἐστι. χρησάμενος οὖν τῷ ἐν ὅλῳ ἐν τῇ τοῦ σχήματος ὑποβολῇ, μεταλαβὼν τὸ κατὰ παντὸς χρῆται. ἀεὶ ἐστιν ἀμφῶ ἐν τῇ καθόλου καταφατικῇ προτάσει. τὸ δὲ κατὰ μηδενὸς δὲ ἡμῖν, πῶς ἴστε, καὶ τὸ κατὰ παντὸς ἀποδέδωκεν. ὅταν γὰρ μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ' οὗ τὸ κατηγορούμενον οὐ ῥηθήσεται, τὸ δὲ τοῦ ἐνδείξασθαι, ὅτι οὐδενὸς ἔξωθεν ἐπὶ τῆς τοιαύτης συναγωγῆς χρεία, προσέθηκε φανερὸν γενέσθαι τὸ ἀναγκαῖον. ἀλλ' ἱκανὰ τὰ κείμενα. τὸ γὰρ κατὰ παντὸς ὅ ἐστι κείμενον καὶ ληφθὲν διὰ τῶν προτάσεων, ἱκανὸν πρὸς τὴν δεῖξιν τῆς συναγωγῆς. διὰ τοῦτο καὶ τέλειοι οἱ οὕτως ἔχοντες συλλογισμοί, καὶ κυρίως ἀναπόδεικτοι: ἔστι γὰρ μείζων μὲν ἄκρος τὸ α̅, μέσος δὲ ὅρος τὸ β̅, ἐλάττων δὲ ἄκρος τὸ γ̅. εἰ τὸ γ̅ ἐν ὅλῳ τῷ β̅, τὸ β̅ κατὰ παντὸς τοῦ γ̅. ἀντιστρέφει γὰρ ταῦτα ἀλλήλοις. οὐδὲν ἄρα ἐστὶ λαβεῖν τοῦ γ̅, καθ' οὗ τὸ β̅ οὐ ῥηθήσεται: πάλιν εἰ τὸ β̅ ἐν ὅλῳ τῷ α̅, τὸ α̅ κατὰ παντὸς τοῦ β̅. οὐδὲν ἄρα τοῦ β̅ ἐστὶν λαβεῖν καθ' οὗ τὸ α̅ οὐ λέγεται. εἰ οὐδὲν οὖν ἐστι λαβεῖν τοῦ β̅ καθ' οὗ τὸ α̅ οὐ λέγεται, τὸ δὲ τοῦ β̅ τὸ γ̅ ἐστίν, ἐξ ἀνάγκης καὶ κατὰ τοῦ γ̅ ῥηθήσεται. αὐτὸ δηλονότι ἐναργής ἡ τῶν τοιούτων συλλογισμῶν συναγωγή, γινομένη τε πιστουμένη διὰ τῶν κειμένων· τοῦ τε κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός. τε μηδενὸς ἔξωθεν ἄλλου προσδεομένη. χρῆται δὲ τῷ κατὰ παντὸς καὶ τῷ κατὰ μηδενὸς ἐν τῇ διδασκαλίᾳ. ὅτι διὰ τούτων γνώριμος ἡ συναγωγὴ τῶν λόγων. καὶ ὅτι οὕτως λεγομένης γνωριμώτερος ὁ κατηγορούμενος καὶ ὁ ὑποκείμενος. καὶ ὅτι πρῶτον τῇ φύσει τὸ κατὰ παντὸς τοῦ, ἐν ὅλῳ αὐτῷ ὡς προείρηται. καὶ μέντοι χρῆσις ἡ συλλογιστικὴ ἐν τῇ συνηθείᾳ δι' ἁπλινάχ.





οὐ γὰρ ἡ ἀρετὴ λέγεται κατὰ πάσης δικαιοσύνης· ἀλλὰ ἀνάπαλιν πᾶσα δι-
καιοσύνη ἀρετή· διὸ δεῖ καὶ τὰς ἀμφοτέρας τὰς ἐκφοράς, γυμνάζεσθαι ἐν αὐταῖς.
ἵνα τῇ τε χρήσει παρακολουθεῖν δυνώμεθα, καὶ τῇ διδασκαλίᾳ: +

ὁμοίως δὲ κἂν τὸ μὲν α̅ καὶ τὸ μηδενὸς τοῦ β̅..

Ἐκκειμένου τοῦ πρώτου συλλογισμοῦ ἐν τῷ πρώτῳ σχήματι, τοῦ ἐκ δύο καθόλου
καταφατικῶν· καθόλου καταφατικὸν συνάγοντος, τοῦ δὲ δευτέρου πάλιν τοῦ μὴ
μονοειδ. τοῦ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος, καὶ καθόλου καταφατικῆς
τῆς ἐλάττονος· καθόλου ἀποφατικὸν συνάγοντος· καὶ φησὶν ὅτι ὁμοίως καὶ
ἐπὶ τούτου· εἰ τὸ α̅ κατὰ μηδενός, καὶ τὸ β̅ κατὰ παντός, γνώριμος ἡ συναγωγή.
διὸ ἐστὶ τέλειος καὶ ἀναπόδεικτος, οὗτος· εἰ γὰρ κατὰ παντὸς τὸ β̅ τοῦ γ̅· οὐδὲν
ἔσται τοῦ γ̅ καθ' οὗ τὸ β̅ οὐ ῥηθήσεται· εἰ δὲ ἄρα ἐστὶ τὸ γ̅ τοῦ β̅· ἀλλὰ δὴ τὸ α̅ κατὰ
μηδενὸς λέγεται τοῦ β̅· οὐδὲν ἔσται τοῦ β̅ καθ' οὗ κατηγορηθήσεται τὸ α̅· ὥστε
τι τοῦ β̅ τὸ γ̅, καὶ τοῦ γ̅ οὐδενὸς ἄρα τὸ α̅:. εἰ δὲ τὸ μὲν πρῶτον παντὶ τῷ
μέσῳ ἀκολουθεῖ, τὸ δὲ ἔσχατον μέσον μηδενί, οὐκ ἔσται συλλο-

Ἀκολουθεῖν μὲν ἁπλῶς τὸ κατηγορεῖσθαι· τὸ γὰρ κατηγορούμενον γισμός:.
ἀκολουθεῖ τῷ ὑποκειμένῳ. ἀπὸ τῶν δὲ περὶ τῶν συλλογιστικῶν συζυγιῶν, ἐν τῷ
πρώτῳ σχήματι, ἃς καθόλου εἰσὶν ἀμφότεραι αἱ προτάσεις, παραδίδωσι
τέσσαρας συλλογίζεσθαι ἐγγίνονται, καθόλου τῶν προτάσεων οὐσῶν. τέσσαρες γὰρ
γίνονται συζυγίαι ἐν τῷ πρώτῳ σχήματι, ἐὰν ἀμφότεραι ὦσιν αἱ προτάσεις
καθόλου, αἱ μὲν δύο συλλογιστικαί εἰσιν ἃς προειρήκαμεν ἐξέθετο· αἱ δὲ δύο
ἀσυλλόγιστοι· ἢ τὰ ἔχουσαι τὴν ἐλάττονα ἀποφατικήν· τὴν δὲ μείζονα
καταφατικήν· ἢ συνωνύμως μὴ κοινὰ ὅσα· ἢ ἀμφοτέρας ἔχουσαι ἀποφατικάς.
τοῦ μὲν οὖν τῶν ἐπιζυγιῶν συζυγίαν ἀσυλλόγιστον εἶναι, αἴτιον ὅτι ἡ ἐλάτ-
των ἀποφατικὴ ἐλήφθη. εἴρηκε μὲν γὰρ ὅτι ἀδύνατον ἐν πρώτῳ σχήματι
συλλογισμὸν γενέσθαι, ἀποφατικῆς οὔσης τῆς ἐλάττονος προτάσεως.
ὅτι γὰρ οὕτως ἐχουσῶν τῶν προτάσεων, οὐδὲν ἀναγκαῖον συνάγεται.
ὅ ἐστιν ἴδιον συλλογισμοῦ, αὐτὸς μὲν δείκνυσι τῇ τῆς ὕλης παραθέσει· καὶ γὰρ
καθόλου καταφατικὸν ἐπί τινος ὕλης δείξας δυνάμενον συνάγεσθαι.
τὸ πάλιν ἐπ' ἄλλης, καθόλου ἀποφατικόν· ὁ γὰρ τῆς ἀλλεγομένους τοῦ μη-
δὲν μὲν ἂν ἔχοντι συζυγίαν τοιούτων ἰσχὺν συλλογιστικήν. ἀεὶ γάρ τε ἐν ἀντι

τε τὰ ἀντικείμενα ἀλλήλοις ταῦτα δείκνυται· οἱ γὰρ ἄλλοι ἀναιρετικοί. ἐν ᾗ γὰρ ἂν συ-
ζυγίᾳ καθόλου καταφατικὸν καὶ καθόλου ἀποφατικὸν δείκνυται, ἐν ταύτῃ
οὐδὲν οἷόν τε συνάγεσθαι συλλογιστικῶς· τὸ δὲ ἐν μὲν τὸ συναγόμενον συλλο-
γιστικῶς, ἐπὶ πάσης τῆς ὕλης τὸ αὐτὸ εἶναι· καὶ ἔτι ἢ καθόλου καταφατικὸν
εἶναι, ἢ καθόλου ἀποφατικόν· ἢ ἐπὶ μέρους καταφατικὸν ἢ ἀποφατικόν.
ἀναιρεῖσθαι δὲ τὴν μὲν καταφατικὴν ἀμφοτέρων, ὑπὸ τοῦ καθόλου ἀπο-
φατικοῦ· πάλιν δὲ τὰς ἀποφατικάς, ὑπὸ τοῦ καθόλου καταφατικοῦ
τοῦτο δὲ ἐμνημονεύσαμεν ἄνω· ὡς οὔτε τὸ κατὰ μέρος, οὔτε τὸ καθόλου γίνε-
σθαι ἀναγκαῖον· οὐχ ὅτι δὲ ἐὰν ἡ ἀντίφασις ἐν συζυγίᾳ τινὶ συναγομένη εὑρε-
θῇ, ἀναιρεῖται τὸ δύνασθαί τι ἐν αὐτῇ συνάγεσθαι συλλογιστικῶς· ἂν μὲν γὰρ
καθόλου καταφατικὸν καὶ ἐπὶ μέρους ἀποφατικὸν συνάγηται, οὐδ' ἀνῃρη-
θήσεται τὸ ἐπὶ μέρους καταφατικὸν συνάγεσθαι συλλογιστικῶς· ὑπ'
οὐδετέρου γὰρ τούτων καθ' αὑτὸ μὲν ἀναιρεῖται· τῶν δὲ ἡ ἑτέρα ἀντίφασις
τῶν δεικνυμένων, δεικνύσει τὸ συλλογιστικῶς συναγόμενον, εἶναι ἐπὶ μέρους
ἀποφατικόν. ἀλλὰ περὶ μὲν τούτου, μετ' ὀλίγον ῥηθήσεται· νῦν δὲ ἡμᾶς
προσθετέον καὶ τὴν αἰτίαν τοῦ ἀσυλλόγιστον εἶναι τὴν συζυγίαν τὴν κειμένην.
εἰ γὰρ τὸ γ̄ ἐν μηδενὶ τῷ β̄, τὸ β̄ καὶ τοῦ ἐλάττονος τοῦ γ̄· οὐδὲν ἄρα ἔστι λαβεῖν
τοῦ γ̄ καθ' οὗ τὸ β̄ ῥηθήσεται· κεχώρισται δὴ τὸ γ̄ τοῦ β̄. καὶ κατὰ τοῦτο δὴ αὐτὰ
συμπίπτει· τὸ δὲ γὰρ ᾱ καὶ τὰ παντὸς τοῦ β̄ κατηγορεῖται· ἀλλ' ἔπειτα καὶ τὸ παντὸς
τινὸς λεγόμενον, δύναται καὶ ἐπὶ πλέον εἶναι αὐτοῦ. διὰ τοῦτο γὰρ ὁ κα-
τηγορούμενος ὅρος, μείζων καλεῖται, δύναται τὸ ᾱ τοιοῦτον εἰλῆφθαι.
ὥστε πάντα τὸ β̄ περιειληφέναι, καὶ ἔτι ἔχειν τινὰ μόρια ἐκτὸς πίπτοντα
τῆς τοῦ β̄ περιλήψεως· οἷς δὲ ἐκτὸς πίπτει τοῦ β̄ τὸ ᾱ μεῖζον ὂν αὐτοῦ, δύναται
τούτοις καὶ τὸ γ̄ περιλαμβάνειν καὶ μὴ περιλαμβάνειν. γίνεται οὖν παρὰ
τὴν τῆς ὕλης διαφορὰν, τἀναντία, ἀληθῆ ἐπὶ τῆς τοιαύτης τῶν προτάσεων
συμπλοκῆς. αἱ δὲ οὕτως ἔχουσαι συμπλοκαί, ἀσυλλόγιστοι. ἔστω γὰρ
τὸ μὲν ᾱ, ζῶον· τὸ δὲ β̄, ἄνθρωπος· τὸ δὲ γ̄, ἵππος· ζῶον παντὶ ἀνθρώπῳ· ἄνθρωπος οὐδενὶ
ἵππῳ· ζῶον παντὶ ἵππῳ. τὸ γὰρ ἐκτὸς ἐκπῖπτον τοῦ ἀνθρώπου τὸ ζῶον, περι-
έχει τὸν ἵππον· οὐ κατὰ τὴν τοῦ μέσου κοινωνίαν αὐτοῖς καὶ αἰτίαν. ἐὰν δὲ μὴ
ἀντὶ τοῦ ἵππος λίθος τεθῇ, ἡ μὲν ἀλήθεια τῶν προτάσεων ὁμοία. καὶ γὰρ



τὸ ζῷον καὶ ἐπὶ παντὸς ἀνθρώπου καὶ ἄνθρωπος καὶ τοῦ οὐδενὸς λίθου· καὶ τὸ ζῷον καὶ τοῦ οὐδενὸς λίθου. ἀδόκιμος μὲν οὖν δὲ αὕτη ἡ συζυγία· οὐ καθ' αὑτὴν τὴν ὕλην ἀδόκιμα ποιοῦσα· ἀλλὰ συμπτωματικῶς πίπτουσα τῇ ἑκάστης διαφορᾷ, καὶ μηδὲν ἀναγκαῖον συναγόμενον ἐκ τῶν ὅρων. ἐπειδὴ δέ, καὶ γὰρ παντὶ καὶ μηδενὶ ἐνδέχεται τὸ πρῶτον τῷ ἐσχάτῳ ὑπάρχειν, ἐπιγίνεται, ὥστε οὔτε τὸ κατὰ μέρος οὔτε τὸ καθόλου γίνεται ἀναγκαῖον. οὐ γὰρ μόνον ἀναιρεῖται ὑπὸ τῆς καθόλου ἀποφατικῆς τὸ καθόλου καταφατικὸν ὡς εἰρήκαμεν, ἀλλὰ καὶ τὸ ἐπὶ μέρους καταφατικόν· ἡ γὰρ ἀντίφασις ἐν ταύταις. καὶ πάλιν ὑπὸ τοῦ καθόλου καταφατικοῦ, οὐ τὸ καθόλου ἀποφατικὸν ἀναιρεῖται μόνον· ἀλλὰ καὶ τὸ ἐπὶ μέρους ἀποφατικόν, ὥστε ἐν ταῖς δ' ἐξετάζειν ἀντίθετα συναγόμενα, ὅτε μὴ δ' ἐπὶ μέρους τι συνάγεται καὶ τὸ συλλογιστικὸν ἀναγκαῖον ἔδειξεν:· οὐδ' ὅταν μήτε τὸ πρῶτον τῷ μέσῳ μήτε τὸ μέσον τῷ ἐσχάτῳ μηδενὶ ὑπάρχῃ:· +

Μετελήλυθεν ὡς ἐπὶ τὴν ἐκ δύο καθόλου ἀποφατικῶν ἐν πρώτῳ σχήματι συζυγίαν· καὶ δείκνυσι καὶ ταύτην ἀσυλλόγιστον οὖσαν, τῇ τῶν ὅρων πάλιν παραθέσει ὡς περὶ τὰς διαφοράς, καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν φαίνεται τὸ α τῷ γ. αἰτία δὲ τοῦ μηδὲν συνάγεσθαι ἐν τῇ τοιαύτῃ συζυγίᾳ συλλογιστικῶς, ὅτι τὸ μέσον οὐδεμίαν ἔχει σχέσιν πρὸς οὐδέτερον τῶν ἄκρων· ἀλλ' οὕτως ἔχει ὡς εἰ καὶ μηδ' ἀρχὴν ἐλήφθη. τὸ γὰρ περὶ δὲ τοῦ τινὸς συλλογισμός· οὕτως γὰρ ἔχοντος αὐτοῦ, δυνατὸν καὶ πίπτειν ὑπὸ τὸ α τὸ γ καὶ μὴ πίπτειν. ἔστω γὰρ δὴ τὸ α ἐπιστήμη· τὸ β γραμμή· τὸ γ ἰατρική· οὐσῶν ἀμφοτέρων τῶν προτάσεων καθόλου ἀποφατικῶν, ἡ ἐπιστήμη τῇ ἰατρικῇ παντὶ ὑπάρξει. ἐὰν δὲ ἀντὶ τῆς ἰατρικῆς μονὰς τεθῇ ἢ λίθος, αἱ μὲν προτάσεις ὁμοίως ἀληθεῖς· οὐδεμιᾷ μονάδι ἐπιστήμη ὑπάρξει οὐδὲ λίθῳ:· καθόλου μὲν οὖν ὄντων, δῆλον ἐν τούτῳ τῷ σχήματι:· +

Εἰρηκὼς ὅτι τεσσάρων οὐσῶν συζυγιῶν ἐν πρώτῳ σχήματι καθόλου τῶν προτάσεων λαμβανομένων, δύο γίνονται συλλογιστικαὶ καὶ δύο δὲ ἀσυλλόγιστοι:·
[illegible] τοῦ συλλογισμοῦ τοὺς ὅρους ἀναγκαῖον ἔχειν:· +

Ἀναπεράνας ἅπαξ, καὶ γὰρ συλλογισμοῦ ὄντος ἐν πρώτῳ σχήματι ἐκ καθόλου προτάσεων, ἀναγκαίως τὴν εἰρημένην πρότασιν καὶ θέσιν ἔχειν τοὺς ὅρους πρὸς ἀλλήλους· καὶ τῶν ὅρων οὕτως ἐχόντων καὶ καθόλου, ἀναγκαῖον συλλογισμὸν εἶναι.



+

ὅτι μὲν οὖν ἂν καθόλου καταφατικὸν ᾖ συμπέρασμα, ἀδύνατον ἐκ τοιούτων προτάσεων καὶ οὕτως κειμένων ὡς ἔδειξεν, γίνεσθαι αὐτό, δῆλον· ἐν ἄλλῳ γὰρ σχήματι, οὐδὲν καθόλου συνάγεται καταφατικόν· πῶς δὲ οὐκ ἀληθὲς ἐπὶ τοῦ ἀποφατικοῦ καθόλου συμπεράσματος· δέδεικται γὰρ οὐκ ἀναγκαῖον εἶναι. εἰ εἴη καθόλου ἀποφατικὸν συμπέρασμα συλλογιστικῶς γεγονός, τὸ τοὺς ὅρους οὕτως ἔχειν ὡς εἰρήκαμεν ἐν τῇ δευτέρᾳ συζυγίᾳ τῶν ἐν τῷ πρώτῳ σχήματι· δυνατὸν γὰρ τοῦτο τὸ συμπέρασμα συλλογιστικῶς δειχθῆναι, καὶ ἄλλως ἐχόντων τῶν ὅρων· καὶ γὰρ ἐν δευτέρῳ σχήματι τὸ καθόλου ἀποφατικὸν δείκνυται· καὶ διχῶς γε. ὥστε τοῦ καὶ ἀληθὲς δεδεῖχθαι τὸ ὂν τοῦ συλλογισμοῦ, τοὺς ὅρους ἀναγκαῖον ἔχειν ὡς εἴπομεν. δεῖ οὖν προσυπακούειν, ἵν' ἀληθὲς ᾖ τὸ λεγόμενον, καὶ ἐν τούτῳ τῷ σχήματι· ὡς προείρηκε διὰ τοῦ καθόλου μὲν οὕτως τῶν ὅρων ἐν τούτῳ τῷ σχήματι. ὥστε καὶ ἃ ἐπιφέρει περὶ τῶν ἐν τούτῳ τῷ σχήματι λέγει. δυνατὸν δέ τι καὶ ἐπὶ τῶν ἐν δευτέρῳ σχήματι τῶν τὸ καθόλου ἀποφατικὸν συναγόντων, λέγειν τὸ εἰρημένον καὶ ἁρμόζειν· καὶ γὰρ κἀκεῖ εἰ μὴ ἡ τάξις τῶν προτάσεων οὕτως κεῖται, ὡς ἀλλ' ὡς ἐχόντων τῶν ὅρων πρὸς ἀλλήλους τὸ οὕτως ἐν τῷ πρώτῳ σχήματι· καταγομένων εἰς τὸ πρῶτον σχῆμα διὰ τῆς ἀντιστροφῆς, τῶν προτάσεων αὐτῶν, δείκνυνται συλλογιστικαὶ οὖσαι αἱ συζυγίαι. ὥστε καὶ τὸ οὕτως ἔχειν οἱ ὅροι πρὸς ἀλλήλους, ὡς εἴρηκεν ἐπὶ τῆς ἐν τῷ πρώτῳ σχήματι δευτέρας συζυγίας. εἰς γὰρ τοῦτο ἀνάγονται, οἱ καθόλου ἀποφατικὰ ἐν δευτέρῳ συνάγοντες σχήματα ὡς προϊὼν δείξει:

ἐὰν δ' ὁ μὲν καθόλου τῶν ὅρων ὁ δ' ἐν μέρει, πρὸς τὸν ἕτερον: +

Οὐκ ἀργῶς μοι δοκεῖ προστεθεῖσθαι μὲν αὐτό, οὐδ' ἐν μέρει πρὸς τὸν ἕτερον. δυνατὸν γὰρ καὶ ἐν μιᾷ καὶ τῇ αὐτῇ προτάσει, τῶν ὅρων ὁ μὲν, καθόλου εἶναι. ὁ δ' ἐν μέρει. καθόλου μὲν ὁ ὑποκείμενος ὅρος λαμβανόμενος· ἐν μέρει δὲ ὁ κατηγορούμενος. οὐ μέρος καὶ τὸ τοῦ ὑποκειμένου λέγεται· οὐ γὰρ πᾶν ζῷον καὶ τὸ αὐτοῦ· μέρος γὰρ ζώου, καθ' ἃ πάντες ἄνθρωποι ἐν τῇ προτάσει λέγουσιν πᾶς ἄνθρωπος ζῷον· τὸ γὰρ ζῷον καὶ τοῦτο· ἀλλὰ καὶ τὸ ζῷον κατὰ γένος ἐμψύχου, ἔχει τὸν μὲν, καθόλου τῶν ὅρων· τὸν δ' ἐν μέρει· διὰ τοῦτο καὶ ἡ ἀντιστροφὴ τῆς τοιαύτης προτάσεως, ἐπὶ μέρους γίνεται. ἵν' οὖν ἐν συμπλοκῇ προτάσεων δηλώσῃ τὸ καθόλου καὶ ἐν μέρει τῶν ὅρων· καὶ μὴ ἐν προτάσει μιᾷ, μηδ' ἐν ἀντιστρο-

προστέθεικε τὸ πρὸς τὸ ἕτερον· τουτέστιν, ὁ τὴν καθόλου κατηγορίαν ἔχων ὅρος, καὶ οὐ
τῆς, ἀλλ' οὐ τινὸς ἐπὶ μέρους κατηγορίαν· ἢ ἔτι ἁπλούστερον, ὁ γὰρ αὐτὸς
ὅρος πρὸς μὲν ἄλλον ὅρον καθόλου, πρὸς δὲ ἄλλον ἐπὶ μέρους· αὕτη προειρημένη
συμπλοκή. τοῦτον γὰρ τὸν τρόπον ἐπὶ μέρους αὐτοῦ λαμβανομένου γίνεται
συζυγία ἡ συμπλοκὴ ἡ προτάσεων· εἰρηκὼς δὲ περὶ τῶν συζυγιῶν τῶν ἐν πρώτῳ
σχήματι ἐν αἷς τὸ καθόλου μεταβαίνει πάλιν ἐπὶ τὰς συζυγίας ἐν αἷς ἡ ἑτέρα
πρότασις ἐπὶ μέρους ἐστί, τῆς ἑτέρας οὔσης καθόλου, καὶ δείκνυσι τίνες
εἰσὶν αἱ τοιαῦται· καὶ πόσαι καὶ ποῖαι αὐτῶν συλλογιστικαί· καὶ πρῶτόν γε τῶν
αὐτῶν φησι· τὸ δ' εἶναι δόκιμοι, καὶ ἐν ταῖς τοιαύταις συζυγίαις· ἢ τὴν καθόλου
καταφατικὴν τὴν μείζω πρότασιν ἔχουσι· τὴν δὲ ἐλάττω ἐπὶ μέρους
καταφατικήν· ἢ τῆς ἐλάττονος οὔσης ἐπὶ μέρους καταφατικῆς, τὴν μεί-
ζονα ἔχουσι καθόλου ἀποφατικήν· ὧν ἀμφοτέρων ὁμοῦ ἐμνημόνευσεν
εἰπών· ὅταν μὲν τὸ καθόλου τεθῇ πρὸς τὸ μεῖζον ἄκρον, ἢ κατηγορικὸν ἢ
στερητικόν· τὸ δὲ ἐν μέρει πρὸς τὸ ἔλαττον κατηγορικόν· ἀνάγκη συλλογισμὸν
γίνεσθαι τέλειον· οὔσης μὲν γὰρ τῆς μείζονος καθόλου καταφατικῆς, ἐπὶ
μέρους καταφατικὸν ἔσται τὸ συναγόμενον· καθόλου δὲ ἀποφατικῆς ληφθείσης,
ἐπὶ μέρους ἀποφατικὸν συναχθήσεται· τὸ γὰρ δι' ἣν τὴν ἑτέραν ἐπὶ μέρους ἂν
ληφθῇ δὲ τὴν μείζονα καθόλου, πάντως ἡ ἐλάττων ἐπὶ μέρους ἔσται· εἴρη-
ται δὲ, ὅτι καὶ κατηγορική:· ὅταν δὲ πρὸς τὸ ἔλαττον ἢ ἄλλως πως ἔχωσιν οἱ ὅροι ἀδύνατον:·
Προειπὼν περὶ τῆς μείζονος προτάσεως, ὅτι καὶ στερητικῆς αὐτῆς οὔσης ἔσται
συλλογισμός, ἐπήνεγκεν· ὅταν δὲ πρὸς τὸ ἔλαττον δηλονότι τὸ στερητι-
κὸν τεθῇ, ὡς εἶναι τὴν μὲν ἐπὶ μέρους ἀποφατικήν· τὴν δὲ μείζονα,
καθόλου μὲν καταφατικὴν δὲ ἢ ἀποφατικήν· τὸ δὲ ἢ ἄλλως πως ἔχωσι,
δηλωτικόν ἐστι τοῦ, ἂν μὲν ἡ μείζων τὸ ἐπὶ μέρους εἶναι μεταλάβοι· ἡ δὲ
ἐλάττων τὸ καθόλου· οὕτως γὰρ ἐχόντων οὐ γίνεται συλλογισμός· δυνατὸν
δὲ καὶ ὅταν πρὸς τὸ ἔλαττον, τὸ καθόλου μετενεχθῇ καὶ ὁ τόνος ἐπὶ τοῖς φε-
ρομένοις, τουτέστι τὸ λεγόμενον· καὶ ἔτι αὖ τὸ, καὶ ἄλλως πως ἔχωσιν οἱ ὅροι,
εἰρημένον περὶ τῆς ἐλάττονος προτάσεως· ἂν μὲν μεταλάβοι μὲν αὕτη τὸ
καθόλου, μείζονος δὲ ἐπὶ μέρους, ἀποφατικὴ ληφθείη:· +
λέγω δὲ μεῖζον ἄκρον ἐν ᾧ τὸ μέσον ἐστίν· ἔλαττον δὲ, τὸ ὑπὸ τὸ μέσον ὄν·



Δεῖ πάντως τῶν λεγομένων ἀκούειν, ὡς ἐπὶ τοῦ πρώτου σχήματος λεγομένων. τὸ γὰρ ἐκεῖνο λεγόμενον, οὕτως ἔχει ἐν τῷ πρώτῳ σχήματι. μεῖζον μὲν, ἐν ᾧ τὸ μέσον μέν ἐστι· ἔλαττον δὲ τὸ ὑπὸ τὸ μέσον. ἐν γὰρ τούτῳ τῷ σχήματι ὁ μέσος, τοῦ μὲν ὑποκείμενος, τοῦ δὲ κατηγορούμενος. ἐπεὶ ἐν γε τῷ δευτέρῳ σχήματι τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐν τῷ μέσῳ ἐστίν· ὑπὸ τοῦ δὲ ἄμφω γὰρ ὁ μέσος. ἀνάπαλιν δὲ ἐν τῷ τρίτῳ. ὁ μέσος οὐχ ὑπὸ τὸ μεῖζον μόνον ἐστίν, ἀλλὰ καὶ ὑπὸ τὸ ἔλαττον. οὐδὲ ἔστι γὰρ ἐν τῷ μέσῳ. σαφῶς δὲ ὁ τὸ κατηγορούμενος ἐν τῷ συμπεράσματι, οὗτος καὶ ἐν ταῖς προτάσεσι μεῖζον ἐστί· ἢ περὶ τούτων ἡ μεῖζον πρότασις ἔδειξεν: ὑπόδειγμα γὰρ τὸ μὲν α παντὶ τῷ β· τὸ δὲ β τινὶ τῷ γ.

Ἡ μὲν συζυγία τοῦ γ τοῦ ἀναποδείκτου· ὅς ἐστιν ἐπὶ μέρους καταφατικὸν ἔχων τὸ συμπέρασμα, ἀ γὰρ τὸ β τινὶ τῷ γ, τὶ τοῦ γ ἐν ὅλῳ ἐστὶ τῷ β. καὶ τὸ α παντὸς δὲ τοῦ β τὸ α, οὐδὲν ἄρα ἐστὶ τοῦ β καθ' οὗ οὐ ῥηθήσεται τὸ α. τὶ δὲ τὸ β ἐστὶ τοῦ γ, καὶ κατὰ τοῦ τοῦ ἄρα τὸ α ῥηθήσεται. ὁμοίως δὲ καὶ ἐξ ἧς ὁ τέταρτος ἀναπόδεικτος. ὁ ἔχων τὴν μὲν μείζονα, καθόλου ἀποφατικήν· τὴν δὲ ἐλάττονα, ἐπὶ μέρους καταφατικήν. ἀ γὰρ ἀπὸ τι τοῦ γ ἐν ὅλῳ τῷ β, τὸ δὲ β ἐν μηδενὶ τῷ α, τὸ α τινὶ τῷ γ οὐχ ὑπάρξει. τὶ μὲν γὰρ τοῦ γ ὑπὸ τὸ β· οὐδενὸς δὲ ἐστὶ τοῦ β κατὰ τὸ α, καθ' οὗ τὸ α ῥηθήσεται· ὥστε οὐδὲ κατά τινος τοῦ γ ἐκείνου ὅ ἐστι τοῦ β. ὅμοιαι ταῖς τοιαύταις συναγωγαῖς γίνονται, εἰ τὴν ἀδιόριστον καταφατικὴν τὴν ἐλάττονα ποιήσαιμεν· τηρήσαιμεν δὲ τὴν μείζονα, ποτὲ μὲν καθόλου καταφατικήν· ποτὲ δὲ καθόλου ἀποφατικήν. πάντες δὲ οἱ προειρημένοι, τέλειοι. πάντες γὰρ τῷ καὶ τὸ κατὰ παντὸς μόνον ἢ τῷ καὶ τὸ κατὰ μηδενὸς χρώμενοι ὅ ἐστι κείμενον, φανερὰν τὴν συναγωγὴν ἔχουσιν: ἐὰν δὲ πρὸς τὸ ἔλαττον ἄκρον τὸ καθόλου τεθῇ ἢ κατηγορικὸν ἢ στερητικόν· οὐκ ἔσται συλλογισμός.

Λέγει μὲν περὶ τῶν συζυγιῶν τῶν ἐχουσῶν τὴν μὲν ἑτέραν πρότασιν καθόλου· τὴν δὲ ἑτέραν ἐπὶ μέρους· εἰπὼν δὲ περὶ τούτων ἐν αἷς τὸ καθόλου πρὸς τῷ μείζονι πρόκειται· τὸ δὲ γε ἐπὶ μέρους πρὸς τῷ ἐλάττονι, ὃ καὶ τὸ φανερόν· καὶ δείξας ὅτι συλλογιστικαὶ αἱ τοιαῦται συζυγίαι, προσθεὶς δὲ καὶ τὰς ἐν αἷς ἀντὶ τοῦ ἐπὶ μέρους, τὸ ἀδιόριστον ἔχει ἡ ἐλάττων πρότασις, τῶν ὅρων τῶν αὐτῶν μενόντων. διὸ γὰρ καὶ οὕτως λαμβανομένης τῆς ἐλάττονος ἀκίνητοι οἱ συλλογισμοί, νῦν ἐπεὶ λήλυθεν ἐπὶ τὰς ἐναλλάξ. αὗται

δὲ ἐστὶν αἱ ἔχουσαι τὴν ἐλάττονα πρότασιν καθόλου· ἤγουν τὴν δὲ ταύτης οὖσαν
ἢ μείζονα πρότασιν, ἢ ἐπὶ μέρους ἢ ἀδιόριστος· οὔσης δὲ ταύτης ἢ ἐπὶ μέρους
ἢ ἀδιορίστου, ἀσυλλόγιστοι πᾶσαι αἱ συμπλοκαί, ὡς προειρήκαμεν. δεικνὺς οὖν
αὐτὸ τιθέμενος τὰς συμπλοκὰς ταύτας κατὰ συζυγίας, ὅτι εἰσὶν ἀσυλλόγιστοι,
πάλιν χρώμενος τῇ τῆς ὕλης παραθέσει· ἐφεξῆς εὑρίσκεται ταῖς αὐταῖς ἀδύνατα
συναγόμενα. τοῦ δὲ, καὶ τὸ ἐπὶ μέρος ἅπαν· αὐτίκα τοῦ τῆς μείζονος αὐτὴ γὰρ ἢ κατὰ
καὶ τὸ ἐπὶ μέρος :· οἷον εἰ τὸ μὲν α, τινὶ τῷ β ὑπάρχει ἢ μὴ ὑπάρχει: –

Ο ἢ καταφατικῆς ἢ ἀποφατικῆς οὔσης τῆς μείζονος προτάσεως, ἐὰν
ἐπὶ μέρους ᾖ, ἀσυλλόγιστος ἡ συμπλοκή· εἰ γὰρ τὸ μὲν α καὶ τινὸς τοῦ β
λέγοιτο· τὸ δὲ β καὶ ἐπὶ παντὸς τοῦ γ, οὐδὲν μὲν ἔσται τοῦ γ καθόλου ῥηθήσεται
τὸ β· ὥστε τί τοῦ β τὸ γ. τὸ δὲ α καὶ τινὸς τοῦ β λεγόμενον· δυνατὸν καὶ κατὰ
τοῦ τοῦ μέρους αὐτοῦ λέγεσθαι· ὅ τί ἐστι τοῦ γ. δυνατὸν καὶ κατὰ ἄλλου ἐπὶ
πλέον γὰρ τὸ β τοῦ γ κατηγορεῖται. οὐκ ἐξ ἀνάγκης ἄρα ἢ ὑπάρξει ἢ οὐχ ὑ-
πάρξει τὸ α τῷ γ. οἷον ἔστω τὸ α, ἀγαθόν· τὸ δὲ β, ἕξις· τὸ δὲ γ, φρόνησις.
τὸ μὲν γὰρ ἀγαθὸν καὶ τινὸς ἕξεως. ἡ δὲ ἕξις καὶ ἐπὶ πάσης φρονήσεως.
τὸ ἀγαθὸν καὶ ἐπὶ πάσης φρονήσεως. ἂν δὲ ᾖ τὸ γ ἀμαθία· λαμβάνεται δὲ
τὴν ἀμαθίαν ὡς ἕξιν· ἢ ἀφροσύνην ἢ κακίαν, πάλιν ἔσται τὸ ἀγαθὸν ὁ μεί-
ζων ἄκρος, οὐδὲ μιᾷ οὔτε ἀμαθίᾳ οὔτε ἀφροσύνῃ τῆς ἕξεως ὡς ἐστὶν
μέσος ὅρος, καὶ ταύτης καθόλου κατηγορουμένης, ὥστε ἀδόκιμος ἡ συ-
ζυγία. ὁμοία ἡ δεῖξις, κἂν τὸ α τινὶ τῷ β μὴ ὑπάρχειν· καὶ ἐπὶ τῶν αὐτῶν
ὅρων· ὡς γὰρ τινὶ ὑπάρχει τὸ α, οὕτω δυνατὸν καὶ τινὶ μὴ ὑπάρχειν·
τὸ γὰρ ἀγαθὸν, οὕτως τινὶ ἕξει ὑπάρξει· ὅτι καὶ τινὶ οὐχ ὑπάρξει: · +

πάλιν εἰ τὸ μὲν β μηδενὶ τῷ γ· τὸ δὲ α τινὶ τῷ β ὑπάρχει, ἢ μὴ ὑπάρ-

Τ ὁ μὲν τινὶ μὴ ὑπάρχει ἢ μὴ παντί, χει ἢ μὴ παντὶ ὑπάρχει: +
ἀμφότερα τῆς ἐπὶ μέρους ἀποφατικῆς ἐστὶ δηλωτικά· τὴν καὶ τὴν λέξιν διαφέ-
ροντα. τῷ γὰρ μὴ ὑπάρχει, προσθετέον τὸ, τινί· ὡς ἀπὸ κοινοῦ ἀρηρμένον.
ὅτι δὲ ἀσύνακτοι αἱ τοιαῦται συμπλοκαί, συνακτικαὶ δὲ αἱ ἔχουσαι τὴν ἐλάττονα
καθόλου ἀποφατικὴν ἐπὶ μέρους δὲ τὴν μείζονα, δείκνυσιν· ὁμοία γὰρ
ὅδε χρώμενοι, εὑρήσομεν τὸ α καὶ ὑπάρχον ποτὲ παντὶ τῷ γ· καὶ μηδενὶ
ὑπάρχον· ἔστω γὰρ τὸ μὲν α λευκόν· τὸ δὲ β, ἵππος· τὸ δὲ γ κύκνος.



ἵππος δὲ οὐδενὶ κύκνῳ· τὸ δὲ λευκὸν παντὶ κύκνῳ· τὸ ἄρα λευκὸν ἐν ᾧ ὑπερβάλλει τὸν ἵππον· οὐκ ἐπὶ πλέον αὐτοῦ καὶ τηρούμενον, τούτων ὧν περιφέρεται· ὅ ἐστι κύκνος· ᾧ οὐδενὶ ἵππος ὑπάρχειν. ἐὰν δὲ ποιήσωμεν τὸ Γ ἀντὶ τοῦ κύκνου, κόρακα, καὶ ἵππος οὐδενὶ κόρακι· ἀλλ' οὐδὲ τὸ λευκὸν ἐπὶ τὸ ἀδιόριστον, ὡς εἰ τὸ ἐπὶ μέρους λαμβάνεται· σημειωτέον δὲ ὅτι ἐν αἷς μὲν συζυγίαις ἡ ἐλάττων καθόλου ἐστὶ καταφατική, τῆς μείζονος οὔσης ἐπὶ μέρους, τὸ ἀσυλλόγιστον διὰ τὴν μείζονα ἐπὶ μέρους οὖσαν. ἐν ᾗ δὲ τῆς μείζονος ἐπὶ μέρους οὔσης ἢ ἀδιορίστου, ἡ ἐλάττων καθόλου ἐστὶν ἀποφατική, τὸ ἀσυλλόγιστον παρ' ἀμφοτέρας τὰς προτάσεις· καὶ γὰρ παρὰ τῆς μείζονος ἐπὶ μέρους γάρ, καὶ παρὰ τῆς ἐλάττονος ὅτι ἀποφατική:·

οὐδ' ὅταν τὸ μὲν πρὸς τῷ μείζονι ἄκρῳ καθόλου τεθῇ ἢ κατηγορικὸν ἢ στερητικόν, τὸ δὲ πρὸς τῷ ἐλάττονι στερητικὸν κατὰ μέρος, οὐκ ἔσται συλλογισμός.

Τὸ μὲν τινὶ μὴ ὑπάρχειν ἢ μὴ παντὶ ὑπάρχειν, πάλιν ταὐτόν ἐστι· δέδειχε δὲ διὰ τῶν πρώτων ἀσυλλογίστους συζυγίας, ἐφ' ὧν ἡ μείζων ἦν ἐπὶ μέρους, νῦν δείκνυσιν ἀσυλλογίστους καὶ ἐν αἷς οὔσης τῆς μείζονος καθόλου ἢ καταφατικῆς ἢ ἀποφατικῆς, ἡ ἐλάττων ἐπὶ μέρους ἐστὶν ἀποφατική· διὸ οὐ δείκνυσι πῶς εἶπεν ἐν τοῖς ἐπάνω τό, ὅταν δὲ πρὸς τὸ ἔλαττον ἢ ἄλλως πως ἔχωσιν οἱ ὅροι· κινεῖται δὲ ἐν ταῖς τοιαύταις συμπλοκαῖς τὸ ἀσυλλόγιστον πάλιν περὶ τὴν ἐλάττονα οὖσαν ἀποφατικήν. ἡ δὲ λέξις δεῖξαι αὐτὰ τοῦ, τούτοις ἀσυλλογίστους εἶναι τὰς συζυγίας, γίνονται ἐπὶ μέρους τοῦ Γ· ὥστε ταῖς αὐτῷ μὴ ὑπάρχειν τὸ Β· τοῦτο γὰρ λαβὼν δείκνυσι διὰ τῆς παραθέσεως τῶν ὅρων, πάλιν καὶ παντὶ καὶ μηδενὶ αὐτῷ τὸ Α ὑπάρχον· οὕτως γὰρ οἰκείως δείκνυνται ἔχειν τὸ τῆς εἰρημένης συζυγίας ἀσυλλόγιστον· ἆρ' ἐπὶ παντὸς τοῦ Γ; οὐ προσεχῶς ὁμοίως ἡ λέξις· ὡς γὰρ ὅτε τὸ Β μηδενὶ τῷ Γ ὑπάρχειν, ἀσυλλόγιστος ἐδείκνυτο ἡ συζυγία· τῷ ᾧ μηδενὶ ὑπάρχει τὸ Β, τούτῳ τὸ Α, καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν δεικνύμενον, οὕτως ὅτε τὸ Β κατὰ τινὶ τῷ Γ μὴ ὑπάρχειν, ἀσυλλόγιστος αὖ δείκνυται, ἐδείχθη τούτῳ τῷ Γ καὶ παντὶ καὶ μηδενὶ τὸ Α ὑπάρχειν δεικνύμενον, ᾧ αὐτοῦ μέρος τὸ Β οὐχ ὑπάρχειν. ἔτι ἐπεὶ οὔσης τῆς ἐλάττονος ἐπὶ μέρους ἀποφατικῆς, δύναται καὶ τὸ αὐτὸ ἢ αὐτὴ καὶ ἐπὶ μέρους εἶναι καταφατική· τὸ γάρ τινι

μὴ ὑπάρχον· οὐδὲν γὰρ κωλύει καὶ τῷ ἐκείνῳ ὑπάρχοντι ὅτῳ δὲ ὑπάρχοντα
ὡς ἀμφοτέρως ἢ καταφατικὴ ἢ ἐλάττων, συλλογισμὸς γίνεται τῆς μείζονος καθόλου
οὔσης καὶ καταφατικῆς καὶ ἀποφατικῆς ὡς δέδεικται· ἑκατέρα γὰρ τῶν προ
τάσεων γίνεται τὸ ἴδιον ἔχουσα· καὶ ἡ ἐλάττων, τὸ καταφατικὸν καὶ ἡ μείζων
τὸ καθόλου· οὔσης δὲ συλλογιστικῆς τῆς συζυγίας ταύτης, οὐκ ἐγχωρεῖ ὅρους λαβεῖν
τοῦ παντὶ καὶ τοῦ μηδενὶ τὸ α τῷ γ ὑπάρχειν· κειμένου τοῦ β τινὶ τῷ γ μὴ ὑπάρ
χειν καὶ τινὶ ὑπάρχειν· οὐκ ἂν ἐλάμβανεν τοῦ παντὶ καὶ μηδενὶ τὸ α τῷ γ ὑπάρ.
οὕτως γὰρ ἂν διέβαλλον ταῖς ἀνηρουμέναις καὶ ἀσυλλογίστους συζυγίαις ἥτε ἐχού
σα τὸ β τινὶ τῷ γ ὑπάρχον· τὸ δὲ α παντὶ τῷ β· ἢ τὸ μὲν β τινὶ τῷ γ· τὸ δὲ α μηδενὶ
τῷ β· ἐπὶ μὲν γὰρ τῆς τὸ καταφατικὸν συναγούσης συζυγίας, ἀδύνατον ληφ
θῆναι τὸ μηδενὶ ὑπάρχειν τὸ α τῷ γ· ἐπὶ συλλογιστικῶς αὐτῷ τινὶ ὑπάρ.
ἐν δὲ τῇ τὸ ἐπὶ μέρους ἀποφατικὸν συλλογιζομένῃ, πάλιν ἀδύνατον τὸ παν
τὶ ληφθῆναι· συλλογιστικῶς δεικνυμένου τοῦ τινὶ μὴ ὑπάρχειν τὸ α τῷ γ.
τὸ δ' ἂν αἴροι τοῦ καὶ τούτων ἑκάτερα, οἱ ὅροι εὑρίσκονται τό τε τοῦ παντὶ τὸ α
τῷ γ· καὶ τοῦ μηδενὶ ἐπὶ τῆς τοιαύτης συζυγίας· διὰ τοῦτο ἐπεὶ μὴ οἷόν τέ
ἐστιν, ἐπὶ μὲν τοῦ γ ἁπλῶς τὴν δεῖξιν ποιεῖται· λαμβάνει δὲ ἀπ' αὐτοῦ,
τῶν κατὰ μέρος· οἷον τὸ β οὐχ ὑπάρχει· κεῖται γὰρ τινὶ τῷ γ ἐνδεχομένη ὑπάρ.
τὸ παραθέμενος ὕλην τινά, δείκνυσι τούτων οἷς μέρεσιν οὖσι τοῦ γ τὸ β
οὐχ ὑπάρχει, τῷ μὲν παντὶ ὑπάρχον τὸ α, τῷ δὲ οὐδενί· ἐν ἐστὶ δὴ καὶ τὰ
τῶν τοῦ γ μερῶν τὸ β καθόλου ἀποφατικῶς κατηγορηθέντα· ὡς καθόλου
ἀποφατικῇ τῇ ἐλάττονι χρώμενος· δείκνυσι τὴν εἰρημένην συμπλοκήν,
ἀσυλλόγιστον· εἰ γὰρ τὸ μὲν α, κατὰ παντὸς τοῦ β· τὸ δὲ β κατὰ οὐδενὸς τούτων
ἃ μέρη τοῦ γ ὄντα λαμβάνεται· δυνατὸν τὸ α ἐπὶ πλέον ὂν τοῦ β ἐνδέχεται γὰρ
τοιοῦτον εἶναι αὐτὸ ὡς ὑπερέχειν τοῦ β, καὶ περιέχειν τῶν κατὰ τινὰ τοῦ γ.
οἷς οὐχ ὑπάρχει τὸ β· καὶ μὴ περιέχειν, ἀδύνατος δὲ ἦ, οὕτως ἔχουσα ζητεῖ.
ὅροι οὓς παρατίθεται· κατὰ μὲν τοῦ α ζῷον· κατὰ δὲ τοῦ β ἄνθρωπος· κατὰ δὲ τοῦ γ
ὅλου ἓν λευκόν· ᾧ τινὶ ὁ ἄνθρωπος οὐχ ὑπάρχει ἢ ὑπάρχει· εἰ ἐπὶ ἀμφοτέρας δὲ
ἐστὶν ἡ βγ ἀποφατικὴ καὶ μὴ δυνατὸν ἐπὶ τοῦ γ ἀποφατικὸν δειχθῆναι τὲ
τὸ συναχθῆναι· οὕτω ληφθέντων· ἀλλ' οὐδὲ καθόλου καταφατικόν· ἂν ἦ πάλιν
ἡ αβ καθόλου ἀποφατικὴ ἀληθεύουσα, ἀληφθῆ τινὰ τοῦ λευκοῦ καθ' ὧν οὐδὲ
ἄνθρωπος λέγεται.

ἔστω τὸ μὲν κύκνος, ἡ χιών· οὔτε γὰρ κατὰ τοῦ κύκνου ὁ αὐτὸς λευκοῦ ὄντος, οὔτε κατὰ τῆς
χιόνος· τὸ δὴ ζῶον κατὰ μὲν τοῦ κύκνου παντός· κατὰ δὲ χιόνος οὐδεμιᾶς· καὶ
οὕτως ἐπὶ μέρους τοῦ γ. ᾧ οὐχ ὑπάρχει τὸ β, ἐδείχθη ἡ τοιαύτη συζυγία, ἀσυλλό-
γιστος καὶ ἀσυλλόγιστος. ἐπειδὲ τῶν συμπλοκῶν τῶν ἀδιορίστων ἐπὶ μέρους ἡ παρά-
θεσις τῶν ὅρων αὐτῶν δι' ὧν ἀσυλλόγιστος ἐλέγχει τὰς τοιαύτας συμπλοκάς,
οὐκέτι γίνεται ἐπὶ μέρους τοῦ γ. ὅτι ἀσυλλόγιστος ἡ ἀδιόριστος ἐπὶ μέρους συμπλοκή.
ὁμοίως δὲ τὸ β τῷ γ τινὶ μὴ ὑπάρχει· ὡς καὶ ὑπάρχειν τινί· ἄν τε καὶ μηδενὶ αὐτῷ
ὑπάρχει. τῷ οὖν μὴ παρακολουθεῖν συζυγίαν τινὰ ἀσυλλόγιστον τῇ τοιαύτῃ τῶν προ-
τάσεων συμπλοκῇ, οὔτε ἐφ' ὅλου τοῦ γ ὅρων εὐπορῆσαι τοῦ, παντί καὶ
τοῦ μηδενί· ἀδιόριστον τῷ γ καὶ μηδενί, δηλονότι καὶ τῶν μερῶν αὐτοῦ ἑκάστῳ.
ὥστε καὶ ᾧ τὸ β οὐχ ὑπάρχει, οὗτος ὁ ἔλεγχος, καὶ ἡ αβ καθόλου ληφθεῖσα ἀπο-
φατική· ἔστωσαν γὰρ οἱ ὅροι ἐπὶ μὲν τοῦ α, ἄψυχον· ἐπὶ δὲ τοῦ β, αὐτός· τὸ δὲ γ
λευκόν· καὶ ἀλήφθω πάλιν ὧν μὴ κατηγορεῖται λευκῶν ὁ αὐτός· κύκνος
καὶ χιών· τὸ γὰρ ἄψυχον αὖ πάλιν χιόνι μὲν πάσῃ, κύκνῳ δὲ οὐδενί· διὰ τῶν
αὐτῶν ὅρων τοῦ τε κύκνου καὶ τῆς χιόνος, ἐδείχθη καὶ ὅτε ἡ μείζων καθόλου
καταφατική, ἀσυλλόγιστος ἡ συζυγία. οὔτε προσχρῆται τῷ καθόλου ἀποφατικῷ.
αὐτῇ τῶν ὅρων εὐθέσει μεταλαμβάνων τὸ ἐπὶ μέρους ἀποφατικὸν τῆς ἐλάτ-
τονος προτάσεως εἰς τὸ καθόλου ἀποφατικόν ὡς οἷόν τε ἦν, οὔτε ἀπρο-
σχρῆται, διὰ τοῦτο ὑποληπτέον αὐτὸν μὴ δεικνύναι τὰς προκειμένας συζυγίας
ἀσυλλογίστους· μᾶλλον γὰρ τὸ καθόλου προσχρῆται ὅ, ἐπὶ παντὸς τοῦ γ δείκνυσι
τὸ παντί καὶ μηδενί, ἤ, ὅ, ἐπὶ μέρους αὐτοῦ. ἔτι δὲ ἀμήχανόν τε ὧν λαβεῖν μέρη
τινὰ τοῦ ἐσχάτου ὅρου· οἷς οὐχ ὑπάρχει καθόλου ὁ μέσος, καὶ ὅλως ἂν εἰς ἄπαντα
τῇ τοιαύτῃ μεταλήψει χρῷντο οἱ ἀνιστάμενοι. τοῦτο δὲ αὐτῷ, ἀνάγκας καὶ μὴ ἔχει
μέρη· ἀλλὰ ἀμιγῶς οὐχ οἷόν τε ἀτόμου ὄντος αὐτοῦ, ἀληθὲς εἶναι τό, τινὶ αὐτῷ
μὴ ὑπάρχειν τὸ μέσον· οἱ γὰρ διορισμοὶ τὸ παντί καὶ μηδενί, καὶ τὸ τινί, καὶ τινὶ μή,
τῷ καθόλου προστίθενται· ὥσπερ αὐτῷ περὶ ὧν δέδεικται· δηλονότι κα-
θόλου ἐστὶν ὁ ἔσχατος ὅρος· ἀλλ' οὐχὶ ἄτομος, καὶ ἔξω ποτέ, οὐ μόνον τινὶ ἀλλὰ καὶ
τινὰ αὐτοῦ. κατηγορεῖται ἄν τινι αὐτῷ ἀληπτέα μὴ ὑπάρχειν ὁ μέσος, ὥσπερ
ἐφ' οὗ παντὸς παρέθετο. τοιούτου δ' ὄντος, ἥ τε εὔθεσις ἀληθής καὶ ἡ μετά-
ληψις εἰς τὸ καθόλου. καὶ ἡ διὰ τούτου δεῖξις τοῦ ἀσυλλογίστου ἀναγκαιομένω

συζυγίαι, ἀληθὲς γὰρ καὶ τὸ τινί. ἠλέγχθη δὲ καὶ οὕτως ἀσυλλόγιστοι οὖσαι αἱ ἐκκείμεναι
δύο συζυγίαι. ἐπεὶ ἐπὶ τὸ τινὶ ὑπάρχειν, λέγει τὸ ἀδιορίστως· καὶ γὰρ μηδενὸς ὑ-
πάρχοντος ἀληθὲς τὸ τινὶ μὴ ὑπάρχειν καὶ τινί. τὴν γὰρ οὐχ ὡς ὡρισμένον
τὸ ἀληθὲς ἔχουσαν, ἀδιόριστον ἀπὸ κοινοῦ. τινὶ γοῦν χιόνι τὸ θερμὸν μὴ ὑπάρχειν
ἀληθές ἐστιν ἅπασιν· καίτοι οὐδεμιᾷ χιόνι τὸ θερμὸν ὑπάρχει. ὁμοίως καὶ
ἵππῳ τινί, δίπουν μὴ ὑπάρχειν, ὅτι καὶ οὐδενί. ἐμνημόνευσε δὲ τοῦ ὄντος ἀδιορί-
στου Θεόφραστος ἐν τῷ περὶ καταφάσεως· τὸ γὰρ ἀνά τι τούτων, καὶ τό, τὸ ἕτερον εἶναι,
ἀδιόριστα λέγει. τὸ μὲν ἀνά τι τούτων, ὅτι καὶ πάντων ὄντων ἀληθὲς καὶ τῶν μὲν
ὄντων τῶν δὲ μή, τὸ δέ, τὸ ἕτερον εἶναι, ὅτι καὶ τοῦ τὸ ἀληθές, καὶ ἀμφοτέρων
ὄντων καὶ τοῦ ἑτέρου μόνου. ἐπεὶ τὸ ἀληθὲς τοῦ κοινοῦ διορίσαι τοῦ ἐπὶ μέρους
ἀποφατικοῦ. ἀλλ' ἔστι καὶ ἐπὶ τοῦ ἐπὶ μέρους ἰδίως ἀποφατικοῦ καὶ ἐπὶ τοῦ
καθόλου ἀποφατικοῦ ἀληθευόμενον. τὸ γὰρ τὰς ὑπαλλήλους κεκλημένας
συναληθεύεσθαι. ἀνάγκη δὲ ὑπάλληλον τὴν ἐπὶ μέρους ἀποφατικὴν τῇ καθόλου
ἀποφατικῇ, ἀληθὴς δέ ἐστιν αὕτη, ὅτε ἐστὶν ἡ καθόλου ἀποφατικὴ ἀληθής
εἰ καὶ καθ' αὑτὴν λαμβάνοιτο. οὐ δὴ λαμβάνομεν τὸ τινὶ μὴ ὑπάρχειν. ἀπορία μὴ
ἐπὶ πάσης τῆς τοιαύτης συζυγίας, οἷόν τε τοιούτων ὅρων εὐπορῆσαι. ἀλλ' εἰ καὶ
τὸ ἐν τῇ παραθέσει, ἀσυλλόγιστον δεῖξαι τὴν συμπλοκήν, ἀδιόριστος ἔχοντα ἀ-
ληθές. ὅτε γοῦν δὴ τό, μηδενὶ ὑπάρχειν ἀληθές ἐστι καὶ τοιούτοις ὅροις παραδεί-
γματα. δείκνυσι τὸ ἐπὶ τοῦ οὕτως ἐπὶ μέρους ἀποφατικοῦ, ἀσυλλόγιστος
ἡ συμπλοκή· καὶ τῷ παντὶ καὶ τῷ μηδενὶ τὸ Α τῷ Β ὑπάρχειν. δέδεικται γὰρ
τοῦτο ὅταν ἡ ἐλάττων καθόλου ἀποφατική, δι' ὅρων ζῴου· καὶ ἀνθρώπου· καὶ ἵπ-
που· καὶ λίθου. ὁ δὲ ἐπί τινος ὕλης δείκνυσι τὸ ἀσυλλόγιστος ἡ συζυγία ἡ ἔχουσα
τὴν ἐλάττονα ἐπὶ μέρους ἀποφατικήν, ἡ καθόλου ἀσυλλόγιστος. ἀπορία ὧν
συλλογιστική, εἰ δὲ καὶ ὅτε οὕτως ἀληθὴς λαμβάνεται ἡ ἐπὶ μέρους ἀποφατική,
τὸ τὴν καθόλου ἀποφατικὴν εἶναι. οὐδὲν γὰρ ἧττον ἀληθής ἐστι καὶ
τότε ἢ ὅτε καθ' αὑτὴν λαμβάνοιτο. μὴ διαβάλλεσθαι μηδὲ διαλλάττεσθαι
τῇ τῆς ὕλης παραθέσει. τοῦτο γὰρ ἤδη λέγων εἶπεν. τῷ γὰρ καὶ ἐπὶ τούτων.
δέδεικται καὶ ἐπὶ τῆς ἑξῆς λέξεως αὐτοῦ· δεῖ, τὸν γὰρ συνῳδὰς [illegible] λαβεῖν.
ἵνα τὸ γὰρ οὕτως σαφέστερον τὸ λεγόμενον. ὁμοίως γὰρ δείκνυται ὥσπερ,
ἀνὰ καθόλου τῶν στερητικῶν λαμβανόμενον. ἀδιόριστον δὲ ἀπὸ τὸ τινὶ μὴ οὐχ ὡς τῆς

θεόφραστος

προτάσεως οὔσης ἀδιορίστου· διωρισμένη γάρ ἐστιν ἐπὶ μέρους. τὸ δὲ ἐπὶ μέρους
διορισμός· ὡς πρὸς τὸ καθόλου· ἀλλ' ὡς τοῦ ἀληθοῦς τοῦ γὰρ αὐτοῦ σημαινομένου,
μὴ διωρισμένου. τὸ δύνασθαι ἀληθὲς αὐτὸ εἶναι, καὶ ἐν μηδενὶ ὑπάρχειν, ὅλα-
μβάνεται τινὶ μὴ ὑπάρχειν. ὡς ἤδη προεῖπον. ἐπεὶ μὲν οὖν τούτου τοῦ σχή-
ματος ἀδιόριστον ἐχούσης τῆς ἐπὶ μέρους ἀποφατικῆς τὸ ἀληθές· καὶ γὰρ καὶ
θ' αὑτῶν καὶ διὰ τὴν καθόλου, καὶ τὰ ἀμφοτέρου ἔδειξεν αὐτῶν ἀσυλλόγιστον· καὶ ἃ
γὰρ αὐτῶν λαμβάνονται· καὶ ἃ διὰ τὴν καθόλου· ἀμέλει καθ' αὑτῶν τῆς ἐκθέσεως τὸ λαβεῖν
ὧν τινὶ οὐχ ὑπάρχει· ἃ δὲ διὰ τῶν καθόλου, τὸ ἐκείνους λαβεῖν τοὺς ὅρους.
οἷς γὰρ ἐν ὅλῳ οὖσι τῷ ἐσχάτῳ ὅρῳ, ἐλάμβανε τὸ μὴ ὑπάρχειν ὁ μέσος τού-
τοις λαμβάνεται μὴ ὑπάρχειν· καὶ ὅταν χωρισθῶσι τοῦ ὅλου, καὶ ληφθῶσι κα-
θ' αὑτούς· ἐν δὲ τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι ἀρκεῖται πρὸς τὴν δεῖξιν τοῦ εἶναι τῆς
τοιαύτης συμπλοκῆς ἀσυλλογίστου, μόνῳ τῷ ἐπὶ μέρους ἀποφατικῷ ἀδιο-
ρίστῳ. τὸ δ' αἴτιον τοῦ ἀσυλλόγιστον εἶναι τὴν ἔχουσαν τὴν ἐλάττονα ἐπὶ μέρους
ἀποφατικήν, ὅτι τὸ μὲν μέρος τοῦ γ, γίνεται τοῦ β καὶ χωρὶς μέσον. τὸ δὲ α
περιέχον τὸ β πᾶν διὰ τὸ β οὐ περιέξει τὸ μέρος τοῦ γ τὸ ἔξω αὐτοῦ κείμενον.
οἷς μέντοι μέρεσιν αὐτοῦ ὑπάρχει τὸ β, μεῖζον ὂν αὐτοῦ, δυνατὸν τούτοις
τὸ περιλαμβάνειν τὸ μέρος τοῦ γ ἐφ' οὗ λευκός, καὶ πάλιν μὴ περιλαμβά-
νειν τὸ μέρος τοῦ γ τὸ αὐτὸ καὶ ὅταν ἡ καθόλου ἀποφατικὴ ἡ μείζων. ὅροι ἀφ'
ὧν ἐλέγξει καὶ τοῦτο τὴν συμπλοκήν, ἄψυχον· ἄνθρωπος· κύκνος· καὶ χιών.

ὁμοίως δὲ δειχθήσεται καὶ εἰ τὸ καθόλου τεθείη στερητικόν.

Ἡ τὸ λεγόμενον ἐστὶν ὁμοίως γὰρ δειχθήσεται, ἢ ὁμοίως οὖν· ἵνα εἴη τὸ δέ,
ἀντὶ τοῦ γὰρ κεχρημένος. ἢ ἀντὶ τοῦ οὖν· ὁμοίως γὰρ ἀσυλλόγιστος ἡ συζυγία
δειχθήσεται, ἡ ἔχουσα τὴν ἐλάττονα ἐπὶ μέρους ἀποφατικήν· τῇ ἐχούσῃ
τὴν αὐτὴν καθόλου ἀποφατικήν· ἔφασκε δὲ ἐκείνην δείκνυσθαι. ἡ τῆς ἐπὶ
τοῦ ἀδιορίστου δείξει, ἰδίᾳ ἀμφοτέρων χρῆται τῶν συμπλοκῶν· τῆς τε
ἐν ᾗ ἡ μὲν μείζων καθόλου καταφατική· ἡ δ' ἐλάττων ἐπὶ μέρους ἀποφατική,
καὶ τῆς ἐχούσης τὴν μὲν μείζονα πάλιν καθόλου ἀποφατικήν· τὴν δ' ἐλάττονα
ἐπὶ μέρους ἀποφατικήν· ποιησάμενος οὖν τὸν λόγον πρῶτον ἐπὶ τῆς ἐ-
χούσης τὴν μείζονα καθόλου καταφατικήν, ὁμοίως φησὶ δειχθήσεται καὶ εἰ
ἡ μείζων καθόλου οὖσα, ἀλλὰ ἀποφατικὴ ληφθείη.

οὐδ᾽ ὅταν ἀμφότερα τὰ διαστήματα κατὰ μέρος ᾖ· ἢ κατηγορικῶς ἢ στερητικῶς:

Δείκνυσιν ὅτι κἂν ἀμφότεραι ὦσιν ἐπὶ μέρους αἱ προτάσεις, ὅπως δ᾽ ἂν ἔχουσι ποιότητος,
ἀσυλλόγιστοι αἱ συζυγίαι· ἄν τε ἀμφότεραι καταφατικαί, ἄν τε ἀμφότεραι ἀπο-
φατικαί· ἄν τε ἡ μὲν μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική· ἄν τε ἀνά-
παλιν· ἀλλ᾽ οὐδ᾽ ἂν ἀδιόριστοι· ἢ ἀμφότεραι καταφατικαί, ἢ ἀμφότεραι ἀπο-
φατικαί· ἢ ἡ μὲν μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική· ἢ ἀνάπαλιν.
κοινοὶ δὲ πασῶν ὅροι τῶν ὀκτὼ συζυγιῶν· τοῦ μὲν ὑπάρχειν ζῷον· λευκόν· ἵππος·
τοῦ δὲ μὴ ὑπάρχειν, ζῷον· λευκόν· λίθος· δῆλον δὲ τὸ αἴτιον τοῦ τὰς τοιαύτας
συμπλοκὰς πάσας ἀσυλλογίστους εἶναι· τὸ γὰρ μὴ εἰλῆφθαι καθόλου τὸν μέσον,
οὐ κατὰ ταὐτὸν ἀμφοτέροις κοινωνῶν· ἀλλὰ δυνάμενος τίθεσθαι καὶ τῷ ἄλλῳ ἢ ἄλλῳ,
σχεδὸν οὐδεμιᾶς οὔσης ἐν αὐτῶν. εἰκότως δὲ ἐκ δύο ἐπὶ μέρους προτάσεων, οὐδὲ
συνάγεται συλλογιστικῶς ὅτι καθόλου ἡ συλλογιστικὴ πίστις διὰ τοῦ καθόλου τί
συνάγεσθαι καὶ δεικνύναι τι τῶν ὑπαρχόντων· ὅθεν δὲ ἴσως τοῖς ἐκ δύο ἐπὶ μέρους συλλο-
γιστικῶς τι συνάγεσθαι· ὡς οἱ περὶ τὰ ἐριστικὰ λεγομένους ἀμεθόδως πραγ-
νοντας παρεχόμενοι εἰς δεῖξιν τούτου· ἢ δή τινα παραδείγματα ἀθροίζοντες,
ἢ διαβάλλοντες τὰ ὑπὸ Ἀριστοτέλους εἰρημένα παραδείγματα εἰς ἔλεγχον
τοῦ εἶναι ἀσυλλόγιστον τὴν τοιαύτην συμπλοκήν· δείξαντες αὐτὴν ψευδῆ· ἢ λέ-
γοντες αὐτὴν ὅτι δὲ μή· ἔσω δὲ ὅτι εἰ καινὸν ἢ τὸ ὅτι παρατίθεται, ἀσυλλόγιστον εἶναι
ζητεῖσθαι συζυγίαν· πρὸς τὸ ἢ τὰ παραδείγματα ἃ παρέχονται, μὴ τοῖς λαμβανο-
μένοις ἢ τεθειμένοις ἔχειν ἐξ ἀνάγκης ἑπόμενον τὸ συμπέρασμα· μηδὲ
τῷ τοιαῦτα εἶναι· ἀλλὰ τῷ ἀληθὲς εἶναι ἐπὶ ταύτης τὴν καθόλου πρότασιν· παρ-
ὰ ἔχοντας τὸ συμπέρασμα, ἐν τῇ τῶν προτάσεων συλλήψει παραλείποντες
ἐκείνην τὴν ἐλάττονα ἃς δὲ διαιροῦσι, πάντας γὰρ οὕτως συναγομένους τῶν
λεγομένων ὑπὸ τούτων ἀμεθόδως παραινεῖν, οἱ τὰς δύο προτάσεις ἐπὶ μέρους
ἔχοντες· ῥάδιον δὲ ἐπὶ τῶν παραδειγμάτων ὧν παρέχονται, τοῦτο δεικνύναι.
τό τε ἄλλα δὲ ὁ σοφὸς ὑπερτιμῶν ὡς λαμβάνουσι βιαζόμενοι δεικνύναι συλλο-
γιστικὴν τὴν τοιαύτην συζυγίαν, οὐ χαλεπὸν ἐλέγχειν: +

φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς ἐὰν ᾖ συλλογισμὸς ἐν τούτῳ τῷ σχήματι κατὰ
μέρος, ἀνάγκη τοὺς ὅρους ἔχειν ὡς εἴπομεν: +

Ἐδείξαμεν ὅτι ἐπὶ τοῖς ἐπὶ μέρους συλλογισμοῖς δεῖ δὲ οὐ τοιοῦτον, τὴν μὲν μείζονα,









+

δεῖ καθόλου εἶναι· ἢ καταφατικῶν ἀμφοῖν καὶ καταφατικὸν εἶναι τὸ συμπέρασμα, ἢ ἀποφατικῶν ἀμφοῖν ἀποφατικόν· τὴν δὲ ἐλάττονα· καταφατικὴν ἐπὶ μέρους ἐν ἀμφοτέροις τοῖς συλλογισμοῖς:

Δῆλον δὲ καὶ ὅτι πάντες οἱ ἐν αὐτῷ συλλογισμοὶ τέλειοί εἰσι.

Ὡρίσατο τὸν τέλειον συλλογισμὸν τὸν μηδενὸς ἄλλου προσδεόμενον παρὰ τὰ εἰλημμένα, πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον. φησὶ δὲ πάντας τοὺς ἐν τούτῳ δεδειγμένους τῷ σχήματι συλλογισμούς, τελείους εἶναι· ἐπειδὴ πάντες ἐπιτελοῦνται διὰ τῶν ἐξ ἀρχῆς εἰλημμένων· καὶ οὐδενὸς ἄλλου προσδέονται· ἔτι δὲ τὰ ἐξ ἀρχῆς λαμβανόμενα διὰ τῶν ἐν αὐτοῖς φανερόν ἐστιν, τό τε κατὰ παντὸς εἶναι τὸν ἐν ὅλῳ· καὶ τὸ κατὰ μηδενὸς καὶ ἐν μηδενί:

Καὶ ὅτι πάντα τὰ προβλήματα δείκνυται διὰ τούτου τοῦ σχήματος.

Διὰ ταῦτα μάλιστα πρῶτον τοῦτο τὸ σχῆμα· διὸ καὶ αὐτὸς ταῦτα πάντα προειπών, ἐπήνεγκε· καλῶ δὲ τὸ τοιοῦτον σχῆμα πρῶτον· ὡς ἀποδεδωκὼς τὰς αἰτίας, τοῦ, τοῦτο εὐλόγως καλεῖν πρῶτον· αὐτάρκως μὲν οὖν τούτοις τοῖς εἰρημένοις συλλογισμοῖς, ἔδειξε προηγουμένως ἐν τῷ πρώτῳ σχήματι γινομένους, Θεόφραστος δέ, προστίθησιν ἄλλους πέντε, τοῖς τέσσαρσι· τούτοις οὐκέτι τελείους, οὐδὲ ἀναποδείκτους ὄντας· ὧν μνημονεύει καὶ Ἀριστοτέλης· τῶν μὲν, ἐν τούτῳ τῷ βιβλίῳ προελθών· τῶν δέ, ἐν τῷ μετὰ τοῦτο τῷ δευτέρῳ κατ' ἀρχάς· τῶν μὲν τριῶν τῶν κατὰ τὴν ἀντιστροφὴν τῶν συμπερασμάτων γινομένων· τοῦ τε πρώτου ἀναποδείκτου, καὶ τοῦ δευτέρου, καὶ τοῦ τρίτου, ἐν δὲ τῷ δευτέρῳ καὶ τὰ λοιπὰ, ἐν οἷς ζητεῖ εἰ ἐνδέχεται πλείονα συμπεράσματα γίνεσθαι ἐπὶ τοῖς αὐτοῖς κειμένοις· τῶν δὲ καταλειπομένων δύο ἐν τούτοις λέγει ὅτι τῶν ἀσυλλογίστων συζυγιῶν, αἱ μὲν ὁμοιοσχήμονες, τέλειοί εἰσιν ἀσυλλόγιστοι· ἐν δέ τισι ἀσυλλογίστοις ταῖς ἐχούσαις τὸ ἀποφατικὸν καθόλου καὶ οὔσαις ἀνομοιοσχήμοσι, συνάγεταί τι ἀπὸ τοῦ ἐλάττονος ὅρου πρὸς τὸν μείζονα· αὗται δέ εἰσιν ἐν τῷ πρώτῳ σχήματι δύο συμπλοκαί, ἥ τε ἐκ καθόλου καταφατικῆς τῆς μείζονος καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος· αἱ γὰρ παρὰ ταύτας συζυγίαι, ἢ συλλογιστικαὶ ἦσαν· ἢ ὁμοιοσχήμονες· ἢ οὐκ ἔχουσαι τὴν ἐλάττονα καθόλου ἀποφατικήν. ὧν τὸν μὲν ὅλον· τὸν δέ, ἐμφαίνων Θεόφραστος λέγει· συνάγεται δι' ἀντιστροφῆς ἀμφοτέρων τῶν προτάσεων, ἐπὶ μέρους ἀποφατικὸν ἀπὸ τοῦ ἐλάττονος ὅρου πρὸς τὸν μείζονα συμπέρασμα· ὃ ἂν μὲν ἀντιστραφῇ, ἦν ἀναγκαίως

Θεόφραστος.

Ἀριστοτέλης.

Θεόφραστος.

ἐκ προηγουμένου καὶ ἑκατέρα τῶν συζυγιῶν συλλογιστική· διὰ τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος, δεικνύουσα τὸ προκείμενον· ἐπεὶ δὲ μὴ ἀντιστρέφει, πρὸς μὲν τὴν τοῦ προκειμένου δεῖξιν ἀσυλλόγιστοι αἱ συζυγίαι· ἀλλ' ὅμως τῷ δείκνυσθαι δι' αὐτῶν συλλογιστικῶς ὀνομάζεσθαι· ἐπισημανούμεθα δὲ περὶ αὐτῶν, ἐπειδὰν καὶ κατ' αὐτὰς γενώμεθα τοὺς τόπους:

## Σχῆμα β'.

Ὅτι ἐπειδὴ τὸ αὐτὸ τοῖς [illegible] ἑκατέρῳ [illegible]

Ἐπεὶ περὶ τοῦ πρώτου σχήματος καὶ τῶν ἐν αὐτῷ συζυγιῶν, καὶ διέξεισι τίνες μὲν ἐν αὐτῷ συλλογιστικαί, τίνες δὲ ἀσυλλόγιστοι, μεταβαίνομεν ἐπὶ τὸ δεύτερον σχῆμα· καὶ περὶ τῶν ἐν τούτῳ συζυγιῶν πάλιν ποιήσεται τὸν λόγον κατὰ τὸν αὐτὸν τρόπον. ἔστι δὲ τὸ δεύτερον σχῆμα ὡς ἔφαμεν, ἐν ᾧ ὁ κοινὸς ὅρος ὁ μέσος, ἀμφοτέρων τῶν ἐν αὐτῷ προκειμένων προβλημάτων κατηγορεῖται ὁ ἀεὶ ἐξ ἀνάγκης ποιῶν· ὅταν δὲ τὸ αὐτὸ, τῷ μὲν παντί, τῷ δὲ μηδενὶ ὑπάρχει· ἢ ἑκατέρῳ παντὶ ἢ μηδενί· τοῦτο τὸ σχῆμα ἐστὶ τὸ δεύτερον· ὅταν δὲ τὸ αὐτὸ τοῦτο δεύτερον τέμνεται καὶ διαλαμβανόμενον· τῷ μὲν τῶν ἄκρων παντὶ ὑπάρχει καὶ κατὰ παντὸς αὐτοῦ κατηγορεῖται, ἢ κατὰ ἑτέρου τῶν ἄκρων κατὰ παντὸς λέγεται, ἢ κατὰ μηδενός· πάλιν δὲ καὶ τοῦτο τὸ σχῆμα ὡς καὶ τὸ πρῶτον, διὰ τοῦ παρατίθεσθαι παραδείγματα, φανερὸν ἐποίησε πῶς ἔχει τὸν μέσον ὅρον ἐν αὐτῷ. ὅτι κατηγορούμενον ἀμφοτέρων· τὰ δὲ παραδείγματα οἷς καὶ χρῆται τῶν συζυγιῶν ἐστὶ δηλωτικά· τῶν καθόλου ἐστὶ προτάσεων· περὶ ὧν πρῶτον λέγει, ὥσπερ καὶ ἐπὶ τῶν ἐν πρώτῳ σχήματι· πασῶν δὲ ἀμνημονεύουσι τῶν καθόλου προτάσεων ἁπασῶν, ὅταν δὲ τὸ αὐτὸ τῷ μέν, παντὶ τῷ δὲ, μηδενί· ἢ ἑκατέρῳ παντὶ ἢ μηδενί· ὁ τὸ μέσος γίνεται κατηγορούμενος ἐκείνου ᾧ ὑπάρχει τὸ ὑπάρχει τὸ δὲ τὰ μείζονι ἄκρῳ· κατηγορεῖ τὸ δὲ ἐλάττονος ἀμφοτέρων ἄρα γίνεται κατηγορούμενος, τῆς μείζονος ἀντιστραφείσης· ὧν δὲ κατηγορούμενος βελτίονα χώραν ἐπὶ τοῦ δευτέρου σχήματος ἔχει· ἅτε μᾶλλον ἕν τε κατηγορεῖσθαι τοῦ ὑπάρχεσθαι· ἀνάγκη οὖν ἐστὶ καὶ τοῦτο τὸ σχῆμα δεύτερον. ὅτι τὸ μέσος διὸ ὁ συλλογισμὸς τῷ οἰκείαν θέσιν ἀπολέσας ἣν εἶχεν ἐν τῷ πρώτῳ σχήματι, τῶν καταλαμβανόμενον ὅτι καὶ μᾶλλον αὐτῶν θέσιν ἔχει·

ἔστι δὲ συλλογιστικὴ συζυγία ἐν τῷ δευτέρῳ σχήματι, ἐν ᾗ ἐστιν ἡ μείζων πρότασις καθόλου, ταύτης γὰρ οὔσης ἐπὶ μέρους, οὐδεὶς ἔσται συλλογισμὸς ἐν δευτέρῳ σχήματι, καὶ εὐλόγως· ἀφ' ἧς γὰρ προτάσεως ἀντιστραφείσης ἐκ τοῦ πρώτου σχήματος ἡ γένεσις αὐτῷ, ταύτης τὸ ἴδιον φυλακτέον, καὶ ἐν ταῖς ἐν δευτέρῳ σχήματι συλλογιστικαῖς συζυγίαις. τὴν δὲ δευτέραν πρότασιν δεῖ ἢ ἐλάττονα ἢ ἐπὶ μέρους ἢ καθόλου εἶναι· καὶ γὰρ καθόλου οὖσα καὶ ἐπὶ μέρους συλλογιστική· δεῖ δὲ αὐτὴν ἐξ ἀνάγκης κατὰ τὸ ποιὸν ἀντικεῖσθαι τῇ μείζονι, καὶ ἀνομοιοσχήμονα· ἂν μὲν ἐκείνη ᾖ καταφατική, αὕτη ἀποφατική· ἂν δὲ ἐκείνη ἀποφατική, αὕτη καταφατική· ὁμοιοσχημόνων γὰρ οὐσῶν, οὐ γίνεται συλλογισμὸς ἐν δευτέρῳ σχήματι· οὔτε γὰρ ἐκ δύο ἀποφατικῶν ὅλως οὐδενὶ σχήματι ἡ τοιαύτη συζυγία συλλογιστική· οὔτε ἐκ δύο καταφατικῶν ὡς ἐδείχθη ἤδη, οὔτε δὲ ἐκ χοινοῦ τῶν συλλογιστικῶν προτάσεων· καὶ ἐν τούτῳ τῷ σχήματι, τέσσαρες εἰσὶ συλλογιστικαὶ συμπλοκαί· τῇ μείζονι προτάσει ἂν μὲν καταφατικὴ ᾖ, συντασσομένης τῆς ἐλάττονος ἢ καθόλου ἢ ἐπὶ μέρους ἀποφατικῆς· ἂν δὲ ἡ μείζων ἀποφατικὴ ληφθῇ, τῆς ἐλάττονος ἢ καθόλου ἢ ἐπὶ μέρους συντασσομένης καταφατικῆς:· +

μέσον δὲ ἐν αὐτῷ λέγω, τὸ κατηγορούμενον ἀμφοῖν·

Ὑγιὴς ὁ λόγος τοῦ δευτέρου σχήματος· ἐν ᾧ ὁ μέσος κατηγορεῖται ἀμφοτέρων τῶν ἄκρων:·

πρῶτον δὲ τῇ θέσει: +

διὰ τῆς καταγραφῆς τῶν ὅρων καὶ τῆς λέξεως ἐδήλωσεν ἡμῖν· ὅτι τῆς μείζονος προτάσεως τῆς ἐν τῷ πρώτῳ σχήματι ἀντιστραφείσης, τὸ δεύτερον σχῆμα γέγονεν· ἐνθάδε γὰρ ἡ τάξις τῶν εἰρημένων ὅρων καὶ τὸ προτετάχθαι τὸν μέσον καὶ μετὰ τοῦτον κεῖσθαι, τὴν ἀντιστροφὴν ἐκείνης δηλοῖ τῆς προτάσεως:·

μεῖζον δὲ ἄκρον τὸ πρὸς τῷ μέσῳ κείμενον: +

Κατὰ φύσιν ἐν δευτέρῳ σχήματι μείζων ἐστὶ καὶ ἐλάττων ἄκρος· καὶ τίνι οὖν τοῦτο κρινοῦμεν· ἐπεὶ ἐστὶν ἀδιάφορον· ἐξέσται οἷον ἂν ἐθέλοιμεν βουληθῶμεν αὐτῇ θέσει τῷ μέσῳ, τοῦτον λέγειν μείζονα· τοῦτο δέ, ἐπεὶ ἀποφατικὰ μὲν τὰ ἐν τούτῳ τῷ σχήματι συναγόμενα· αἱ δὲ καθόλου ἀποφατικαὶ, ἀλλήλαις ἀντιστρέφουσι· ὥστε κατὰ τοῦτο, οὐδὲν μᾶλλον ὁ ἕτερος τοῦ ἑτέρου μείζων ἐστὶν ἐν ταῖς καθόλου ἀποφατικαῖς· ἀλλὰ μείζων μέν ἐστιν ὁ κατηγορούμενος· οὗτοι

δὲ ἐπ' ἴσης ἀλλήλων κατηγορῶνται· ἐπὶ μὲν γὰρ τῶν καθόλου καταφατικῶν,
μείζων ὁ κατηγορούμενος· ὅτι καὶ ἐπὶ πλεῖον· διὰ τοῦ ἑτέρου δὲ ἀντιστρέφει· ὥστε
φησὶ αὐτὸ τὸ μείζονα εἶναι ὑπάρχειν· ἐπὶ δὲ τῶν καθόλου ἀποφατικῶν,
οὐκέτι τοῦτο ἀληθές· τὸ μὲν οὖν λέγειν ὡς εἰρημένος οἴεται, ἐν τῷ δευτέρῳ σχήματι ὀρ μένος
τὸν μείζονα ἄκρον εἶναι· ἐὰν ἀμφότεροι ὁμοίως ἔξω ὦσιν, ὁ μέσος κατηγο-
ρεῖται· τὸ ἐγγύτερον τοῦ κοινοῦ γένους αὐτῶν· ἂν γὰρ ὦσιν οἱ ἄκροι, ὄρνεον καὶ ἄνθρωπος,
ἐγγυτέρω τοῦ κοινοῦ γένους αὐτῶν τοῦ ζώου, τὸ ὄρνεον τοῦ ἀνθρώπου· καὶ ἐν τῇ πρώτῃ
διαιρέσει· διὸ καὶ μείζων ἄκρος, τὸ ὄρνεον καὶ καθόλου ἐν τοῖς ὁμοίως ἔχουσιν·
ὁ οὕτως ἔχων πρὸς τὸ κοινὸν γένος, μείζων· εἰ δὲ εἶεν ἴσον ἀφεστῶτες ἀμφότεροι
τοῦ κοινοῦ γένους, ὡς ἵππος καὶ ἄνθρωπος, δεῖ ἐπισκοπεῖν τὸν μέσον τὸν κατηγορού-
μενον αὐτῶν, τίνος μὲν δι' αὐτὸν κατηγορεῖται, τίνος δὲ δι' ἄλλον κατηγορούμενον.
ἔσται κρίνειν τόν, δι' οὗ κατηγορεῖται τοῦ ἑτέρου, τῷ δι' ὃν καθ' αὑτὸν κατηγορεῖται.
κἂν ᾖ ἐκεῖνος, δι' οὗ ἐγγυτέρω τοῦ κοινοῦ γένους αὐτῶν, τοῦ ἑτέρου κατηγορεῖται.
τὸ τούτων οὖν κατηγορεῖται ὁ μέσος, διὰ τὸν ἐγγυτέρω τοῦ κοινοῦ γένους, μείζονα
λέγειν· οἷον ἔστωσαν οἱ μὲν ἄκροι, ἵππος καὶ ἄνθρωπος· κατηγορείσθω δὲ αὐτῶν, τὸ λογικόν.
τοῦ μὲν ἵππου ἀποφατικῶς· τοῦ δὲ ἀνθρώπου καταφατικῶς· ἐπεὶ τὸ λογικόν.
τοῦ μὲν ἵππου, οὐ καθ' αὑτὸ ἀποφάσκεται τοῦ ἵππου· ἀλλὰ διὰ τὸ ἄλογον αὐτὸν
εἶναι· τὸ δὲ λογικὸν δι' αὐτὸ καταφάσκεται τοῦ ἀνθρώπου, ἐγγυτέρω τοῦ κοινοῦ γένους αὐ-
τῶν ἐστὶ τοῦ ζώου ὁ ἵππος ἢ ὁ ἄνθρωπος· ἔσται δὴ καὶ ὁ ἵππος, μείζων τοῦ ἀνθρώπου ἄκρος.
τὸ τῷ ἴσον ἀφεστῶτας τοῦ γένους τοῦ οἰκείου αὐτοῦ· ὅτι μείζον διὸ οὗ τοῦτο κατη- :αὐ
γορουμένου κατηγορεῖται ὡς ἀλόγου αὐτοῦ· οὕτως ἵππου τὸ λογικὸν ἀποφά-
σκεται· τοῦ τοῦ ἀνθρώπου καταφασκομένου τοῦ λογικοῦ καθ' αὑτό· εἰ δὲ μὴ εἶεν ὁμοι-
ογενεῖς οἱ ἄκροι· ἀλλὰ διαφερόντων γενῶν, μείζονα αὐτῶν θετέον τὸν ἐν τῷ οἰκεί-
ῳ γένει ἐγγυτέρω ὄντα αὐτῶν· οἷον, ἂν κατηγορῆται χρώματος καὶ ἀνθρώπου, μείζων
ἄκρος τὸ χρῶμα· ἐγγυτέρω γὰρ τοῦ τῆς ποιότητος, ἢ ὁ ἄνθρωπος τῆς οὐσίας· ἄτομον
γάρ ἐστιν ὁ ἄνθρωπος· τὸ δὲ χρῶμα, οὔ· ἂν δὲ εἶεν πάλιν ἀπέχοντες ἀμφότεροι τῶν
οἰκείων γενῶν, ἐπὶ τὸν κατηγορούμενον ἐπανιέναι καὶ ζητεῖν τίνος μὲν αὐτῶν
δι' αὐτόν, τίνος δὲ δι' ἄλλον κατηγορεῖται· κἂν ᾖ δι' οὗ κατηγορεῖται τοῦ ἑτέρου,
ἐγγυτέρω τοῦ ~~ἑτέρου γένους ἐν~~ οἰκείου γένους· ἢ τοῦ δι' ἐκεῖνον κατηγορεῖται,
μείζονα ἡγητέον ἄκρον· οἷον ἔστωσαν ὅροι λευκὸν καὶ ἄνθρωπος· τὸ μέν, ἐν ποιότη-
ἄλλος

τοῦ δὲ ἡ οὐσία κατηγορεῖται, τὸ δὲ λογικόν, καταφατικῶς μέν, τοῦ αὐτοῦ· ἀποφατικῶς
δέ, τοῦ λευκοῦ· ἐπεὶ τοῦ μὲν αὐτοῦ, καθὸ αὐτός, καταφάσκεται· τοῦ δὲ λευκοῦ
οὐ καθὸ λευκὸν ἀποφάσκεται· ἀλλὰ καθὸ ἄψυχόν ἐστιν· ἐπεὶ τὸ ἄψυχον διὸ
τοῦ λευκοῦ τὸ λογικὸν ἀποφάσκεται, κοινότερον καὶ καθολικώτερον, καὶ ἐπὶ τοῦ
τέρου τῆς οὐσίας τῆς ἀψύχου· ἢ ὁ αὐτὸς τῆς ἐμψύχου· καὶ τὸ λευκὸν διὰ τοῦ
μείζονος ὅρος, τοῦ αὐτοῦ· τὸ δὴ τοιοῦτον αἰτίαν· ἡ ζήτησις ἣ φυσικωτέρα οὖσα τῷ δευτέρῳ
σχήματι τὸ μείζον ἄκρον, πρὸς τὰς περιεργίας ἔχειν, οὐδὲ ἀληθές ἐστιν· πρῶ
τον μὲν γὰρ ἂν μὴ αὐτοὺς ἀφ' ἑαυτῶν τοὺς ληφθέντας ὅρους ἐξετάζωμεν· ἀλ
λὰ καθὸ ὁ κατηγορούμενος ὅρος ὑπάρχειν, ἐὰν ἐν τῇ ἀποφατικῇ προτάσει
ὁ μείζων ὅρος ἔσται· ἴσως γὰρ ὁ μείζων οὐ τοιοῦτος ἔσται τοῦ μέσου· ἢ οὕτως καὶ οὕτως ὑπ
άρχειν εἰλημμένος· ἢ διὸ οὐ ἀποφάσκεται κινούμενος τοιοῦτος· οὕτως ἔχειν πρὸς
τὸν μέσον μείζονα ἀποφασκόμενον· ὁ γὰρ μέσος, οὐχ ὑπάρξει ὡς καὶ τῷ
ὑπάρχειν· διότι τὸ αὐτὸ κείμενον αὐτὸ καὶ αὐτὸ διῃρημένον ὑπάρχει τῷ ὑποκει
μένῳ· τὸ δὲ αὐτὸ κείμενον τῷ μέσῳ καὶ αὐτὸ διῃρημένον, ἴσως ἐστὶν αὐτῷ· ἢ γὰρ διὰ
τοῦ αὐτοῦ ἢ διὰ τὸ ἄλλο ἐπὶ πλέον τοῦ μέσου· ὡς ὅταν τὸ λογικὸν διὰ τὸ ἄ
ψυχον ἀποφάσκεται τινός· ἴσως γὰρ γίνεται ὅτε ὅταν διὰ τὸ ἄλογον· τὸ γὰρ λογ
ἴσως τὸ ἀπὸ τῶν δύο τοῦ ἵππου ἀποφατικῶς τὸ λογικὸν κατηγορεῖται· ἢ οὖν τούτῳ
μὲν ἴσως ὁ μείζων οὐ ἀποφάσκεται ὁ ἔλαττον αὐτοῦ κινεῖται· ὅταν διὰ τὸ ἄψυχον
τὸ λογικὸν ἀποφάσκεται τινός· τὸ γὰρ ἄψυχον τῷ ἐμψύχῳ ἴσον· ὑπὸ τὸ λογικὸν
μείζονον τοῦ ἑτέρου οὐ καταφάσκεται· ἐπεὶ γὰρ ὁ κατηγορούμενος καταφα
μείζων τοῦ ὑποκειμένου αὐτοῦ οὐ ἀποφάσκεται ὁ μέσος· ἢ οὐ καταφάσκεται
ὁ μέσος, ἄλλῃ αἰτίᾳ διὸ ἀποφάσκεται ἴσως καὶ μείζων αὐτοῦ τοῦ μέσου· ὃς μεί
ζων ἐστὶ τοῦ ὑποκειμένου αὐτῷ ἐν τῇ καταφατικῇ προτάσει· ὥστε καὶ ἡ ἀποφατικὴ
πρότασις, ἅμα μείζων ἔσται τῆς καταφατικῆς, ἀλλὰ μᾶλλον λέγει ὁ ἀριστοτέλης,
τὸ πρὸς τὸ ἔλαττον τὸ ἀποφατικὸν τίθεσθαι· ὁ οὖν δεύτερος συλλογισμός
ἐν τούτῳ τῷ σχήματι, τὴν ἐλάττονα ἔχει καθόλου ἀποφατικήν· ἔνια δέ τι
ἐπὶ μόνων τῶν ἀποφατικῶν ἡ μετάληψις καὶ ζήτησις ἔσται τοῦ ἰδίου κατηγο
ρεῖται ἀποφατικῶς· καὶ γὰρ καὶ ἐπὶ τῆς καταφάσεως, τὸ αὐτὸ ζητηθήσεται·
τὸ γὰρ λογικὸν τοῦ αὐτοῦ ᾗ καὶ καθ' αὐτό· ἀλλ' οὐ πρῶτον· οὐδὲ ᾗ αὐτός· ἀλλ' ᾗ λογικός.
ὥστε καὶ τοῦ μὲν ἵππου διὰ τὸ ἄλογον, τὸ λογικόν· ἐν τῆς αὐτῆς διαφορᾶς·

οὐδέπω ὁ μείζων εὑρῆσθαι· καὶ κατὰ τὴν εἰρημένην μέθοδον· διὸ οὕτως μὲν οὐ χρὴ τὴν κρίσιν ποιεῖσθαι τῆς προτάσεως τῆς ἐν τῷ δευτέρῳ σχήματι μείζονος· καθὸ γὰρ τῷ δείκνυσθαι καὶ τὸ καταφατικὸν εἶναι πρὸς τῷ μείζονι ὅρῳ· καὶ τὸ ἀποφατικὸν ἐν τούτῳ τῷ σχήματι, ὁποῖος ἂν ὅρος εὑρεθῇ καὶ κατὰ τὴν προειρημένην μέθοδον μείζων· οὐ τεθεὶς ὡς μείζων καὶ ὡς ἐλάττων λαμβανόμενος· ποιήσει τὴν συζυγίαν συλλογιστικήν· ὁποτέρως ἂν· οὐκ ἂν τοῦτ' εἴη μείζων ἐν τούτῳ τῷ σχήματι· οὐ γὰρ ἁπλῶς μείζονος ὅρου ζήτησις· ἀλλὰ τοῦ ἐν τούτῳ μείζονος· ἀλλ' οὐδὲ ἁπλῶς πάλιν ῥητέον μείζονα, τὸν ἐν τῷ συμπεράσματι τοῦ συλλογισμοῦ κατηγορούμενον ὡς ἐδείκνυτο· οὐδὲ γὰρ οὗτος δῆλος· ἄλλοτε γὰρ ἄλλος ἔσται· οὐχ ὡρισμένως τῶν ἀντιστρεφόντων καθόλου ἀποφατικῶν· καὶ ὅτι ἴσως μείζων· ἀμφότεροι ἐλάττων· τε φημὶ ἔσται τὸν αὐτὸν καὶ μείζω καὶ ἐλάττω ποιεῖν· οὐ τοίνυν φυσικῶς ἐστιν ἐν ταῖς ἀποφατικαῖς μείζων· οὐδὲ ἁπλῶς ἐν τῷ συμπεράσματι χρὴ τὸν μείζω λαμβάνειν· οὐδὲ γὰρ οὕτως ὡρισμένως ἔσται, τό, τε συμπέρασμα ἔχει κατηγορούμενον τὸν ἐν ταῖς προτάσεσιν εἰλημμένον ὡς μείζονα· ὥστε οὐ τὸ συμπέρασμα τοῦ μείζονος δεικτικόν· ἀλλὰ τὸ λαβεῖν τινα μείζονα, ἄξιον τοῦ, καὶ ἐν τῷ συμπεράσματι τοῦτον κατηγορεῖσθαι· ἀλλ' οὐδὲ καὶ ἀδιανόητόν ἐστιν, ὅτε μηδέτερός τις ἐν αὐτῷ μείζων· ὡρίσατο γὰρ τὸ δεῖν τὴν μείζονα πρότασιν ἐν αὐτῷ, καθ' ὃ εἶναι· ἐπειδὴ δέδεικται συλλογιστικὴ ἡ συμπλοκή· μείζων δὲ πρότασις, ἐν ᾗ ὁ μείζων ἐστὶν ὅρος· τίνα δ' ἂν ποιητέον ἐν δευτέρῳ σχήματι μείζονα ὅρον· δεῖ δὴ μείζονα τεθεῖσθαι ὅρον· καὶ πρῶτον τεθεῖναι, οὗ ἐν τοῖς προβλήμασι βουλόμεθα δεῖξαι τι ἢ συναγαγεῖν· ὃν κατηγορούμενον ἔχομεν· πᾶς γὰρ ὁ συλλογιζόμενος, ὁρίσας παρ' αὑτῷ πρῶτον ὃ βούλεται δεῖξαι, οὕτως εἰς τοῦτο τῶν οἰκείων εὐπορεῖ προτάσεων· οὐ γὰρ ἀπὸ τύχης περιπίπτει τῷ συμπεράσματι· τὸν δὴ ἐν τῷ προκειμένῳ προβλήματι εἰς τὴν δεῖξιν, κατηγορούμενον, τοῦτον θετέον μείζονα. εἰ γὰρ ἀντιστρέφει· καὶ διὰ τοῦ τὴν ἐκ τοῦ αὐτοῦ [illegible] ἀλλ' ἐν τῷ, ἡμῖν δεῖ τὸ δεῖξαι προκειμένῳ, κατηγορούμενος οὗτος καὶ μείζων· διὰ τοῦ τε γὰρ καὶ ἄλλο γίνεται συμπέρασμα, ἀντιστρεφόμενον αὐτό· ὡς ἐπὶ μὲν τοῖς δεικνύουσι καὶ συλλογιζομένοις καὶ τὰ αὐτὰ τοῖς ὅροις, οὕτως μείζων· ἐπεὶ μὴ τῇ αὐτῶν φύσει ἐν ταῖς ἀποφατικαῖς τὸ μεῖζον ἢ τὸ ἔλαττον· ἀλλ' ἐν τῇ τῶν συμπερασμάτων προθέσει· δῆλον δὲ ὅτι ὁ ἐν τῷ προβλήματι κατηγορούμενος, καὶ ἐν τῷ

συμπέρασμα τι κατηγορούμενος γίνεται: Τέλειος μὲν οὖν οὐκ ἔσται συλλογισμὸς ἐν τούτῳ τῷ σχήματι· δυνατὸς δ' ἔσται· καὶ καθόλου καὶ μὴ καθό-
Τέλειος ἐπεὶ συλλογισμοὺς τελείους τοὺς ἐκ τῶν κειμένων φανερὸν λου τῶν ὅρων ὄντων:
τὸ ἀναγκαῖον ἔχοντας· οἷοι ἐδείχθησαν ὄντες οἱ ἐν τῷ πρώτῳ σχήματι· ἀτελεῖς δέ, τοὺς ἔξωθεν προσδεομένους τινὸς ἢ τινῶν· ἃ ἐστὶ μὲν ἀναγκαῖα διὰ τῶν ὑποκειμένων ὅρων· οὐ μὴν εἴληπται διὰ προτάσεων· τοιοῦτοι δέ εἰσιν· οἵ τε ἐν τούτῳ τῷ σχήματι καὶ οἱ ἐν τῷ τρίτῳ· οἱ μὲν γὰρ βʹ ἐν τούτῳ τῷ σχήματι, ἀντιστροφῆς προσδέονται πρὸς τὸ φανερὸν τὸ ἐν αὐτοῖς ἀναγκαῖον γενέσθαι· ὁ δὲ τέταρτος διὰ μὲν ἀντιστροφῆς οὐ δείκνυται· διὰ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, δείκνυται αὐτοῦ ἡ ἀναγκαία τῆς συναγωγῆς· τὸ δέ, δυνατὸς δ' ἔσται καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων, δηλωτικόν ἐστι τοῦ, ἐξ ἀμφοτέρων καθόλου τῶν προτάσεων οὐσῶν, δύνασθαι γενέσθαι συλλογισμὸν ἐν τούτῳ τῷ σχήματι· καὶ μὴ οὐσῶν ἀμφοτέρων καθόλου· ἀλλὰ δηλονότι τῆς ἑτέρας ἐπὶ μέρους, τουτέστι τῆς ἐλάττονος· ἀμφοτέρων γὰρ ἐπὶ μέρους οὐσῶν, οὐδεὶς γίνεται συλλογισμός· ἀλλ' οὐδ' ἂν ἡ μείζων ἐπὶ μέρους ληφθῇ ὡς εἰρήκαμεν:

Καθόλου μὲν οὖν ὄντων, ἔσται συλλογισμὸς ὅταν τὸ μέσον τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ· κἂν πρὸς ὁποτερῳοῦν ᾖ τὸ στερητικόν· ἄλλως δ' οὐδαμῶς·

Οτὰς δ' ἀνομοιοσχήμονας καλεῖ τὰς τὸ ποιὸν ἐναντίας ἐν τούτῳ τῷ σχήματι προτάσεις· ἃ μὲν οὖν αἱ μὲν συλλογιστικαὶ συζυγίαι ποιοῦσιν εἰρήκαμεν· ὅταν δὲ ἀμφότεραι μὲν ὦσιν αἱ προτάσεις καθόλου· ὦσι δὲ καὶ ἀνομοιοσχήμονες, συλλογισμὸς ἔσται· αὗται δὲ ἡ μὲν μείζων ἀποφατικὴ ἢ δὲ ἐλάττων καταφατική· ἢ αὖ τε καὶ ἀνάπαλιν· ἀμφότεραι γὰρ αἱ συζυγίαι οὕτως ἔχουσαι, συλλογιστικαί· συνάγουσαι καθόλου ἀποφατικόν· εἰ δὲ τὸ ἐν τούτῳ τῷ σχήματι καθ' ἃ προείρηται, συλλογιστικαὶ συζυγίαι τέσσαρες, ὥσπερ καὶ ἐν τῷ πρώτῳ· δύο μὲν ἐκ καθόλου προτάσεων· δύο δὲ ἐκ τῆς ἑτέρας τῆς ἐλάττονος, ἐπὶ μέρους· τάξις δὲ τῶν συλλογισμῶν τούτων ἤδη· πρῶτοι μὲν ἐστὶν οἱ δύο οἱ ἐκ τῶν καθόλου συνάγοντες καθόλου ἀποφατικά· οὐδὲν γὰρ καταφατικὸν ἐν τούτῳ συνάγεται τῷ σχήματι· ὅτι μηδὲ ἐξ ὁμοιοειδῶν προτάσεων· οὗτοι δὲ πρῶτοι· τὸ καθόλου γὰρ τοῦ ἐπὶ μέρους τιμιώτερόν τε καὶ πρῶτον· τούτων δὲ πάλιν τῶν δύο· πρῶτος αὐτῶν ὁ τὴν μείζονα

πρότασιν ἔχων καθόλου τε καὶ ἀποφατικήν· τὴν δ' ἐλάττονα καθόλου κατα
φατικήν· μιᾶς γὰρ ἀντιστροφῆς οὗτος δεῖται, πρὸς τὸ τὸ ἀναγκαῖον τὸ ἀνάλογον
φανῆναι· ἀντιστραφείσης γὰρ τῆς μείζονος προτάσεως, ἀνάγεται εἰς τὸ δεύτερον
ἀναπόδεικτον ὡς ἐδείχθη ἔσται· ὁ δὲ ἔχων τὴν μείζονα καθόλου καταφατικήν,
μετ' ἐκεῖνον δὲ τεταγμένος· δύο γὰρ ἀντιστροφῶν οὗτος δεῖται· πρὸς τὸ δειχθῆναι
τὸν μείζονα ἄκρον, μηδενὶ τῷ ἐλάττονι ἄκρῳ ὑπάρχοντα· πλείονος δὴ βοηθείας
δεόμενος τοῦ πρὸ αὐτοῦ, εἰκότως μετ' ἐκεῖνον τέτακται· ἀτελέστερος ὢν αὐτοῦ.
δειχθήσονται δὲ ἐν τούτῳ δύο ἀντιστροφαί· ἐπὶ δὲ τῶν δύο τῶν ἐπὶ μέρους ἀπο
φατικὸν συναγόντων, ὁ μὲν ὡς εἰρήκαμεν τὴν μείζονα πρότασιν ἔχει τὴν καθό
λου· γίνεται δὲ ἡ ἐλάττων ἐν ἀμφοτέροις ἐπὶ μέρους· ἐν ᾧ μὲν οὖν ἡ μείζων, καθό
λου ἐστὶ καὶ ἀποφατική, ἡ δὲ ἐλάττων ἐπὶ μέρους καταφατική, γ' ὁ τρίτος οὗτος ἐστί.
ἐπεὶ διὰ ἀντιστροφῆς τῆς μείζονος προτάσεως τὸ ἀναγκαῖον, ἐν αὐτῷ φανερὸν
γίνεται· ἀντιστραφείσης γὰρ ταύτης γίνεται ἐν τῷ πρώτῳ σχήματι ὁ τέταρτος
ἀναπόδεικτος· ἡ γὰρ ἀντιστροφὴ ἐκείνη αὐτίκα ἐλλείπεται ἐν ταῖς προτά
σεσιν, ἀλλὰ ἀδύνατον μένει· διόπερ ἧττον ἀτελὴς οὗτος τοῦ μετ' αὐτόν· ὃς ἔχει τὴν
μὲν μείζονα πρότασιν, καθόλου καταφατικήν, τὴν δὲ ἐλάττονα, ἐπὶ μέρους
ἀποφατικήν· οὗτος γὰρ οὐχ οἷός τε δειχθῆναι διὰ ἀντιστροφῆς· ἀλλὰ πλεί
ονος δεῖται βοηθείας· διὰ γὰρ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, τὸ ἐν τούτῳ δεικνύ
μενον ἀναγκαῖον, ἐν ᾗ δεῖ ἔξωθέν τι πρότασίς τε παραλαμβάνεται· ἢ οὐχὶ
ἐκ τῶν κειμένων δηλοῦται· οὐ μὴν ἐπ' ἄλλων ὅρων· καὶ ἐπ' ἄλλου δειχθέντος, +
τὸ προκείμενον συνάγεται· ὁ μὲν γὰρ συλλογισμὸς γίνεται τοῦ ἀντικειμένου.
ἀδυνάτου δὲ ἐκείνου φανέντος, τῇ ἐκείνου δὲ ἀναιρέσει τοῦτο πιστοῦται, ὁ ἀντι
κείμενον αὐτῷ ὡς ἐδείχθη ἔσται· οἱ δὲ διὰ ἀντιστροφῶν συνάγοντες, αὐτὸ τὸ
προκείμενον συλλογίζονται· δεόμενος δὲ τοσαύτης βοηθείας, εἰκότως ἀ
τελέστερος τε ἐστὶ καὶ τὴν ἐσχάτην χώραν ἔχει τῶν ἐν τούτῳ τῷ σχήματι· ἐπεὶ
οἱ πρὸ αὐτοῦ γ' δεικνύμενοι διὰ ἀντιστροφῆς, δύνανται δείκνυσθαι καὶ διὰ
τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· ὁ δὲ τέταρτος, οὐκ ἔτι διὰ ἀντιστροφῆς δύναται
δείκνυσθαι, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς μόνον, τὴν πίστιν λαμβάνει
τοῦ συλλογιστικὸς εἶναι· ἐξετάζων δὲ καὶ ἐν τούτῳ τῷ σχήματι συζυγίας,
τίνες εἰσί· καὶ πόσαι μὲν καὶ ποῖαι συλλογιστικαί· ποῖαι δὲ ἀσυλλόγιστοι,

οὐ διὰ τοιούτων στοιχείων ποιεῖται τὰς τῶν συζυγιῶν ἐκθέσεις ὥσπερ καὶ ἐπὶ τοῦ πρώτου σχήματος· ἀλλὰ τῶν Μ Ν Ξ· καὶ μέσον μὲν λαμβάνων τὸ Μ· τὸ ἀμφοτέρων κατηγορούμενον· καὶ τὴν πρώτην ἔχον τάξιν ἐν τῇ καταγραφῇ· μείζονα δὲ ἄκρον τὸ Ν· ἐφεξῆς κείμενον μετὰ τὸ μέσον· ἔσχατον δὲ καὶ ἐλάττονα τὸ Ξ. ὅτι δὲ μὴ διὰ μιᾶς οὔσης στερητικῆς προτάσεως, οὐκ ἔστι συλλογιστικὴ συζυγία ἐν τούτῳ τῷ σχήματι, ἐδήλωσεν εἰπών, ἂν πρὸς ὁποτερωοῦν ᾖ τὸ στερητικόν. ἀλλ' ἀναγκαίως. αἱ δὲ ἐν τούτῳ τῷ σχήματι ἀσυλλόγιστοι συζυγίαι χωρὶς τῶν ἀδιορίστων δεκαδύο ὡς δεδείκνυσται· ἐπεὶ καὶ πᾶσαι ἑξκαίδεκα:· κατηγορείσθω γὰρ τὸ Μ τοῦ μὲν Ν, μηδενός· τοῦ δὲ Ξ παντός· ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητικόν:+

Δέδεικται ἐν τοῖς ἔμπροσθεν, ὅτι ἡ καθόλου στερητικὴ ὑπάρχουσα, ἑαυτῇ ἀντιστρέφει· ἐπεὶ οὖν εἴληπται ἡ μείζων πρότασις, καθόλου ἀποφατική· κατηγορεῖται γὰρ τὸ Μ, μηδενὶ τῷ Ν, ἀντιστραφέν, ἔσται καὶ τὸ Ν, μηδενὶ τῷ Μ· κατηγορεῖται δὲ τὸ Μ παντὶ τῷ Ξ· οὕτως δὲ ἐχουσῶν τῶν προτάσεων, γίνεται ὁ δεύτερος συλλογισμὸς τῶν ἐν πρώτῳ σχήματι· συνάγων καθόλου ἀποφατικόν· τὸ Ν μηδενὶ τῷ Ξ· τοῦτο δὴ συναχθήσεται καὶ ὑπὸ τῆς ἐκκειμένης συζυγίας· ἔστω τὸ μὲν Μ, ζῶον· τὸ δὲ Ν, ἄψυχον· τὸ δὲ Ξ, ἄνθρωπος· εἰ δὴ τὸ ζῶον κατ' οὐδενὸς ἀψύχου· ἀντιστρέφει· τὸ ἄψυχον κατ' οὐδενὸς ζώου· τὸ δὲ ζῶον κατὰ παντὸς ἀνθρώπου, τὸ ἄψυχον ἄρα κατ' οὐδενὸς ἀνθρώπου· καὶ οὗτος μὲν ὁ πρῶτος τῶν ἐν δευτέρῳ σχήματι συλλογισμῶν· καὶ διὰ τῆς τοιαύτης βοηθείας τελειούμενος:· +

πάλιν εἰ τὸ Μ τῷ μὲν Ν παντί, τῷ δὲ Ξ οὐδενί· οὐδὲ τὸ Ξ τῷ Ν οὐδενὶ ὑπάρξει·

Δέον ἐπάγειν καὶ τὸ ὀφεῖλον συμπέρασμα δειχθῆναι ἐν τῇ τοιαύτῃ συμπλοκῇ· ἔστι δὲ τοῦτο, ὅτι τὸ Ν οὐδενὶ τῷ Ξ· κατηγορεῖται γὰρ τὸ Ν μείζων ἄκρος· διὸ δεῖ καὶ τηρεῖσθαι αὐτὸν ἐν τῷ συμπεράσματι. ἀλλ' οὗτος ἠθέλησεν ἐπὶ τὸ δεῖξαι πῶς τοῦτο συνάγεται, ὁ δὲ τὸ συμπέρασμα τὸ τελευταῖον παρέλιπε· τὴν δὲ ἀπόδειξιν λέγει δι' ἧς δειχθήσεται τὸ συμπέρασμα τοῦτο. λέγει γὰρ ὅτι οὐδὲ τὸ Ξ τῷ Ν οὐδενὶ ὑπάρξει· καὶ τοῦτον πρῶτον δείκνυσι συμπέρασμα γινόμενον ἐπὶ τῇ τοιαύτῃ συζυγίᾳ· ἐπεὶ γὰρ κεῖται ἡ ἐλάττων ἡ ΜΞ καθόλου ἀποφατική· ἀντιστρέφει δὲ ἡ καθόλου ἀποφατική· οὐδὲ τὸ Ξ τῷ Μ οὐδενὶ ὑπάρξει· τὸ δὲ Μ παντὶ τῷ Ν ὑπάρχει καὶ τὸ ὑπάρχον· ἐξ ὧν συνά-



τινὶ τῷ γ· τὸ ξ μηδενὶ τῷ ν· καὶ ὅμως ἅπαν ἐδείκνυτο συμπέρασμα, οὕτως ἔδειξεν·
ἀντιστρέψας τὴν ἐλάττονα πρότασιν· ἐπειδὴ γοῦν καὶ τοῦ τὸ προκείμενον δεῖξαι·
ἐκ δὲ γὰρ αὐτῆς συζυγίας μείζων ὅρος τὸ ν· διὰ δὲ τὸ μὴ ἔχοντα αὐτῷ συμπέρασ-
μα κατηγορεῖσθαι, ἀντιστρέφει τὸ συμπέρασμα καθόλου ὂν ἀποφατικόν.
τὸ οὕτως δὲ ὡς τὸ ν μηδενὶ τῷ ξ ὑπάρχον· ὃ ἀπεδείχθη γινόμενον συναγόμενον.
δ' ὅσον ἐδείχθη διὰ τῆς κειμένης ἀντιστροφῆς· πρὸς τὴν τοῦ προκειμένου δεῖξιν.
καὶ γὰρ τὴν πρότασιν ἀντιστρέψαμεν τὴν ἐλάττονα, καὶ τὸ συναγόμενον συμπέ-
ρασμα· ἔστω ζῷον ἐπὶ τοῦ μ, ἄνθρωπος ἐπὶ τοῦ ν· ἄψυχον ἐπὶ τοῦ ξ· ζῷον
παντὶ ἀνθρώπῳ· ζῷον οὐδενὶ ἀψύχῳ· ἡ δεῖξις, ἄψυχον οὐδενὶ ζῴῳ· ζῷον παντὶ
ἀνθρώπῳ· ἄψυχον οὐδενὶ ἀνθρώπῳ· καὶ ἄνθρωπος ἄρα οὐδενὶ ἀψύχῳ· τὸ δέ, ὡς τὰ ἔστι ὁ αὐτὸς
συλλογισμός, προσέθηκε δηλονότι ὅτι διὰ τοῦ αὐτοῦ τοῦ συλλογισμοῦ, καὶ τοῦ τὸ
δειχθῆναι τὸ συμπέρασμα, τὸ ν μηδενὶ τῷ ξ· διοῦ ἐδείχθη καὶ τὸ ξ οὐδενὶ
τῷ ν· ἐδείχθη δὲ ἐκεῖνο συναγόμενον, διὰ τοῦ δευτέρου τῶν ἐν τῷ πρώτῳ σχή-
ματι· ἀντιστραφείσης τῆς καθόλου ἀποφατικῆς· ὡς τὰ καὶ τοῦτο διὰ ἐκείνου· τὸ γὰρ
ἀντιστρέφειν τὸ καθόλου ἀποφατικὸν αὐτῷ, ὃ πρὶν τὸ συμπέρασμα, καὶ ἔστιν
ὁμολογούμενον· καὶ οὐ δεῖ ἄλλου συλλογισμοῦ τινὸς πρὸς τοῦτο:·

ἔστι δὲ δεικνύναι καὶ ταῦτα καὶ εἰς τὸ ἀδύνατον ἀπάγοντας:~

Λέγει ὅτι καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ χρώμενος, ἔστι δεῖξαι τὰς προειρημένας
συζυγίας, συλλογιστικὰς οὔσας, καὶ συναγούσας τὸ καθόλου ἀποφατικόν.
τὸν μὲν οὖν πρῶτον συλλογισμόν, οὕτως δείξομεν· καθὼς ἔλαβε τὰς προτάσεις· τὸ μ
τῷ ν οὐδενί· τὸ μ παντὶ τῷ ξ· λέγω ὅτι καὶ τὸ ν τῷ ξ οὐδενί· εἰ δὲ μὴ τοῦτο,
τὸ ν τινὶ τῷ ξ ὑπαρχέτω· ὃ ἀντικείμενόν ἐστι τῷ μηδενί· δεῖ δὲ ἢ τοῦτο,
ἢ τὸ ν τινὶ τῷ ξ ὑπαρχέτω· ἢ ἐκεῖνο συνάγεσθαι· ἐπὶ πάντως γὰρ θάτερον
μόριον τῆς ἀντιφάσεως· ἐπεὶ τοίνυν τὸ ν τῷ ξ καὶ τινὶ ὑπάρχειν· ὑπάρξει
δηλονότι καὶ τὸ ξ τινὶ τῷ ν· διὰ τὸ τὴν ἐπὶ μέρους καταφατικὴν ἀντιστρέφειν
αὐτῇ· καὶ κεῖται δὲ τῷ μ παντὶ τῷ ξ ὑπάρχειν· γίνεται οὖν συζυγία, τὸ μ παν-
τὶ τῷ ξ· τὸ ξ τινὶ τῷ ν· τὸ ἄρα μ τινὶ τῷ ν· ὅπερ ἀδύνατον· ὑπόκειται γὰρ
τὸ μ οὐδενὶ τῷ ν ὑπάρχον· τὸ δὴ ἀδύνατον γίνεται λοιπὸν ἐκ τοῦ τὸ παρὰ τὴν θέσιν
τὸ ν τινὶ τῷ ξ ὑπάρχον· ἡ ὑπόθεσις ἄρα ἀδύνατος ἐστι καὶ ψευδής· ἀδύνατον τοῦτο
ψευδοῦς, τὸ ἀντικείμενον αὐτῷ ἀληθές· ἀντικείμενον δὲ τῷ τὸ ν τινὶ τῷ ξ ὑπάρ-

τὸ μηδενὶ ὑπάρχειν αὐτὸ τῷ ξ· τὸ ν· τὸ ν ἄρα οὐδενὶ τῷ ξ, ὃ προέκειτο δεῖξαι. ἢ οὕτως ἄμεινον δεικνύναι. λέγω ὅτι τὸ ν τῷ ξ οὐδενί, ἐπὶ τῆς κειμένης συζυγίας. εἰ γὰρ ψευδές φησι τοῦτο, ὑποκείσθω τὸ ἀντικείμενον. τὸ ν τινὶ τῷ ξ ὑπάρχειν· καὶ ἐπειδὴ τὸ μ τῷ ν οὐδενί, συνάγεται ἐν πρώτῳ σχήματι· τὸ μ τῷ ξ τινὶ μὴ ὑπάρχειν· ἀλλ᾽ ἔκειτο τὸ μ παντὶ τῷ ξ ὑπάρχειν· ψευδὴς γὰρ ἡ ὑπόθεσις· τὸ ἀντικείμενον ἄρα αὐτῆς ἀληθές· τὸ ν μηδενὶ τῷ ξ. πάλιν καὶ ἐπὶ ἡ δευτέρα συζυγία· τὸ μ τῷ ν παντί· τὸ μ τῷ ξ μηδενί· λέγω ὅτι τὸ ν τῷ ξ μηδενί. εἰ γὰρ τινί, καὶ ἐπειδὴ τὸ μ τῷ ν παντί, ἔσται τὸ μ τινὶ τῷ ξ ὑπάρχον· ὅπερ ἀδύνατον· οὐδενὶ γὰρ ὑπάρχει τὸ μ τῷ ξ· ψευδὴς ἄρα ἡ ὑπόθεσις δι᾽ ἧς συνήχθη τοῦτο, ἡ θέσα τὸ ν τινὶ τῷ ξ ὑπάρχειν· ἀληθὲς ἄρα τὸ ἀντικείμενον αὐτῆς, τὸ τὸ ν μηδενὶ τῷ ξ. κἂν ἀντιστρέψωμεν δὲ τὴν ὑπόθεσιν, καὶ ποιήσωμεν τὸ ξ τινὶ τῷ ν, καὶ προσλαβώμεθα τὸ μ τῷ ξ οὐδενί, συνάγεται πάλιν ἀδύνατον, τὸ τὸ μ τινὶ τῷ ν μὴ ὑπάρχειν· ἔκειτο γὰρ αὐτῷ παντὶ ὑπάρχειν:· ὅτι μὲν οὖν γίνεται συλλογισμὸς οὕτως ἐχόντων τῶν ὅρων, φανερόν.

Δείξας τὰς προειρημένας δύο συζυγίας συλλογιστικὰς ἐν τῷ δευτέρῳ σχήματι διά τε τῶν ἀντιστροφῶν καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἐπισημαίνεται ὅτι οὐ τέλειοι οὗτοι οἱ συλλογισμοί, τῷ προσδεηθῆναι ἀποδείξεως ἔξωθεν πρὸς τὸ τὸ συμπέρασμα αὐτῶν ἀναγκαῖον φανερὸν γενέσθαι:· ἐὰν δὲ τὸ μ παντὸς τοῦ ν καὶ τοῦ ξ κατηγορῆται, οὐκ ἔσται συλλογισμός ‡

Δείξας τὰς συλλογιστικὰς συζυγίας ἐν τῷ δευτέρῳ σχήματι καθόλου οὐσῶν ἀμφοτέρων τῶν προτάσεων, παραδίδωσι καὶ τὰς ἀσυλλογίστους, ἣν τε τῆς ὕλης παράθεσιν δεικνὺς ὅτι ἢ παντὶ ἢ μηδενὶ συναγόμενον ἐν αὐταῖς ὑπάρχειν τὸ μεῖζον ἄκρον τῷ ἐλάττονι, ἐλέγχει αὐτὴν ὡς ἀσυλλόγιστον. εἰσὶ δὲ αἱ ἀσυλλόγιστοι συζυγίαι καθόλου ἀμφοτέρων οὐσῶν τῶν προτάσεων, αἱ ὁμοιοσχήμονες· ἤτοι ἐκ δύο καθόλου καταφατικῶν, ἢ ἐκ δύο ἀποφατικῶν. πρῶτον οὖν προχειρίζεται, τὴν ἐκ δύο καθόλου καταφατικῶν· ἐν ᾗ τὸ μ παντὶ τῷ ν ὑπάρχει καὶ τῷ ξ. ὅρους δὲ παρατίθεται τοῦ παντὶ ὑπάρχειν τὸ ν τῷ ξ, οὐσίαν ἐπὶ τοῦ μ, ζῷον ἐπὶ τοῦ ν, ἄνθρωπον ἐπὶ τοῦ ξ. ἡ γὰρ οὐσία καὶ ζῴῳ παντὶ καὶ ἀνθρώπῳ παντί, καὶ τὸ ζῷον ὅπερ ἐστὶ τὸ ν, ἀνθρώπῳ παντὶ ὅ ἐστι τὸ ξ. τοῦ δὲ μηδενὶ τὸ ν τῷ ξ ὑπάρχειν, τίθησιν ἐπὶ τοῦ ξ ἀριθμόν· φανερώτερον δ᾽ ἂν ἦν τὸ λεγόμενον, εἰ λίθος ἐτέθη. πάλιν γὰρ αἱ μὲν προτάσεις ἀληθεῖς ὁμοίως· ἡ γὰρ οὐσία καὶ ζῴῳ

παντὶ ἢ λίθῳ· ζῷον δὲ οὐδενὶ λίθῳ: τὸν δὲ ἀριθμὸν αὐτός, ἤτοι ἀντὶ τῆς μονάδος εἴληφεν·
ἔλεγον γὰρ τὴν μονάδα, οὐσίαν· οὐ γάρ φασιν αὐτὴν ποσόν τι εἶναι, μήτε συνεχὲς εἶναι
μήτε διωρισμένον· οὐσίαν δέ τινα τῶν ἐν αὐτῇ εἶναι δεκτικήν· ἐν αὐτῇ γὰρ ἡ ἀρχὴ
καὶ τὸ πέρας· ἅπερ ἐν ἀριθμοῖς μονὰς ἔχει, ἄμφω· ἀλλ' ἔστι μονὰς τὸ ἀδιαίρετον
ἐν ποσῷ· καὶ σημεῖον τὸ ἀδιαίρετον ἐν μεγέθει, καὶ νῦν τὸ ἀδιαίρετον ἐν χρόνῳ, ἀλλ'
ἀνάγεται εἰς ταῦτα, τῷ τι γὰρ ποσῷ. ἔτι ἡ μονὰς μέρος ἐστὶν ἀριθμοῦ· ὁ γὰρ ἀριθμὸς,
σύγκειται ἐκ μονάδων· τὸ δὲ τοῦ ποσοῦ μέρος, ποσόν· ἄμεινον δὴ λέγειν αὐτόν,
κοινότερον κεχρῆσθαι τῷ παραδείγματι· ὡς πρότερον καὶ ἐπ' ἄλλων χρώμενος· δοκεῖ γὰρ
θέσθαι οὐ πάνυ ἐξητασμένον τὸ παράδειγμα· ἐπεὶ καὶ τῶν Πυθαγορείων ἡ
δόξα· οὐσίαι γὰρ κατὰ τοὺς Πυθαγορικούς, οἱ ἀριθμοί· εἴ γε ἀρχαὶ τῶν ἀριθμῶν
οὐσιῶν· δῆλον δὲ τὸ μὴ εἶναι ἐν δευτέρῳ σχήματι συλλογιστικὴν συζυγίαν τὴν
ἐκ δύο καθόλου καταφατικῶν· ὅτι ὁ μέσος ὅρος ἀμφοτέρων κατηγορεῖται· μείζων
δὲ ὢν κατηγορούμενος μείζων τινῶν ἀμφοτέρων ὤν, δύναται καὶ τὸ ἄλλο μέρος αὐτοῦ
μέρος, τοῦ ἑτέρου ἄκρου κατηγορεῖσθαι, καὶ τὸ ἄλλο δὲ τοῦ ἑτέρου· καὶ οὕτως, οὐδὲν ἐν
κοινὸν ἔχοντα τὰ ἄκρα πρὸς ἄλληλα· ἀλλὰ κατ' ἄλλο κοινωνοῦσι τοῦ μέσου· δεῖ γὰρ
τινος ἐν ὅλῳ καὶ τοῦ αὐτοῦ κοινωνεῖν τοὺς ἄκρους, εἰ μέλλοι συλλογισμὸς ἔσεσθαι· ὁμοί
δὲ ἐλέγχει καὶ τὴν ἐκ δύο καθόλου ἀποφατικῶν συζυγίαν, ἀσυλλόγιστον· ὅρους
παρατιθέμενος τοῦ τε παντὶ καὶ τοῦ μηδενί· ἐπὶ μὲν τοῦ μὴ γραμμήν· ἐπὶ δὲ τοῦ
ζῷον· ἄνθρωπον· ἐπὶ τοῦ ξύλου· καὶ λίθον· ἡ γὰρ γραμμή, οὐδενὶ ζῴῳ· καὶ οὐδενὶ ἀνθρώπῳ·
τε οὐδενὶ λίθῳ· καὶ τὸ ζῷον ἀνθρώπῳ μὲν παντί, λίθῳ δὲ οὐδενί: διὰ τί δὲ ἐκ δύο
ἀποφατικῶν προτάσεων οὐδὲν συνάγεται, φθάσομεν εἰρηκέναι· τοῦτο δὲ
προσφέρει τὸ ὅτι ἀλλ' ἡ συλλογισμὸς ἔχων συμπέρασμα καθόλου ἐν δευτέρῳ σχή-
ματι, ἀνάγκη αὐτὸν ἔχειν προτάσεις οἵας εἰρήκαμεν ἀνομοιοσχήμονας· τὴν μὲν
καθόλου ἀποφατικήν· τὴν δὲ ἑτέραν, καθόλου καταφατικήν· ἄλλως δέ, οὐκ ἔσται
ἄλλοι τε· αἱ γὰρ παρὰ ταύτας τῶν καθόλου προτάσεων συμπλοκαί ἐν τούτῳ τῷ σχή-
ματι, ἠλέγχθησαν εἶναι ἀσυλλόγιστοι: ἐὰν δὲ πρὸς ἅτερον ᾖ καθόλου
Εἰρηκὼς περὶ τῶν συζυγιῶν τῶν ἀμφοτέρας τὰς προτάσεις ἐχουσῶν· ὁ μέσος·
καθόλου· καὶ δεικνὺς τάς τε συλλογιστικὰς αὐτῶν καὶ τὰς ἀσυλλογίστους, λέγει
περὶ τῶν ἐκ καθόλου καὶ ἐπὶ μέρους συγκειμένων· δείκνυσι καὶ ποῖαι μὲν αὐτῶν
αἱ συλλογιστικαί· ποῖαι δὲ αἱ ἀσυλλόγιστοι· δείκνυσι δὲ καὶ ἐν ταύταις τὰς ἀνομοιο-
σχήμονας

οὔσας συλλογιστικάς, φυλαττομένου τοῦ καθόλου τῇ μείζονι προτάσει. αἳ καὶ αὗται γίνονται δύο· ποτὲ μὲν ἀποφατικῆς καθόλου τῆς μείζονος, συντεθειμένης καταφατικῆς ἐπὶ μέρους τῇ ἐλάττονι· ποτὲ δὲ καταφατικῆς μὲν τῆς μείζονος οὔσης, ἐπὶ μέρους δὲ ἀποφατικῆς τῆς ἐλάττονος.

Εἰ γὰρ τὸ μὲν Ν μηδενί, τῷ δὲ Ξ τινὶ ὑπάρχει, ἀνάγκη τὸ Ν τινὶ τῷ Ξ μὴ ὑπάρχειν.

Δείκνυσι τὴν συλλογιστικὴν τῆς συζυγίας, προσχρώμενος τῇ τῆς καθόλου ἀποφατικῆς τῆς ΜΝ ἀντιστροφῇ. εἰ γὰρ τὸ Μ μηδενὶ τῷ Ν, καὶ τὸ Ν οὐδενὶ τῷ Μ. καὶ ἦν δὲ τὸ Μ τινὶ τῷ Ξ· γίνεται συζυγία αὕτη τέταρτος συλλογισμὸς ἐν πρώτῳ σχήματι. τὸ Ν τῷ Μ οὐδενί, τὸ Μ τῷ Ξ τινί· ἐξ ὧν συνάγεται τὸ Ν τινὶ τῷ Ξ μὴ ὑπάρχειν. τοῦτο δὴ καὶ ἐν τῇ προκειμένῃ συζυγίᾳ ἐν δευτέρῳ σχήματι, ἔσται συμπέρασμα. ἔστι δὲ δεῖξαι τοῦτο καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. κείσθω γὰρ τὸ Μ τῷ μὲν Ν μηδενί, τῷ δὲ Ξ τινί. λέγω ὅτι καὶ τῷ Ξ τινὶ οὐχ ὑπάρξει τὸ Ν. εἰ γὰρ μὴ τοῦτο, τὸ ἀντικείμενον αὐτῷ· τὸ Ν παντὶ τῷ Ξ. καὶ ἦν δὲ καὶ τὸ Μ, τῷ Ν οὐδενί. εἰ γὰρ μὴ τοῦτο, τὸ ἀντικείμενον αὐτῷ τὸ Ν παντὶ τῷ Ξ. καὶ ἦν δὲ καὶ τὸ Μ, τῷ Ν οὐδενί· συναχθήσεται κατὰ τὸν δεύτερον ἐν πρώτῳ σχήματι, τὸ Μ τῷ Ξ οὐδενί· ὅπερ ἀδύνατον. ἔκειτο γὰρ τὸ Μ τινὶ τῷ Ξ ὑπάρχειν. ψευδὴς ἄρα ἡ ὑπόθεσις δι' ἧς συνήχθη τοῦτο. τὸ ἄρα ἀντικείμενον αὐτῇ ἀληθές· ἀντίκειται δὲ τῇ τὸ Ν τῷ Ξ παντί, ἡ λέγουσα τὸ Ν τινὶ τῷ Ξ μὴ ὑπάρχειν.

Πάλιν εἰ τὸ μὲν Μ παντὶ τῷ Ν, τῷ δὲ Ξ τινὶ μὴ ὑπάρχει, ἀνάγκη τὸ Ν τινὶ τῷ Ξ μὴ ὑπάρχειν· εἰ γὰρ παντὶ ὑπάρξει.

Οὐκέτι τοῦτον τὸν συλλογισμὸν δείκνυσι δι' ἀντιστροφῆς, ἀλλ' ἀναγκαῖον ἦν ἀναπόδεικτον· ὡς ἂν δεῖξαι τις πρὸ αὐτοῦ ζ' ἐν δευτέρῳ σχήματι. αἴτιον δὲ ὅτι μηκέτι χωρεῖ δεῖξιν τοιαύτην ἐπὶ τῆς κειμένης συζυγίας ποιήσασθαι. οὔτε γὰρ ἂν τὴν μείζονα καθόλου οὖσαν καταφατικὴν ἀντιστρέψωμεν. οὐ γὰρ ἔτι καθόλου μένει διὰ τὸ τὴν καθόλου καταφατικὴν ἀντιστρέφειν. οὔτε δὲ ἐν πρώτῳ σχήματι οὔτε ἐν δευτέρῳ, συλλογιστικὴ ἡ συζυγία ἐστὶν ἐν ᾗ ἡ μείζων ἐπὶ μέρους. ἀλλ' οὐδ' ὅλως συλλογιστικὴν συζυγίαν ἐν ᾗ ἀμφότεραι ἐπὶ μέρους· ἡ μὲν μείζων διὰ τὴν ἀντιστροφήν, ἡ δὲ ἐλάττων, ὅτι καὶ εἴληπται τὴν ἀρχὴν ἐπὶ μέρους. τῇ μὲν οὖν τῆς μείζονος προτάσεως ἀντιστροφῇ, διὰ τοῦτο, οὐχ οἷόν τε χρήσασθαι· τὴν δὲ ἐλάττονα ἐπὶ μέρους οὖσαν ἀποφατικήν, ἀδύνατον ἀντιστρέψαι· οὐ γὰρ ἀντιστρέφει ἡ ἐπὶ μέρους ἀποφατικὴ ὑπάρχουσα. τῇ ἐπὶ μέρους ἀποφατικῇ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ χρώμενος, δείκνυσι τὸ

προκειμένῃ συζυγίᾳ συλλογιστική ἦν· εἰ γὰρ μὴ ἔστιν ἀληθὲς ἐπὶ τῆς ἐκκειμένης προτάσεως. τὸ τὸ Ν τινὶ τῷ Ξ μὴ ὑπάρχειν, ἀληθὲς ἔσται τὸ ἀντικείμενον αὐτῷ· ἔστι δὲ τοῦ τὸ, τὸ Ν παντὶ τῷ Ξ ὑπάρχειν· καὶ κεῖται δὲ καὶ τὸ Μ παντὶ τῷ Ν ὑπάρχειν· γίνεται δὴ ἐν τῷ πρώτῳ σχήματι ἡ συζυγία, ἐκ δύο καθόλου καταφατικῶν. ἐξ ὧν συναχθήσεται τὸ Μ παντὶ τῷ Ξ, ὃ ἀδύνατον· καὶ κεῖται γὰρ τινὶ αὐτῷ μὴ ὑπάρχειν, ψεῦδος ἄρα τὸ ὑποτεθὲν τὸ, παντὶ τῷ Ξ τὸ Ν ὑπάρχειν· τὸ ἄρα ἀντικείμενον αὐτῷ ἀληθὲς τὸ, τὸ Ν τινὶ τῷ Ξ μὴ ὑπάρχειν:

εἰ δὲ τὸ Μ, τῷ μὲν Ν παντὶ ὑπάρχει, τῷ δὲ Ξ μὴ παντί.

ὅτι τὸ Ν τινὶ μὴ ὑπάρχειν τὴν δεῖξιν ποιησάμενος· ἐπεὶ τὸ, τινὶ μὴ ὑπάρχειν ἴσον δυνάμενον τῷ μὴ παντί, κατὰ τὴν λέξιν διαφέρει· μεταλαβὼν αὐτὶ τοῦ τὸ Μ τινὶ τῷ Ξ μὴ ὑπάρχειν, τὸ θεὶς τὸ Μ οὐ παντὶ τῷ Ξ ὑπάρχειν· ἤλεγξε τὸν αὐτὸν συλλογισμὸν ἢ διὰ τῆς αὐτῆς δείξεως, κἂν διὰ τὴν λέξιν ταύτην μεταληφθῇ τὸ ἐπὶ μέρους ἀποφατικόν· ὁμοίως γὰρ καὶ τὸ συμπέρασμα, τῇ λέξει διοίσει· συναχθήσεται γὰρ τὸ Ν οὐ παντὶ τῷ Ξ· τοιοῦτοι δέ εἰσιν οἱ ὑποσυλλογιστικοὶ ὑπὸ τῶν νεωτέρων λεγόμενοι· οἳ λαμβάνουσι μὲν τὸ ἰσοδυναμοῦν τῇ προτάσει τῇ συλλογιστικῇ, τῶν δὲ αὐτῶν ταύτης συνάγουσι. τὸ γὰρ τινὶ μὴ ὑπάρχειν τῷ μὴ παντὶ ὑπάρχειν ἰσοδυναμοῦν, μεταλαμβάνεται. ἀλλ' ἐκεῖνοι μὲν λέγουσι τοὺς τοιούτους συλλογισμούς, εἰς τὰς φωνὰς καὶ τὴν λέξιν βλέποντες· ἀλλ' Ἀριστοτέλης πρὸς τὰ σημαινόμενα ὁρῶν. ἀφ' ὧν ὁμοίως σημαίνεται, οὐ πρὸς τὰς φωνάς, τὸν αὐτὸν φησὶ συνάγεσθαι συλλογισμόν, καὶ ἐν τῇ τοιαύτῃ τῆς λέξεως ἐν τῷ συμπεράσματι μεταλήψει. ἀλλ' ἢ συλλογιστικὴ ὅλως συμπλοκή: ἀξιοῦν δὲ ἐπιστῆσαι, πῶς ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγή, ἔξωθέν τινα ὑπόθεσιν πρὸς τὴν τοῦ προκειμένου δεῖξιν λαμβάνουσα, ἐστὶ συλλογιστική· εἴ γε συλλογισμός ἐστιν, ὁ μὴ δεόμενος ἔξωθέν τινος πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. ὡς ἀφοριζόμενος τὸν συλλογισμόν: ἢ καὶ ἐν ταῖς εἰς τὸ ἀδύνατον ἀπαγωγαῖς, τὸ μὲν προκείμενον δείκνυσιν ἢ τὴν πίστιν λαμβάνει διὰ τῶν προκειμένων ἢ δι' ὑποθέσεως· ἄλλο τι δείκνυσι καὶ πρὸς ἄλλο συμπέρασμα λαμβάνεται· ὁ ἀδύνατον δείκνυται οὐ δι' ἄλλου τινὸς ἢ διὰ τῶν κειμένων, τῇ αὐτοῦ ἀναιρέσει συναναιρεῖ τὴν ὑπόθεσιν· ἧς ἀναιρεθείσης τὸ προκείμενον πιστὸν γίνεται· διὸ οὐδὲ δείκνυται ἡ ὑπόθεσις ἀδύνατος, τῷ τὸ ἐστὶ δεικνύμενον τὸ λεγόμενον συμπέρασμα, ἐξ ἀναγκαίας ἑπόμενον τῇ ληφθείσῃ προτάσει· ἡ δὲ τὸ Ν μὴ παντὶ τῷ Ξ. διὰ γὰρ τῶν τὸ Μ

καὶ τὸ ἀπὸ παντὸς μὲν τοῦ ν κατηγορεῖσθαι, μὴ παντὶ δὲ τῷ ξ. τοῦτ' εἰ δὲ λεχθῆ· παραφυ-
λακτέον δὲ ὅτι ἐν τῷ δευτέρῳ σχήματι ἐν τῇ συζυγίᾳ τῇ ἐχούσῃ τὸ ἐπὶ μέρους ἀποφα-
τικὸν συλλογιστικῇ, διὰ τὸ εἶναι τὴν μείζονα καθόλου καταφατικὴν, τὴν δὲ ἐλάττονα,
ἐπὶ μέρους ἀποφατικήν· οὕτως γὰρ μόνως ἐχόντων αὐτῶν, ἡ διὰ τοῦ ἀδυνάτου δεῖξις
προχωρεῖ· διὸ καὶ αὕτη ἡ συζυγία μόνη, δείκνυται συλλογιστική· εἰ δὲ ἀλλαχθεῖεν
ἀνάπαλιν ἔχοντες οἱ ὅροι, οὐκέτι ἰσχύει ἐπ' αὐτῶν ἡ διὰ τοῦ ἀδυνάτου δεῖξις· διὸ οὐδὲ
συλλογιστικὴ ἔτι οὕτως ληφθεῖσα ἡ συζυγία. ἐπὶ δὲ τοῦ τρίτου σχήματος, ἡ ἕκτη
συζυγία τῶν συλλογιστικῶν ἡ ἔχουσα καὶ αὐτὴ ἐπὶ μέρους ἀποφατικὴν τὴν ἑτέραν·
τὴν δὲ ἑτέραν καθόλου καταφατικήν· ἥτις καὶ αὐτὴ δείκνυται διὰ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς, εἰ ἀνάπαλιν ταύτης ἔχει· δεῖ γὰρ ἔχειν ἐν ἀμφοτέροις τοῖς σχήμασι τὴν μείζονα
πρότασιν, τὴν ἐπὶ μέρους ἀποφατικήν· τὴν δὲ ἐλάττονα, τὴν καθόλου καταφατικήν· τὰ
δ' ἐν ἀμφοτέροις τοῖς σχήμασι, τὴν μείζονα πρότασιν πάντως εἶναι ἀπο-
φατικήν· τὴν δὲ ἐλάττονα, καταφατικήν, εἰ μέλλοι ἔσεσθαι συλλογισμός· οὕτως
γὰρ ἔχουσα ἡ συλλογιστική, δείκνυται διὰ τοῦ ἀδυνάτου· εἰ δὲ ἀνάπαλιν ἔχωσιν αἱ
προτάσεις, ἀσυλλόγιστος ἡ συμπλοκή, ὡς εὑρήσομεν τέως δειξόμενοι μετ' ὀλίγον:

ἀλλ' οὐδ' ὅταν τοῦ μὲν ξ παντὸς τοῦ δὲ ν μὴ παντὸς κατηγορῆται τὸ μ, οὐκ ἔσται συλλογισμός.

Δείξας τίνες εἰσὶ συλλογιστικαὶ συμπλοκαὶ καὶ ἐν ὁμοίῳ νοοῦσιν [...] συλλογισμός.
καὶ τὸ τί ποιοῦν, ἢ καὶ τὸ ἐπὶ τὸ τῶν προτάσεων, νῦν πρῶτον τὰς ἀσυλλογίστους
παρατίθεται· ἡ δείκνυσι τίνες εἰσὶν ἐν ὁμοίῳ νοοῦσι καὶ τὸ ἐμφανῶς τὰ προειρημένα,
τῶν προτάσεων· ἔφαμεν δὲ δεῖν, εἰ μέλλοι συλλογισμὸς ἔσεσθαι ἐν δευτέρῳ
σχήματι, τὴν μείζονα πρότασιν τὴν καθόλου ἔχειν· πᾶσα δὲ ἡ μὴ οὕτως ἔχουσα
συζυγία, ἀσυλλόγιστος· ὅροι δὲ ἐπὶ τοῦ ἐλέγχειν ἀσυλλόγιστον
τὴν εἰρημένην συζυγίαν· τοῦ μὲν παντὶ ὑπάρχειν τὸ ν τῷ ξ· ζῷον· οὐσία·
κόραξ· τὸ γὰρ ζῷον, οὐ παντὶ μὲν οὐσίᾳ· κόρακι δὲ παντί· καὶ ἡ οὐσία παντὶ κόρακι.
τοῦ δὲ μηδενί, ζῷον· λευκόν· κόραξ· τὸ γὰρ ζῷον, λευκῷ μὲν οὐ παντί· κόρακι
δὲ παντί· καὶ τὸ λευκὸν, οὐδενὶ κόρακι. ἀσυλλόγιστος δὲ ἡ συζυγία, διότι ἡ μείζων,
καὶ τὰ μόρια αὐτῆς ἐπὶ πλεῖστον τῆς πρὸς τὸ μέσον κοινωνίας, τούτοις ἀσυλλο-
γίστως· καὶ περιέχειν τὸν ἐλάττονα ὅρον δύναται καὶ μὴ περιέχειν:

οὐδ' ὅταν τοῦ μὲν ξ μηδενός· τοῦ δὲ ν τινός.

Πάλιν γὰρ ἐν ταύτῃ τῇ συζυγίᾳ, ἡ μείζων πρότασις ἐπὶ μέρους γίνεται· ὅροι τοῦ μὲν

ὑπάρχειν παντὶ τῷ ξ ἢ τινί· ζῷον· οὐσία· μονάς· καὶ τὸ ζῷον· τὸ γὰρ ζῷον τινὶ μὲν οὐσίᾳ·
μονάδι δὲ οὐδεμιᾷ· ἡ δὲ οὐσία πάσῃ μονάδι· δοκεῖ δὲ προσχρῆσθαι τῷ τῶν πυθαγορικῶν·
οἳ ἔλεγον καὶ τὴν μονάδα οὐσίαν εἶναι· ὡς ἀρχὴν πρὸ ὅλου τοῦ ἀριθμοῦ· ἡ δὲ αὐτὴ δεῖξις καὶ
ἀντὶ τῆς μονάδος εἰ ληφθῇ λίθος· τοῦ δὲ μὴ ὑπάρχειν· ζῷον· οὐσία· ἐπιστήμη· τὸ
γὰρ ζῷον, οὐσίᾳ μὲν τινί· ἐπιστήμῃ δὲ οὐδεμιᾷ· ἡ οὐσία, οὐδεμιᾷ ἐπιστήμῃ:
ἡ αὐτὴ αἰτία καὶ ἐν ταύτῃ τῇ συζυγίᾳ τοῦ, αὐτὴν ἀσυλλόγιστον εἶναι:·

ὅταν μὲν οὖν ἀντικείμενον ἦ τὸ καθόλου τῷ κατὰ μέρος:

δείξας ἀνομοιοσχημόνων οὐσῶν τῶν προτάσεων καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποσόν·
τὴν γὰρ κατὰ τὸ ποιὸν διαφορὰν ἐσήμανεν εἰπών· ὅταν μὲν οὖν ἀντικείμενον ἦ τὸ
καθόλου τῷ κατὰ μέρος, τίνες μὲν συλλογιστικαὶ συζυγίαι, τίνες δὲ ἀσυλλόγιστοι·
αἱ μὲν γὰρ ἔχουσαι τὴν μείζονα πρότασιν καθόλου ἀποφατικήν, τὴν δὲ ἐλάττονα
ἐπὶ μέρους ἀποφατικήν, αὗται συλλογιστικαί· αἱ δὲ παρὰ ταύτας, ἀσυλλόγιστοι.
ἐφεξῆς δὲ δείκνυσιν ὅτι ὥσπερ ἐπὶ τῶν καθόλου αἱ ὁμοιοσχήμονες ἦσαν ἀσυλλό-
γιστοι, οὕτως δὲ καὶ ἐπὶ τῶν τὴν ἑτέραν μὲν ἐχουσῶν καθόλου· τὴν δὲ ἑτέραν ἐπὶ μέρους·
οὐκέτι δὲ ἀντικείμενον τῷ καθόλου τὸ κατὰ μέρος ἐχουσῶν· πᾶσαι γὰρ αἱ ἐν
δευτέρῳ σχήματι ὁμοιοσχήμονες συζυγίαι, ἀσυλλόγιστοι· ὅπερ ἐδήλωσε καὶ αὐτὸς
εἰπών· οἷον ἀμφότεραι στερητικαὶ ἢ καταφατικαί· λαμβάνει δὲ πρώτην συζυγίαν
ἐξ ὁμοιοσχημόνων, τὴν ἔχουσαν τὴν μείζονα καθόλου ἀποφατικήν· τὴν δὲ ἐλάτ-
τονα ἐπὶ μέρους ἀποφατικήν:· εἰ γὰρ τὸ μ τῷ μὲν ν μηδενὶ τῷ δὲ ξ τινὶ μὴ
ὑπαρχέτω· ἐνδέχεται δὴ καὶ παντὶ καὶ μηδενὶ τῷ ξ τὸ ν ὑπάρχειν·

Ὑπογράφει μὲν τὴν τῶν ὅρων παράθεσιν δι' ἧς ἔδειξεν αὐτὸ ἀσυλλόγιστον· τὸ παντὶ
τε καὶ μηδενὶ τὸ ν τῷ ξ ὑπάρχειν· ὡς δυναμένου ἐπὶ τῆς τοιαύτης συζυγίας ἐλέγξαν-
τες δεῖξαι τὸ ἀσυλλόγιστον τῆς συμπλοκῆς· λαβὼν δὲ ὅρους τοῦ μηδενί· μέλαν·
χιών· ζῷον· τὸ γὰρ μέλαν χιόνι μὲν οὐδεμιᾷ· ὅ ἐστιν ἐλάττων ἄκρος ὢν ἐπὶ
τοῦ ξ· ἡ χιὼν οὐδενὶ ζῴῳ· μεταβὰς ἐπὶ τὸ λαβεῖν καὶ τοῦ παντὶ ὅρους· οὕτως γὰρ
ἔμελλεν ἀσυλλόγιστος ἡ συζυγία δειχθήσεσθαι· ἐφίστησιν ἡμᾶς πρῶτον, πῶς μὲν
ἀληθευομένης τῆς ἐπὶ μέρους ἀποφατικῆς ἀληθοῦς τῆς μερικῆς· οἷον τὰ ὑπορῆσαι
τὸ τοῦ παντὶ ὑπάρχειν τὸ ν τῷ ξ, ὅρων· πῶς δὲ ἀληθευομένης ἀδύνατον· ἐπεὶ γὰρ
τὸ ἐπὶ μέρους ἀποφατικόν· ὡς προσὸν καὶ τὸ καταφατικὸν ἀληθεύεται, ἤγουν
τὰς ὑπὲρ αὐτάς, τὰς καθόλου, ἀληθὲς εἶναι· ἤγουν τὰς ὑπεναντίας αὐτάς,

ἢ λαμβάνοιτο τὸ ν τινὶ τῷ ξ μὴ ὑπάρχειν· ἀληθὲς καὶ τὸ μηδενὶ τὸ ν τῷ ξ ὑπάρχειν· ὑπὸ
τοῦ τινὸς γὰρ τὸ ταυτόν, καὶ ἀκολουθεῖ αὐτῇ· καὶ ἔστιν ὑπ' ἀλλήλας αὕτη ἀληθὴς δὲ καὶ
ἡ μὲν τὸ ν τῷ ξ μηδενὶ λαμβάνουσα, ψευδὴς ἡ· ἡ δὲ τινὶ τὸ ν τῷ ξ τιθεῖσα, ἀληθής.
καὶ ἔστιν ὑπεναντία τῇ λαμβανούσῃ τὸ ν τινὶ τῷ ξ μὴ ὑπάρχειν· ἂν δὴ οὕτως ληψόμεθα
τὸ μὲν τινὶ τῷ ξ μὴ ὑπάρχειν, ὅτι καὶ τινὶ ὑπάρχει, οὐ δυνησόμεθα· ὅρων εὐπο-
ρῆσαι δυναμένων τὸ ν παντὶ τῷ ξ ὑπάρχειν· τοῦτο δὲ τὸ ἄτοπον, ὅτι καὶ λαμβάνουσα
συζυγία τὸ μὲν τῷ ν μηδενί· τὸ δὲ ξ τινὶ ὑπάρχειν, συλλογιστικὴ μὲν δέδεικται
οὖσα· συνάγουσα ἐπὶ μέρους ἀποφατικόν· τὸ γὰρ ν τινὶ τῷ ξ ἀναγκαίως μὴ ὑπάρχειν
τὸ δὲ συλλογιστικῶς καὶ ἐξ ἀνάγκης ἐπὶ μέρους ἀποφατικὸν συνάγεται, ὅτι καὶ τὸ
τὸ μὲν τινὶ τῷ ξ μὴ ὑπάρχειν, ὡς καὶ τινὶ ὑπάρχειν, δῆλον ὅτι οὐκ εὐπορήσομεν
ὅρων τῶν ἐχόντων τὸ ν παντὶ τῷ ξ μὴ ὑπάρχειν, ὡς καὶ τινὶ ὑπάρχειν, δηλο-
νότι οὐκ εὐπορήσομεν ὅρων τῶν ἐχόντων τὸ ν παντὶ τῷ ξ· οὕτως γὰρ ἀναιροῖτο
αὐτό, ἐξ ἀνάγκης ἐπὶ μέρους ἀποφατικὸν συνάγεσθαι, ἐν τῇ συζυγίᾳ τῇ ἐχούσῃ
τὸ μὲν μηδενὶ μὲν τῷ μ· τινὶ δὲ τῷ ξ ὑπάρχον· ἐπειδὴ ἀληπτικῶν οὕτως· τὸ μὲν
τινὶ τῷ ξ μὴ ὑπάρχειν ὡς καὶ ὑπάρχειν τινί· αὕτη μὲν ἡ αἰτία τοῦ, οὕτως ἀληθοῦς
λαμβανομένης τῆς μερικῆς, μὴ δύνασθαι ληφθῆναι ὅρους τοῦ, τὸ ν παντὶ τῷ ξ.
αὐτὸς δὲ δείκνυται διὰ τοῦ ἀδυνάτου, ὅτι οὕτως καὶ μὲν καὶ ἀληθοῦς ἀναγκαίας ἐπὶ
μέρους ἀποφατικῆς τῆς μερικῆς, ἀδύνατον τὸ ν παντὶ τῷ ξ ὑπάρξαι· εἰ γὰρ δὴ
κείμενον τὸ ν παντὶ τῷ ξ, καὶ μὲν οὐ τὸ μὲν μηδενὶ τῷ ν, γίνεται ἐν πρώτῳ σχή-
ματι τὸ μὲν μηδενὶ τῷ ξ ὅπερ ἀδύνατον· ὑπέκειτο γὰρ οὕτως τὸ μὲν τινὶ τῷ ξ μὴ
ὑπάρχειν, ὡς καὶ ὑπάρχειν τινί· οὕτως μὲν οὖν λαμβανομένης τῆς ἐπὶ μέρους
ἀποφατικῆς, οὐχ οἷόν τε εὐπορῆσαι τοῦ παντὶ τὸ ν τῷ ξ ὑπάρχειν ὅρων· ἀλλ' ἐπεὶ
τὸ τινὶ μὴ ὑπάρχειν τὸ μὲν τῷ ξ, οὐ μόνον ὅτε καὶ τινὶ ὑπάρχειν ἀληθές ἐστιν,
ἀλλ' οὐδὲν ἧττον καὶ ὅτε μηδενί· τὸ ἀδιόριστον ἀναγκαίας ἐπὶ μέρους ἀποφατικῆς
τὸ ἀληθές· ἂν ληφθῇ τὸ τινὶ μὴ ὑπάρχειν, οὕτως ἀληθές, ὡς καὶ μηδενί· τοῦ
τὰ ἔστιν ἐφ' ὕλης ἀφ' ἧς καὶ οὐδενὶ τῷ ξ ὑπάρχει τὸ ν· οὐδὲν γὰρ ἧττον καὶ τότε ἀληθής
ἐστιν ἡ ἐπὶ μέρους ἀποφατική, εὐπορήσομεν ὅρων πρὸς τὸ δεῖξαι τὸ ν παντὶ τῷ ξ·
ἔδειξα μὲν γὰρ ὅτι ὅταν οἱ καθόλου ἀποφατικοὶ οὐσῶν, οὐδὲν συνάγεται
τοῦ παντὶ τὸ ν τῷ ξ ὑπάρχειν· ὅροι, γραμμή, τὸ μὲν· ζῷον, τὸ ν· κύκνος, τὸ ξ·
ἡ μὲν γὰρ γραμμὴ οὐδενὶ ζῴῳ· καὶ τινὶ οὐχ ὑπάρχει αὐτῷ· ἐπεὶ καὶ μηδενί·

ζῷον δὲ παντὶ κύκνῳ. τῇ αὐτῇ δὲ δείξει χρήσεται καὶ ἀμφοτέρων οὐσῶν καταφατικῶν· τῆς μὲν
μείζονος καθόλου τῆς μ̄ ν̄· τῆς δὲ ἐλάττονος, ἐπὶ μέρους τῆς μ̄ ξ̄· τοῦ μὲν γὰρ μη-
δενὶ ὑπάρχειν ὅρων εὐπορ.· λευκὸν γὰρ ἐπὶ τοῦ μ̄· κύκνον ἐπὶ τοῦ ν̄· λίθον
ἐπὶ τοῦ ξ̄· τὸ μὲν γὰρ λευκὸν κύκνῳ μὲν παντί· λίθῳ δὲ τινί· καὶ κύκνος οὐδενὶ λί-
θῳ. τοῦ δὲ παντί, οὐκ ἔστι. ἀλλ' ἡ ἐπὶ μέρους καταφατικὴ οὕτως ἀληθὴς μὲν ἦν ὥστε συνα-
ληθεύειν μὲν αὐτῇ τὴν ἐπὶ μέρους ἀποφατικήν· ἀποφατικῆς γὰρ οὔσης πάλιν τῆς ἐπὶ μέρους
τῆς ἐλάττονος, καὶ καταφατικῆς καθόλου τῆς μείζονος, ἐν τούτῳ τῷ σχήματι μάλιστα συνα-
ληθευούσης ἐπὶ μέρους ἀποφατικοῦ συμπεράσματος συλλογιστικῶς ὡς δέδεικται· ὅτι δὲ
δι' ἀληθοῦς τοῦ τινὶ μή, ἐν ταύτῃ συζυγίᾳ, ἀδύνατον εὐπορῆσαι ὅρων τοῦ, παντί·
ἀναιρεθήσεται οὕτως καὶ διαβληθήσεται ἡ συλλογιστικὴ συζυγία. εἰ γὰρ παντὶ ὑπάρ-
χειν ἐὰν τινὶ συλλογιστικῶς ἐδείχθη μὴ ὑπάρχον, ὑπάρχοι ἄν, οὕτως οὐκ ἀληθοῦς
οὔσης τῆς ἐπὶ μέρους καταφατικῆς, οὐχ οἷόν τε εὐπορῆσαι πάλιν ὅρων, τοῦ, παντί
τὸ ν̄ τῷ ξ̄ ὑπάρχειν. εἰ γὰρ τὸ ν̄ παντὶ τῷ ξ̄· ἦν δὲ καὶ τὸ μ̄ παντὶ τῷ ν̄, τὸ μ̄ παντὶ
τῷ ξ̄ ὑπάρξει. ἀλλ' ἔκειτο τινὶ μὴ ὑπάρχειν. οὕτως γὰρ ἦν ἀληθὴς ἡ μείζων,
ἐπὶ μέρους οὖσα καταφατική. ἀλλ' ἐπεὶ ἀδιόριστον τὸ ἀληθὲς τῆς ἐπὶ μέρους κα-
ταφατικῆς. οὐ γὰρ μόνον τότε ἀληθής ἐστιν, ὅτε καὶ ἡ ὑπεναντία αὐτῇ ἀληθής,
ἀλλὰ καὶ ὅτε ἡ καθόλου καταφατική, ὑφ' ἣν ἐστιν, ὅτε καὶ οὕτω ληφθῇ ἀληθὴς οὖσα
ὡς διὰ τῆς καθόλου ὑφ' ἣν ἐστί, καὶ ἐπὶ τούτων διαβληθήσεται ἡ συζυγία ὅρων,
ὡς ἤδη διαβληθῆναι. εἰ δὲ γὰρ καθόλου καταφατικῶν ὅτι μηδὲν συνάγεται
ἐν τούτῳ τῷ σχήματι ἐδείχθη· ὡς τὰ διὰ τοῦτο οὐδ' ἂν ἡ ἑτέρα μὲν καθόλου κατα-
φατικὴ ληφθῇ· ἡ δ' ἑτέρα ἐπὶ μέρους καταφατική, οὐδ' ἂν συναχθήσεται.
ἐπεὶ ἀμφοτέρων γὰρ ἀληθῶν ἦν ἀνάγκη ἡ ἐπὶ μέρους καταφατική. καὶ τῆς καθόλου
καταφατικῆς οὔσης ἀληθοῦς καὶ τῆς ὑπεναντίας αὐτῇ. αὕτη γὰρ ἀνάγκη δὲ πρὸς δεῖξιν
ἀσυλλογίστου συζυγίας, τὸ καὶ ὑπὸ ταύτης ἐπί τινος ἀληθοῦς καὶ εὐπορῆσαι καὶ παντί
τὸ μηδενὶ δεικνυούσης. ὅροι τοῦ παντὶ τὸ ν̄ τῷ ξ̄, οὐσία· ζῷον· ἄνθρωπος· ἡ γὰρ οὐσία
παντὶ ζῴῳ· καὶ τινὶ ἀνθρώπῳ. ὅτι καὶ παντὶ τῷ ἀδιορίστως τῆς ἐπὶ μέρους προτάσεως
προσχρησάμενος ἤδη καὶ ἐπὶ τοῦ πρώτου σχήματος, ἔδειξεν ἀσυλλόγιστον
τὴν ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος, καὶ ἐπὶ μέρους ἀποφατικῆς
τῆς ἐλάττονος. ἀλλὰ ἐκεῖ μέν, καὶ τῇ ἐκθέσει προσχρησάμενος, ἠλέγξατο
οὕτως ἀχρήστων συζυγίαν. ἐνταῦθα δὲ ἠρκέσθη τῷ ἀδιορίστως τῆς ἐπὶ μέρους.

ἐν ἐνίοις μέντοι καὶ ὅσοι τῶν προειρημένων συμπλοκῶν, δείξει ἐκ τῶν ὅρων καὶ διὰ τῆς ἐκθέσεως τὸ ἀσυλλόγιστον αὐτῶν· ἀμφοτέρων μὲν γὰρ οὐσῶν ἀποφατικῶν· λαβὼν τοὺς ὅρους ἐπιστήμην· κακίαν· ἕξιν· ἐπιστήμη γὰρ οὐδεμιᾷ μὲν κακίᾳ· τινὶ δὲ ἕξει οὐχ ὑπάρχει· καὶ οἷς οὐχ ὑπάρχει τῆς ἕξεως ἡ ἐπιστήμη, ἀλλὰ φθῶ ἀνδρεία τε δειλία· οὐ γὰρ ἐπιστῆμαι αἱ ἀρεταί· κακία δέ, οὐδεμιᾷ μὲν ἀνδρείᾳ· παντὶ δὲ δειλίᾳ· ἀλλὰ κἂν ληφθῇ ἡ ἀρετή οὐδεμιᾷ κακίᾳ· ἡ ἀρετὴ τινὶ ἕξει οὐ· τοῖς τῆς ἕξεως ἡ ἀρετὴ οὐχ ὑπάρχει, ἂν ληφθῇ ἰατρικὴ καὶ δειλία, καὶ κακία παντὶ μὲν δειλίᾳ, οὐδεμιᾷ δὲ ἰατρικῇ· διὰ δὲ ἀμφοτέρων καταφατικῶν, ἔστωσαν οἱ ὅροι, ἕξις· ἐπιστήμη· ποιότης· ἡ γὰρ ἕξις, παντὶ μὲν ἐπιστήμῃ· τινὶ δὲ ποιότητι· καὶ οἷς ἡ ἕξις τῆς ποιότητος ὑπάρχει· ἂν ληφθῶ ἀνηλωσία τε γραμματική· ἐπιστήμη γὰρ παντὶ μὲν γραμματικῇ οὐδεμιᾷ δὲ ἀνηλωσίᾳ· ὅσα τὸ λέγοντες κἂν ληφθῇ οὐσία παντὶ μὲν ζῴῳ· τινὶ δὲ λευκῷ, καὶ οἷς οὐχ ὑπάρ- λευκοῖς ἡ οὐσία, ληφθείη κύκνος καὶ χιών· ζῷον γὰρ παντὶ μὲν κύκνῳ· χιόνος δὲ οὐδεμιᾷ· Ἀριστοτέλης μὲν οὖν οὕτως διέλαβε τὰς προειρημένας συζυγίας ὅτι ἀσυλλόγιστοι· τὸ δ' αὐτοῦ ὑπορῆσαι ὕλης καὶ τοῦ παντὶ καὶ μηδενί· οἰκεῖον γὰρ τοῦτο ἦτε διαβολῶν ἀσυλλογίστου συζυγίας· τὸ δὲ ἐγκαταδιαβάλλει τὰς προειρημένας συζυγίας, καὶ δεῖξαι ὅτι μηδενὶ καὶ τινὶ τοῦ τέως· διότι ἀντιφάσεως ταῦτα· ὡς ἄλλοι τινὲς τῶν ἀρχαίων καὶ Θεμίστιος λέγει, ἐφ' ἧς γὰρ συζυγίας φησὶ τῶν ἀντιφάσεων ἀναιρουμένων δεῖξαι, εὔλογον τοῦτο μηδὲ ἀσυλλόγιστον λέγειν τῆς, ἐν ᾗ τὰ ἐναντία συνάγεται· ἅσπερ ὑπάρχει γὰρ καὶ τοῦ τὸ ὁμοίως ἐν ἀμφοῖν· καὶ παρατίθεται ὅρους, τὸ τινί· ἄψυχον· ἔμψυχον· σῶμα σάρκινον· τὸ γὰρ ἄψυχον, ἐμψύχῳ μὲν οὐδενί· σώματι δὲ σαρκίνῳ ἢ καὶ ἁπλῶς σώματι τινὶ οὐχ ὑπάρχει· καὶ τὸ ἔμψυχον, τινὶ σαρκίνῳ σώματι τε ἁπλῶς τινὶ σώματι σώματι οὐχ ὑπάρχει· τοῦ τε δὴ οὐ δείκνυσιν καὶ ἐξ οὐδε- ἀντιφάσεως συζυγίαν διαβολῶν· συγχωρηθήσεται μὲν γὰρ τοῦτο μηδέτερον συνάγεσθαι συλλογιστικῶς· διότι ἐστὶν ἀναιρετικά· ἐναντίαι μέντοι τὸ ὅτι ἐπὶ τοῖς κειμένοις δύναται συνάγεσθαι ἐπὶ μέρους ἀποφατικόν· τὸ γὰρ ἐπὶ μέρους ἀποφατικὸν ὑπὸ θατέρου τῶν προειρημένων ἀναιρεῖται· τὰς γὰρ εἰς ἀλλήλων ἀσυλλογίστου συζυγίας παρατεθεῖμεν, οὐ μόνον δεῖ αὐτὰ μὴ δύνασθαι συνυπάρχειν ἀλλήλοις, ἀλλὰ καὶ πάντων εἶναι ἀναιρετικὰς τῶν συλλογιστικῶς

δείκνυσθαι δυνάμεως· τὸ δὴ ἐπὶ μέρους ἀποφατικόν πως ἂν διαβληθείη ἀμέλει
ἀπὸ ὕλης εὐπορῆσαι καὶ τοῦ παντί. Ἔστι καὶ ἐν ταῖς ὁμολογουμέναις συζυγίαις
συλλογιστικαῖς, ἐστὶν εὑρεῖν ὁμολογουμένως ἀντίφασιν· ἢ οὕτω καὶ ἀνάγκας ἀσυλ-
λογίστους ἀρούμενοι, ἢ οὐδὲ αὐτὴ διὰ τοῦτο ἀσυλλόγιστος· ἰδοὺ γὰρ ἐν τῷ πρώτῳ
σχήματι οὔσης συλλογιστικῆς συζυγίας, τῆς καὶ καθόλου ἀποφατικῆς τῆς
μείζονος· καὶ ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος, ἐχούσης ἐπὶ μέρους
ἀποφατικὸν συμπέρασμα, ἔστιν ὅρων εὐπορῆσαι καὶ τοῦ μηδενί, καὶ τοῦ τινί·
ἄνθρωπος γὰρ οὐδενὶ ἵππῳ· ἵππος τινὶ τετράποδι· καὶ ἄνθρωπος οὐδενὶ τετράποδι·
τοῦ δὲ τινί· χιὼν οὐδενὶ κύκνῳ· κύκνος τινὶ λευκῷ· χιὼν τινὶ λευκῷ· καὶ ἐν τῇ
τὴν μείζονα δὲ ἐχούσῃ καθόλου καταφατικήν, ἔστι λαβεῖν ὅρους καὶ τοῦ παντί
καὶ τοῦ τινὶ μή· τοῦ μὲν παντί, οὐσία· ζῷον· ἄνθρωπος· τοῦ δὲ τινὶ μή· οὐσία· ζῷον·
λευκόν· ἀλλὰ καὶ ἐὰν λαβόντες τὴν εἰρημένην συζυγίαν, τὴν ἔχουσαν τὴν μείζονα
καθόλου ἀποφατικήν· ὑποθώμεθα τὸ α τινὶ τῷ γ ὑπάρχειν, οὐ δυνατὸν
ἀπαντᾶν, ὥστε οὐ καὶ ἀναιρεῖται τὸ τινί· ἐδείχθη δὲ ὅτι καὶ μηδενί· καὶ πῶς φησὶν
οὐκ ἀναιρεθήσεται ἡ διὰ ἀδυνάτου δεῖξις, ἐν συλλογιστικῇ συζυγίᾳ δύναται
δείκνυσθαι τὰ ἀντικείμενα, εἰ γὰρ τοῦτο μόνον ἐστὶ συναγόμενον· ἀεὶ οὖν τὸ ἀντι-
κείμενον ἀδύνατον. ἀλλὰ καὶ ἄλλο τι οὐ δείκνυσθαι καὶ τὸ ἀντικείμενον·
οὐκ οὖν κατὰ ταύτην ἡ διὰ ἀδυνάτου δεῖξις χώραν ἔχει. εἰ γὰρ ἐν τῇ συζυγίᾳ τῇ συναγούσῃ
ἐπὶ μέρους καταφατικὸν ἐν πρώτῳ σχήματι, δύναται καὶ καθόλου καταφατικὸν,
τὸ ἐπὶ μέρους ἀποφατικὸν συνάγεσθαι· οὐδέτερον δὲ τούτων οἷόν τε δειχθῆναι
διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· λαβόντων καὶ ὑποθεμένων τὸ ἀντικείμενον τοῦ
ἐπὶ μέρους καταφατικοῦ· διαβάλλοιτο ἂν ἡ συναγωγὴ ἢ οὐ χρήσιμος. ἀεὶ δὲ
μὲν πάσης συλλογιστικῆς συμπλοκῆς δείκνυσθαι τὸ συμπέρασμα καὶ διὰ τῆς
εἰς ἀδύνατον ἀπαγωγῆς· τούτου δὲ οὐ χωροῦντος· ἐν ᾗ τὰ ἀντικείμενα ἀλλήλοις
συνάγεται· οὐδέτερον γὰρ τῶν ἀντικειμένων, ἀπὸ τῆς ἀδυνάτου· καὶ ὅμως οὐδὲ μὲν
συμπλοκὴ συλλογιστικὴ συνάγεται συλλογιστικῶς· ἡ οὖν καὶ τὸ ἀντικείμενον οἷόν
τε ἀληθὲς εἶναι, οὐδὲ τοῦ τὸ ὑποτεθὲν συναγόμενον· διὸ οὐκ ἀναιρεῖται ἡ διὰ
τοῦ ἀδυνάτου δεῖξις· μόνον γὰρ συνάγεται τοῦτο συλλογιστικῶς, οὐ τὸ ἀντικεί-
μενον ἀδύνατον· οὐ μὴν ἀδύνατον ἀλλ' ὡς τινῶν παρὰ τὸ συλλογιστικῶς δείκνυσθαι τοῦ
ἀντικειμένων ἀλλήλοις, ἐπὶ τινῶν ὑλῶν γίνεσθαι καὶ ἐν αὐτῇ συναγωγῇ οὐ

κατὰ

συλλογιστικῶς. ὡς ὑποκειμένου συνάγεσθαι, οὐδὲν ἀδιώριστον ἀπάντων. εἰ γὰρ τῆς τὸ
ἐπὶ μέρους καταφατικὸν συναγούσης, τῶν μὲν τούτων ἐκκειμένου ἀδιωρίστου ὅρων
εὐπορῆσαι· ἐπεὶ δὲ τοῦ τὸ τῷ μηδενί· τῶν μὲν τῷ παντὶ καὶ τινὶ μή, οὐκ ἀδιώριστον·
ὧν οὐδέτερον οὔτε αὐτὸ κειμένων τῷ τινί, οὔτε δείκνυται συλλογιστικῶς συναγόμενον· οὔτε τοῦ καθόλου καταφατικοῦ ὑποτεθέντος συνάγεσθαι ἀδιώριστον
ἐπείτοι· οὔτε τοῦ ἐπὶ μέρους ἀποφατικοῦ· μόνου δὲ τοῦ αὐτὸ κειμένου τῷ ἐπὶ μέρους
καταφατικοῦ ὑποτεθέντος, τὸ ἀδιώριστον ἐπείτοι· τοῦ γὰρ ὦ τὸ ἑπόμενον συλλογιστικῶς. ἢ χρὴ εἰς οὖν ἢ χρὴ τῷ ἑρμηνέως, οὐχ ἱκανὴ διαβάλλειν συζυγίαν, καὶ
ἀσυλλόγιστον ἀποφῆναι. διὸ εὐλόγως ἀριστοτέλης ἐλέγχει τὰς ἀσυλλογίστους
μόνῃ τῇ τοῦ παντὶ τε καὶ μηδενὸς παραθέσει. εἰ γὰρ τούτοις, οὐδὲν οἷόν τε δείκνυσθαι
συλλογιστικῶς· τῷ, πάντως τοῦ λαμβανομένου συνάγεσθαι συλλογιστικῶς,
εὑρίσκεται τὸ ἀναιρετικὸν καὶ αὐτὸ κείμενον, ἀφ᾽ οὗ λοιπὸν γινόμενον ἀληθές.
καθόλου δὲ ἐν ταῖς συζυγίαις συλλογιστικαῖς ἐστὶ τοῦ ἐπὶ μέρους ἢ συμπεράσματος τὸ ἐπὶ μέρους ἀόριστον ἀληθὲς εἶναι. καὶ γὰρ μάλιστα τῆς καθόλου
ἀποφάσεως ἀληθοῦς ἢ ἐπὶ μέρους, καὶ μάλιστα τῆς ἐξ αὐτῆς ὑπεναντίας, καθὸ
καὶ τὰ παρὰ τὸ ἕτερον ἀληθῆ λαμβάνονται αὐτῆς, ποτὲ μὲν εὐπορῆσαι ὅρ(ων).
δεικνυμένων τῆς καθόλου ἀποφάσεως λαμβανομένης ἐπὶ μέρους. ποτὲ δὲ τὸ
ὑπεναντίον ταύτης ἀληθευομένῳ ἢ συνηγμένῳ ἐπὶ μέρους. ὃ οὐδαμῶς ἀναιρετικόν
ἐστι τοῦ ὑπεναντίου αὐτῷ ἐπὶ μέρους: · ἀλλ᾽ ὅταν τὸ καθόλου πρὸς τὸ ἔλαττον
ἄκρον ἐστὶ καὶ τὸ μὲν τῷ μὲν ξ μηδενί· τὸ δὲ τινὶ μὴ ὑπάρχῃ:

Δείξας ἀσυλλογίστους συζυγίας ἐν δευτέρῳ σχήματι, τὰς ὁμοιοσχήμονας τὰς ἐχούσας
πρὸς τῷ ἐλάττονι τὸ ἐπὶ μέρους· τὸ δὲ καθόλου πρὸς τῷ μείζονι, νῦν λαμβάνει τὰς
ὁμοιοσχήμονας τὰς, ἀνάπαλιν ἐχούσας τὸ ἐπὶ μέρους, πρὸς τῷ μείζονι· τὸ δὲ καθόλου
πρὸς τῷ ἐλάττονι· καὶ τῇ τῶν ὅρων παραθέσει, τὸ ἀσυλλόγιστον δείκνυσιν αὐτῶν.
αἱ δὲ συζυγίαι αὗται, καὶ ἀμφότεραι ἀσυλλόγιστοι ἐν τῷ σχήματι τούτῳ, διά τε τὸ ὁμοι-
οσχημονεῖν τὰς προτάσεις· καὶ διὰ τὸ τὴν μείζονα ἐπὶ μέρους λαμβάνεσθαι. ὅτι δὲ
μηδὲ αἱ συλλογιστικαί, ἐλέγχει ἁπλῶς παρατιθέμενος τοὺς ὅρους. οὐκ ἀεὶ τῷ
τῆς ἐπὶ μέρους ἀδιορίστῳ προσχρώμενος. ὡς γὰρ αὐτὴ ἡ μείζων ἐπὶ μέρους οὖσα
ἀληθής. αὕτη διὰ τὴν καθόλου ἀντιδιαστολήν· τῷ τῶν ἐπὶ μέρους καταφατικῶν
τὴν ὑπεναντίαν αὐτῇ ἀληθῆ εἶναι, ἀσυλλόγιστος γίνεται ἡ συζυγία τῶν ὁμοιοσχη-

μόνως οὖν τῶν προτάσεων ἐν τῷ σχήματι τούτῳ, μηδ' ἂν γίνεσθαι συλλογισμόν·
τοῦ μὲν ὅσω παντὶ ὑπάρχειν, ὅροι παρατίθεται· λευκόν· ζῷον· κόραξ· τὸ γὰρ
ζῷον, παντὶ κόρακι· τοῦ δὲ μηδενί, λευκόν· λίθον· κόραξ· ὁ γὰρ λίθος οὐδενὶ κό-
ρακι· τὸ γὰρ λευκόν, καὶ ζῴῳ τινὶ καὶ λίθῳ τινί· κόρακι δὲ οὐδενί· ὁμοίως δὲ καὶ εἰ καὶ
ἀμφότεραι ληφθεῖεν καταφατικαί· ἢ δὲ μία ζανε ἐπὶ μέρους· τοῦ μὲν γὰρ μὴ ὑπάρ-
χειν λευκόν· ζῷον· χιών· τὸ γὰρ ζῷον, οὐδεμιᾷ χιόνι· τοῦ λευκοῦ τινὶ μὲν ζῴῳ
ὑπάρχοντος· πάσῃ δὲ χιόνι· τοῦ δὲ ὑπάρχειν, λευκόν· ζῷον· κύκνος· τὸ γὰρ ζῷον,
παντὶ κύκνῳ· ὁμοίως τοῦ λευκοῦ ζῴῳ μὲν τινὶ ὑπάρχοντος· κύκνῳ δὲ παντί:

ἀλλ' οὐδ' εἰ τινὶ ἑκατέρῳ ὑπάρχει ἢ μὴ ὑπάρχει:

Εἰπὼν περὶ πασῶν τῶν συζυγιῶν τῶν ἐχουσῶν τὴν μὲν ἑτέραν καθόλου, τὴν δὲ ἑτέραν
ἐπὶ μέρους· καὶ δείξας δύο μόνας συλλογιστικὰς ἐν αὐταῖς· αἳ γὰρ τὴν μείζονα καθόλου
ἔχουσαι, καὶ ἀντικειμένην τὴν ἐπὶ μέρους κατὰ τὸ ποιόν, ἐδείχθησαν συλλογιστικαί· αἱ δ'
ἄλλαι πᾶσαι ἀσυλλόγιστοι, οὕτως ἑξῆς νῦν μετὰ δὴ ἐπὶ ταῖς ἀμφοτέραις ἐπὶ μέρους
τὰ περὶ πασῶν ἅμα ποιεῖται τὸν λόγον· καὶ διὰ τῶν αὐτῶν παραδειγμάτων, πασῶν
ἐλέγχει τὸ ἀσυλλόγιστον· ὡς ἐποίησεν ἐπὶ τοῦ πρώτου σχήματος· συγκαταριθμεῖ δὲ καὶ
τὰς ἀδιορίστους ταῖς ἐπὶ μέρους· ὡς ὁμοίως ἐκείναις, ἀσυλλογίστους· καὶ τὸν αὐταῖς
δυναμέναις· καὶ διὰ τῶν αὐτῶν ἐλεγχομένας· εἰπὼν δὲ ἀλλ' οὐδ' εἰ τινὶ ἑκατέρῳ ὑπάρ-
χει ἢ μὴ ὑπάρχει· δηλονότι ἑκατέρῳ τινὶ ἢ μὴ τινί, προσέθηκε τό, ἢ μηδετέρῳ παντί.
τὸ λέξει διαφέρον τοῦ, ἑκατέρῳ τινὶ μὴ ὑπάρχειν· ἀμφότεραι γάρ, δηλωτικαί
εἰσι τῶν ἐπὶ μέρους ἀποφατικῶν· οἱ δὲ ὅροι τοῦ μὲν παντὶ ὑπάρχειν, λευκόν·
ζῷον· ἄνθρωπος· τοῦ δὲ μηδενί, λευκόν· ζῷον· ἄψυχον· λευκὸν γὰρ καὶ τινὶ ζῴῳ καὶ
τινὶ ἀψύχῳ καὶ ὑπάρχει καὶ οὐχ ὑπάρχει· καὶ τῷ μὲν ἑτέρῳ αὐτῶν, τινὶ ὑπάρχει· τῷ δ' ἑ-
τέρῳ αὐτῶν τινὶ οὐχ ὑπάρχει· καὶ παραλλάξ· καὶ ἐπὶ μὲν τοῦ ἑτέρου, ἀδιορίστως·
ἐπὶ δὲ τοῦ ἑτέρου διωρισμένως ἐπὶ μέρους· καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ· ὁμοίως πάλιν
τὸ μὲν λευκόν, τῷ τε ζῴῳ καὶ τῷ ἀψύχῳ· κατὰ πάσας τὰς ἐν μέρει καὶ τὰς ἀδι-
ορίστους μεταληφθείσας· τὸ δὲ ζῷον, οὐδενὶ ἀψύχῳ:

φανερὸν οὖν ἐκ τῶν εἰρημένων· ὅτι ἐὰν αὐτοῦ οὕτως ἔχωσιν οἱ ὅροι πρὸς ἀλλήλους
ὡς ἐλέχθη, ἐξ ἀνάγκης συλλογισμὸς ἔσται: +

Δεῖ προσυπακούειν πάλιν ἐν τῷ δευτέρῳ σχήματι· οὐ γὰρ ἁπλῶς ἂν ἢ καθόλου ἀπο-
φατικὸς συλλογισμὸς ἢ ἐπὶ μέρους ἀποφατικός, διὰ τὸ τὰς προτάσεις οὕτως ἔχειν.

εἰ γὰρ ἐν πρώτῳ σχήματι συλλογισμὸς τούτων, οὐκ ἂν δευτέρῳ μένον:

Ἐὰν δὲ τῷ αὐτῷ ... ἰσόροις ... ἐξ ἀνάγκης ...

Ἐξ ἀνάγκης μὲν ἐνυπάρχει τοῖς ὅροις· ἢ ταῖς προτάσεσι ταῖς εἰλημμέναις, τὸ τῶν
ἀντιστροφῶν· αἷς πρὸς τὴν τελείωσιν τῶν συλλογισμῶν, προσεχρησάμεθα.
ἐν οἷς ἡ δεῖξις διὰ ἀντιστροφῆς· αἱ γὰρ τῶν προτάσεων ἀντιστροφαί, ἐνυπάρχουσι
ταῖς εἰλημμέναις προτάσεσι. τίθενται δὲ ὡς ὑπόθεσις. αἷς χρώμεθα
πρὸς τὴν τῶν ἀτελῶν συλλογισμῶν δεῖξιν. ἐν ταῖς δὲ ἀδυνάτου ἀπαγωγαῖς
ὡς καὶ αὐτὸς ἐδήλωσε. τὸ γὰρ ἀντικείμενον οὐ δείκνυμεν, ὑπόθεσιν λαβόντες,
τὸ οὕτως τοῦ ἀδυνάτου συλλογισμοῦ ποιήσαντες καὶ συναγωγήν, διὰ τοῦ τούτων
ὑπόθεσιν ἀνελόντες, κατασκευάζομεν αὐτῆς τὸ ἀντικείμενον· ὅ ἐστι προκείμενον.
δῆλον δὲ καὶ ὅτι πάντα τὰ ἐν τούτῳ τῷ σχήματι συμπεράσματα, ἀποφατικά:

σχήματος τρίτου.

Ἀλεξάνδρου Ἀφροδισιέως.

Ἐὰν δὲ τῷ αὐτῷ τὸ μὲν παντί.

Ἐπὶ τὸ τρίτον μετάγει σχῆμα· ὁποῖον δέ ἐστι καὶ τίνα τὴν τοῦ μέσου θέσιν ἔχει, διὰ
παραδείγματος πάλιν ἐδήλωσε. λαμβάνεται δὲ ἐν τούτῳ τῷ σχήματι αὐτῶν κατὰ τὸ
προτάσεων συζυγίαις, ἐν ᾧ ὁ μέσος ἀμφοτέροις ὑπόκειται τοῖς ἄκροις.
τοιοῦτον ἐστὶν ὡς ἔφαμεν τὸ τρίτον σχῆμα. τρίτον δὲ ὂν καὶ τὴν ἐσχάτην τάξιν ἔχον,
οὕτω τέτακται. καὶ ὅτι οὐδὲ ἐν αὐτῷ καθόλου συνάγεται. καὶ ὅτι οἱ σοφιστικοὶ συλ-
λογισμοί, μάλιστα ἐν τούτῳ τῷ σχήματι γίνονται ἀδιόριστα καὶ ἐπὶ μέρους συμπεραι-
νόμενοι. ἔσχατος δὲ τῶν συλλογισμῶν ὁ σοφιστικός· καὶ ὅτι κατώτερον σχήματος
τοῦ δευτέρου. καὶ τοῦ τρίτου, τὴν γένεσιν ἐχόντων ἀπὸ τοῦ πρώτου, κατὰ τῆς ἐλάτ-
τονος προτάσεως τὴν γένεσιν τούτων. ἑκατέρα γὰρ τῶν ἐν ἀνάγκῃ προτάσεων ἀντι-
στραφεῖσα, ποιεῖ τούτων τι τῶν σχημάτων, ὡς ἤδη εἰρήκαμεν. τῆς μὲν γὰρ μεί-
ζονος ἀντιστραφείσης, τὸ δεύτερον γίνεται. τῆς δὲ ἐλάττονος, τὸ τρίτον. ὥστε τὰ δὲ
γένεσιν αὐτοῦ, παρὰ τῆς ἐλάττονος τῶν ἐν πρώτῳ σχήματι προτάσεως. ἡ γὰρ
ἐλάττων, ἐλάττονι χώραν κατὰ ἐλάττων, εἰκότως καὶ αὐτὸ ἔσχατον. ἀλλ' ὅτι δὲ ἐν τῷ



τοῦ σχήματος ὡς πρόσω καὶ ἐν τῷ πρὸ τούτου, αἱ πᾶσαι συζυγίαι ιϛ. αἱ ἐν τούτῳ ἐκ τῶν
διορίστων προτάσεων. ταύταις γὰρ ὡς ἔστιν ἐν ταῖς ἐπὶ μέρους διωρισμέναις παρα-
λειψόμεθα. συλλογιστικαὶ δὲ ἐν τούτῳ συζυγίαι πλείονες· ἓξ γάρ. τοῦ δὲ πρὸ
τούτου ἀνάπαλιν· τέσσαρες γὰρ ἐκεῖ συλλογιστικαί. τὸ δ' αἴτιον, ὅτι δεδειγμένον
ἐν τούτῳ τῷ σχήματι ἀναγκαῖον συλλογισμοῦ ἔσεσθαι τὴν ἐλάττονα πρότασιν,
καταφατικὴν ἐξ ἀνάγκης εἶναι. εἰ γὰρ ἀποφατικὴ αὕτη, οὐκ ἔσται ὁ συλλο-
γισμὸς ἐν τρίτῳ σχήματι, ἡ δὲ μείζων ὅπως ἔχουσα ληφθῇ. ταύτης οὖν κα-
ταφατικῆς, συλλογισμὸς γίνεται· μόνον τοῦτο φυλακτέον, τὸ μὴ ἀμ-
φοτέρας ἀποφατικὰς ἢ ἐπὶ μέρους εἶναι· ἐκ γὰρ δύο ἐπὶ μέρους οὐδεὶς γίνεται
συλλογισμὸς ἐν οὐδενὶ σχήματι, ὥσπερ καὶ ἐξ ἀποφατικῶν δύο. ἡ δὲ μείζων καὶ ἐ-
λάττων πρότασις, ὁμοίως καὶ ἐν τούτῳ ληφθήσονται ὡς καὶ ἐν δευτέρῳ. τούτων
δὲ τηρουμένων ἓξ γίνονται συλλογιστικαὶ συζυγίαι. διὸ τοσαῦται καὶ ἐν τούτῳ τῷ
σχήματι συλλογιστικαὶ συζυγίαι. τῆς γὰρ ἐλάττονος καθόλου μὲν καταφατικῆς
οὔσης, τέσσαρες ἔσονται συζυγίαι συλλογιστικαί· τῆς μείζονος, ποτὲ μὲν καθόλου
καταφατικῆς οὔσης ἢ ἀποφατικῆς λαμβανομένης· ποτὲ δὲ ἐπὶ μέρους
ἢ καταφατικῆς ἢ ἀποφατικῆς οὔσης. αἴτιον δὲ τοῦ πλείους ἐν τούτῳ τῷ σχή-
ματι τὰς συλλογιστικὰς συζυγίας, ὅτι ἐν ἐκείνοις μὲν πλείω ἦν τὰ διωρισμένα,
ἃ ἔδει φυλάττειν, ἵνα γένηται συμπλοκὴ συλλογιστική. δύο γὰρ ἦν καὶ ἐν τῷ
πρώτῳ καὶ ἐν τῷ δευτέρῳ σχήματι τὰ ὡρισμένα. ἐν μὲν γὰρ τῷ πρώτῳ ἡ μείζων
πρότασις ὥρισται· καθόλου γάρ. καὶ ἡ ἐλάττων, καταφατικὴ γάρ. ἐν δὲ τῷ δευτέρῳ,
ἡ μείζων· καθόλου γάρ. καὶ τὸ μὴ δεῖν ὁμοιοσχήμονας ἀμφοτέρας λαμβά-
νεσθαι· ἴδιον γὰρ τοῦ δευτέρου τὸ ἐκ δύο καταφατικῶν μηδὲν συνάγεσθαι. ἐν δὲ
τῷ τρίτῳ, ὥρισται μόνον ἡ ἐλάττων πρότασις· καταφατικὴ γάρ. τὸ γὰρ μήτε
ἀμφοτέρας ἐπὶ μέρους, μήτε ἀποφατικὰς εἶναι, τῶν τριῶν σχημάτων κοινόν·
οὐ τούτου ἴδιον. κοινότερον δὲ καὶ ἐπὶ πλέον τὸ ἔλαττον ὡρισμένον. ἀπεί-
τησε δὲ καὶ τὸ ἀνάλογον, τοῦ πρώτου σχήματος ἀμφοτέρας ἔχοντος τὰς
προτάσεις ὡρισμένας, τὴν μείζονα τῷ ποσῷ· καθόλου γάρ. τὴν δὲ ἐλάτ-
τονα τῷ ποιῷ· καταφατικὴ γάρ. καὶ τὸ τῶν δύο σχημάτων. τοῦ τε δευτέρου
λέγω καὶ τοῦ τρίτου, ἑκατέρων τῶν προτάσεων, ἀφ' ἧς ἑκάτερον αὐτῶν τὴν
γραφὴν ἔσχε γένεσιν τὸ ἑκάστου ἴδιον φυλάττειν. τὸ μὲν δεύτερον ἀπὸ

τῆς μείζονος ἀντιστραφείσης γέγονεν· τὸ γὰρ ἀνάγκη ἐν τῆς συλλογιστικῆς συζυγίας ἴδιον φυλαχθῆναι. καθόλου γὰρ ἔχει καὶ τὸ δεύτερον τὴν μείζονα πρότασιν. ἐν τῆς συλλογιστικῆς συμπλοκῆς. τὸ δὲ τρίτον ἀπὸ τῆς ἐλάττονος ἀντιστραφείσης γέγονεν. τὸ τοῦ τρίτου ἴδιον ἔχει. ὥρισται γὰρ ἐν τούτῳ πάλιν ἡ ἐλάττων ὡς ἔφαμεν καταφατικὴ εἶναι. ἐξ δὲ οὖν τῶν συλλογισμῶν ἐν τούτῳ τῷ σχήματι, πρῶτος μὲν ἂν αὐτῶν εἴη τῇ τάξει, ὁ ἐκ δύο καθόλου καταφατικῶν ἐπὶ μέρους καταφατικὸν συνάγων. καὶ τοῦτο ἀντιστροφῇ τῆς ἐλάττονος προτάσεως. δύναται δὲ καὶ τῆς μείζονος ἀντιστραφείσης γενέσθαι· ἀλλὰ δεήσει καὶ τὸ συμπέρασμα ἀντιστρέφειν. διὸ καὶ τοῦτον ἕνα τῶν συλλογισμῶν προστιθέντες, ὡς ἄλλον αὐτὸν πρὸς αὐτοῦ. ἑπτὰ φασὶν εἶναι τοὺς ἐν τούτῳ τῷ σχήματι συλλογισμούς. πρῶτος δὲ αὐτῇ ἡ συμπλοκή, διὰ τὸ καὶ ἐκ καθόλου ἀμφοτέρων εἶναι καταφατικῶν:· ἐπιζητήσαι δ' ἄν τις τί δή ποτε ἐν τῷ δευτέρῳ σχήματι. διὸ ἦσαν συμπλοκαὶ συλλογιστικαί· ἔχουσαι τὴν μὲν ἑτέραν καθόλου ἀποφατικήν. τὴν δ' ἑτέραν, καθόλου καταφατικήν. ποτὲ μὲν τὴν μείζονα ποτὲ δὲ τὴν ἐλάττονα οὖσαν καθόλου ἀποφατικήν. καὶ μὲν τὴν μείζονα. ποτὲ δὲ τὴν ἐλάττονα οὖσαν καθόλου ἀποφατικήν, ἀντιστρέφεσθαι. ἐν δὲ τῷ τρίτῳ σχήματι, οὐκ ἔτι πλείους τῶν δύο εἶναι συμπλοκαὶ συλλογιστικαί. ἐκ δύο καταφατικῶν καθόλου. καὶ ταῖς ἐπὶ τούτων. δυναμένης ποτὲ μὲν τῆς ἐλάττονος, ποτὲ δὲ τῆς μείζονος ἀντιστρέφεσθαι:· ἢ ὅτι ἐν μὲν τῷ δευτέρῳ σχήματι τὰς ἀνομοιοσχήμονας εἶναι δεῖ προτάσεις ἐξ ἀνάγκης, καὶ τὴν ἑτέραν ἀλλὰ τοῦ καθόλου ἀποφατικοῦ ἀντιστρεφούσας, ἄλλοτε ἄλλην καὶ ποτὲ μὲν τὴν μείζονα. ποτὲ δὲ τὴν ἐλάττονα. καὶ οὐκ ἐφ' ἡμῖν ἐστιν, ἣν βουλόμεθα ἀντιστρέφειν. ἐπὶ δὲ τοῦ τρίτου σχήματος ὅταν αἱ δύο ὦσι καταφατικαί. οὐχὶ τῶν προτάσεων θέσις, ἀλλ' ἡμεῖς ἄλλοτε ἄλλην αὐτῶν ἀντιστρέφειν. ὁμοία γὰρ ἑκατέρα κατὰ τὴν θέσιν. ἀλλ' ἐφ' ἡμῖν γίνεται τοῦτο, οὐ παρὰ τῆς συζυγίας ᾔτηον. διὸ ὁμοίως ἑκατέρας ἀντιστρέφεσθαι δυναμένης. τῷ τὴν αὐτὴν θέσιν εἶναι τῶν προτάσεων, ἡ ἀντιστρεφομένη οὐδὲ ἕξει ἀπὸ τῆς ἑτέρας, καὶ τὰ τούτῳ ὥρισται ὅτι τῆς συζυγίας συλλογιστικόν. ἔτι αἱ τῶν συλλογισμῶν διαφοραὶ καθ' ἕκαστον σχῆμα, παρὰ τὰς τῶν συζυγιῶν διαφορὰς γίνονται· οὐ παρὰ τὰς τῶν δείξεων. διὸ οὐ γίνεται οὖν ἡ αὐτὴ συμπλοκὴ συλλογιστικὴ οὔτε, δι' ἀντιστροφῆς καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἀλλὰ καὶ τῇ ἐκθέσει· ἀλλ' οὐ διὰ τοῦτο, πλείους οἱ συλλογισμοί.

διὰ τὸ μίαν εἶναι τῶν ἐφ' ἣν αἱ διαφέρουσαι δὲ ἑξῆς συζυγίαν· ὥστε ἡ μία συζυγία ἡ ἐκ δύο καθόλου καταφατικῶν ἐν τρίτῳ σχήματι εἷς ἢ συλλογισμὸς ἐστί· καὶ αἱ δὲ ἑξῆς διαφέρουσι, ἀλλ' ὅτι ἄλλων τῶν προτάσεων ἀντιστρεφομένων δύναται μεταθέντα τούτων, ὁ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος· ἐπὶ μέρους ἀποφατικὸν συνάγων· ἤγουν οὗτος, ἀμφοτέρας μὲν ἔχει τὰς προτάσεις καθόλου· ἀλλ' οὐ καὶ ἀμφοτέρας καταφατικάς· ἤγουν τὰς δὲ δείκνυται συνάγων καὶ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος· τρίτος, ὁ ἐκ καθόλου καταφατικῆς τῆς μείζονος· ἢ ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος· ἐπὶ μέρους καταφατικὸν συνάγων· ἤγουν τὸ καὶ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος· πρῶτος οὖν τῇ τάξει τοῦ μετὰ τοῦτον διὰ ὁμοίων τούτων προτάσεων τὸ ἐπὶ μέρους καταφατικὸν συνάγοντες· ὅπου τις μὲν, διὰ μιᾶς ἀντιστροφῆς δείκνυται συνάγων τὸ προκείμενον. ὁ δὲ μετὰ τοῦτον ὁ ἐξ ἐπὶ μέρους καταφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, διὰ δύο ἀντιστροφῶν δείκνυται συνάγων τὸ προκείμενον· καὶ τὰ γὰρ τὴν ἀντιστροφὴν τῆς τε μείζονος, οὔσης ἐπὶ μέρους καταφατικῆς καὶ τοῦ συμπεράσματος· πέμπτος δὲ οὗτος ὁ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος· ἐπὶ μέρους ἀποφατικὸν συνάγων, διὰ ἀντιστροφῆς τῆς ἐλάττονος· μετ' ἐκείνους ὤν, τὸ ἀποφατικὸν συνάγων· ἔχουσι γὰρ αὐτοὶ τὴν ἑτέραν ἐπὶ μέρους πρότασιν· ἐκ τοῦ δὲ οὖν ἔχοι τάξιν, ὁ ἐξ ἐπὶ μέρους ἀποφατικῆς τῆς μείζονος· ἢ καθόλου καταφατικῆς τῆς ἐλάττονος, ἐπὶ μέρους ἀποφατικὸν συνάγων· οὐ καὶ τὸ δείκνυται διὰ ἀντιστροφῆς, ἀλλὰ ἤγουν τοῦ, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· ὥσπερ καὶ ὁ τέταρτος ἐν δευτέρῳ σχήματι· ὁ ἔχων καθόλου καταφατικὴν τὴν μείζονα· ἢ ἐπὶ μέρους ἀποφατικὴν τὴν ἐλάττονα. διὸ ὡς προειρημένος ἔσχατος ἐν τῷ δευτέρῳ σχήματι, οὕτω δὴ ἤγουν τοῦτος ἐν τῷ τρίτῳ· ἡ μὲν οὖν τάξις, αὕτη αὐτῶν ἐκ τῶν ἐν τούτῳ τῷ σχήματι συλλογισμῶν· οὐ μὴν τὸν τῇ τάξει ὁ Ἀριστοτέλης ἐπ' αὐτῶν κέχρηται, τὴν παράδοσιν αὐτῶν ποιούμενος· ἀλλὰ ἤγουν ἐνήλλαξεν αὐτήν. ἐκ τῶν δὲ ἐπὶ μὲν τοῦ δευτέρου σχήματος οἱ διὰ ἀντιστροφῆς δεικνύμενοι συλλογισμοί, τῆς μείζονος προτάσεως ἀντιστραφομένης δείκνυνται· ἤγουν ὁ δεύτερος ὁ τὴν μείζονα ἔχων καθόλου καταφατικήν, τὴν δὲ ἐλάττονα καθόλου ἀποφατικήν, καὶ τὴν ἀντιστροφὴν γινόμενος τῆς ἀποφατικῆς· ὃς ἀπὸ τῆς δεξιᾶς τὴν ἐλάττονα κειμένην, μείζονα ποιεῖ. διὸ χρεία ἔχομεν τοῦ, καὶ τὸ συμπέρασμα ἐπ' αὐτοῦ ἀντιστρέψαι· ἵνα σχῶμεν τὸ προκείμενον.

ἐν τῇ τῆς προτάσεως τῆς μείζονος τοῦ ἐν αὐτῷ συμπεράσματι κατηγορούμενον. ἐν δὲ τῷ τρίτῳ
σχήματι ἡ ἐλάττων ἐστὶν ἡ ἀντιστρεφομένη· καὶ γὰρ ἐν τούτῳ ἐν τῇ συζυγίᾳ τῇ ἐξ ἐπὶ μέρους
καταφατικῆς τῆς μείζονος· καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, ἀντιστρε-
φομένης μὲν τῆς μείζονος καὶ γινομένης ἐπὶ μέρους καταφατικῆς· ἀλλ' ὅτι ἐπὶ τῷ συλλογισμῷ
ἐλάττων γίνεται· διὸ πάλιν καὶ ἐπὶ ταύτης τῆς συζυγίας, ἐδεήθημεν ἀντιστρέψαι
τὸ συμπέρασμα· ὥστε τοῦ τηρῆσαι τὸν μείζονα κείμενον, καὶ κατηγορούμενον
ἐν τῷ συμπεράσματι· ὅτε γὰρ ἐπὶ τῶν συλλογισμῶν τῶν διὰ ἀντιστροφῆς, ἐλάττων
ἐγένετο, καὶ ὅπως δὴ οὐ τούτῳ ἔφημεν· ἀφ' ἧς γὰρ προτάσεως ἀντιστραφείσης ἐν
τοῦ πρώτου σχήματος ἑκατέρων τῶν σχημάτων ἡ γένεσις, ταύτης ἀντιστρεφομένης
πάλιν καὶ ἀναλυομένης ἀναγωγὴ αὐτῶν εἰς τὸ πρῶτον σχῆμα γίνεται· οἷς καὶ ἀναλυ-
σάμενοι τὸν συλλογισμὸν ἔχοντες:

μέσον δ' ἐν αὐτῷ λέγω καθ' οὗ ἄμφω τὰ κατηγορούμενα.

Οὗτος ἂν ἀνάλογος τοῦ τρίτου σχήματος· ἐν ᾧ τὰ ἄκρα ἀμφότερα τοῦ μέσου κατηγορεῖται:

μεῖζον δ' ἄκρον, τὸ πορρωτέρω τοῦ μέσου.

Ὥσπερ τῆς μείζονος προτάσεως ἐν τῷ πρώτῳ σχήματι ἀντιστραφείσης, ἐγένετο πρὸ τοῦ
μείζονος ἄκρου ὁ μετατεθεὶς ἐν τῷ δευτέρῳ σχήματι, οὕτως πάλιν ἐν τῷ τρίτῳ
σχήματι κατὰ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος προτάσεως ἐν τῷ πρώτῳ σχήματι,
τοῦ τρίτου σχήματος γεννώσης, γίνεται ὁ μέσος μετὰ τὸν ἐλάττονα ἄκρον· τῷ δὲ ἐσ-
χάτῳ· τῇ γὰρ ἑκατέρας προτάσεως ἀντιστροφῇ, ἐλάττων ὁ μετατεθεὶς, πλη-
σίον ἐπὶ τοῦ ἄκρου. ὥστε μείζων γίνεται ἐν τῇ ἀντιστρεφομένῃ προτάσει ὁ ἐγγύτερος
δὲ ἐν τῷ τρίτῳ σχήματι πλησίον τοῦ ἐλάττονος ἄκρου ὁ μέσος, ἀμφοτέροις ὑπο-
κείμενος γίνεται, τῷ μὲν, ἐλάττονι, διὰ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος προτάσεως·
τῷ δὲ μείζονι· ὅτι καὶ ἐκ τὴν ἀρχὴν, ἐν πρώτῳ σχήματι ὑποκείμενος τούτῳ,
ὑποκείμενος δὲ ἀμφοτέροις, ἀκολούθως τῷ ἐσχάτῳ ἐκτεθέν:

δυνατὸς δ' ἔσται, καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων πρὸς τὸ μέσον.

Τὸ μὴ καθόλου. οὐ τὸ μηδέτερον οὖσας καθόλου σημαντικόν ἐστιν· ἀδύνατον γὰρ
ὡς εἴρηκα μὲν ἤδη, ἐκ δύο ἐπὶ μέρους προτάσεων συλλογισμὸν γενέσθαι· ἀλλὰ τὸ
μὴ ἐξ ἀμφοτέρων καθόλου:

καθόλου μὲν οὖν ὄντων τῶν ὅρων ὅταν καὶ τὸ π καὶ τὸ ρ παντὶ τῷ σ ὑπάρχῃ.

Ἐπὶ τούτου τοῦ σχήματος πάλιν χρῆται στοιχείοις τοῖς, π· ρ· σ· καὶ ἔστιν αὐτὸ

τοῦ μὲν μείζονος ἄκρου σημαινομένου τὸ π· τοῦ δὲ ἐλάττονος καὶ ὀφείλοντος ὑποκεῖσθαι
ἐν τῷ γινομένῳ συμπεράσματι, τὸ ρ· τοῦ δὲ μέσου, τὸ σ· πρότασιν δὲ καὶ τίθεσθαι τῶν,
αὐτὸ καθόλου καταφατικῶν συζυγίαν. ὧν δὲ μηδεὶς συλλογισμός, διὰ τοῦ ἀντιστρέ-
φειν τὴν ἐλάττονα πρότασιν τὴν ρσ. οὖσαν καθόλου καταφατικήν· καὶ λαμβάνειν τὴν ρσ,
ἐπὶ μέρους καταφατικήν· καὶ ἀναγαγεῖν οὕτως εἰς τὸ β̄ τὸν συλλογισμὸν τοῦ πρώτου
σχήματος· τὸν ἐκ καθόλου καταφατικῆς τῆς μείζονος καὶ ἐπὶ μέρους καταφατικῆς
τῆς ἐλάττονος, ἐπὶ μέρους καταφατικὸν συνάγοντα. ἐν ἐσχάτοις (?) δὲ ὡς ἄπορον καὶ τὴν μεί-
ζονα ἀντιστρέψαντας, τὸ αὐτὸ τοῦτο δεῖξαι συναγόμενον. ἂν καὶ τὸ συμπέρασμα ἀν-
τιστρέψωμεν. εἰ γὰρ τὸ π παντὶ τῷ σ, τὸ σ τινὶ τῷ π. καὶ κεῖται δὲ καὶ τὸ ρ παντὶ τῷ σ,
γίνεται τὸ ρ τινὶ τῷ π. ἐὰν δὴ ἀντιστρέψωμεν τοῦτο, ἔσται καὶ τὸ π τινὶ τῷ ρ. ὅ ἔδει δεῖ-
ξαι. αὐτὸς δὲ οὐ παρατίθεται τὴν δεῖξιν ταύτην, ὅτι χείρων τῆς προειρημένης. διὸ αὕτη
προφανὴς δεομένη. δείκνυσι δὲ καὶ ἐπὶ μέρους καταφατικὸν συναγόμενον ἐν ταύτῃ
τῇ συζυγίᾳ, καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὑποκείσθω γὰρ τὸ ἀντικείμενον
τῷ, τὸ π τινὶ τῷ ρ ὑπάρχειν. ὅ ἐστι τό, μηδενί· ἀλλὰ ἔκειτο, ἐν τῇ συζυγίᾳ τὸ ρ
παντὶ τῷ σ ὑπάρχειν. γίνεται συναγόμενον· τὸ τὸ π μηδενὶ τῷ σ, ἐν πρώτῳ
σχήματι κατὰ τὸν δεύτερον συλλογισμόν, τὸν ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος
τε καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, καθόλου ἀποφατικὸν συνάγοντα. ἀ-
δύνατον δέ γε τὸ π μηδενὶ ὑπάρχειν τῷ σ. ἔκειτο γὰρ ἐν τῇ προτεθείσῃ συζυγίᾳ,
παντὶ αὐτῷ ὑπάρχειν· ψευδὴς ἄρα ἡ ὑπόθεσις. παρ' ἣν ἐγένετο τὸ τοῦ ἀδυνάτου
συμπέρασμα. εἰ δὲ ψευδὴς ἡ ὑπόθεσις ἡ, μηδενὶ τῷ π τὸ ρ τιθεῖσα, ἀληθὴς
γίνεται ἡ ἀντικειμένη αὐτῇ ἀντιφατικῶς· ἡ τὸ π, τινὶ τῷ ρ τιθεῖσα. [illegible]
της, εἰς ἀδύνατον ἀπαγωγῆς ὅτι καὶ οὕτως δεῖξαι οἷόν τε ἐστὶν ἐπὶ μέρους καταφα-
τικὸν γινόμενον συμπέρασμα. καὶ τὸ μὲν παρατίθεσθαι αὐτὸν τὴν δεῖξιν τὴν διὰ ἀδυνάτου,
ὡς γνώριμον παρέλιπεν. ἐποίησε γὰρ καὶ ἐπὶ τοῦ δευτέρου σχήματος. προστέθηκε
δὲ καὶ τρίτην τινὰ δεῖξιν. ᾗ ἐκθέσει καὶ αὐτῇ προσχρώμενος, ὅτι τὸ π τινὶ τῷ ρ ὑπάρ-
χειν ἐν τῇ κειμένῃ συζυγίᾳ δεικνύναι συναγόμενον, λέγει δὲ αὐτήν, τὸ ἐκτίθεσθαι.
ἐν τῇ ὑπογραφῇ (?) δείκνυσι τίς ὁ τῆς ἐκθέσεως τρόπος. ἐπεὶ γὰρ καὶ τὸ π καὶ τὸ ρ κεῖται
παντὶ τῷ σ ὑπάρχοντα, ἂν αὐτί (?) τοῦ σ λαμβάνωμέν τι τῶν ὑπὸ τὸ σ. τούτῳ ὑπάρ-
ξει δηλονότι καὶ τὸ π καὶ τὸ ρ. εἴπερ καὶ παντὶ τῷ σ. οὕτως δὲ δειχθήσεται καὶ τὸ π τινὶ τῷ ρ
ὑπάρχον. καὶ λαμβανέσθω μέρος, τὸ ν. τούτου δὲ οὕτως ἔχοντος, καὶ τὸ π φημὶ τινὶ τῷ ρ
ὑπάρξει.

+

ἀλλὰ δοκεῖ καὶ οὕτως μηδὲν πλέον γεγονέναι, πρὸς τὸ δειχθῆναι τὸ προκείμενον. τί γὰρ
διαφέρει τοῦ, τῷ β ὑπάρχειν λαβεῖν παντί, ὅτι τὸ α καὶ τὸ γ. τὸ μηδενὶ τοῦ β
τῷ γ. τὸ γὰρ αὐτὸ καὶ ἐπὶ τοῦ γ ληφθέντος μένει. ἡ γὰρ αὐτὴ συζυγία ἐστί. αὐτό τε κατὰ τοῦ γ
παντὸς ἑκατέρου ἐκείνων. αὐτό τε κατὰ τοῦ β κατηγορεῖται, ἢ, οὐ διὰ ταύτης ἡ δεῖξις
ἢ χρῆται. ὁ γὰρ διὰ τῆς ἐκθέσεως τρόπος, δι᾽ αἰσθήσεως γίνεται. οὐ γὰρ ἵνα τι οὗ τό τι
τοῦ β λαμβάνωμεν, καθ᾽ οὗ ῥηθήσεται παντὸς ἑκάτερον τό τε α καὶ τὸ γ λέγει. οὐδὲν γὰρ πλέον,
εἰ οὕτως ληφθείη. ἀλλ᾽ ἵνα τι τῶν ὑπ᾽ αἴσθησιν πιπτόντων. ὃ φανερόν ἐστιν ὂν καὶ
ἐν τῷ α καὶ ἐν τῷ γ. οἷον εἰ κειμένου κατὰ τοῦ α τὸ ζῷον, καὶ κατὰ παντὸς αὐτοῦ. ὅ ἐστι τὸ β.
ἄνθρωπος καὶ τὸ λογικὸν κειμένου ἀπὸ τοῦ β. καὶ κατὰ παντὸς καὶ τοῦ τοῦ αὐτοῦ. εἰ δι᾽ αἰσθήσεως
τινὰ τοῦ β τοῦτ᾽ ἔστι τινὰ αὐτὸν λαμβάνομεν οἷον Σωκράτην. τὸ φανερὸν δι᾽ αἰσθήσεως
τοῦτον καὶ ζῷον εἶναι καὶ λογικόν, αὐτάρκης γίνεται. ὅτι καὶ τὸ α τοῦτ᾽ ἐστὶ τὸ ζῷον
τινὶ τῷ γ τοῦτ᾽ ἐστὶ τῷ λογικῷ, κοινωνεῖ τε καὶ ὑπάρχει. ὅτι γὰρ αἰσθητικὴ ἡ διὰ
τῆς ἐκθέσεως δεῖξις, σημεῖον πρῶτον μὲν τό, εἰ μὴ οὕτως λαμβάνοιτο,
μηδεμίαν γίνεσθαι δεῖξιν. ἔπειτα δὲ καὶ τὸ αὐτὸν μὴ κεχρῆσθαι
× ἐπὶ τοῦ γ. ὅτι τι τοῦ β. τὸ κείμενον τὸ παντὶ αὐτῷ ὑπάρχειν, τό τε α καὶ τὸ γ.
ἀλλ᾽ ἁπλῶς εἰλῆφθαι τὸ ὑπάρχον. διὸ καὶ τό, μηδετέρῳ αὐτὸ γράψαι. καὶ γὰρ
τοῦ αἰσθητοῦ καὶ ἀτόμου καὶ ἀριθμῷ ἑνός, οὐκ ἀληθὲς τὸ κατὰ παντός. οὐδὲ ὁ δι-
ορισμὸς ὅλως. ὁ γὰρ διορισμὸς τῶν προτάσεων, ἐπὶ τῶν καθόλου χώραν ἔχει.
τὰ δὲ ἄτομα, οὐ καθόλου. ἰδία δὲ ἡ δι᾽ αἰσθήσεως δεῖξις τῷ τρίτῳ σχήματι. ἐπειδὴ δὲ ἐν
τούτῳ διὰ τὸ τὸν μέσον ὑπὸ ἀμφοτέροις τοῖς ἄκροις ἀεὶ ἐστὶ τὸ ὑποκείμενον.
δεῖ δὲ τινὰ αἰσθητὸν τοῦ μέσου τε καὶ ὑποκειμένου γίνεσθαι. ἵνα ἐμφαίνωσιν οἱ ὄντες
αὐτῇ λαβόντες αἰσθητόν τι, ὃ οὐ κατὰ τὸ τοῦ ἢ συνημμένου ἢ κεχωρισμένου ἔχειν
ἀπ᾽ ἀλλήλων τὰ κατηγορούμενα αὐτοῦ. διὰ δὲ ἐπὶ πλειόνων ὑποκειμένων λαμβά-
νοιτο, οὐχ οἷόν τ᾽ εἶναι. ἀλλ᾽ ἐξ ἑκατέρου λαμβάνεσθαι μάλιστα ἂν καὶ τὸ μὲν τοῦ
ἑτέρου καταφατικῶς κατηγορεῖσθαι τὸ κατηγορούμενον. καὶ τὸ δὲ τοῦ ἑτέρου,
ἀποφατικῶς. οὕτως δέ, οὐδὲ μία φανερὰ ἂν γίνοιτο αἰσθητή. δειχθείη
δ᾽ ἂν τὸ καὶ διὰ τὸ πάντα ἐπὶ μέρους ἂν τούτων συνάγεσθαι. ἱκανὸν γὰρ αὐτὸ λη-
φθὲν καὶ αἰσθητὸν πρὸς τὸ τοιοῦτον συμπέρασμα. τοιαύτη αὐτὴ κυρίως καὶ ἡ δεῖξις
αὐτῷ τοῦ, τινὶ καθόλου ἀποφατικῶν ὑπαρχουσῶν, ἀντιστρέφειν. γέγονε
τὸ οὐχ ὥστε εἶναι ἢ ἤρτηται διὰ τῆς ἐπὶ μέρους καταφατικῆς:

ἐὰν τὸ μὲν ρ παντὶ τῷ σ· τὸ δὲ π μηδενί·

Ἐπὶ ταύτης τῆς συζυγίας μετηλλάχθη· τῆς καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ
καθόλου καταφατικῆς τῆς ἐλάττονος, καὶ δύναται καὶ ταύτην συλλογιστικὴν δεῖξαι διὰ
τοῦ ἀντιστρέψαι τὴν ἐλάττονα τὴν ρσ· οὐκέτι καθόλου καταφατικήν· ἀλλὰ ληφθεῖσαν
ἐπὶ μέρους καταφατικὴν τὴν ρσ· καὶ ἀναγαγεῖν εἰς τὸν ἐν πρώτῳ σχήματι τέταρτον
συλλογισμόν· ὅς ἐστιν ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ ἐπὶ μέρους καταφατικῆς
τῆς ἐλάττονος, ἐπὶ μέρους ἀποφατικὸν συνάγων· δῆλον ὅτι καὶ ἐνταῦθα διὰ τῆς εἰς
ἀδύνατον ἀπαγωγῆς, δεῖξαι τοῦτον ὡς λέγει, καὶ ἐκθέσει τὸ συναγόμενον ἀδύνατον.
εἰ γὰρ ὑπόκειται τὸ π παντὶ τῷ σ· ἐπεὶ τὸ ρ ἀνάγκη τὸ ἀνάγκη τὸ παντὶ τῷ σ, συνα-
χθήσεται τὸ π παντὶ τῷ σ· ὃ ἀνάγκη μηδενὶ ὑπάρχειν· ἀλλὰ καὶ ἐκθέσθαι
ἐνὸν ἐστι προσχρησαμένους, ὁμοίως πάλιν δεῖξαι καὶ τοῦτον· ἀνάγκη αὐτὸ ἐν
μόνον δεῖν· εἰ γὰρ τι τοῦ σ ληφθείη τὸ λαμβανόμενον· τούτου δ' ἀρ' ὡς ἑνὸς τῷ ρ ἀνάγκη
ὑπάρχειν αὐτῷ· τοῦ δὲ π μὴ κοινωνεῖν, φανερὸν ἔσται ὅτι τὸ π τινὶ τῷ ρ οὐχ
ὑπάρχει· τούτῳ γὰρ τῷ ἐκληφθέντι καὶ ἀληθεύοντι οὐχ ὑπάρξει· οὔτε τινὶ τοῦ ρ:

ἐὰν δὲ τὸ μὲν ρ μηδενὶ τῷ σ· τὸ δὲ π παντὶ ὑπάρχει·

Καθ' ἕτερος τῆς συλλογιστικῆς συζυγίας τῆς ἐκ καθόλου τῶν δύο προτάσεων
οὔσης, νῦν τὴν ἀσυλλόγιστον ἐπάγει τῆς κοινωνίας· καὶ πρῶτον μὲν παρατίθεται
τὴν ἔχουσαν τὴν ἐλάττονα καθόλου ἀποφατικήν· ὡς ὅτι οὐκ ἔστιν ἀσυλλόγιστος,
ἐλέγχει τῇ τῶν ὅρων παραθέσει· δείκνυς ὅτι καὶ παντὶ καὶ μηδενί, δύναται τὸ π
τῷ ρ· καὶ μὲν ἐπὶ ταύτης τῆς συζυγίας ὑπάρχειν· ζῷον γὰρ παντὶ ἀνθρώπῳ· π ὁ
τῷ σ· ἵππος οὐδενὶ ἀνθρώπῳ· ὁ ρ· καὶ ζῷον παντὶ ἵππῳ· τουτέστι τὸ π τῷ ρ·
ἔστι δὲ αἴτιον τοῦ ἀσυλλόγιστον εἶναι τὴν συζυγίαν, πάλιν τὸ αὐτὸ ὅπερ ἐν τῷ
πρώτῳ σχήματι ἦν· τῆς μείζονος, καθόλου καταφατικῆς οὔσης· τῆς δὲ ἐλάτ-
τονος, καθόλου ἀποφατικῆς: οὐδ' ὅταν ἀμφότεραι κατὰ μηδενὸς τοῦ σ λέγωνται

Δύνανται καὶ ταύτην τὴν συζυγίαν ἀσυλλόγιστον ἔχουσαν ἀμφοτέρας τὰς προτάσεις
καθόλου ἀποφατικάς· ἥτις κατὰ τὰ λοιπὰ ἐν ταῖς ἐκ καθόλου τῶν προτάσεων συζυγίαις·
οἱ δὲ ὅροι τοῦ μὲν τὸ π παντὶ τῷ ρ ὑπάρχειν, ζῷον· ἵππος· ἄψυχον· οὐδενὶ γὰρ
ἀψύχῳ ὄντι σ· οὔτε ζῷον· οὔτε ἵππος· καὶ τὸ ζῷον, παντὶ ἵππῳ· τουτέστι τὸ π
τῷ ρ· τοῦ δὲ μηδενὶ ἀνθρώπος· ἵππος· ἄψυχον· πάλιν γὰρ τῷ ἀψύχῳ ὄντι σ, οὔτε
ὁ ἄνθρωπος· οὔτε ὁ ἵππος· ἀλλ' οὐδὲ ὁ ἄνθρωπος τῷ ἵππῳ:

*φανερὸν οὖν καὶ ἐν τούτῳ τῷ σχήματι: +*

Ὑπομιμνήσκει ἡμᾶς τῶν ἀρχῆθεν ὅτι πόσαι μὲν ἔσονται συλλογιστικαὶ συζυγίαι τῶν καθόλου προτάσεων ἐν τούτῳ τῷ σχήματι καὶ τίνες· πόσαι δὲ ἀσυλλόγιστοι:

*ἐὰν δ' ὁ μὲν ᾖ καθόλου πρὸς τὸ μέσον ὁ δ' ἐν μέρει.*

Εἰπὼν περὶ τῶν συζυγιῶν τῶν ἐκ καθόλου προτάσεων ἐν τῷ τρίτῳ σχήματι, μέτεισι νῦν ἐπὶ τὰς τὴν ἑτέραν ἐχούσας καθόλου μόνην· καὶ δείκνυσιν ὅτι πάλιν καὶ αὐτῆς οὕτως ἐχούσης συζυγίας, τινὲς μὲν αὐτῶν εἰσι συλλογιστικαί· τινὲς δὲ ἀσυλλόγιστοι· καὶ λέγει πρῶτον μὲν ἂν ἀμφότεραι ὦσι καταφατικαί, συλλογισμὸν ἔσεσθαι· ἂν ὁποτέρα οὖν ᾖ καθόλου· ἄν τε ἡ μείζων· ἄν τε ἡ ἐλάττων· ὥστε δύο συζυγίαι πάλιν αὗται συλλογιστικαί· οὐσῶν μὲν ἀμφοτέρων καταφατικῶν· τῆς ἑτέρας δὲ καθόλου· καὶ πρώτην μὲν ἐκτίθεται τὴν ἔχουσαν τὴν μὲν ἐλάττονα τὴν ΡΣ καθόλου καταφατικήν· τὴν δὲ μείζονα τὴν ΠΣ ἐπὶ μέρους καταφατικήν. ἣν ἡμεῖς συζυγίαν ἐτάξαμεν τετάρτην. ταύτην δείκνυσι διὰ δύο ἀντιστροφῶν. ἀντιστραφείσης γὰρ τῆς ἐπὶ μέρους καταφατικῆς τῆς ΠΣ, ἥτις ἐστὶν ἡ μείζων, γίνεται τὸ Σ τινὶ τῷ Π ὑπάρχειν. καὶ ἔστι δὲ τὸ Ρ παντὶ τῷ Σ. συνάγεται τὸ Ρ τινὶ τῷ Π. καὶ ἔστιν ὁ τρίτος ἐν τῷ πρώτῳ σχήματι. ἀλλ' ἐπειδὴ καὶ τὸ μεῖζον ὁ Π ἔδει αὐτὸν ἐν τῷ συμπεράσματι κατηγορεῖσθαι, ἀντιστραφήσεται καὶ τὸ συμπέρασμα· ὥστε τὸ Ρ τινὶ τῷ Π συναγόμενον, καὶ τὸ Π ἄρα τινὶ τῷ Ρ ὑπάρξει. ἐδεήθη δὲ καὶ τῆς τοῦ συμπεράσματος ἀντιστροφῆς. οὐ μόνον τῆς ΠΣ προτάσεως, ὃ ἐστι δῆλον καὶ αὐτὸς ἐπάγει κοινῶς, μετὰ τὸ δεῖξαι τὸ συμπέρασμα γινόμενον διὰ τοῦ συλλογισμοῦ, ὅτι τὸ Ρ τινὶ τῷ Π· ὥστε καὶ τὸ Π τινὶ τῷ Ρ:

*πάλιν εἰ τὸ μὲν Ρ τινὶ τῷ Σ, τὸ δὲ Π παντὶ ὑπάρχει τῷ Σ: +*

Ἀνάπαλιν νῦν ἔλαβε τὰς προτάσεις. ἀμφοτέρας μὲν γὰρ καταφατικὰς ἐτήρησεν. ἀλλὰ τὴν μείζονα, καθόλου ἐποίησε. δείκνυσι καὶ ταύτην τὴν συζυγίαν, συλλογιστικὴν οὖσαν. ἀντιστρέψας τὴν ἐλάττονα πρότασιν, οὖσαν ἐπὶ μέρους καταφατικήν. καὶ ἀναγαγὼν τὴν συζυγίαν εἰς τὸν τέταρτον ἀναπόδεικτον ἐν πρώτῳ σχήματι τὸν ἐκ καθόλου καταφατικῆς τῆς μείζονος, καὶ ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος. ταύτην ἡμεῖς τρίτην ἐτάξαμεν τὴν συζυγίαν. ὅτι διὰ μιᾶς ἀντιστροφῆς τὸ προκείμενον φανερὸν γίνεται καὶ δείκνυται. οὐ διὰ δύο ὡς ἐπὶ τῆς πρὸ αὐτῆς κειμένης. ἐπισημειωτέον δὲ καὶ ἐπὶ ταύτης τῆς συζυγίας,

ὅτι καὶ ἔστιν αὐτῶν δεῖξαι ἢ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἀλλ᾽ οὐ διὰ τῆς ἐκθέσεως
προσθεὶς δὲ τὸ καθόλου ἐπὶ τῶν προτέρων, ἐδήλωσεν ὅτι τὸ οὐ μόνον ἢ διὰ ἀδυνάτου
δεῖξαι, κοινὸν πᾶσι τοῖς ἐν τούτῳ τῷ σχήματι συλλογισμοῖς· ἀλλὰ καὶ ἡ διὰ τῆς ἐκθέσεως.

ἐὰν δὲ τὸ μὲν ᾖ κατηγορικὸν, ὁ δὲ στερητικός·

Ἀπὸ τῶν ὁμοιοσχημόνων προτάσεων μεταβαίνει ἐπὶ τὰς ἀνομοιοσχήμονας προ-
τάσεις· καὶ τάσσει ταύτην συζυγίας· φυλάττων πρώτην τὴν ἑτέραν αὐτῶν.
τὴν καταφατικὴν τῆς καθόλου· καὶ δείκνυσιν ὅτι καὶ ἐν ταῖς τοιαύταις συμπλοκαῖς
γίνονται συζυγίαι συλλογιστικαί· τῆς δὲ ἐλάττονος οὔσης καθόλου τε καὶ καταφατικῆς
ἐσχηματισμένης, καὶ τῆς δηλονότι ἐπὶ μέρους τε καὶ ἀποφατικῆς, ἡ συζυγία συλλογιστική.
εἰ γὰρ αὐτῷ μὲν ρ παντὶ τῷ σ ὑπάρχει, τῷ δὲ π τινὶ τῷ σ μὴ ὑπάρχει, συναχθήσεται
τὸ π τινὶ τῷ ρ μὴ ὑπάρχειν· ἡ δὲ δεῖξις οὐκ ἔτι δύναται γενέσθαι διὰ τῆς ἀντιστροφῆς·
οὔτε γὰρ ἡ ἐπὶ μέρους ἀποφατικὴ ἀντιστρέφει· ἀντὶ τῆς καθόλου καταφατικῆς
ἀντιστρέψωμεν, ταύτην ἐπὶ μέρους ποιήσομεν· ἐκ δύο δ᾽ ἐπὶ μέρους, οὐδὲν ἀναγκαῖον
ἐν οὐδενὶ σχήματι συνάγεται· διὰ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, δείκνυσι γινόμενον
αὐτοῖς τῆς συζυγίας ταύτης τὸ συμπέρασμα ἐπὶ μέρους ἀποφατικόν· εἰ γὰρ τὸ π τινὶ
μὴ ὑπάρχειν τῷ ρ οὐ συγχωρηθήσεται, καὶ μένων τῶν προτάσεων ὡς εἴρηκεν, ὑπο-
κείσθω τὸ ἀντικείμενον, καὶ παντὶ ὑπαρχέτω· ἀλλὰ καὶ τὸ ρ παντὶ ὑπάρχει
τῷ σ· συναχθήσεται δὴ τὸ π παντὶ τῷ σ ὑπάρχειν· ὅπερ ἀδύνατον· ἔκειτο γὰρ τινὶ
μὴ ὑπάρχειν αὐτῷ. λέγει δὲ ὅτι καὶ δεικνύναι τὸ αὐτὸ τοῦ συναγομένου καὶ ἄνευ τῆς
εἰς ἀδύνατον ἀπαγωγῆς· ἂν ληφθῇ τι τοῦ σ ᾧ τὸ π μὴ ὑπάρχειν· λέγει δὲ αὐτὸ
πάλιν τὸν ἐκθέσεως τρόπον· ἐπὶ τούτου δὲ οὐχ᾽ ὅτι ὑπάρχει τοῦ σ τὸ ρ ἐλάβομεν.
ἀλλ᾽ ὅτι τινὶ μὴ ὑπάρχει τὸ π· ἐπεὶ γὰρ τὸ μὲν ρ παντὶ τῷ σ, τὸ δὲ π τινὶ οὐχ ὑ-
πάρχει, ᾧ μὲν μὴ ὑπάρχει τὸ π τοῦ σ, πάντως τούτῳ τὸ ρ ὑπάρχει· ᾧ μέντοι
τὸ ρ ὑπάρχει τοῦ σ, οὐκ ἀεὶ τούτῳ ἀναγκαίως τὸ π μὴ ὑπάρχειν· οὐδὲ ἔχει γὰρ
τοιοῦτον ληφθῆναι τοῦ σ τι, ᾧ καὶ τὸ π ὑπάρξει· οὐ γὰρ ἐνδέχεται αὐτὸ μηδενὶ
ὑπάρχειν, ἀλλὰ τινὶ μὴ ὑπάρχειν· τὸ δὲ τινὶ μὴ ὑπάρχειν, οὐδὲ ἔχει καὶ τινὶ ὑπάρ-
χειν τινί· εἰ δὲ οὐ ληφθῇ ἄν τι τοιοῦτο τοῦ σ ᾧ τὸ π οὐχ ὑπάρχει, οὐ καὶ καθόλου ἔσται·
ἐπεὶ πάντως τοῦτο αὐτῷ ρ ἐστί· καὶ τὰ πάντα ἐστὶ γὰρ ὧν τὸ ρ τοῦ σ, τὸ π τινὶ τῷ ρ οὐχ
ὑπάρξει· διὰ τοῦτο δὲ ἐπὶ τῆς συζυγίας ταύτης δείκνυται, ἢ ἐὰν ἀναθῶμεν τι τοῦ σ
λαμβάνοντες καθόλου καὶ καθ᾽ ἕκαστα· ἀλλὰ τοιοῦτον καὶ τὸ μηδὲν ὡς, καὶ τίνι ῥηθήσεται
τὸ π.

ἔσται γὰρ τὸ μὲν π, καὶ τοῦ δ' ἄνθρωπος αὐτοῦ· τὸ δὲ ρ καὶ τὰ πάντα(?)· ἡ δ' οὕτως ἔχουσα συζυγία, συλλογιστικῶς δὲ δεικνῦσα συνάγουσα τὸ τινὶ τῷ ρ τὸ π μὴ ὑπάρχειν· σημειωτέον ὅτι ἐν ὅλῃ(?) ὅτι χρῆται τῇ ἐκθέσει(?) ὡς πρότερον ἐπὶ τῶν ἀποφατικῶν· τούτων ἡμᾶς(?) τῶν συζυγιῶν τελευταίαν τῶν συλλογισμῶν ἔθηκεν(?)· ἐπειδὴ μὴ διὰ ἀντιστροφῆς οἷόν τε δεῖξαι τὸ συναγόμενον δι' αὐτῆς :. +

ὅταν δ' ὁ μείζων ᾖ κατηγορικός, οὐκ ἔσται συλλογισμός: +

Λέγει μὲν ἔτι περὶ συζυγιῶν τῶν ἐξ ἀνομοιοσχημόνων προτάσεων, τῆς καταφατικῆς τὸ καθόλου ἐχούσης. δείξας δὲ ὅτι κἂν ᾖ τὸ καταφατικὸν καθόλου ὂν πρὸς τῇ ἐλάττονι προτάσει, ἡ ἔσται συλλογισμός· ἡ τοῦ ὑποπίπτοντος(?) διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, νῦν λαβὼν ἀνάπαλιν τὸ καθόλου καταφατικὸν πρὸς τῇ μείζονι προτάσει· τὸ δὲ ἐπὶ μέρους ἀποφατικὸν πρὸς τῇ ἐλάττονι, δείκνυσι τὴν τοιαύτην συζυγίαν ἀσυλλόγιστον· τῇ τῶν ὅρων παραθέσει ἐλέγχων αὐτῆς τὸ ἀδιόριστον(?)· ὡς ἔθος αὐτῷ καὶ ἐπὶ ἀδιορίστως(?) ἐλέγχειν· τὸ γὰρ μείζων ἄκρον τῷ ἐλάττονι καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν συναγόμενον δείκνυσι· τοῦ μὲν οὖν παντὶ τὸ ρ τῷ π ὑπάρχειν οὔσης τῆς συζυγίας τοιαύτης, ὅρους δεικνὺς ἐκ παραθέτου(?)· τὸ μὲν ἔμψυχον ἐπὶ τοῦ π. ἐπὶ δὲ τοῦ ρ, ἄνθρωπον· ζῷον δὲ ἐπὶ τοῦ σ. τὸ γὰρ ἔμψυχον παντὶ ζῴῳ· ὁ ἄνθρωπος τινὶ ζῴῳ οὐχ ὑπάρχει· καὶ τὸ ἔμψυχον παντὶ ἀνθρώπῳ. τοῦ δὲ μηδενὶ ὑπάρχειν τὸ π τῷ ρ, οὐ φησὶν οἷόν τε ἀναλογικοὺς ὅρους λαβεῖν διὰ τὸ ἢ ἡ ἐπὶ μέρους ἀποφατικὴ ἢ λέγουσα τὸ ρ τινὶ τῷ σ μὴ ὑπάρχειν, οὕτως εἰλημμένη ἀληθής· ὡς καὶ τινὶ ὑπάρχοντος τοῦ ρ τῷ σ· ὡς πρότερον ἐφ' ὧν ἐξέθετο ὅρων εἶχε· ὁ γὰρ ἄνθρωπος τινὶ ζῴῳ οὐχ ὑπάρχων, καὶ τινὶ αὐτῷ ὑπάρχει· ὅταν δὲ οὕτως ᾖ ἀληθής ἡ ἐπὶ μέρους ἀποφατική, ὡς ἔχει συναληθευομένην αὐτῇ τὴν ἐπὶ μέρους καταφατικήν, οὐκ ἔσται λαβεῖν τοῦ μηδενί· τὸ δὲ ἔοικεν(?) πάλιν· ὅτι καὶ μένης τῆς μείζονος καθόλου καταφατικῆς, καὶ τῆς ἐλάττονος ἐπὶ μέρους καταφατικῆς, συμπερασματικῶς συνάγεται τὸ π τινὶ τῷ ρ ὑπάρχειν· ἣν ἔχει(?) δὲ αὐτὴν συμπλοκὴν ὡς προειρημένην καθ' αὑτὴν ληφθῆναι(?)· συλλογιστικῶς δὲ συναγομένου ἐν τῇ τοιαύτῃ θέσει τῶν προτάσεων, τοῦ τὸ π τινὶ τῷ ρ, ἀδύνατον ὅρους εὑρεῖν παρίστασθαι(?) διὰ τῶν δεικνύντων τὸ π μηδενὶ τῷ ρ· ἀναιροῖτο γὰρ ἂν οὕτως ἡ συλλογιστικὴ συζυγία. ὃ καὶ αὐτὸς δείκνυσι λέγων· εἰ γὰρ παντὶ τῷ π τὸ σ ὑπάρχειν, τὸ γὰρ ρ τινὶ τῷ σ, καὶ τὸ π τινὶ τῷ ρ ὑπάρξει· ὁ δεῖξας, ἐπιφέρει· ὑπάρχειν τὸ δὲ μηδενὶ ὑπάρχειν.

[margin: ἀληθής·]

οὐ τοῦτο λέγων ὅτι καὶ ἀνάγκη ὅπου αὗται αἱ προτάσεις τὸ π τῷ ρ μηδενὶ ὑπάρχειν. ὃ γὰρ ἐβούλετο δεῖξαι, τοῦτ' ἦν, ὅτι μὴ δυνατόν ἐστιν ὅροις ληφθῆναι τοῦ μηδενὶ τὸ π τῷ ρ. ἀλλ' ἔστιν ὃ λέγει τοιοῦτον· εἴ τις ὑποθοῖτο τὸ π τῷ ρ μηδενὶ ὑπάρχειν καὶ δὴ μὴ τοῦ μὲν π παντὶ τῷ σ, τοῦ δὲ ρ τινὶ τῷ σ μὴ ὑπάρχειν· ὡς καὶ τινὶ ὑπάρχειν, ἀδύνατον ὑπόθεσιν ὑποθήσεται· συλλογιστικῶς γὰρ τὸ π τινὶ τῷ ρ ὑπάρξει. οὕτως ἐχόντων, ἀδύνατον μηδενὶ ὑπάρχειν. ἐπεὶ δὲ ἔλαβον τὴν ὑπόθεσιν τὸ μηδενὶ τῷ ρ τὸ π ὑπάρχειν, δεῖξαι αὐτὴν ἀδύνατον, ἢ αὐτοὺς ἔξωθεν δεῖξαι χρῆσθαι. εἰ γὰρ ἂν τὸ π τῷ ρ μηδενί· τὸ ρ τῷ σ τινὶ ὑπάρχον· διὰ τὸ οὕτως εἰλῆφθαι τὸ ρ τινὶ τῷ σ μὴ ὑπάρχειν· ὡς καὶ τινὶ ὑπάρχον, γίνεται τὸ π τῷ σ τινὶ μὴ ὑπάρχειν, συλλογιστικῶς· ὅπερ ἀδύνατον· ἔκειτο γὰρ ἐν τῇ συζυγίᾳ τὸ π τῷ σ ὑπάρχειν. οὔτε μὴν ὅσων ληφθείσης τῆς ἐπὶ μέρους ἀποφατικῆς ἀληθοῦς, οὐ τῶν ὅρων ἐστὶν εὐπορῆσαι τοῦ μηδενὶ τὸ π τῷ ρ ὑπάρχειν, οὕτως ἐλέγξαι τὴν συζυγίαν ἀσυλλόγιστον οὖσαν. ἐπεὶ δὲ ἡ ἐπὶ μέρους ἀποφατικὴ οὐκ ἔστι τότε μόνον ἀληθής, ὅτε καὶ ἔστιν ἡ ὑπεναντία αὐτῇ ἀληθής· ἀλλ' ἔστιν ἀληθὴς καὶ ὅτε ἡ καθόλου ἀποφατικὴ ἀληθής ἐστιν· ἀδιόριστον γὰρ τῶν ἐπὶ μέρους προτάσεων τὸ ἀληθεύειν ὡς εἰρήκαμεν ἐν τοῖς ἔμπροσθεν. ὅταν οὕτως ᾖ ἀληθὴς ὡς οὔσης καὶ τῆς ὑπ' αὐτὴν τῆς καθόλου ἀληθοῦς, ἀσυλλόγιστος ἡ συζυγία γίνεται. γίνεται γὰρ ἐκ καθόλου καταφατικῆς τῆς μείζονος, καὶ δυνάμει καθόλου ἀποφατικῆς τῆς ἐλάττονος· ἣν συζυγίαν ἀεὶ δέδεικται οὖσαν ἀσυλλόγιστον τῇ τῶν ὅρων παραθέσει. δῆλον οὖν ὡς καὶ αὕτη ἀσυλλόγιστος, ἐπεί ποτε συναληθεύεται ἡ ἐπὶ μέρους ἀποφατικὴ τῇ καθόλου ἀποφατικῇ. αὐτίκα γὰρ ὅροι· ζῷον· ἄψυχον· ἄνθρωπος· ζῷον μὲν παντὶ ἀνθρώπῳ· ἄψυχον δὲ τινὶ ἀνθρώπῳ οὐχ ὑπάρχει· ἐπεὶ καὶ μηδενί· καὶ τὸ ζῷον οὐδενὶ ἀψύχῳ· ὥστε οὕτως ἔστιν εὐπορῆσαι τῶν ὅρων τοῦ μηδενί, ὡς εὐπορήσαμεν καὶ τοῦ παντὶ τῶν συζυγιῶν ἀσυλλόγιστον δεῖξαι:

ἐὰν δ' ᾖ στερητικὴ ἡ καθόλου τῶν ὅρων: +

Λέγων μὲν ἔτι περὶ τῶν ἀνομοιοσχημόνων προτάσεων καὶ συζυγιῶν τῶν τὴν ἑτέραν ἐχουσῶν καθόλου μόνην· ἀρκτικῶς δὲ περὶ τῶν ἐν αἷς ἡ καταφατικὴ τὸ καθόλου, λέγει νῦν περὶ τῶν ἀποφατικὸν ἐχουσῶν καθόλου· καὶ δηλονότι τὸ καταφατικὸν ἐπὶ μέρους. ἐν δὴ ταῖς τοιαύταις ἐχούσαις προτάσεις συζυγίαις, λέγει ὅτι ἂν μὲν ᾖ μείζων ἡ καθόλου ἀποφατική, συλλογισμὸς ἔσται· οὐκ ἂν δὲ ἀνάπαλιν· ὅτι δὲ τῆς μείζονος οὔσης καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος

ἐπὶ μέρους καταφατικῆς· εἰ γὰρ ἦν συλλογισμός, δείκνυσιν καὶ ... συζυγ. 61/
ἀπὸ γὰρ ἀεὶ τὸ π μηδενὶ τῷ σ· τὸ δὲ ρ τινὶ τῷ σ, τὸ π τινὶ τῷ ρ οὐχ ὑπάρξει· διὰ
γὰρ τῆς ἐλάττονος προτάσεως ἀντιστραφείσης τῆς ρ σ, ἦν ἂν τὸ πρῶτον σχῆμα.
καὶ ὁ τέταρτος ἂν αὐτῷ συλλογισμός· ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ
ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος, ἐπὶ μέρους ἀποφατικὸν συνάγων.
τοῦτον τὸν συλλογισμὸν ἔφαμεν ἡμεῖς ε̅ εἶναι· τὰ τοῦτον μὲν δύναται διὰ ἀν-
τιστροφῆς· κυριωτέρα γὰρ ἡ οἰκεία ὁτέρα ἡ διὰ ἀντιστροφῆς δείξεις τῆς διὰ ἀδυνά- τη/
του ἐξ αὐτῆς ἑτέρα· ὅτι δὲ ἐνεστι καὶ τῇ διὰ ἀδυνάτου ἀπαγωγῇ καὶ τῷ τρόπῳ τῆς ἐκ-
θέσεως καὶ ἐπὶ τούτου χρήσασθαι, ὡς γνώριμον καὶ προειρημένον παρέλιπεν:·

ὅταν δ' ὁ ἐλάττων ᾖ στερητικός: +

Μεταβαίνει ἐπὶ τὴν συζυγίαν ἐν ᾗ ἡ ἐλάττων πρότασις ἐστὶ καθόλου ἀποφατική,
ἡ δὲ μείζων, ἐπὶ μέρους καταφατική· καὶ δείκνυσιν ἀσυλλόγιστον αὐτὴν τῷ τοὺς ὅρους
παραθέσθαι· τοῦ μὲν γὰρ παντὶ ὑπάρχειν, ὅρους παρατίθεται· ζῷον· ἄνθρωπον· ἄγριον·
τὸ μὲν γὰρ ζῷον ὅ ἐστι τὸ π, τινὶ ἀγρίῳ ὑπάρχει· ὅ ἐστι τῷ σ· ὁ δὲ ἄνθρωπος ὅ ἐστι τὸ ρ,
οὐδενὶ ἀγρίῳ· καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ· τοῦ δὲ μηδενί, ζῷον· ἐπιστήμη· ἄγριον·
πάλιν μὲν γὰρ τὸ μὲν ζῷον τινὶ ἀγρίῳ· ἡ δὲ ἐπιστήμη καθ' ἣν μὲν ἡ ἐπὶ τοῦ ρ· οὐδενὶ ἀγρίῳ·
καὶ ζῷον οὐδεμιᾷ ἐπιστήμῃ· ἀλλ' ἴσως δὲ ἡ ἐλάττων οὖσα ἀποφατική:·

οὐδ' ὅταν ἀμφότεροι στερητικοὶ τεθῶσιν: +

Λαμβάνει ἀμφοτέρας ἀποφατικάς, οὔσης τῆς ἑτέρας καθόλου· καὶ δείκνυσιν
ἀσυλλόγιστον καὶ ἐκ τούτων προτάσεων συζυγίας· πρὸς ὁποτέραν ἂν ᾖ
τὸ καθόλου· ἐὰν μὲν οὖν ᾖ ἡ ἐλάττων καθόλου ἀποφατική, ὅρους παρατί-
θεται τοῦ μὲν παντί, ζῷον· ἄνθρωπον· ἄγριον· ζῷον γὰρ τινὶ ἀγρίῳ οὐχ ὑπάρχει.
ἄνθρωπος οὐδενὶ ἀγρίῳ· ζῷον παντὶ ἀνθρώπῳ· τοῦ δὲ μηδενί, ζῷον· ἐπιστήμη· ἄγριον·
τὸ μὲν γὰρ ζῷον, τινὶ οὐχ ὑπάρχει ἀγρίῳ· ἡ δὲ ἐπιστήμη, οὐδενὶ ἀγρίῳ· καὶ ζῷον,
οὐδεμιᾷ ἐπιστήμῃ:· ὁπότε δὲ ἡ μείζων.

Πειρᾶται ἐλέγξαι ἀσυλλόγιστον καὶ ἐν ᾗ ἡ μὲν μείζων καθόλου ἐστὶν ἀποφατική.
ἡ δὲ ἐλάττων ἐπὶ μέρους ἀποφατική· τοῦ μὲν μηδενὶ ὑπάρχειν τὸ π τῷ ρ,
ὅρους παρατίθεται, κόρακα· χιόνα· λευκόν· ὁ γὰρ κόραξ οὐδενὶ λευκῷ· χιόνι
τινὶ λευκῷ οὐχ ὑπάρχει· κόραξ οὐδεμιᾷ χιόνι· τοῦ δὲ παντὶ ὑπάρχειν τὸ π
τῷ ρ, πάλιν οὔ φησιν ὅρους ληφθῆναι· ὅτι τὸ π τῷ σ τινὶ οὐχ ὑπάρχειν·

ὥστε καὶ τινὶ ὑπάρχειν· ὡς ἔχει ἐφ' ὧν παρέθετο ὅρων· χιόνος καὶ λευκοῦ. τὸ δ' ἔμψυχον, ὅτι γίνεται πάλιν συλλογιστικὴ συζυγία· ἡ ἔχουσα τὴν μὲν μείζονα καθόλου ἀποφατικήν, τὴν δ' ἐλάττονα, ἐπὶ μέρους καταφατικήν, συνάγουσα ἐπὶ μέρους ἀποφατικόν, οὕτω καὶ ἀντικείμενον ἀδύνατον γίνεται· ἂν δὴ τὸ β τῷ γ τινὶ μὴ ὑπάρχειν οὕτως ὥστε καὶ τινὶ ὑπάρχειν, ὑποθώμεθα τὸ α παντὶ τῷ β ὑπάρχειν, ἀδύνατος ἡ μὲν ἡ ὑπόθεσις ἔσται:· ἀναιρεθήσεται γάρ, συλλογιστικῶς δειχθέντος τοῦ ὅτι τὸ α τινὶ τῷ γ οὐχ ὑπάρχει· ἀλλ' ἐπεὶ τὸ ἀδιόριστον τῷ ἐπὶ μέρους ἀληθές, ἂν λαβωμεν τὴν ἐπὶ μέρους ἀποφατικὴν ἀληθῆ τῷ ἀναιτίῳ καθόλου ἀποφατικὴν ἀληθῆ, εὑρήσομεν ὅρων τό τε καὶ τοῦ παντός· καὶ ἀσυλλόγιστον δείξομεν τὴν συζυγίαν. γίνεται γὰρ δύναμει αὕτη ἡ ἐκ δύο καθόλου ἀποφατικῶν· ὅτι δὲ καὶ οἱ ὅροι τοῦ παρῆσαν τοῦ παντὸς τὸ α τῷ β ὅρων· τῆς β σ προτάσεως ἐπὶ μέρους ἀποφατικῆς, οὔσης καθ' αὑτὴν ἀληθοῦς, διὰ τῆς δὲ ἀδύνατον ἀπαγωγῆς ἐδείξαμεν· εἰ γὰρ ἀνάγκη ὑποκείμενον τὸ α τῷ β παντὶ ὑπάρχειν· ἀνάγκη δὲ καὶ τὸ β τινὶ τῷ γ ὑπάρχον, ἔσται τὸ α τινὶ τῷ γ ὑπάρχον συλλογιστικῶς, ὅπερ ἐστὶν ἀδύνατον· ὑπόκειται γὰρ μηδενὶ ὑπάρχειν τὸ α τῷ γ:·

Οὐδ' ὅταν ἑκάτερος τινὶ τῷ μέσῳ ὑπάρχῃ ἢ μὴ ὑπάρχῃ.

Εἰ μὲν οὖν καὶ αἱ δύο ἐπὶ μέρους συζυγίαι, ἀσυλλόγιστοι πᾶσαι· ἄν τε ἀμφότεραι καταφατικαὶ ληφθῶσιν, ἄν τε ἀμφότεραι ἀποφατικαί, ἄν τε ἀνομοιοσχήμονες, ἄν τε καὶ ἀδιόριστοι ἀμφότεραι, ἢ ἡ ἑτέρα· τῆς ἑτέρας κειμένης ἐπὶ μέρους. πάσας δὲ τὰς τοιαύτας συμπλοκάς, ἀσυλλογίστους οὔσας, ἐλέγχει διὰ τῶν αὐτῶν ὅρων παραθέμενος καὶ δείξας ὅτι καὶ μηδενὶ καὶ παντὶ τὸ α τῷ β ὑπάρξει, τοιούτων ληφθεισῶν συζυγιῶν· τὸ μὲν γὰρ παντὶ ὑπάρχειν, ζῷον· ἄνθρωπος· λευκόν· τὸ γὰρ ζῷον καὶ ὁ ἄνθρωπος, καὶ τινὶ λευκῷ ἑκάτερον αὐτῶν ὑπάρχειν· τὸ δ' οὐχ ὑπάρχειν· ἀλλὰ τὸ ἀδιορίστως· καὶ τὸ ζῷον παντὶ αὐτῷ ὑπάρχει. ὅπως ἂν ληφθῶσιν αἱ προτάσεις. τοῦ δὲ μηδενὶ ὑπάρχειν, ζῷον· ἄψυχον· λευκόν· πάλιν γὰρ τὸ ζῷον καὶ τὸ ἄψυχον τε τινὶ λευκῷ ἑκάτερον αὐτῶν ληφθῆναι δύναται, καὶ τινὶ μή, καὶ παραλλάξ. τὸ ἀδιορίστως· καὶ πασῶν τῶν συμπλοκῶν ἀληθῶν οὐσῶν, τὸ ζῷον οὐδενὶ ἀψύχῳ:·

ὅσαι μὲν οὖν εἰσὶν αἱ συλλογιστικαὶ συζυγίαι καὶ φανερὸν οὖν

δῆλον, ἐδείξαμεν τοῦτο τῷ σχήματι· ὡς προϊόντες προϊοῦσι. ἀλλὰ τὸ τίνες ἀσυλλόγιστοι συμπλοκαί, καὶ τοῦ τὸ δεῖξαι:·

αὐτὸς ὁ συλλογισμός, ἂν ἀνάπαλιν τοῖς ὅροις οὕτως ἔχειν: +

Δεῖ καὶ ἐνταῦθα προσυπακούειν ἐν τούτῳ τῷ σχήματι. τὸ μὲν πρῶτον, ὅτι εἴρηκεν ἁπλῶς, ἀληθές· ὅτι ἐχόντων τῶν ὅρων ὡς ἐλέχθη, γίνεται συλλογισμός. τὸ δὲ καὶ αὐτὸς ὁ συλλογισμὸς ἂν ἀνάπαλιν τοῖς ὅροις οὕτως ἔχειν· οὐ καθ᾽ ἁπλῶς ἀληθές· ἀλλ᾽ ἂν ἐν τούτῳ τῷ σχήματι ᾖ· ἐπεὶ τό γε ἐπὶ μέρους καταφατικὸν καὶ τὸ ἐπὶ μέρους ἀποφατικόν, ἔσται συλλογίσασθαι καὶ μὴ οὕτως ληφθέντων τῶν ὅρων· τὸ μὲν γὰρ ἐπὶ μέρους καταφατικόν, καὶ διὰ τοῦ πρώτου σχήματός ἐστι δεῖξαι· ἐν ᾧ ἄλλως ἔχουσιν οἱ ὅροι· τὸ δὲ ἐπὶ μέρους ἀποφατικόν, καὶ ἐν πρώτῳ καὶ ἐν δευτέρῳ. φανερὸν δὲ καὶ ἃ προστίθησι· τό τε, ὅτι τελειοῦνται πάντες καὶ οἱ ἐν τούτῳ τῷ σχήματι συλλογισμοί· ὥσπερ οὖν καὶ οἱ ἐν τῷ δευτέρῳ· καὶ ὅτι οὐδὲν καθόλου συνάγεται ἐν τρίτῳ σχήματι: +

Δῆλον δὲ καὶ ὅτι ἐν ἅπασι τοῖς σχήμασιν ὅταν μὴ γίνηται συλλογισμός:

Ἐκθέμενος πάσας τὰς συζυγίας τὰς ἐν τρισὶ γινομένας σχήμασι, καὶ δείξας καθ᾽ ἕκαστον σχῆμα τάς τε συλλογιστικὰς συμπλοκὰς καὶ τὰς ἀσυλλογίστους, λέγει περὶ τῶν ἀσυλλογίστων καὶ τοιοῦτόν τι ἐν αὐταῖς ὑπάρχειν ἱστορεῖ· ὅσαι μὲν καθ᾽ ἕκαστον σχῆμα ὁμοιοσχήμονες οὖσαι συζυγίαι ἦσαν ἀσυλλόγιστοι, αὗται πρὸς τὸ προκείμενον δεικνύναι, οὐδὲ ἄλλο δεικνύουσιν οὐδὲ συνάγουσιν. ὅσαι δὲ ἀνομοιοσχήμονες οὖσαι ἀσυλλόγιστοι ἐν ἑκάστῳ σχήματι ἔχουσαι τὸ ἀποφατικὸν καθόλου, πρὸς μὲν τὴν τοῦ προκειμένου δεῖξιν εἰσὶν ἀσυλλόγιστοι. ἄλλο μέντοι ἐξ αὐτῶν ἐστι συλλογίσασθαι καὶ δεῖξαι. εἰσὶ δὲ ὁμοιοσχήμονες μὲν ἐν πρώτῳ σχήματι καταφατικαὶ ἀμφότεραι ἐπὶ μέρους· ἀποφατικαὶ καθόλου τε ἐπὶ μέρους· καὶ ἐναλλάξ. ἐν δὲ τῷ δευτέρῳ πᾶσαι καὶ ἀποφατικαὶ πᾶσαι. ἐν δὲ τῷ τρίτῳ, καταφατικαὶ μὲν αἱ ἐπὶ μέρους· ἀποφατικαὶ δὲ πᾶσαι. αἱ μὲν τοιαῦται συμπλοκαὶ τῶν προτάσεων, οὐδενός ἐστιν ὅλως δεικτικαὶ συλλογιστικῶς· ἀνομοιοσχήμονες δὲ καὶ κατὰ τὸ ποιὸν διαφέρουσαι, ἔχουσαι τὸ καθόλου ἀποφατικόν, εἰσὶ δὲ ἀσυλλόγιστοι ἐν μὲν πρώτῳ σχήματι ἡ, τῆς καθόλου καταφατικῆς τῆς μείζονος, καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος. ἐν δὲ τῷ δευτέρῳ, ἡ τὴν μείζονα ἔχουσα ἐπὶ μέρους καταφατικήν· τὴν δὲ ἐλάττονα, καθόλου ἀποφατικήν. ἐν δὲ τῷ τρίτῳ, ἡ τὴν μὲν μείζονα καθόλου ἢ κατὰ μέρος καταφατικὴν ἔχουσα· τὴν δὲ ἐλάττονα καθόλου

ἀποφατικόν· αὕτη γὰρ ἡ συζυγία ὅτι τὸ μὲν προκείμενον οὐ συλλογίζεσθαι ἠλέγ-
χθη· ἀγόμενα δὲ τοῖς ἐξ αὐτῶν ἔστι συλλογίσασθαι· ἀντιστρέφοντας γὰρ ἑκατέρας τὰς
προτάσεις καὶ ἐναλλάσσοντας τοὺς ὅρους ὡς ἐν πρώτῳ σχήματι ἢ τὴν ἑτέραν
μόνην· ὡς ἐν τοῖς ἑξῆς σχήμασιν· ὡς γίνεσθαι τὸν ἐλάττονα τῶν ἄκρων μείζονα
καὶ κατηγορούμενον ἐν τῷ συμπεράσματι· ἀλλ᾽ ἐφ᾽ ὧν γὰρ πρῶτον ἐν πρώτῳ
σχήματι ἀσυλλογίστου οὔσης τῆς συζυγίας ἐχούσης τὸ α παντὶ τῷ β· τὸ β οὐδενὶ
τῷ γ· ἐν γὰρ ταύτῃ τὸ μὲν α πρὸς τὸ γ οὐδεμία συναγωγὴ γίνεται· διὸ καὶ ἀσυ-
λλόγιστος ἡ συζυγία· ἄχρηστος οὖσα πρὸς τὸ προκείμενον· συνάγεται μέντοι
συλλογιστικῶς ἀπὸ τοῦ ἐλάττονος ὅρου πρὸς τὸν μείζονα· ἀντιστραφεισῶν
γὰρ ἀμφοτέρων τῶν προτάσεων, γίνεται τὸ γ τῷ β οὐδενί· τὸ β τῷ α τινί.
ἐπεὶ ἡ καθόλου καταφατικὴ πρὸς τὴν ἐπὶ μέρους ἀντιστρέφει· ἐξ ὧν συνά-
γεται τὸ γ τινὶ τῷ α μὴ ὑπάρχειν· τὸ μὲν μείζονα χώραν, τοῦ γ λαβόντος
ἐν τῷ συμπεράσματι· τὸ δὲ ἐλάττονα, τοῦ α· ἀνάπαλιν ἢ ἐκεῖ· οὐκέ-
τι γὰρ ἀντιστρέφει ἡ ἐπὶ μέρους ἀποφατική· ἵνα ἀντιστρέψαντες τὸ συμπέ-
ρασμα, ἔχωμεν ὃ προεθέμεθα. ἐπειδὴ μὲν ἂν τὸ προκείμενον συνά-
γουσα ἡ συμπλοκή· οὐ καὶ ἀποδείξεως δεῖ· ἀλλὰ μὲν οὖν τῆς συζυγίας ταύτης,
τοῦτ᾽ ἔστι τὸ προκείμενον καὶ οὕτως δείκνυται· ἡ ἑτέρα δὲ ἡ τὴν μὲν μείζονα,
ἐπὶ μέρους ἔχουσα καταφατικήν· τὴν δὲ ἐλάττονα καθόλου ἀποφατικήν,
καὶ διὰ ἀντιστροφῆς ἀμφοτέρων τῶν προτάσεων δείκνυσι καὶ αὐτὴ τὸ γ τινὶ
τῷ α μὴ ὑπάρχειν· ἀνάπαλιν ἢ ὡς οἱ ὅροι κείμενοι ληφθέντων αὐτῶν.
οὗτοι δὲ εἰσὶν οἱ δύο συλλογισμοὶ τελευταῖοι τῶν ε΄. οὓς ὁ Θεόφραστος προσ-
τίθησι τοῖς ἐν πρώτῳ σχήματι κειμένοις τέσσαρσιν, οὐ καθ᾽ ἃ λέγει γίνεσθαι συ-
λλογισμοὺς ἐν πρώτῳ σχήματι, οὗτοι τελευταῖοι· διὸ καὶ οὐδόλως οὐ τοῦτο τὸ
προκείμενον δεικνύουσιν ὡς οἱ πρὸ αὐτῶν δ΄, ἀντιστρεφομένου τοῦ συμπε-
ράσματος· τῶν δὲ καταλειπομένων γ΄ τῶν κατ᾽ ἀντιστροφὴν τῶν συμπε-
ρασμάτων γινομένων· τοῦ τε πρώτου· καὶ τοῦ δευτέρου· καὶ τοῦ γ΄ τοῦ τῶν ἐν
πρώτῳ σχήματι μνημονεύει καὶ αὐτὸς Ἀριστοτέλης ἀρχόμενος τοῦ προτέρου
τῶν δευτέρων Ἀναλυτικῶν· ὡς φθάσαντες εἰρήκαμεν· καὶ νῦν πάλιν
ἐπισημαινούμεθα. οἱ πρὸ τούτων τῶν δ΄, ἔχουσι τὴν τάξιν παρὰ Θεοφρά- 58
στῳ· ἐν τῷ δευτέρῳ σχήματι ἀσυλλογίστου οὔσης συμπλοκῆς ἐξ ἐπὶ μέρους

καταφατικῆς τῆς μείζονος· ἢ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος, ἐπὶ
μὲν τὸ ἀπὸ τοῦ μείζονος ὅρου πρὸς τὸν ἐλάττονα ὅρον δεῖξαι τὸ συναγόμενον.
ἀσυλλόγιστος ἐστίν· ἀπὸ δὲ τοῦ ἐλάττονος πρὸς τὸν μείζονα συνάγει· ἀντιστρα-
φείσης τῆς καθόλου ἀποφατικῆς τῆς ἐλάττονος· ἢ τὴν μείζονα χώραν κατα-
λαβούσης τοῦ ἐλάττονος ὅρου ἵνα γένηται κατὰ ἀντιστροφὴν τῆς τάξεως, ἢ ἀντι-
στραφείσης τῆς ἐλάττονος, ἡ μὲν τέως ἐλάττων οὖσα, μείζων ἢ καθόλου
ἀποφατική· ἡ δὲ τέως μείζων, ἐλάττων τε καὶ ἐπὶ μέρους καταφατική.
οὕτω γὰρ τῆς αὐτῆς τάξεως ἐξ ὧν συνάγεται ὁ τῶν ἀρχῶν ὑποτεθεὶς ἐλάττων,
γίνεται μὲν ὑπάρχειν τῷ τῶν ἀρχῶν ὑποτεθέντι μείζονι. ἀλλ' ἤδη ἐν τῷ β΄ τῷ
σχήματι συζυγίαι εἰσὶν· ἥ τε ἐκ καθόλου καταφατικῆς τῆς μείζονος·
ἢ ἐκ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος· ἢ ἡ ἐξ ἐπὶ μέρους μὲν κατα-
φατικῆς τῆς μείζονος· καθόλου δὲ ἀποφατικῆς τῆς ἐλάττονος· πρὸς
τὸ προκείμενον ἀσυλλόγιστοι οὖσαι, ἀνάπαλιν ἢ αὗται συλλογίζονται
ἐπὶ μέρους ἀποφατικὸν ἀμφότεραι, ἀπὸ τοῦ ἐλάττονος ὅρου πρὸς τὸν
μείζονα· καὶ τῶν ἀντιστροφῶν ἢ αὐταὶ τῆς μείζονος προτάσεως καταφατικῆς.
τοσαῦται μὲν τοσαῦται καὶ αἱ τῶν ἀσυλλογίστων τοῦ προκειμένου συζυγιῶν
συλλογιστικαί τε συμπλοκαὶ πᾶσαι καὶ τὸ προκείμενον σχῆμα ὃ συνάγουσι,
συνάγουσαι. αὗται δὲ ἐπὶ μερικὰς δεῖξας συζυγίας τῶν ἐν τῷ πρώτῳ σχή-
ματι πῶς ἢ συνάγουσιν ἢ γίνεται· ἢ τίνος, τὰς δ' ἄλλας συζυγίας ὁμοίως τῇ ῥη-
θείσῃ γινομένας τινὸς συλλογιστικῆς παραδόσει· μόνον αὐτὸ τοῦτο δηλοῦ
ὅτι ὁμοίως γίνονται καὶ τε καὶ δεικνύονται ἐν παντὶ τῷ σχήματι. τοῦτο δὲ, ἐπεὶ
ἀπό πάσας τὰς ἐν αὐτῷ ἀναποδείκτους ποιοῦσιν:· ἐπεὶ ζητεῖται δὲ καὶ διὰ τί
τὸ ἀδιόριστον ἐπὶ καταφατικοῦ τοῦ ἐν μέρει· ἀλλ' οὐχὶ καὶ τοῦ ἀπο-
λυ φατικοῦ:· ἤ, τοιοῦτο διὰ τοῦ τοιούτου προεῖπεν ἐκεῖνον ἂν λέγοι, ὅτι πλέον τι
ἔχει αὐτοῖς συλλογιστικῆς τὸ ἐπὶ μέρους καταφατικόν, τοῦ ἐπὶ μέρους
ἀποφατικοῦ· ἐν αἷς μὲν γάρ ἐστι συζυγίαις συλλογιστικαῖς οὔσαις ἐπὶ μέρους
προτάσεως καταφατικῆς, δεικτικαῖς τοῦ ἐπὶ μέρους, τὸ προκείμενον
δείκνυται ἢ ἀναποδείκτως ὡς ἐν πρώτῳ σχήματι. ἢ δι' ἀντιστροφῆς προ-
τάσεως ὡς ἐν δευτέρῳ τε καὶ γ΄ τῷ σχήματι. ἐν αἷς δὲ ἐπὶ μέρους ἀποφατικῆς,
αὗται διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· μόνως δείκνυνται τὸ προκείμενον.

ὡς ἔχει ἐπὶ τοῦ ἐν δευτέρῳ σχήματι τετάρτου συλλογισμοῦ· ἐπὶ τοῦ ς^ου τοῦ ἐν τῷ τρίτῳ· ἐν τούτοις γὰρ μόνοις, ἡ ἐπὶ μέρους ἀποφατική, τῶν συλλογισμῶν. ἴσως οὖν διὰ τοῦ τε ταύτης καὶ τῆς ἀποφατικῆς ἐμνημόνευσεν· ὡς ἐχούσης τι πλέον. οὐδὲ γὰρ χρώμεθα ἐν ταῖς εἰς ἀδύνατον ἀπαγωγαῖς πρὸς τὸ κινούμενον τοῦ χρῄζειν συλλογισμοῦ, τῇ ἐπὶ μέρους ἀποφατικῇ· ἀλλὰ πρὸς τὸν ἔλεγχον τοῦ ἀδυνάτου ἄγεται τὸ συμπέρασμα, ἡ ταύτης χρεία:

Δῆλον δὲ καὶ ὅτι ὁ ἀδιόριστος ἀντὶ τοῦ κατηγορικοῦ τοῦ ἐν μέρει τεθέμενος.

Εἴρηται ἡμῖν περὶ τῆς ἀδιορίστου προτάσεως, ὅτι ἴσον τῇ ἐπὶ μέρους δύναται. καὶ γὰρ ἐφαρμόζει ποτὲ καὶ τῇ καθόλου, ἀλλὰ τῷ αὐτῇ μὲν οὐκ ἀεὶ ἔστιν ἴση. οὐ γὰρ εἰ ἡ ἀδιόριστος ἀληθής, πάντως καὶ ἡ καθόλου. ἡ δὲ ἐπὶ μέρους πάντως. ὡς προσὼν καὶ ἀφ' ὧν πάλιν ἡ ἐπὶ μέρους ἀληθής, καὶ ἡ ἀδιόριστος. ὥστε ὡς ἴσον τῇ ἐπὶ μέρους δυναμένη ὅταν ληφθῇ, τὸν αὐτὸν συλλογισμὸν ποιήσει ὃν ἐποίει καὶ ἀντιτεθειμένη:

Φανερὸν δὲ καὶ ὅτι πάντες οἱ ἀτελεῖς συλλογισμοὶ τελειοῦνται διὰ τοῦ πρώτου σχήματος.

Δείξας ἐν τοῖς ἐπάνω, νῦν ἡμᾶς ὑπομιμνήσκει αὐτοῦ, ὅτι γὰρ διὰ ἀντιστροφῆς ἐτελειοῦντο· οἱ μὲν ἐν τῷ δευτέρῳ, τῆς μείζονος ἀντιστρεφομένης προτάσεως· οἱ δὲ ἐν τῷ τρίτῳ, τῆς ἐλάττονος, ἢ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἀλλὰ καὶ οἱ διὰ ἀντιστροφῆς προτάσεως ἢ προτάσεων τελειούμενοι, εἰς τὸ πρῶτον ἀνάγονται σχῆμα. καὶ οἱ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἐπιδεικνύντες συνάγοντες τὸ προκείμενον τοῦ τῇ ὑποτεθείσῃ προτάσει ἀκολουθοῦντος, διὰ τοῦ πρώτου δεικνυμένου σχήματος. δεικτικῶς δὲ ἀποδείκνυσθαι τοὺς διὰ ἀντιστροφῆς, ὅτι προηγουμένως τοῦ κειμένου ἡ δεῖξις αὐτοῖς γίνεται, δι' ἀντιστροφῆς γινομένης. τὸ δὲ, ὅτι οἱ διὰ ἀντιστροφῆς ἀπεραίνοντο πάντες, δεῖ προσυπακούειν τὸ, ὅτι δεικτικῶς· οὐ γὰρ πάντες διὰ ἀντιστροφῆς. οἱ δὲ διὰ ἀδυνάτου ὑποθέσει λαβόντες, ἄλλου τινὸς συλλογισμοῦ τὴν δεῖξιν ποιοῦνται. ἀλλ' οὐ τοῦ προκειμένου προηγουμένως. ἀλλὰ γίνεται τὸ προκείμενον αὐτοῖς δεικνύμενον κατὰ συμβεβηκός. ὅτι δὲ διὰ τοῦ πρώτου σχήματος ἐστὶν ἡ εἰς ἀδύνατον ἀπαγωγὴ γίνεται· ἐπί τε τῶν ἐν δευτέρῳ σχήματι συλλογισμῶν καὶ ἐπὶ τῶν ἐν τρίτῳ, ἔδειξεν ἐπὶ μιᾶς συζυγίας τῶν ἐν τρίτῳ σχήματι. τῆς δεικνυμένης καὶ διὰ ἀντιστροφῆς· ἔστω δ' αὖ τῷ ἢ κατὰ τὸ καθόλου καταφατικῶν

ἐπὶ μέρους καταφατικὸν συνάγοντα· ἢ δεικνυμένου συλλογιστικῶς ὡς ἐπὶ τοῦ, ἢ διὰ ἀντιστροφῆς· οἷον εἰ δὲ ἀναγκαῖον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· κειμένου γὰρ τοῦ α· καὶ τοῦ β παντὶ τῷ γ· τὸ α τινὶ τῷ β. ἀντικειμένου, ὑποκείσθω τὸ ἀντικείμενον· ἔστω δὴ τὸ α οὐδενὶ τῷ β· κεῖται δὲ καὶ τὸ β παντὶ τῷ γ· γίνεται συζυγία ἐν πρώτῳ σχήματι ἐκ τῆς β καθόλου ἀποφατικὸν συνάγουσα· τὸ α μηδενὶ τῷ γ. ὅ ἐστιν ἀδύνατον· ἔκειτο γὰρ τὸ α παντὶ τῷ γ· ἀναιρεῖται μὲν ἡ ὑπόθεσις ἢ τοῦ τε ἀκολουθοῦσα· ἢ ψευδὲς τὸ α μηδενὶ τῷ β. καὶ ἀντικείμενον ζητεῖ δὲ τὸ τινὶ ἄρα. ὥσπερ δὲ ἐπὶ τοῦ προκειμένου ἡ εἰς ἀδύνατον ἀπαγωγὴ διὰ τοῦ πρώτου γέγονε σχήματος, οὕτως καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων γίνεται τῶν τε ἐν τῷ δευτέρῳ καὶ τῶν ἐν τρίτῳ. ὅτι δὲ ἡ διὰ ἐκθέσεως δεῖξις οὐκ ἀποδεικτικὴ καὶ οὐ συλλογιστική, δῆλον καὶ ἐκ τοῦ γνωσθῆναι τοῦ μὴ εἶναι μνημονεῦσαι αὐτῆς ὡς διὰ συλλογισμοῦ γενομένης::

ἔστι δὲ καὶ ἀναγαγεῖν πάντας τοὺς συλλογισμούς, εἰς τοὺς ἐν τῷ α σχήματι καθόλου συλλογισμούς:

Πρῶτον μὲν ἔδειξεν ἅπαντας τοὺς ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι ἀναγομένους εἰς τὸ πρῶτον σχῆμα· καὶ διὰ τοῦτο τελειουμένους. τέλειοι γὰρ οὗτοι καὶ ἀναπόδεικτοι οὗτοι. νῦν δὲ ἐπεὶ καὶ τῶν ἐν πρώτῳ σχήματι τελειότεροι οἱ δύο οἱ πρῶτοι, ὄντες καὶ αὐτοὶ δύο ὁ καθόλου προτάσεων, δείκνυσι πάντας τοὺς συλλογισμοὺς εἰς τούτους δυναμένους ἀνάγεσθαι. ἅμα μὲν γυμνάσιον τι ἡμῖν ὑποτιθέμενος· ἅμα δὲ δεικνὺς ὅτι καὶ ἔστι τὴν πίστιν τοῦ ἀναγαγεῖν τοὺς ἄλλους συλλογισμοὺς ποιεῖσθαι ἀπὸ τῶν μάλιστα τε καὶ ὁμολογουμένων συζυγιῶν. εἰσὶ δὲ δύο μὲν ὑπολειπόμενοι τῶν ἐν πρώτῳ σχήματι· οἱ τὴν ἐλάττονα ἐπὶ μέρους καταφατικὴν ἔχοντες, τέσσαρες δὲ οἱ ἐν δευτέρῳ σχήματι. ἓξ οἱ ἐν τρίτῳ. τούτους δὴ δείκνυσιν ὅτι πάντας ἀνάγει εἰς τοὺς πρώτους τοὺς ἐν πρώτῳ σχήματι δύο. οἱ μὲν οὖν δύο πρῶτοι τῶν ἐν δευτέρῳ σχήματι, φανερὰν τὴν ἀναγωγὴν ἔχουσιν. ἐδείχθησαν γὰρ ἀντιστρεφομένης ἐν αὐτοῖς τῆς καθόλου ἀποφατικῆς τῆς μείζονος, ἢ καθόλου καταφατικῆς τῆς ἐλάττονος. οἱ δὲ δύο οἱ τὸ ἐπὶ μέρους ἀποφατικὸν συνάγοντες, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἀνάγονται εἰς ἐκείνους. ὁ μὲν ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος, ἐπὶ μέρους ἀποφατικὸν συνάγων. ὑποτεθέντων ἡμῶν τὸ ἀντικείμενον τοῦ συμπε-

μέρους. οὕτως καὶ ἐπὶ μερικῆς ἀποφάσεως. ἔστι τὸ καθόλου καταφατικὸν καὶ ἡ πρὸς
λαμβανόντων τὴν μείζονα, οὐ συνάγει καθόλου ἀποφατικόν. οὕτως γὰρ ἦν ἐν τῷ
πρώτῳ σχήματι, ἡ μὲν μείζων καθόλου ἀποφατική· ἡ δὲ ἐλάττων καθόλου
καταφατική· ἐν τούτῳ θέματι· ἡ τὸ συμπέρασμα καθόλου ἀποφατικόν,
ὃ ἐστιν ἀδύνατον· ὅτι γὰρ μείζων συνήχθη μηδενὶ τῷ ἐσχάτῳ· τινὶ αὐτῶν ὑπάρχων·
εἰ μὲν βί... τῶν ἐν δευτέρῳ σχήματι, οὕτως ἂν ἤχθη εἰς τὸν δεύτερον τὸν ἐν πρώτῳ.
ὁ δὲ τρίτος ὁ ἔχων τὴν μείζονα καθόλου καταφατικήν, τὴν δὲ ἐλάττονα ἐπὶ
μέρους ἀποφατικήν, εἰς τὸ πρῶτον ἀνάγεται τὸν ἐν τῷ α. τὸν ἐκ δύο καθόλου
καταφατικῶν ὡς ἐδείχθη· εἰ γὰρ μὴ ἀληθὲς τὸ τινὶ μὴ ὑπάρχειν τὸ μείζον
τῷ ἐλάττονι, παντὶ κείσθω. καὶ τὸ μέσον ὁμοίως παντὶ τῷ μείζονι. διὸ δὴ καθόλου
καταφατικὴ ἐν πρώτῳ σχήματι ἡ συναχθήσεται ἐξ αὐτῶν τὸ τοῦ μέσου,
παντὶ τῷ ἐλάττονι. ἀλλ' ἦν καὶ τινὶ αὐτῷ μὴ ὑπάρχειν. δείξας δὲ τοὺς
ἐν τῷ δευτέρῳ πάντας, ὡς τοὺς δύο τοὺς ἐν α σχήματι τοὺς ἐκ δύο καθόλου
προτάσεων ἀναγομένους, μετὰ ταῦτα λέγει περὶ τῶν δύο τῶν ἐν τῷ πρώτῳ
σχήματι τῶν ἐχόντων τὴν ἐλάττονα ἐπὶ μέρους καταφατικήν· τὴν δὲ μείζονα
καθόλου· ποτὲ μὲν καταφατικήν· ποτὲ δὲ ἀποφατικήν. φησὶ δὲ τούτους
πρὸς μὲν τὸ δεικνύναι τὸ ἀναγκαῖον αὐτοῖς ἀρκεῖν μηδενὸς προσδεῖσθαι
ὄντας τελείους. δύνασθαι μέντοι αὐτοὺς ἀνάγεσθαι εἰς τοὺς ἐκ δύο καθόλου
ἐν α, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἀναχθέντας πρῶτον εἰς τοὺς ἐν τῷ
δευτέρῳ διὸ πρώτους. ὡς τὸν μὲν τρίτον ἐπὶ μέρους καταφατικὸν συνάγοντα,
ἀνάγεσθαι εἰς τὸν δεύτερον τὸν ἐν δευτέρῳ τὸν ἐκ καθόλου καταφατικῆς τῆς
μείζονος· ἢ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος. κείσθω γὰρ τὸ α παντὶ
τῷ β. τὸ β τινὶ τῷ γ. τὸ συμπέρασμα τὸ α τινὶ τῷ γ. εἰ γὰρ μὴ τοῦτο, τὸ ἀντι-
κείμενον τὸ α οὐδενὶ τῷ γ. ὑπόκειται δὲ καὶ τὸ α τῷ β παντί. αὕτη δὲ ἡ συζυ-
γία τοῦ β ἐν τῷ β σχήματι συλλογισμοῦ. ὃς κατὰ τὴν ἀντιστροφὴν τῆς ἀποφάσεως
προτάσεως, ἀνήγετο εἰς τὸν δεύτερον τῶν ἐν πρώτῳ. τὸ τούτου τὸ συμπέρασμα
ἀντιστρέφεται· ἀδύνατον ὁ μὲν γ ἐν α, εἰς τὸν β τῶν ἐν τῷ δευτέρῳ ἀνήχθη. ὁ δὲ β
τοῦ β, εἰς τὸν β τοῦ α; ἤγουν τοῦ α, εἰς τὸν β, ἀνήγετο τοῦ α. τὸν δὲ δεύτερον
τὸν ἔχοντα καθόλου μερικὸν ἀποφατικὸν τὸ συμπέρασμα, ἀνάγεσθαι διὰ τῆς εἰς
ἀδύνατον ἀπαγωγῆς, εἰς τὸν α τῶν ἐν τῷ β. τὸν ἔχοντα τὴν μείζονα,

καθόλου ἀποφατικῶν· ἐπεὶ γὰρ μὴ ἀληθὲς τὸ α τινὶ τῷ γ μὴ ὑπάρχειν· παντὶ
ὑπάρξει· καὶ τοῦτο διὰ τὸ β μηδενί· αὕτη δέ ἐστιν ἡ συζυγία τοῦ α' τῶν ἐν δευτέρῳ
σχήματι συλλογισμῶν· οὓς καὶ αὐτοὺς διὰ ἀντιστροφῆς τῆς καθόλου ἀποφατικῆς,
ἀνάγει εἰς τὸν ἐν πρώτῳ καὶ δεύτερον· καὶ ὅτι δὴ ἄρα οἱ α' ἀναχθήσονται εἰς
τὸν ἐν τῷ α' β'· ἀναγαγόντες τοὺς ἐν τῷ πρώτῳ σχήματι, τοὺς ἐπὶ μέρους συνάγοντας
δύο εἰς τοὺς δύο τοὺς καθόλου συνάγοντας· διὰ τοὺς ἐν τῷ β'· δύο πρώτους
ἀναγαγεῖν αὐτούς· οἱ ἂν ἦ τοῦτο εἰς ἐκείνους, ἑξῆς παρὰ τοὺς καὶ τοὺς ἐν τῷ τρίτῳ
σχήματι ἕξ, ἀναγαγεῖν εἰς τοὺς αὐτοὺς δύο, καὶ λέγει:
οἱ δ' ἐν τῷ γ' καθόλου μὲν ὄντων τῶν ὅρων, εὐθὺς ἐπιτελοῦνται δι' ἐκείνων·
Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ἐν τῷ τρίτῳ σχήματι οἱ δύο συλλογισμοὶ οἱ πρῶτοι,
οἱ διὰ καθόλου προτάσεων ὄντες· ὁ μὲν διὰ καθόλου καταφατικῶν.
ὁ δὲ τῆς μείζονος καθόλου ἀποφατικῆς· τούτους δὴ λέγει εὐθὺς δύνασθαι εἰς
ἐκείνους τε ἀναλύεσθαι καὶ δι' ἐκείνων ἀποτελεῖσθαι· τοῦτο δὲ, ἐπεὶ διὰ τῆς
εἰς ἀδύνατον ἀπαγωγῆς ἑκάτεροι αὐτῶν εἰς ἐκείνους καὶ [illegible] ἀνάγονται.
ὁ μὲν ἐκ δύο καθόλου καταφατικῶν, εἰς τὸν δεύτερον· ὁ δὲ ἐκ τῆς μείζονος
καθόλου ἀποφατικῆς· τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς, εἰς τὸν
πρῶτον· τὸ γὰρ ἀντικείμενον τοῦ συναγομένου ἢ ἐπὶ μέρους ὂν τοῖς καταφατικοῖς
ἢ ἐπὶ μέρους ἀποφατικοῦ, ὑποθέμενοι ἢ καθόλου ἀποφατικόν,
ἢ καθόλου καταφατικόν, ἔχομεν καὶ τῶν προσλαμβανομένων προτάσεων
καθόλου τε καὶ καταφατικῶν· ἦσαν γὰρ ἀμφότεραι καθόλου· καὶ γίνεται ὁ συλ-
λογισμὸς ἐν πρώτῳ σχήματι, ἐκ δύο καθόλου προτάσεων· ἀλλ' ἢ καταφατικῆς,
καθόλου ἡ συναγωγή· οὐ γὰρ δὴ διὰ ἀντιστροφῆς λέγοι ἄν· ἡ γὰρ ἀντιστροφή,
τῶν ἑτέρων ἐπὶ μέρους ποιεῖ· ἀλλ' οὐδὲ τὸ ἀμφοτέρας ἔχειν καθόλου τὰς
προτάσεις, αὐτάρκης πρὸς τὸ εἰς ἐκείνους ἀναγαγεῖν· δεῖ γὰρ διὰ ἀντιστροφῆς·
ταύτης δὲ γινομένης, οὐκ ἔτι μένουσιν καθόλου· ἐπὶ γοῦν τῶν ἐν δευτέρῳ σχή-
ματι ἐκ δύο καθόλου τῇ ἀντιστροφῇ χρησάμενος, διὰ τοῦτο τὴν ἀναγωγὴν
ἔδειξεν αὐτῶν τὴν εἰς ἐκείνους γινομένην· οὐκέτι δὲ δυνατόν οἱ λοιποὶ
δ'· οἵ τε δύο οἱ ἐκ τῆς μείζονος καθόλου ἢ καταφατικῆς ἢ ἀποφατικῆς
καὶ τῆς ἐλάττονος ἐπὶ μέρους καταφατικῆς· καὶ ὁ ἐξ ἐπὶ μέρους καταφατικῆς
τῆς μείζονος· καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος· διὰ τῆς εἰς ἀδύνατον

ἀπαγωγῆς, καὶ δύο καθόλου γίνεσθαι· ἡ μὲν γὰρ ὑποτεθειμένη ἐν αὐτοῖς καθόλου
πάντως ἐστίν· ἐπεὶ αὐτὴ καὶ μόνη λαμβάνεται τὴν τοῦ συμπεράσματος μάχην, ἐπὶ μέρους
οὔσης· ἡ δὲ προσλαμβανομένη ἐπὶ μέρους ἢ τοῦτο ἐπὶ δύο μόνων γίνεσθαι —
οἷς ἐστιν ἢ ἐλαχίστων ἐπὶ μέρους καταφατική· αὕτη γάρ ἐστιν ἡ τῷ ὑποτε-
θέντι καθόλου ὄντι προσλαμβανομένη, ἥτις προσληφθεῖσα ποιεῖ μέν
τὸ πρῶτον σχῆμα· ἀλλ᾽ οὐ τῶν δύο καθόλου τινά· ἀλλὰ τῶν τὴν ἑτέραν ἐπὶ
μέρους ἐχόντων· ὥστε ἐπειδὰν ἑκάστους ἀνάγονται καὶ διὰ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς· δύο δὲ καὶ διὰ τῆς ἀντιστροφῆς. ἀκόλουθος ἐπὶ τούτων τῇ δι᾽ ἀντιστροφῆς
δείξει χρήσασθαι· εἰ ἔστι μὲν τοίνυν τοὺς διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· καὶ αὐτὸν
δὲ τοὺς ἐν τῷ δευτέρῳ σχήματι καὶ δύο καθόλου προτάσεων· οἱ δι᾽ ἀντιστροφῆς
τῆς ἀποφατικῆς προτάσεως· εἰς τὸν β^ον ἀνάγονται τὸν ἐν α^ῳ. κείμενον γὰρ
τοῦ α μὲν παντὶ τῷ γ· τοῦ δὲ β μηδενὶ τῷ γ· λέγω ὅτι τὸ α τινὶ τῷ β ὑπάρξει,
οὐδενὶ τὸ α τῷ β· καὶ τοῦ δὲ γ τὸ γ παντί· ὁμοία ἡ δεῖξις· καὶ ἡ καθόλου
ἀποφατικὴ ἡ αγ ἢ ἐξ ἀρχῆς ἀναιρεῖ διὰ τοῦ β^ου σχήματος ἀπαγωγῆς·
εἰς τοὺς ἐν τῷ α^ῳ σχήματι πρώτους, τῆς δι᾽ ἀντιστροφῆς ἀνάγονται αὐτοὺς εἰς
τοὺς ἐν τῷ πρώτῳ δύο τοὺς ἔχοντας τὴν ἐλάττονα πρότασιν ἐν μέρει· τούτους
πάλιν α^ου διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· εἰς τοὺς ἐν τῷ β^ῳ τοὺς ἐκ καθόλου
τῶν προτάσεων ἀμφοτέρων ἀνάγεσθαι· ἐπειδὴ τούτους εἰς τοὺς ἐν τῷ πρώτῳ
πρώτους διὰ τῆς ἀντιστροφῆς ἀνάγεσθαι· ἢ ἐν ἐπιπλέον ἂν τοῦ μὲν ἔχοντος
καθόλου καταφατικοῦ τὴν μείζονα ὑποθώμεθα· μὴ τὸ ἀντικείμενον τῷ συμπε-
ράσματι· ἀλλὰ τὸ ἀντιστρέφον αὐτῷ. κειμένου γὰρ τοῦ μὲν α παντὶ τῷ γ· τοῦ δὲ
β τινὶ τῷ γ, συνάγεται μὲν τὸ α τινὶ τῷ β· ἀντὶ γὰρ μή, τὸ ἀντικείμενον αὐτῷ.
τοῦτο δέ ἐστι, τὸ μηδενὶ τῷ β τὸ α· ὁ ἐπεὶ ἀντιστρέφει· ἀνάγκη τὸ β τῷ α μηδενί·
ἐὰν τὸ δὲ ἦν τὸ α παντὶ τῷ γ· ἄξων συνάγεται τὸ β τῷ γ μηδενί· ὃ ἀδύνατον.
ὑπέκειτο ἡ αγ καθόλου ἀποφατική, τὸ μὲν συναγόμενον· τὸ α τινὶ τῷ β οὐχ ὑπάρ-
χει. εἰ γὰρ μὴ τοῦτο, ἔστω τὸ ἀντικείμενον αὐτῷ· τὸ, παντὶ τῷ β τὸ α ὑπάρχειν.
ὃ δὲ προσληφθεῖσα ἀντιστραφῇ δέ, ἢ ἡ αγ καθόλου ἀποφατικὴ ὡς ἐλήφθη ἔσται
τὸ γ μηδενὶ τῷ α· γίνεται πάλιν ὁ δεύτερος τῶν ἐν τῷ πρώτῳ σχήματι.
ἢ, εἰ δεικτέον εἰς ἀδύνατον ἀπάγοντες, τὸ ἀντικείμενον τοῦ δεικνυμένου ὑποτί-
θεσθαι· καὶ προσλαμβάνειν τὸ ἕτερον τῶν κειμένων, ὁ μὲν πρῶτος ἀδύνατον

οὐδ' ἐξ αὐτῆς κειμένοις ἑπόμενον· ὅτι μὴ τὸ ἀντικείμενον τῷ δεικνυμένῳ· ἀλλὰ τὸ
ἀντιστρέφον τῷ ἀντικειμένῳ ὑποτίθεται· ὁ δὲ δεύτερος ὅτι μὴ τῶν κειμένων τι
προσείληφεν· ἀλλὰ τὸ ἀντιστρέφον τῷ κειμένῳ. ὁ μὲν γὰρ ἔχων τὴν μείζονα
ἐπὶ μέρους καταφατικήν· τὴν δὲ ἐλάττονα καθόλου καταφατικήν· διὰ μὲν
τῆς ἀντιστροφῆς ἀνάγεται εἰς τὸν τρίτον τῶν ἐν τῷ πρώτῳ σχήματι· οὐ κατὰ τὸ
δύο καθόλου· διὰ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἀνάγεται εἰς τὸν β^ον^ τῶν ἐν τῷ πρώτῳ
σχήματι· τὸν ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος· καὶ καθόλου καταφατικῆς
τῆς ἐλάττονος· ἐξ οὗ ἀνάγεται καὶ ὁ πρῶτος ἐκ δύο καθόλου καταφατικῶν.
ὥστε καὶ οὗτος, ὁμοίως τοῖς πρώτοις δύο τοῖς ἐκ καθόλου τῶν προτάσεων, δεί-
κνυται διὰ τοῦ καθόλου τῶν ἐν τῷ πρώτῳ σχήματι· ἐπειδὴ καὶ ἐκεῖνοι διὰ
ἀντιστροφῆς· εἰς τὸν τρίτον καὶ τέταρτον ἀνάγονται, ὡς καὶ οὗτος εἰς τὸν τρίτον. τοῦ τοιούτου παρ-
ωράθη ἐν τοῖς εἰρημένοις ἢ ἐν τοῖς μέλλουσι, ὁ ἐκ τῆς ἐπὶ μέρους ἀποφατικῆς
τὴν μείζονα ἐχούσης· καθόλου δὲ καταφατικὴν τὴν ἐλάττονα· οὗτος
γὰρ οὐδ' ὅλως εἰς τοὺς ἐπὶ μέρους ἐν πρώτῳ σχήματι ἀνάγεται· οὐδὲ γὰρ
διὰ ἀντιστροφῆς δείκνυται τὴν ἀρχὴν ὥσπερ ἐν τῷ τρίτῳ αὐτοῦ λόγῳ, ἀλλὰ μόνον
διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· διὸ καὶ εἰς τὸν πρῶτον ἀνάγεται τοῦ πρώτου
σχήματος· οἱ μὲν οὖν ἐκ δύο καθόλου προτάσεων, διὰ τοῦτο αὐτὸ φησὶν εἰς ἐκεί-
νους ἀνάγονται καὶ τοῦτον. οἱ δὲ ἄλλοι, φησὶν, οἱ ἐπὶ μέρους ἔχοντες τὴν προ-
τασιν· ἀνάγονται μὲν διὰ ἀντιστροφῶν εἰς τοὺς ἐν τῷ πρώτῳ δύο ὕστερα· ἐκεῖ-
νοι δὲ εἰς τοὺς δύο πρώτους ἐδείχθησαν ἀναγόμενοι, διὰ τῶν δύο τῶν ἐν δευτέρῳ
σχήματι πρώτων. ὥστε καὶ οἱ ἐν τῷ τρίτῳ. διὰ τῶν αὐτῶν τούτων ἀναχθήσονται
εἰς ἐκείνους. οἱ μὲν γὰρ ἐν τῷ τρίτῳ, διὰ ἀντιστροφῆς εἰς τοὺς ἐν τῷ πρώτῳ ἐπὶ
μέρους εἰς τοὺς ἐν τῷ δευτέρῳ δύο πρώτους, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.
οἱ δὲ ἐν τῷ δευτέρῳ δύο πρῶτοι, εἰς τὸν β^ον^ τοῦ α^ου^ διὰ ἀντιστροφῶν· ὥστε καὶ οἱ
ἐν τῷ τρίτῳ τὴν ἑτέραν ἐπὶ μέρους ἔχοντες, εἰς τοῦτον ἀναχθήσονται.
μή ποτε δὲ ὡς εἰρήκαμεν, οὐχ οἱ γ^οι^, ἀλλ' οἱ β^οι^· οἱ διὰ ἀντιστροφῆς δεικνύμενοι·
ὁ δὲ ἔχων τὴν μείζονα ἐπὶ μέρους ἀποφατικήν· τὴν δὲ ἐλάττονα καθό-
λου καταφατικήν, οὔτε διὰ ἀντιστροφῆς ἐδείχθη, οὔτε ἀνάγεται εἰς ἕνα τῶν
ἐπὶ μέρους ἐν πρώτῳ· ἀλλ' αὐτὸ μόνον αὐτὸς διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς
ἀνάγεται εἰς τὸν πρῶτον τῶν ἐν τῷ πρώτῳ ὡς ἐδείχθη· ἀλλὰ καὶ τῶν β^ων^

ὅτι ἐν ἐλάττονι καθόλου καὶ καταφατικὴν ἔχων τὴν μείζονα ἐπὶ μέρους καταφατικήν.
ὡς διὰ μὲν ἀντιστροφῶν εἰς τὸ τρίτον ἀνάγεται τῶν ἐν πρώτῳ· διὰ δὲ τῆς εἰς ἀδύ-
νατον ἀπαγωγῆς, αὐτὸ μὲν καὶ αὐτὸς εἰς τὸ δεύτερον· ἐπεὶ γὰρ διὸ κυριωτέρα ἡ διὰ τῆς ἀν-
τιστροφῆς δεῖξις, ταύτῃ δεῖ χρῆσθαι ἐπὶ τούτων· καὶ ἐπὶ τῶν διὰ καθόλου προτάσεων
τὴν αὐτὸ ποιητέον· οὕτως δὲ καὶ οὗτοι συνάγονται διὰ ἐπιπλεῖον τὰ διὰ τῶν δύο
τῶν πρώτων ἐν πρώτῳ σχήματι· ἀλλὰ ἀνάγονται καὶ αὐτοὶ εἰς τοὺς ἐπὶ μέρους
ὁμοίως, εἰς τὸ τρίτον· ὁ δὲ εἰς τὸ δεύτερον· μήποτε οὖν δεῖ προσυπακούειν τῷ ὅτι καὶ οἱ ἐπὶ
μέρους ληφθέντες· τὸ ὅτι αὐτῶν μὴ αὐτὸ δὲ δύνανται ἐπιτελεῖσθαι διὰ κοινῶν τῶν
συλλογισμῶν· τὸ ἀνάγεσθαι τούτους εἰς τοὺς ἐν μέρει τῶν ἐν τῷ πρώτῳ σχήματι.
ἄντικρυς γὰρ τοῦτο οὐδέ· καὶ προστεθέν τι τούτου, οὐ δεῖ ἐπιζητεῖσθαι:

*καὶ ἀναχθήσονται μὲν οἱ ἐκ τοῦ αὐτοῦ σχήματος ἐν τῷ αὐτῷ σχήματι, πῶς*

Τοῦτο ἀποδεικνύουσι τοῦ, φανερὸν οὖν ἄρτι· *ὡς ἕκαστος ἀνάγεται·*
φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι καὶ ἐπάλλαξιν ἀναχθήσονται εἰς τοὺς ἐν τῷ πρώτῳ
σχήματι πρώτους· καὶ ὅπως ἕκαστος ἐν τῷ ἰδίῳ σχήματι ὁ συλλογισμὸς ἔχει·
ἐν διαλέξει συλλογιστικῇ· αὐτῶν ἕκαστος· τοῦτο γὰρ δεῖ δεῖξαι: *καὶ πρὸς ἀλλήλους*

Καὶ τοῦτο ἐκ τῶν ἀποδεικνυμένου τοῦ, φανερὸν οὖν ἄρτι· *λέγεσθαι ἐκ τῶν ἑτέρων·*
ἐκ γὰρ τούτου φανερὸν ἐκ τῶν εἰρημένων ὡς ἐστὶ τῶν σχημάτων διαφορά· καὶ τῶν συλ-
λογισμῶν τῶν ἐν τοῖς διαφόροις σχήμασι, πρὸς ἀλλήλους· ὅτι παρ' αὐτῶν τοῦ
μέσου ποιὰν θέσιν· καὶ παρὰ τὸ διαφόρως ἀνάγεσθαι εἰς τοὺς ἐν πρώτῳ σχήματι
δύο πρώτους· οἱ μὲν γὰρ αὐτοῦ ἀναγκαίου ἀνάγονται· οἱ δέ, διὰ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς· ὡς ἐν τῷ πρώτῳ οἱ δύο ἐπὶ μέρους ἔχοντες· καὶ οἱ ἐν τῷ τρίτῳ β' δύο
ἐκ πάλιν τούτων οἱ μέν, τοῖς ἐν τῷ δευτέρῳ πρώτοις ἀνάγεσθαι· ὡς οἱ δύο
οἱ ἐν τῷ πρώτῳ· οἱ δέ, τοῖς ἐν τοῖς τοῖς ἐν τῷ πρώτῳ δύο ἐπὶ μέρους ἀ-
γνώτας· ὡς οἱ ἐν τῷ τρίτῳ β' οἱ διὰ ἀντιστροφῆς εἰς τούτους ἀναγόμενοι· οἱ γὰρ
διαφορὰ τῆς ἀναγωγῆς αὐτῶν, τὴν τῶν συλλογισμῶν δηλοῖ διαφοράν:

*ἢ τῷ ἀνάγεσθαι εἰς τὸ πρῶτον: +*

Εἰπὼν ἐν τῷ μέσῳ προσέθηκεν, ἢ τῷ ἀνάγεσθαι εἰς τὸ πρῶτον· ἔστι γὰρ καὶ κατὰ
τοῦτο αὐτοῖς ἡ διαφορά· διάφορος γὰρ ἡ ἀναγωγὴ αὐτῶν· ἄλλως μὲν γὰρ οἱ ἐπὶ
μέρους ἐν τῷ πρώτῳ σχήματι· διὰ γὰρ τῶν ἐν τῷ δευτέρῳ· καὶ ἄλλως οἱ ἐν τῷ δευτέρῳ
ἐκ αὐτῶν τούτων, ἄλλοι ἄλλως· οἱ μὲν γὰρ διὰ ἀντιστροφῆς, οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς.

ὁ μὲν δὴ ἐν τῷ τρίτῳ· καὶ γὰρ τούτων οἱ μέν, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οἱ δέ,
διὰ τῆς ἀντιστροφῆς· πρὸς τοὺς τελείους ἐπαναφέρονται τοὺς ἐν πρώτῳ:

οἱ μὲν οὖν τῶν συλλογισμῶν ὑπαρχόντων ἢ μὴ ὑπαρχόντων.

Τρίτης οὔσης ἐν ταῖς προτάσεσι κατὰ τοὺς τρόπους διαφορᾶς, αἱ μὲν γὰρ ὑπάρ-
χουσαι εἰσὶν αὐτῶν· αἱ δέ, ἀναγκαῖαι· αἱ δέ, ἐνδεχόμεναι· περὶ μὲν τῶν
ἐξ ὑπαρχουσῶν προτάσεων γινομένων συζυγιῶν καὶ τῶν ἐκ τούτων καὶ ταύταις
συλλογισμῶν καθ' ἕκαστον σχῆμα εἰρηκώς, ὑπάρχειν μὲν ἢ μὴ ἁπλῶς, μέλλων νῦν
περὶ τῶν ἐξ ἀναγκαίων πάλιν προτάσεων συντιθεμένων συζυγιῶν μεταβαίνειν.
τε περὶ ἐκείνων ποιεῖσθαι τὸν λόγον, ὅτι οἱ περὶ τῶν ἐξ ὑπαρχουσῶν προτάσεων
αὐτῷ πεπληρωμένοι λόγοι. τὸ δέ, καθ' αὑτούς, οἱ ἐν τοῖς αὐτοῖς σχήμασι καὶ πρὸς
ἀλλήλους οἱ ἐν τῷ ἑτέρων, εἴρηται περὶ τῶν διαφορῶν αὐτῶν· φανερὰ γὰρ
ἡ διαφορὰ τῶν καθ' ἕκαστον σχῆμα συλλογισμῶν πρὸς ἀλλήλους· ὁ μὲν γὰρ
καὶ τὸ καθόλου καταφατικὸν ἔχει ἐστὶν ἐν πρώτῳ σχήματι· ὁ δέ, καὶ καθόλου
ἀποφατικὸν τῆς μείζονος· καὶ ἄλλος ἄλλως καθ' ἕκαστον σχῆμα. ἀλλὰ καὶ ἡ πρὸς
τοὺς ἐν διαφόροις σχήμασι τῶν συλλογισμῶν πρὸς ἀλλήλους διαφορά,
γνώριμος· οὐ γὰρ ὁμοία ἡ τούτων θέσις ἐν ἅπασι:

περὶ τῶν ἐξ ἀναγκαίων προτάσεων γινομένων συλλογισμῶν.
ἐξῆς δὲ καὶ περὶ τῆς τοῦ ὑπάρχειν καὶ τοῦ ἀναγκαίου ἐν τοῖς σχήμασι μίξεως:
ἀλεξάνδρου ἀφροδισιέως.

Mistio Necessarÿ & existentis in p. fa.

Ἐπεὶ δὲ ἕτερόν ἐστιν ὑπάρχειν τε καὶ ἐξ ἀνάγκης ὑπάρχειν, καὶ ἐνδέχεσθαι ὑπάρχειν

Τὸ αὐτὸ λέγω καὶ ἑξῆς τὸν περὶ τῶν ἀναγκαίων συλλογισμῶν ποιεῖσθαι λόγον· οἱ γινόμενοι
ἐξ ἀναγκαίων προτάσεων· καὶ ἐπὶ τούτοις τὸν περὶ τῶν ἐνδεχομένων· διότι γάρ,
ἕτερόν ἐστι τό τε ὑπάρχειν· καὶ τὸ ἐξ ἀνάγκης ὑπάρχειν· καὶ τὸ ἐνδέχεσθαι
ὑπάρχειν· ἑτέρων γὰρ ὄντων τούτων, δῆλον ὡς ἕξουσι καὶ αἱ προτάσεις ἀλλήλων
διοίσουσι κατὰ τὰς διαφορὰς ταύτας· καὶ οἱ συλλογισμοί· ὡς τὰ διαφέροντα
ἀναγκαῖον τὸν λέγοντα περὶ συλλογισμῶν· καὶ τῆς συστάσεως καὶ γενέσεως αὐτῶν,
λέγειν καὶ περὶ τούτων ἁπάντων· οὕτως γὰρ ἔσται περὶ τῆς πάντων τῶν κατηγορικῶν συλλογισμῶν

συνάγεσθαι ὡς τάχα καὶ ἀναγκαίως εἰρηκώς, ἐν πᾶσι τοῖς ὑπάρξεσι τοὺς τρόπους καὶ διὰ τοὺς αὐτῶν τοιούτων συλλογισμῶν διαφοράς. σαφὲς δὲ ταῦτα δὲ τὴν διαφορὰν ἡμῖν ἐδήλωσε τῆς ὑπαρχούσης προτάσεως, πρός τε τὴν ἀναγκαίαν καὶ τὴν ἐνδεχομένην εἰπών:· πολλὰ γὰρ ὑπάρχει μέν· οὐ μέντοι ἐξ ἀνάγκης· τὰ δέ, οὔτε ἐξ ἀνάγκης, οὔθ' ὑπάρχει ὅλως, ἐνδέχεται δὲ ὑπάρχειν:· οὕτως γὰρ ἐστὶ αἱ μὲν ὑπάρχουσαι, τὸ ὑπάρχον μέν, οὐ καὶ ἀναγκαίως δέ, ὑπάρχον δηλοῦσαι· αἱ δὲ ἀναγκαῖαι τὸ ἀναγκαίως ὑπάρχον· αἱ δὲ ἐνδεχόμεναι τὸ μὴ ὑπάρχον μὲν ἤδη· οἷόν τε δέ, ὑπάρξαι· ἀληθῶς μέν, ἀληθὲς ἄν· ψευδῶς δέ, ἀψευδές· δῆλον δὲ ὅτι καὶ ἡ διαφορὰ τῶν προτάσεων καὶ τῶν συλλογισμῶν ἡ κατὰ τοὺς τρόπους, τῇ τῶν τρόπων προσθήκῃ γνωρισθήσεται· ἑκάστη γὰρ πρότασις καὶ ἕκαστος συλλογισμός, ὅσους τρόπους προσκατηγορηθήσεται:·

καὶ οὐχ ὁμοίως ἐχόντων τῶν ὅρων.

Εἰπὼν ὅτι ὁ συλλογισμὸς ἑκάστου τούτων ἕτερος ἔσται· τοῦ τε ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος, καὶ τοῦ ἐνδεχομένου, πῶς ἕτερος, ἐδήλωσεν· οὐ γὰρ ἐξ ὁμοίων προτάσεων τε καὶ ὅρων· ἀλλ' οἱ μέν, ἐξ ἀναγκαίων· οἱ δέ, ἐξ ὑπαρχουσῶν· οἱ δὲ ἐξ ἐνδεχομένων:· ἐπὶ μὲν οὖν τῶν ἀναγκαίων σχεδὸν ὁμοίως ἔχει

Φησὶν ὁμοίως ἔσεσθαι τοὺς τοῦ ἀναγκαίου συλ- ἐπὶ τῶν ὑπαρχόντων. λογισμοὺς καθ' ἕκαστον σχῆμα, ὡς καὶ ἐπὶ τοῦ ὑπάρχοντος ἐδείχθησαν· εἰ γὰρ ὁμοία τῶν προτάσεων συμπλοκὴ καθ' ἕκαστον σχῆμα, μετὰ τῆς τοῦ ἀναγκαίου προσθήκης, καὶ τοὺς ἀναγκαίους ποιήσει συλλογισμούς· καὶ ἔσονται τέσσαρες μὲν συζυγίαι συλλογιστικαὶ ἐν πρώτῳ σχήματι· τέσσαρες δὲ ἐν δευτέρῳ· καὶ ἓξ, ἐν τρίτῳ. ἄξιον δὲ τοῦτο ὅτι καὶ τὰ παντελῶς καὶ τὰ μηδενός, ὁμοίως καὶ ἐπὶ τοῦ ἀναγκαίου λαμβάνεται ὡς καὶ ἐπὶ τοῦ ὑπάρχοντος. διὸ οὖν οἱ ἐν τῷ πρώτῳ σχήματι τέλειοί εἰσι συλλογισμοί· καὶ αἱ τῶν ἀναγκαίων προτάσεων ἀντιστροφαί, ὅμοιαι ἐδείχθησαν οὖσαι· ἐπί τε τῶν ὑπαρχουσῶν καὶ ἐπὶ τῶν ἀναγκαίων· διὸ οὗτοί τε β δὲ οἱ ἐν τῷ β' σχήματι καὶ οἱ ἐν τῷ γ' τελειούμενοι δείκνυνται:·

τό τε γὰρ στερητικὸν ὡσαύτως ἀντιστρέφει.

Χωρὶς λόγου τοῦτο ὁμοίως ἀντιστραφὲν τοῖς ἀληθέσιν· καὶ γὰρ τὰ καταφατικά, ὁμοίως· ἀλλὰ τὰ καθόλου καταφατικὰ ἐν παντὶ τῷ τρόπῳ ὁμοίως ἀντιστρέφεται. τὰ δὲ ἀποφατικά, οὔ· ἐπὶ γὰρ τῶν ἐνδεχομένων, ἄλλως· τούτων ἀμνημονεῖ μόνον.

καθόλου καί, μὴ ὁμοία ἐπὶ πάντων ἡ ἀντιστροφὴ γίνεσθαι. ὑπομιμνήσκων ἡμᾶς, ὅτι καὶ τούτοις ἐν τοῖς τρόποις τοῦτο ὁμοίως ἔχει. ἐπεὶ δὲ οὐκ ἔστι δι' ἀντιστροφῆς ἐδείκνυτο· οὗτος ὁ δ΄ ἐν β΄ σχήματι, ὁ ἔχων τὴν ἐλάττονα ἐπὶ μέρους ἀποφατικήν. οὔτε ὁ ς΄ ἐν γ΄. ὁ ἔχων τὴν μείζονα ἐπὶ μέρους ἀποφατικήν. ἐν τοῖς ἐξ ὑπαρχουσῶν προτάσεων συλλογισμοῖς. ἀλλὰ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οὐκ ἔστι καὶ ἐπὶ τούτων ὁμοία τῇ δείξει χρώμενος ἐπὶ τῶν ἀναγκαίων προτάσεων ὡς ἔσται δῆλον, προσέθηκε τό, χρηστέον ὁμοίως· τὰ μὲν γὰρ ἄλλα, ὁμοίως δείκνυται· διὸ οὐδὲ μνημονεύει αὐτῶν ἔτι. ἱκανὴ γὰρ ἡ ἐπ' ἐκείνων αὐτῷ διδασκαλία ἡ γενομένη εἶναι, καὶ πρὸς τὴν τούτων γνῶσιν· τούτων δὲ οὐχ ὁμοίως ἐκεῖ δεικνυμένων, μνημονεύει. διδάσκων ἡμᾶς πῶς ἐπὶ τούτων χρὴ τὴν δεῖξιν ποιουμένους, συλλογιστικοὺς αὐτοὺς δεικνύναι. οὐ χρῆται γὰρ δὲ ἐπ' αὐτῶν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ὡς ὅτε ἦσαν αἱ προτάσεις ὑπάρχουσαι. ὅτι γὰρ αὐτὸ κείμενον τὸ ἀναγκαῖον, ἐνδεχόμενον ἔσται. εἰ δὲ ἐν ἀμφοτέροις τὸ δεικνύμενον συμπέρασμα, ἐπὶ μέρους ἀποφατικὸν ἀναγκαῖον. ᾧ ἀντίκειται τό, ἐνδέχεσθαι παντί. οὐχ ὑποτεθέντος δὲ τούτου καὶ τῆς ἑτέρας προτάσεως προσληφθείσης, οὔσης ἀναγκαίας καθόλου καταφατικῆς, γίνεται ἡ συμπλοκὴ μικτὴ ἐξ ἐνδεχομένου καθόλου καταφατικοῦ, καὶ ἀναγκαίας καθόλου καταφατικῆς. οὐδέπω δὲ γνώριμον τὸ συναγόμενον ἐπὶ ταῖς τοιαύταις μίξεσιν. ἔτι τὰ ἀναγκαῖον πρῶτον δέον εἶναι περὶ τῶν ἁπλῶν ἢ οὕτως περὶ τῶν συνθέτων. διὸ ἐκεῖνον μὲν τὸν τρόπον τῆς μίξεως ὡς ἀσαφῆ τε καὶ διὰ τῶν ὑστέρων γινόμενον, παραιτεῖται. φησὶ δὲ ἐπ' ἀμφοτέρων αὐτῶν:

ἀλλ' ἀνάγκη ἐκθεμένους ᾧ τινι ἑκάτερον μὴ ὑπάρχει, κατὰ τούτου ποιεῖν τὸν συλλογισμόν:+

ὁ λόγος μὲν περὶ τῶν ἐν μέρει ἀποφατικῶν προτάσεων ἀμφοτέρων, ἐν τοῖς δυσὶ σχήμασιν. οὐ γὰρ καθ' ἕκαστον αὐτῶν, λέγει δεῖν ἐκτίθεσθαι ᾧ ἑκάτερον μὴ ὑπάρχει. οὕτω γὰρ αὐτοῖς αἱ ἀποφατικαὶ ποιαὶ προτάσεις καὶ ἐπιζητηθεῖσαι ἀναλύονται εἰς ἐκείνας τὰς συζυγίας, ἀλλ' ἀξιοῖ ἐν ἀμφοτέραις ταῖς συζυγίαις. τῇ τε ἐν δευτέρῳ σχήματι, καὶ τῇ ἐν τρίτῳ, ἐπεὶ καθ' ἐν μέρος ἐστὶν ἡ ἀποφατικὴ πρότασις ᾧ τινι μὴ ὑπάρχει λαμβάνοντας καθ' ἑκατέραν συζυγίας ἐκεῖνον ποιεῖν τὸν συλλογισμόν. εἰς τὸ καθόλου μεταλαμβάνοντας ἀποφατικὸν τὸ ἐπὶ μέρους ἀποφατικόν. καὶ δείξαντας ὑπὸ τῆς καθόλου ἀποφατικῆς δι' ἀντιστροφῆς, ὡς πρὸς ἐπὶ τῶν ἄλλων συζυγιῶν ἐν αἷς ἦν τὸ καθόλου ἀποφατικόν,

συλλογιστικὴν οὖσαν τὴν συμπλοκήν· οὕτως γὰρ ἔχει τὸ δεικνύμενον ἐξ ἀνάγκης ἐκ δ' ὑπ τινὶ μὴ ὑπάρχον· οὕτω τὸ ἕτερον μόριον· εἰ γὰρ τὸ Α τῷ Β παντὶ ἐξ ἀνάγκης, αὕτη γάρ ἐστιν ἡ ἐν β΄ σχήματι συμπλοκὴ περὶ ἧς ποιεῖται τὸν λόγον· τῷ δὲ Γ οὐ παντί, χρὴ ἐκθέμενον λαβεῖν ἀπὸ τοῦ Γ, τοῦτο ᾧ τὸ Α ἐξ ἀνάγκης μὴ ὑπάρχον, ἐλέγετο τινὶ τῷ Γ ἐξ ἀνάγκης μὴ ὑπάρχειν· ὃ λαβόντας, πρὸς ἐκεῖνο ποιεῖν καθόλου ἀποφατικὴν τὴν πρότασιν ἀναγκαίαν· ἔστω τι τοῦ Γ ᾧ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ Α, μόριον τὸ Δ· ἔσται δὴ ἡ ὅλη συζυγία, τὸ Α τῷ Β ἐξ ἀνάγκης παντί· τὸ Α τῷ Δ, ὅ ἐστι τι τοῦ Γ, ἐξ ἀνάγκης οὐδενί· ἡ δὲ τοιαύτη συζυγία συλλογιστικὴ οὖσα. διὰ τὴν ἀντιστροφὴν τῆς καθόλου ἀποφατικῆς προτάσεως· εἰ γὰρ τὸ Α τῷ Δ οὐδενὶ ἐξ ἀνάγκης, καὶ τὸ Δ τῷ Α οὐδενὶ ἐξ ἀνάγκης· ἀλλὰ καὶ τὸ Α τῷ Β παντὶ ἐξ ἀνάγκης. τὸ Δ ἄρα τῷ Β οὐδενὶ ἐξ ἀνάγκης· ὥστε καὶ τὸ Β τῷ Δ οὐδενὶ ἐξ ἀνάγκης, δέδεικται γὰρ πρὸς τὸ τὸ προκείμενον δεῖξαι ἡ τοιαύτη ἐν β΄ σχήματι συζυγία, καὶ τῆς τούτου συμπεράσματος ἀντιστροφῆς. εἰ δὴ τὸ Β οὐδενὶ τῷ Δ ἐξ ἀνάγκης, τὸ δὲ Δ τί τοῦ Γ ἐστί· καὶ τὸ Β τινὶ τῷ Γ ἐξ ἀνάγκης οὐχ ὑπάρξει. ὁμοία δὲ ἡ δεῖξις καὶ ἐπὶ τοῦ ἐν τῷ τρίτῳ σχήματι· ἔστω γὰρ τὸ μὲν Α τινὶ τῷ Γ μὴ ὑπάρχον ἐξ ἀνάγκης. τὸ δὲ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης· ληφθήτω πάλιν καί τι τοῦ Γ· ᾧ μηδ' αὐτοῦ μὴ ὑπάρχει τὸ Α ἐξ ἀνάγκης, ἐκεῖ τινὶ τῷ Γ μὴ ὑπάρχον ἐξ ἀνάγκης· καὶ ἔστω τὸ Δ. τὸ δὴ Α τῷ Δ, ἐξ ἀνάγκης οὐδενί, τὸ δὲ Β παντί. εἰ γὰρ τῷ Γ παντὶ ἐξ ἀνάγκης, ἔσται καὶ μέρει αὐτοῦ. ἂν δὴ ἀντιστρέψωμεν τὴν ΒΔ καθόλου καταφατικὴν ἀναγκαίαν, ἔσται τὸ Β τοῦ Δ τινὶ ἐξ ἀνάγκης. ἀλλὰ καὶ τὸ Α οὐδενὶ τῷ Δ ἐξ ἀνάγκης. τὸ ἄρα Α τινὶ τῷ Β ἐξ ἀνάγκης οὐχ ὑπάρξει. ὥστε ἀπὸ μορίου τοῦ Γ ἡ δεῖξις, καὶ ἐπί τινος τοῦ Γ, καὶ ἡ ἔκθεσις. σημειωτέον δὲ, ὅτι καὶ οὐχ ὁμοίως οὗτος ὁ τρόπος τῆς ἐκθέσεως, καὶ ὃν ἔλεγεν ἐν τῷ τρίτῳ σχήματι ὅτε περὶ τῶν ὑπαρχόντων ὁ λόγος αὐτῷ. ἐκεῖ μὲν γάρ, ἁπλῶς τι τῶν αἰσθητῶν καὶ μὴ δεομένων δείξεως, τὸ ἐκτεθέμενον ἐλαμβάνομεν ὡς, διὸ καὶ αὐτάρκες ὡς μόνον ληφθέν, πρὸς τὸ φανερὰν τὴν συναγωγὴν ποιῆσαι· ἐνταῦθα δὲ τὸ λαμβανόμενον, οὐ τοιοῦτον ἐλαμβάνετο· οὐδὲ ἀρκεῖται τῇ αἰσθήσει· ἀλλὰ πρὸς αὐτὸ συλλογισμὸν ποιεῖ. διό, καὶ ἐνταῦθα προσέθηκε τό, καὶ κατὰ τούτου ποιεῖν τὸν συλλογισμόν· ἐκεῖ δέ, οὐκ ἀνάγκη δεῖξαι τινὶ μετὰ τὸ λαβεῖν τὸ ἐκτεθέν, προσεχρήσατο ὡς· ᾧ γὰρ αὐτῶν τὸν ποιῶν, ἐπ' ἄλλου τινὸς ὑποκειμένου· ὅτι ἐν ἐκείνῳ τὸ δὲ οὐ τῷ πρώτῳ,

οὐ δεῖ μόνας τῷ ἐκκειμένου δεικνύειν· ἀδήλως δὲ καὶ διὰ τοῦ ἀπείρου τὸ γὰρ καθόλου,
περὶ ἐκείνου λέγεται, τῷ φύσει τοῦ λαμβανομένου διὰ τῆς ἐκθέσεως. μέρος γὰρ τὶ ἐκείνου
αὐτοῦ ἐστι· διὸ τὸ ἐξ ἀνάγκης μὲν δεῖ τῷ καθόλου, ἐξ ἀνάγκης καὶ ἐκείνῳ ἀφ'
οὗ τοῦτο ἐλήφθη τινί· οὐ τοιοῦτον γάρ ἐστιν αὐτοῦ, ὡς εἶναι ὅπερ ἐκεῖνο. καὶ ἡ ἐκ
θέσις δὲ καὶ αἰσθητική γένοιτο, καὶ οὕτως τὸ αὐτὸ δειχθήσεται· οἷον ἐν τῷ β΄ σχήματι.
ἀπὸ τῆς τοῦ γ΄ ὄν, ἄλλο μὲν ἐστι· οὐδ' ἀπὸ τοῦ α καὶ τοῦ ρ ἢ θήσεται· ὥστε οὐδὲ τὸ β.
τὸ γὰρ β τινὶ τοῦ α ἐστί· καὶ ἐπὶ παντὸς γὰρ αὐτοῦ τὸ α. ἡ αὐτὴ δεῖξις καὶ ἐπὶ τοῦ τρίτου
σχήματος· εἰ γὰρ τὸ μὲν α τινὶ τῷ γ ἄλλο μέν τι ἀπὸ τὸ α οὐχ ὑπάρχει, οὐδὲ τὸ α
καὶ τὸ ἐκείνου ρ ἢ θήσεται· ἔστι δὲ ἐκεῖνο καὶ αὐτό, τὶ τοῦ β· παντὶ γὰρ τῷ γ ὑπάρχει
τὸ β· τινὶ ἄρα τοῦ β τὸ α ἐξ ἀνάγκης οὐχ ὑπάρχει. ἀνάπαλιν δὲ ἐν ἀμφοτέραις
ταῖς συζυγίαις, ᾧ τινι οὐχ ὑπάρχει λαμβάνεται ἐν τῇ ἐκθέσει· τὸ μὲν γὰρ παντὶ
ὑπάρχον τινὶ καὶ ἐκείνῳ· ἐξ ἀνάγκης ὑπάρχει ὡς μορίῳ αὐτοῦ καὶ τὸ μὴ
ὑπάρχον· οὐκ ἄδηλον τῷ τυχόντι μέρει τοῦ ᾧ παντὶ ὑπάρχειν τέθειται, ληφθέντι
ἐξ ἀνάγκης οὐχ ὑπάρξει τὸ τινὶ καὶ μόνον ἐκείνῳ μὴ ὑπάρχειν· δύναται γὰρ τούτῳ
μὴ ὑπάρχειν αὐτοῦ τῷ μέρει ἄλλῳ δέ τινι μή· εἰ χρῆσθαι τούτῳ τῷ τρόπῳ, καὶ
πρὸ ὀλίγου· τῷ ἐκθέσει ἐπὶ τοῦ ἐπὶ μέρους ἀποφατικοῦ ποιησάμενος· ἀλλ' πῶς
δὲ πῶς χρὴ τὴν δεῖξιν ἐπὶ τῶν συζυγιῶν τούτων ποιεῖσθαι, προσέθηκε τό, ἢ καὶ
δὲ τῶν συλλογισμῶν ἐκείνου τὴν ἐν αὐτῷ οἰκείῳ σχήματι. λέγων ὅτι οἱ πρὸς τὸ καθόλου
γινόμενοι συλλογισμοί, ὁ μὲν ἐπὶ τοῦ β΄ σχήματος, ἐν τῷ δευτέρῳ σχήματι ἐστί·
ὁ δὲ ἐπὶ τοῦ τρίτου, ἐν τῷ τρίτῳ. ἡ γὰρ πρὸς τὸ καθόλου καθόλου ἀποφατικὴ ἢ καὶ
καθ' ἑκατέραν συζυγίαν, οὐκ ἐκλύουσα τὸ σχῆμα· ἀλλ' ἢ μὲν ἐν δευτέρῳ σχήματι γίνεται.
ἡ δὲ ἐν τρίτῳ ὡς ἐξέκειτο. δεικνύονται μὲν γὰρ διὰ τῆς εἰς τὸ πρῶτον ἀναγωγῆς
διὰ τῆς γινομένης ἀντιστροφῆς· οἱ δὲ δεικνύμενοι ἐστὶν, ὁ μὲν, ἐν β΄· ὁ δέ, ἐν γ΄ σχή
θεόφρα(στος) ματι. ὁ μὲν οὖν Θεόφραστος ἐν τῷ πρώτῳ τῶν αὐτοῦ Προτέρων ἀναλυτικῶν περὶ
τούτων λέγων, οὐ χρῆται τῷ διὰ τῆς ἐκθέσεως τρόπῳ πρὸς τὴν δεῖξιν τοῦ συλλογιστικὰς
εἶναι τὰς προκειμένας συμπλοκάς, ἀλλ' ὥσπερ ἔθετο περὶ αὐτῶν λόγον· ὡς τῆς
ὁμολογουμένης δὲ ἀδυνάτου ἀπαγωγῆς μηδέπω δὲ ὄντος προδήλου τοῦ συμβαίνοντος
διὰ τὴν μίξιν ἀναγκαίας προτάσεων· μηδ' εἶναι γνώριμον τὸ ἐκ τῶν μίξεων συνα
γόμενον:· συμβαίνει δέ ποτε καὶ τῆς ἑτέρας προτάσεως ἀναγκαίας οὔσης,
ἀναγκαῖον γίνεσθαι τὸν συλλογισμόν: +

Εἰπὼν πρῶτον μὲν περὶ τῶν ἐξ ὑπαρχουσῶν ἀμφοτέρων τῶν προτάσεων γινομένων συλλογισμῶν καθ' ἕκαστον σχῆμα, καὶ ἐπὶ τούτοις περὶ τῶν ἀναγκαίων, νῦν ἑξῆς λέγει περὶ τῶν, ἐκ μίξεως ἀναγκαίας τε καὶ ὑπαρχούσης προτάσεως γινομένων καθ' ἕκαστον σχῆμα συλλογισμῶν· τίνες τέ εἰσι· καὶ ποῖον ἐν ταῖς μίξεσιν αὐτῶν γίνεται τὸ συμπέρασμα· καὶ τίνες αἱ κατὰ τὰς μίξεις τῶν τρόπων τούτων ἐν τοῖς γινομένοις συλλογισμοῖς διαφοραί· πρῶτον γὰρ τοῦτο καὶ τὸ ἐνδέχεσθαι, ἐπὶ τοῦ ζητεῖσθαι φησὶ δὴ ὅτι γίνεταί ποτε καὶ ἐκ μίξεως ἀναγκαίας καὶ ὑπαρχούσης προτάσεως ἀναγκαῖον συμπέρασμα· καὶ πότε γίνεται τὸ συμπέρασμα τοιοῦτον, προστίθησιν· ἐν γὰρ πρώτῳ σχήματι ἀμφοτέρων οὐσῶν καθόλου, ἐὰν ἡ μείζων ᾖ ἀναγκαία, ἄν τε καταφατικὴ ὡς ἐν τῷ πρώτῳ ἀναποδείκτῳ, ἄν τε ἀποφατικὴ ὡς ἐν τῷ δευτέρῳ· ἀναγκαῖον φησὶ γίνεσθαι τὸ συμπέρασμα· οὗτος μὲν οὖν οὕτως λέγει· οἱ δέ γε ἑταῖροι αὐτοῦ οἱ περὶ Εὔδημόν τε καὶ Θεόφραστον, οὐχ οὕτως λέγουσιν· ἀλλά φασιν ἐν πάσαις ταῖς ἐξ ἀναγκαίας τε καὶ ὑπαρχούσης συζυγίαις, ἐὰν ὦσι κείμεναι συλλογιστικαί, ὑπάρχον γίνεσθαι τὸ συμπέρασμα· τοῦτο λαμβάνοντες ἔκ τε τοῦ ἐν πάσαις ταῖς συμπλοκαῖς τὸ συμπέρασμα ἀεὶ τῷ ἐλάττονι καὶ χείρονι τῶν κειμένων ἐξομοιοῦσθαι· ἄν τε γὰρ ᾖ καταφατικῆς καὶ ἀποφατικῆς προτάσεως, συνάγεται ἀποφατικὸν τὸ συμπέρασμα· ἄν τε καθόλου καὶ ἐπὶ μέρους, ἐπὶ μέρους τὸ συμπέρασμα· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν ταῖς μίξεσιν ἔχειν· ὑπάρχον γὰρ γίνεσθαι ἐν ταῖς, ἐν ταῖς ἐξ ἀναγκαίας καὶ ὑπαρχούσης συμπλοκαῖς τῷ ἔλαττον εἶναι τὸ ὑπάρχον τοῦ ἀναγκαίου· ἀλλὰ καὶ τῷ λόγῳ τοῦτο δεικνύουσιν· εἰ γὰρ τὸ Β τῷ Γ ὑπάρχει μὲν παντί· οὐ μὴν ἐξ ἀνάγκης, ἐνδέχεταί ποτε αὐτὸ καὶ ἀπεζεῦχθαι αὐτοῦ· ὅταν δὴ τὸ Β τοῦ Γ ἀπεζευγμένον ᾖ, ὅτε καὶ τὸ Α αὐτοῦ ἀπεζεύχθη, ὃ δὲ τοῦτο, οὐκ ἐξ ἀνάγκης αὐτῷ ὑπάρξει· ἀλλὰ καὶ ἐπὶ τῆς ὕλης δεικνύουσι τοῦθ' οὕτως ἔχον· λαβόντες γὰρ τὴν μείζονα καθόλου ἀναγκαίαν ἀποφατικὴν ἢ καταφατικήν· καὶ τὴν ἐλάττονα καθόλου καταφατικὴν ὑπάρχουσαν, δεικνύουσιν ὑπάρχον γινόμενον τὸ συμπέρασμα· τὸ γὰρ ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ὁ ἄνθρωπος παντὶ κινουμένῳ ὑπαρχέτω· οὐκέτι τὸ ζῷον παντὶ κινουμένῳ ἐξ ἀνάγκης· ἔτι τὸ μὲν ἐπιστήμην ἔχειν καὶ τὸ παντὶ τῷ γραμματικῷ ἐξ ἀνάγκης· τὸ δὲ γραμματικὸν τῷ παντὶ τῷ ἀνθρώπῳ ὑπαρχέτω· οὐκέτι τὸ ἐπιστήμην ἔχειν καὶ τὸ παντὶ τῷ ἀνθρώπῳ ἐξ ἀνάγκης.

εὔδημος· καὶ θεόφραστος

τὸ τὸ μὲν κεῖσθαι διαφόρως ὧν· καὶ τὸ ἐπὶ πάντων περὶ παντὸς τὸ ἐξ ἀνάγκης· τὸ δὲ
περὶ παντὸς ἐν παντὶ αὐτῷ ὑπαρχέτω. οὐ καὶ τὸ δὲ τὸ κεῖσθαι παντὶ αὐτῷ ἐξ ἀ-
νάγκης· καὶ τοῦτο τὸ ὁμοίως γίνεσθαι τοῦτο καί. ἀ γὰρ ὁ μείζων ἄκρος, τῷ ἐλάττονι
διὰ τοῦ μέσου ὅρου ἐπιφέρεται· ὅπως ἂν ὁ μέσος ἔχει πρὸς τὸν ἐλάττονα,
οὕτως ἔχει ὁ μείζων πρὸς τὸν ἔσχατον· δι' οὗ ὁ μείζων ἅπτεται τοῦ ἐσχάτου,
οὕτως ἔξει ὁ μείζων πρὸς τὸν ἔσχατον. τὸ μὲν οὖν λέγειν μὴ δεῖ ἀριστοτέλη ὡς ἀπὸ τῶν ἀ
ἀρκηθείσας αὐτοῖς τοιαύτης μείζονος, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα.
ἀλλ' ἐκ φυλακτικοῦ· καὶ τοῦτο τὸ ἐπιστοῦσθαι ἐκ τοῦ ἀρκηθέντος αὐτόν· συμβαίνει
δὲ ποτὲ καὶ τῆς ἑτέρας προτάσεως ἀναγκαίας οὔσης· τὸ γὰρ ποτέ, οὐκ ἐπὶ μὲν
ἔχεως τοιαύτης καὶ τοῖς, ὡς ποτὲ μὲν ἐν τῇ τοιαύτῃ μείζονι ἀναγκαίου γινομένου
τοῦ συμπεράσματος· ποτὲ δὲ οὔ· ἀλλ' ἐπὶ τῆς μείζονος ὅλης· ποτὲ γὰρ ἐν τῇ
μείζονι τῇ ἀναγκαίᾳ ὑπαρχούσης, γίνεται ἀναγκαῖον τὸ συμπέρασμα.
οὐ γὰρ ἀεί· ἐπεὶ μὴ καὶ τῆς ἐλάττονος, ἀναγκαίας ληφθείσης, ἀναγκαῖον
λέγεται συνάγεσθαι. τὸ οὖν ποτὲ τῆς μείζονος τοῦ βου ὅπου δηλωτικόν ἐστιν.
οὐ τοῦ ἐν τῷ αὐτῷ τρόπῳ, καὶ τῇ αὐτῇ συμπλοκῇ, ποτὲ μὲν ἀναγκαῖον γίνεσθαι
ποτὲ δὲ ὑπάρχον τὸ συμπέρασμα· καὶ τοῦτο αὐτὸς σαφῶς ἐδήλωσε διὰ τοῦ
ἐπιφέρειν· λέγων πλὴν οὐχ ὁποτέρας ἔτυχεν· ἀλλὰ τῆς πρὸς τὸ μεῖζον ἄκρον.
ὡς τοῦ τοῦ χάριν τὸ ποτὲ προσθείς· καὶ γὰρ γελοῖον τὸ οἴεσθαι αὐτὸν διὰ τοῦτο
τό, ποτὲ λέγειν· ὅτι ἐπὶ ὕλης τινὸς ἐν τῇ τοιαύτῃ συμπλοκῇ ἀναγκαῖον γί-
νεται τὸ συμπέρασμα· οὕτως γὰρ οὐδὲν κωλύει καὶ τὰς ἀσυλλογίστους συζυγίας, //
συλλογιστικὰς λέγειν ποτέ· εὑρεθήσονται γὰρ ἐπὶ ὕλης τινὸς συνάγουσαι.
ἐν γοῦν τῷ βʹ σχήματι ἐκ δύο καθόλου καταφατικῶν ἀεὶ οἱ ἄκροι ἐπ' ἴσης
ἀλλήλοις, τοιούτων ὅρων ληφθέντων, καθόλου καταφατικὸν συνάξεις.
εἰ γὰρ ἢ πᾶς ἄνθρωπος ζῷον· ἀλλὰ καὶ πᾶν γελαστικὸν ζῷον, καὶ πᾶς ἄνθρωπος γελαστικὸν
συνάγεται· ἀλλ' οὐ διὰ τοῦτο ποτὲ συνάγει τὸ ἐπὶ ὕλης τινός, ἢ δὴ συλλογιστικὴ
ἡ συμπλοκή. εἰ δὲ δὴ τοῦτο ἐβούλετο δηλοῦν ὡς ἔδοξεν· [illegible] ἂν ἀφελῆς
τοῦτο οὕτως ἔχει· τοῦτο γὰρ ἢ τοῦ διὰ τοῦτο τό, ποτὲ προστιθείς τῶς· ὁ δέ,
τοῦτο μὲν οὖν οὐ ποιεῖ· ἐπὶ δὲ τῶν στοιχείων προστίθησι τὸν λόγον· ἐφ' ὧν
τοὺς καθολικοὺς δὲ ἔξεις ποιεῖται τῷ, μηδὲν μᾶλλον τῇ δὲ ἢ τῇ δὲ τῇ ὕλῃ
δύνασθαι ἐφαρμόζειν· διό, τοῦτο μὲν παραιτητέον ὡς ἧττον πάντων παρ'

παραιτητέον δὲ καὶ τὴν ἐπὶ πλέον ἐξέτασιν τοῦ λεγομένου· εἴρηται γὰρ ἤδη μὲν αὐτοῖς, περί τε τῆς κατὰ τὰς μίξεις διαφορᾶς ἀριστοτέλει τε καὶ τοῖς ἑταίροις αὐτοῦ, γεγραμμένοις· οἷς δὴ ἀριστοτέλης τε ἀεὶ χρῆσθαι πρὸς τὴν τοῦ λεγομένου πίστιν. τοῖς χρῆσθαι ταῖς ἀντιπαριστάμενος τῷ τὸ λεγόμενον ὑπ' αὐτοῦ ψευδὲς εἶναι· ὧν τινὰ παραθησόμεθα· αὐτὸς μὲν οὖν ἐχρήσατο τῷ κατὰ παντός· ἐπεὶ γὰρ τὸ α κατὰ παντὸς τοῦ β ἐξ ἀνάγκης· τὸ δὲ γ ὑπὸ τὸ β ἐστὶν ἢ τὶ τοῦ β, ἀνάγκη καὶ τὸ α τοῦ γ ἐξ ἀνάγκης· ὃ γὰρ κατὰ παντὸς τοῦ β ἐξ ἀνάγκης, καὶ κατὰ τῶν ὑπὸ τὸ β ἐξ ἀνάγκης κατηγορεῖται· ἀλλὰ τὸ, κατὰ παντὸς ἐστὶν ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ' οὗ τὸ κατηγορούμενον οὐ ῥηθήσεται· τὸ δὲ γ τι τοῦ β ἐστί. ἔτι γὰρ τό, κατὰ παντὸς ἐξ ἀνάγκης ὁμοίως λαμβάνεται· ὡς προσθεῖναι τῶν ἀναγκαίων· ἁπλῶν· τὸ γὰρ στερητικὸν ὡσαύτως ἀντιστρέφει· καὶ τό, ἐν ὅλῳ ἀναγκαίῳ, καὶ τὸ κατὰ παντὸς ὁμοίως ἀποδώσομεν:· οἱ δὲ τῆς δόξης αὐτοῦ παριστάμενοι, οἱ μέν, τὴν ὑπάρχουσαν καθόλου καταφατικὴν ἐν τῇ τοιαύτῃ μίξει ἀληθῆ λαμβάνειν ἀξιοῦσι· μὴ πρὸς ὑπόθεσιν, ἀλλ' ἀληθῶς ὑπάρχουσαν· αὐτὴν καὶ γὰρ ἐκείνην εἶναι· καὶ οὐκ ἔστ' ἀληθὴς ἡ πρότασις· ληφθείσης γὰρ ἀληθοῦς ἐν τῷ ὑπάρχειν καὶ καθόλου, οὐδ' ἐπὶ ὕλης τινὸς ἐλεγχθήσεται ψεῦδος τὸ λεγόμενον· τὸ γὰρ αὐτὸ παντὶ κινουμένῳ ὑπάρχειν, οὐκ ἀληθὲς ὡς ὑπάρχον καθόλου· ἀλλ' οὐδὲ τὸ γραμματικὸν παντὶ ἀνθρώπῳ· ἀλλ' οὐδὲ τὸ περιπατεῖν παντὶ ἀνθρώπῳ· ἐπὶ δὲ τῶν οὕτως λαμβανομένων ὑπαρχουσῶν, τῷ μὴ εἶναι αὐτὰς ὡς καθόλου λαμβανομένας ἀληθεῖς ὑπαρχούσας, οὐκ ἀναγκαῖον τὸ συμπέρασμα. τί διαφέρουσιν· ὅτι ἡ μὲν ἐλάττων μὴ ᾖ καθόλου ἡ ὑπάρχουσα, ἀλλ' ἐπὶ μέρους λαμβάνηται· καὶ γὰρ οὕτως ἡ μείζων ἀναγκαία ᾖ, ἀναγκαῖον φασὶ γίνεσθαι τὸ συμπέρασμα· καὶ οὐκ ἔθος ἔστι λέγειν μὴ εἶναι ἀληθῆ τὴν ἐπὶ μέρους ὑπάρχουσαν· τὸ ἄνθρωπον τινὶ κινουμένῳ ἢ γραμματικὸν τινὶ ἀνθρώπῳ:· οἱ δέ γε φασὶν ὅτι εἰ ἡ λέγουσα τὸ α κατὰ παντὸς τοῦ β, ἡ αὐτὴ ἐστὶ τῇ λεγούσῃ καθ' οὗ παντὸς τὸ β, καὶ τὸ ἐκείνου παντὸς τὸ α· ὡς καὶ αὐτὸς λέγει ἀπολλώνιος, ἔσται καὶ ἡ λέγουσα τὸ α κατὰ παντὸς τοῦ β ἐξ ἀνάγκης, ἡ αὐτὴ τῇ λεγούσῃ καθ' οὗ παντὸς τὸ β, καὶ τὸ ἐκείνου παντὸς ἐξ ἀνάγκης τὸ α· τοῦτο δὲ σημαινούσης τῆς ἀναγκαίας καθόλου παντὸς ἀναγκαῖον γίνεται τὸ συμπέρασμα· κἂν ὑπάρχουσα ληφθῇ ἡ ἐλάττων:· ἀλλὰ καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, δεικνύουσιν

οὐ τελειούμενον ὑπάρχει ἰσοτελὴς καθόλου ὡς εἴρηται· δεικνύωνται παραιρούμενοι.
ἔστω γὰρ ἡ μίξις αὕτη κειμένη· τὸ μὲν α τῷ β παντὶ ἐξ ἀνάγκης ὑπαρχέτω·
τὸ δὲ β παντὶ τῷ γ ὑπαρχέτω μόνον· λέγω ὅτι τὸ α τῷ γ ἐξ ἀνάγκης παντὶ
ὑπάρχει, τὸ ἀντικείμενον· ἐνδέχεται τὸ α τῷ γ τινὶ μὴ ὑπάρχειν· καὶ κεῖται δὲ
καὶ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης· γίνεται δὴ ἐν β σχήματι συζυγία· ἡ καθόλου
καταφατικῆς τῆς μείζονος ἀναγκαίας, ἡ ἐπὶ μέρους ἀποφατικῆς ἐνδε-
χομένης τῆς ἐλάττονος, ἐπὶ μέρους ἀποφατικὸν ἐνδεχόμενον συνάγουσα.
καθὰ καὶ θεόφραστος καὶ εὔδημος φασί. τὸ ἄρα τὸ β τῷ γ ἐνδέχεται τινὶ
μὴ ὑπάρχειν· ἀλλ' ὑπέκειτο παντὶ ὑπάρχειν:· ἔστι πιστώσασθαι ὅτι τελει-
ούμενον ὑπάρχει τὸ τέλος καὶ ὡς ἔστι· μάλιστα διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς
τῆς γινομένης ἐν τρίτῳ σχήματι· καὶ ἔστω γὰρ τὸ μὲν α παντὶ τῷ β ἐξ ἀνάγκης
τὸ δὲ β παντὶ τῷ γ ὑπάρχειν· λέγω ὅτι τὸ α παντὶ τῷ γ ἐξ ἀνάγκης· εἰ γὰρ
μὴ τὸ ἀντικείμενον· τὸ α τῷ γ ἐνδέχεται τινὶ μὴ ὑπάρχειν· καὶ κεῖται δὲ καὶ τὸ β
παντὶ τῷ γ ὑπάρχειν· γίνεται ἐν τῷ τρίτῳ σχήματι συζυγία ἐξ ὑπαρχούσης
καθόλου καταφατικῆς τῆς ἐλάττονος καὶ ἐνδεχομένης ἐπὶ μέρους ἀπο-
φατικῆς τῆς μείζονος, ἐπὶ μέρους ἀποφατικὸν ἐνδεχόμενον συνάγουσα.
τὸ ἄρα α τῷ β ἐνδέχεται τινὶ μή, ὅπερ ἀδύνατον· κεῖται γὰρ παντὶ ἐξ ἀνάγκης.
ἐν γὰρ τῇ τοιαύτῃ συζυγίᾳ τῇ ἐν τρίτῳ σχήματι, καὶ ἀριστοτέλης δηλοῖ καὶ οἱ ἑταῖροι
αὐτοῦ, ἐπὶ μέρους ἀποφατικὸν ἐνδεχόμενον γίνεσθαι τὸ συμπέρασμα.
τούτοις καὶ τοιούτοις ἄλλοις χρήσασθαι, παριστάμενος τὴν περὶ τούτων ἀριστοτέλους
δόξαν. τὰ δὲ τούτων καὶ ὡς λέγεσθαι δηλονότι· ἐν ἄλλοις ἡμῖν ὡς ἐφ' ὧν μάλιστα
ἀκριβέστερον εἴρηται:· οἷον εἰ τὸ μὲν α τῷ β ἐξ ἀνάγκης εἴληπται ὑπάρχον ἢ μὴ ὑπάρχον.



: δό

Π τρίτων συζυγιῶν λεκτέον τῶν ἐν πρώτῳ σχήματι πρώτων· καὶ γὰρ καταφατικῆς
τε καθόλου ἀναγκαίας οὔσης τῆς μείζονος· ὑπαρχούσης δὲ καθόλου κατα-
φατικῆς τῆς ἐλάττονος· καὶ ἀποφατικῆς ὁμοίως ἀναγκαίας πάλιν τῆς μεί-
ζονος, ὑπαρχούσης δὲ καθόλου καταφατικῆς τῆς ἐλάττονος, ἀναγκαῖον
φησὶ τὸ συμπέρασμα γίνεσθαι· ἐν ᾗ μὲν καταφατικόν, ἐν ᾗ δὲ ἀποφατικόν:·
ἐπεὶ γὰρ παντὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει ἢ μὴ ὑπάρχει τὸ α, τὸ δὲ γ
τι τῶν β ἐστί· φανερὸν ὅτι καὶ τῷ γ ἐξ ἀνάγκης ἔσται θάτερον τούτων:

Τ ὁμοίως, θάτερον τούτων εἴρηκεν, ἀντὶ τοῦ καταφατικὸν ἢ ἀποφατικόν· διό

ἢ τὸ ἐλάττονι καθόλου ἀναγκαῖον ὑποκεῖσθαι τὸ συμπέρασμα· οὕτως ἐχόντων τῶν ὅρων
εἰρηκώς· ὅτι τὸ μὲν γ τῷ β ἐστί, τὸ δὲ α παντὶ τῷ β ἐξ ἀνάγκης καὶ τοῦτο ὑπάρχειν
ἢ μὴ ὑπάρχειν:· ἀλλὰ τὸ μὲν α β οὐκ ἔστιν ἀναγκαῖον· τὸ δὲ β γ ἀναγκαῖον·
οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον·

Εἰ ἡ ἐλάττων φησὶ ληφθείη ἀναγκαία καθόλου· ἡ δὲ μείζων ὑπάρχουσα καθόλου,
οὐκ ἀναγκαῖον φησὶν ἔσεσθαι τὸ συμπέρασμα· καὶ διὰ τοῦτο δείκνυσιν ἡμῖν τὸ
χαρίεν ἐν τοῖς ἔμπροσθεν εἶπε, τὸ συμβαίνειν δέ ποτε· ὅτι δὲ μὴ ἀναγκαῖον
γίνεται τὸ συμπέρασμα ἐν τῇ τοιαύτῃ συζυγίᾳ δείκνυσι, φησίν:·
εἰ γὰρ ἀναγκαῖον ἔσται τὸ συμπέρασμα, συμβήσεται τὸ α τινὶ τῷ β ἐξ ἀ-
νάγκης ὑπάρχειν· διά τε τοῦ πρώτου καὶ τρίτου σχήματος· ὅπερ ψεῦδός ἐστι· ἐνδέχεται
γὰρ τὸ α τῷ β παντὶ ὑπάρχειν· ἀλλ' οὐκ ἐξ ἀνάγκης·

Εἰ μὲν οὖν τῷ πρώτῳ σχήματι οὕτως δεδειχθήσεται· τὸ α τινὶ τῷ β ἐξ ἀνάγκης
ὑπάρχον· καθὼς ἡ συζυγία τὸ α τῷ β ὑπάρχειν παντί· τὸ β τῷ γ ἐξ ἀνάγκης
παντί· ἀλλὰ μὴν καὶ τὸ γ τινὶ τῷ β ἐξ ἀνάγκης· ἐπεὶ γοῦν τὸ β παντὶ τῷ γ ἐξ ἀ-
νάγκης, ἀντιστρέφει δὲ πρὸς τὴν καθόλου καταφατικὴν ἀναγκαίαν· ἡ ἐπὶ
μέρους καταφατικὴ ἀναγκαία, ὑπάρξει καὶ τὸ γ τινὶ τῷ β ἐξ ἀνάγκης· τὸ ἄρα
α τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει· δύο γὰρ ἀναγκαῖαι· ἡ μὲν, καθόλου·
ἡ δὲ ἐπὶ μέρους· ὅ φησι ψεῦδος εἶναι· ὅτι ἔκειτο ἁπλῶς ὑπάρχειν αὐτῷ
παντί· ὃ δ' ὑπάρχει παντί, ἐνδέχεται καὶ μηδενί ποτε ὑπάρχειν· διὰ δὲ
τοῦ τρίτου σχήματος, οὕτως ἂν δειχθείη τοῦτο· εἰλήφθω ἐπὶ τῆς αὐτῆς
συζυγίας συμπέρασμα τὸ α τῷ γ παντὶ ἐξ ἀνάγκης· καὶ προσειλήφθω
ἡ ἐλάττων πρότασις ἀναγκαία· ἡ τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης· γίνεται
ἐν τρίτῳ σχήματι συζυγία ἐκ δύο καθόλου καταφατικῶν ἀναγκαίων· ἥτις
ἐπὶ μέρους ἀποφαντικὸν συνάγει ἀναγκαῖον· τὸ α ἄρα τῷ β τινὶ ἐξ ἀνάγ(κης)·
ὅπερ ψεῦδός ἐστιν· ἔκειτο γὰρ ἁπλῶς αὐτῷ παντὶ ὑπάρχειν· τὸ δέ, παντὶ
ἁπλῶς ὑπάρχον, ἐνδέχεται καὶ μηδενὶ αὐτῷ ὑπάρχειν· ὡς ἐδήλωσεν ἐπί(σης):·
ἐνδέχεται δὲ τοιοῦτον εἶναι τὸ β, ᾧ ἐγχωρεῖ τὸ α μηδενὶ ὑπάρχειν:·

Ἐνδεικνύμενος ἡμῖν καὶ διὰ τούτου πάλιν, ὁποίαν τῶν ὑπαρχουσῶν προ-
τάσεων εἶναι βούλεται· σημειωτέον δέ, ὅτι οὐ κατ' ἀδιάφορον εἶναι τό, τὸ α
τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχειν· οὐδὲ γὰρ κωλύει τό, παντὶ ὑπάρχον,

τινὶ αὐτῷ ἢ ἐξ ἀνάγκης ὑπάρχειν· ἀλλ' εἴπερ μὴ ἀναγκαῖον ἐστὶ τὸ παντὶ ὑπάρ-
χειν, οὐδὲ ἐν αὐτῷ ὑπάρχειν, ᾧ τὸ τινὶ αὐτῷ ἐξ ἀνάγκης ὑπάρχειν, περιέχει· ἐνδέ-
χεται γὰρ καὶ παντὶ αὐτῷ οὕτως ὑπάρχειν· ὡς ἐνδέχεσθαι καὶ μηδενί· οὐ γὰρ
κεκώλυται ἡ καθόλου καταφατικὴ ὑπάρχουσα, οὕτως ἀληθὲς εἶναι· διό,
ψεῦδος γίνεται ἐπὶ τῆς, οὕτως ὑπαρχούσης καθόλου καταφατικῆς ἀληθοῦς
τό, παντὶ ὑπάρχον, τινὶ ἐκείνῳ ἐξ ἀνάγκης ὑπάρχειν:·

ἐνδέχεται δὲ τοιοῦτον τὸ εἶναι.

Ἀντὶ τοῦ ἐνδέχεται γάρ, τὸ γὰρ καταλλήλως ἐν τῇ λέξει τούτῳ· οὐκέτι δὲ τῆς μεί-
ζονος οὔσης ἀναγκαίας· ὑπαρχούσης δὲ τῆς ἐλάττονος, ἀναγκαῖον τὸ
λέγει τὸ συμπέρασμα γίνεσθαι, τοιοῦτόν τι ψεῦδος ἕπεται· ἂν γὰρ τὸ μὲν Α
παντὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχῃ· τὸ δὲ Β παντὶ τῷ Γ ὑπάρχει μόνον, εἴληφθη
τὸ Α παντὶ τῷ Γ ἐξ ἀνάγκης, οὔτε ἐν πρώτῳ σχήματι οὔτε ἐν βʹ τῷ, ὅμοιον
τῷ προειρημένῳ, ψεῦδος συνάγεται· συνάγεται γὰρ τὸ Α τινὶ τῷ Β ἐξ ἀνά-
γκης ὑπάρχειν· ἀλλ' ἢ συγκεχωρημένον τό, ἀναγκαίας οὔσης τῆς μείζονος, ἀνα-
γκαῖον γίνεσθαι τὸ συμπέρασμα, ἢ τινὶ ὑπάρχειν μόνον· ἀλλ' ὅτι τινὶ ὑπάρ-
χον γίνεσθαι καὶ αὐτῇ τοιαύτῃ μίξει τὸ συμπέρασμα· ὧν οὐδέτερον, ψεῦ-
δος κειμένου τοῦ Α, παντὶ τῷ Β ὑπάρχειν ἐξ ἀνάγκης· ὥστε καὶ ὡς αὐτὸν
τὸ ὑπὸ ταύτης κινηθέντα τῆς διαφορᾶς, ἐν ᾗ μὲν μίξει ἡ μείζων ἀναγκαία,
ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα, ἐν ᾗ δὲ ἡ ἐλάττων, ὑπάρχον:·

Ἔτι καὶ ἐκ τῶν ὅρων· φανερὸν ὅτι οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον.

Καὶ ἐπὶ τῶν ὅρων ἐλέγχει καὶ δείκνυσιν· ἔστω γὰρ δὴ τὸ μὲν Α κίνησις· τὸ δὲ Β
ζῷον· τὸ δὲ Γ ἄνθρωπος, ἐξ ἀνάγκης μὲν παντὶ ζῴῳ ὑπάρχοντος· τὸ ζῷον
παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ἡ κίνησις παντὶ μὲν ὑπάρξει ἀνθρώπῳ, οὐ μὴν ἐξ ἀνά(γκης)·
ἄξιον δὲ ἐνταῦθα ἐπιστῆσαι πῶς ἐπὶ ταύτης τῆς συμπλοκῆς διὰ τῶν ὅρων
ἐλέγξας μὴ συναγόμενον ἀναγκαῖον συμπέρασμα· οὐκέτι τὸ αὐτὸ τοῦτο
συναγόμενον δεῖξαι ἠδυνήθη ἐπὶ τῶν, τῆς μείζονος καθόλου τε καὶ ἀνα-
(γκαίαν) ἐχουσῶν συζυγιῶν· καὶ γὰρ ἐπ' ἐκείνων ὁμοίως ἦν τῶν αὐτῶν ὅρων παραθέσθαι,
δι' ὧν ἐστι μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα· ἂν γὰρ λάβωμεν ζῷον
παντὶ ἀνθρώπῳ, καὶ ἄνθρωπον παντὶ κινουμένῳ, συναχθήσεται τὸ ζῷον παντὶ κινουμένῳ·
ἀλλ' ἔοικεν ἐπακολουθῆσαι μόνῳ τῷ, τῷ καὶ τὰ παντὸς ἐξ ἀνάγκης· ὥστε

μὴ γὰρ τὸ ἕτερον μηδ᾽ ἂν ληφθὲν τοῦ ὑποκειμένου, καθ᾽ οὗ τὸ κατηγορούμενον οὐ ῥη-
θήσεται ἐξ ἀνάγκης τοῦ τοιούτου οὕτως ἐχόντος, λαμβάνοντα τὰ ὑπὸ τὸ β ὡς τοῦ
β τινὰ ὄντα, ἐξ ἀνάγκης αὐτῶν ἡ ληφθεῖ τὸ α κατηγορεῖσθαι· τοῦ τὸ δὲ εἶναι ἀληθές,
ἐπειδὴ τὰ ὑπὸ τὸ β, μέρη τοῦ β εἰσίν, ἢ οὕτως αὐτοῦ τινά, ὡς εἶναι τὴν οὐσίαν αὐτοῦ ἀνάγκη.
ἃ δὲ ἀδύνατα εἶναι τινὰ τῶν ὑπὸ τὸ β ἢ χωρίζεσθαι αὐτοῦ, οὐ κατά τινα ἢ οὖσιν ὑπὸ τὸ β,
τὸ α ἐξ ἀνάγκης ὑπάρξει· ἀδύνατον ἐπὶ τῆς καθόλου ὑπαρχούσης, τῆς παραλόγως
γνώσεως αἰτία· ἐπεὶ γὰρ ἐν ἀνάγκῃ πάντως ὑπάρχειν δεῖ τὸ α τοῖς ὑπὸ τὸ β ἂν παντὶ
τῷ β ὑπάρχῃ· ἀκολουθεῖ δὲ καὶ τὸ α ἀναγκαίως αὐτοῖς ὑπάρξειν· εἰ δ᾽ ἀνάγκα
ὁμοίως ὑπάρχει παντὶ τῷ β, τοῦ τὸ δέ, ἐπεὶ τὰ ὑπὸ τὸ β, τινὰ τοῦ β ἐστίν· ἀνάγκη τὸ
τινὰ τοῦ β ἀναγκαῖον, ὅτερον λεγόμενον, φανερόν ἐστι καὶ ἀποδεικνύει, ὡς εἶναι τὴν οὐσίαν
αὐτοῦ ὄντων, οὕτως ἐχόντων αὐτῶν· οὐ δεῖ τὸ α ἐξ ἀνάγκης αὐτοῖς ὑπάρχειν·
τὸ γὰρ ἐξ ἀνάγκης ὑπάρχον, οὐ γινόμενον ἀλλ᾽ ἀεὶ ὕστερον ὑπάρχει· διὸ ὑπάρ-
χουσαν οὐ λέγομεν· εἰ τοῦ τοῖς γὰρ τὸ καὶ τὸ παντὶ τοῦ β ἐξ ἀνάγκης κατηγορούμενον,
ἐξ ἀνάγκης ὑπάρξει καὶ τοῖς ὑπὸ τὸ β, ἐν οἷς ἐστιν ἐξ ἀνάγκης· ἐπὶ μὲν τοι τοῦ
καὶ τὸ παντὶ τοῦ β κατηγορουμένου ὑπάρχοντος, ἀληθές ἐστι τὸ, μηδὲ ἓν
τῶν ὑπὸ τὸ β, καθ᾽ ὧν οὐ κατηγορηθήσεται τὸ, καὶ τὸ παντὶ τοῦ β λεγόμενον· ὅτε
δὲ ὧν ἀναγκαία κατηγορεῖται τὸ β καὶ ὧν ὑπάρχοντος, τούτοις ἅπασιν ὑπάρχειν
τὸ, καὶ τὸ παντὶ αὐτοῦ κατηγορούμενον, ἀληθές, οὐ κατά γε μὴν τοι ἀληθές, τὸ ὧν
τὸ β ὑπαρχόντως κατηγορεῖται, τούτων τὸ, καὶ τὸ τοῦ β ἐξ ἀνάγκης παντὸς
κατηγορούμενον, κατηγορηθήσεσθαι ἐξ ἀνάγκης· τὸ μὲν γὰρ ἐξ ἀνάγκης ὑπάρχειν,
ὑπάρχειν ὑπάρχει ἀληθές· τὸ δ᾽ ὑπάρχον ἁπλῶς, ἐξ ἀνάγκης ἀεὶ ὑπάρχειν,
οὐκ ἀληθές· ὅτι δὲ ἡ ὑπάρχουσα καθόλου ὑπόθεσις ἐστίν, ἐδήλωσεν ἐκ γὰρ
τοῦ ἰδίου παρέθετο ὅρων:·

ὁμοίως δὲ καὶ εἰ στερητικὸν τὸ α β· ἡ γὰρ αὐτὴ ἀπόδειξις.

Ὁμοίως φησὶ δειχθήσεται, γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα, κἂν στερητικὴ ᾖ ἡ μεί-
ζων, καθόλου ἀποφατικὴ ὑπάρχουσα· πάλιν γὰρ θησόμεθα τὸ συμπέ-
ρασμα καθόλου ἀποφατικὸν ἀναγκαῖον· καὶ ἐν μὲν τῷ πρώτῳ σχήματι καὶ τὴν δεῖ-
ξιν ποιούμενοι, ἀντιστρέφομεν τὴν καθόλου καταφατικὴν ἀναγκαίαν τὴν β γ·
ἐὰν γὰρ τὸ α τῷ γ οὐδενὶ ἐξ ἀνάγκης, τὸ γ τῷ β τινὶ ἐξ ἀνάγκης· ἐξ ὧν δειχ-
θήσεται τὸ α τινὶ τῷ β μὴ ὑπάρχον ἐξ ἀνάγκης, ὅ ψεῦδος ἐστίν· ὑπέκειτο

μηδενὶ ὑπάρχον ἁπλῶς. διὰ ταῦτα βέλτιον ποιούμεθα τὴν δεῖξιν, ἐξὸν μὲν καὶ τὸ α
οὐδενὶ τῷ γ ἐξ ἀνάγκης· καὶ τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης· ἐκκείσθω γὰρ ταῦτα.
ἕξομεν πάλιν συναχθήσεσθαι τὸ α τινὶ τῷ β ἐξ ἀνάγκης μὴ ὑπάρχειν· ἀλλὰ
καὶ διὰ τῶν αὐτῶν ὅρων δειχθήσεται πάλιν καὶ ἀναγκαῖον γινόμενον τὸ συμ-
πέρασμα· κίνησις γὰρ οὐδενὶ ζώῳ ὑπαρχέτω· ζῷον δὲ παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης·
καὶ κίνησις οὐδενὶ ἀνθρώπῳ, ἀλλ' οὐκ ἐξ ἀνάγκης. δῆλον δὲ διὰ τοῦ ἀδυνάτου ὃ καὶ πεποίη(ται)
δεῖξιν, ἔοικε μὲν τῇ διὰ ἀδυνάτου ἀπαγωγῇ, οὐ μὴν ἡ αὐτή ἐστιν ἐκείνῃ. οὔτε
γὰρ τὸ ἀντικείμενον τοῦ συναγομένου ὑποτίθεται· οὐ γὰρ ἀντίκειται τῷ παντὶ
ὑπάρχειν τὸ α τῷ γ, τὸ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν· οὔτε τῷ μηδενὶ ὑ-
πάρχειν τὸ μηδενὶ ἐξ ἀνάγκης. τοῦτο δὲ ὑποτίθεται· ἀλλ' οὐδὲ τὸ δειχθὲν αὐ-
τῶν ὑποθέσεων ἀδύνατόν ἐστιν· ὥσπερ καὶ αὐτὸς ἐπεσημήνατο· ἀλλὰ ψεῦ-
δος· ψεῦδος γὰρ τὸ ὑποτεθέν· οὐ γὰρ ἀδύνατον. οὔτε γὰρ τὸ παντὶ ὑπάρχ(ον)
ἀδύνατον καὶ ἐξ ἀνάγκης τινὶ αὐτῷ ὑπάρχειν· οὔτε μὴν τὸ μηδενὶ ὑπάρχ(ον)
κεκώλυται καὶ ἐξ ἀνάγκης τινὶ αὐτῷ μὴ ὑπάρχειν. ψευδοῦς οὖν ὑποτεθέντ(ος),
ψεῦδος καὶ τὸ συναχθέν· ἀδυνάτῳ μὲν γὰρ ἀδύνατον ἕπεται· ψευδεῖ δὲ,
ψεῦδος· ἀλλ' οὐ τοῦτο ἐπὶ τῆς δείξεως, οὐκ ἀντικείμενον τὸ προκείμενον, οὔτε γὰρ
ἀναιρεθέντος τοῦ ἐξ ἀνάγκης ὡς ψευδοῦς, ἡ δύναται καὶ ἀληθὲς εἶναι
τὸ παντὶ ὑπάρχειν· μόνον γὰρ ἐξ ἀνάγκης τεθέντος τῇ ἀφαιρέσει τινὸς ἢ ἀνα-
σκευῇ τὸ ἀντικείμενον· τοῦτο δὲ οὐκ ἀντίκειται. οὐ μὴν τοῖς οὖν ἔοικε τῷ
τρόπῳ τῆς δείξεως τούτῳ πάνυ τι θαρρεῖν· ἀλλὰ προσχρῆται αὐτῷ, δεικνὺς
ὅτι, ἀναγκαῖον λαμβάνεται τοῦ συμπεράσματος ψευδοῦς τὸ ἕπεσθαι.
ὑπάρχοντος δὲ μή. δεῖ δὲ τὸ οὕτως αὐτὸ εἶναι, ἐπεὶ καὶ αἱ προτάσεις τοιαῦται,
ὑπάρχον ἀποδεικνύοιτο. οὐ γὰρ τῇ διὰ ἀδυνάτου ἀπαγωγῇ πρὸς τὸ δεικνύ-
μενον κέχρηται· ἀλλὰ μεταλαβὼν δεῖγμα πρὸ τοῦ ὄντος ἀντὶ τῆς ὑπάρχου(σης)
ἀναγκαίαν. καὶ ποιήσας τε καὶ αὐτὸ τῆς τε καὶ τῆς ἑτέρας τῶν κειμένων
τῆς ἐλάττονος, συλλογιστικὴν συζυγίαν. δείκνυσι τὸ συναγόμενον ψεῦδος
ὄν· τοῦτο προσχρῆται εἰς τὸ ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα:·
ἀπο(ρία) ἐπιζητήσαι δ' ἄν τις καὶ οὕτω. τὸ ἢ ἀναγκαῖον τοῦ, δὲ μεταληφθέντος τοῦ
ὑπάρχοντος εἰς τὸ ἀναγκαῖον, ψεῦδος τὸ συνάχθη, καὶ εἶναι τὸ ἀναγκαῖον
λύ(σις) συναγόμενον:· ἢ ὅτι ἐξ ἀληθῶν οὐσῶν, οἷόν τε ἀλλ' εἶναι ψεῦδος, τοῦτο

μένου ὅσῳ ἔξωθεν προστίθεται. τὸ δ᾽ ἀναγκαῖον ὑποτεθὲν τὸ συμπέρασμα, ψευδὲς τὸ συνάγεσθαι προσληφθείσης αὐτῷ τῆς ἐλάττονος προτάσεως. ἢ ἐκείνης ἀναγκαία. δεικνύουσι τὸ δὲ αὐτὸ μὴ ἀναγκαῖον ἀλλ᾽ ὑπάρχον συναγόμενον, καὶ διὰ τοῦ ὑπάρχοντος καὶ μὲν τεθειμένου· τῇ δὲ ἐξ ἀδυνάτου ἀπαγωγῇ χρώμενοι· εἰ μὴ συγχωροῖ τὸ τοιοῦτον γίνεσθαι, ἀδύνατον τὸ α παντὶ τῷ γ ἀναγκαῖον. οὐδὲ, μή. κείσθω γὰρ τὸ μὲν α παντὶ τῷ β ὑπάρχοντος· τὸ δὲ β παντὶ τῷ γ ἐξ ἀνάγκης. λέγω ὅτι τὸ α παντὶ τῷ β ὑπάρχει. εἰ γὰρ μὴ τὸ ἀντικείμενον, οὐ παντὶ τὸ α τῷ γ. ᾗ προσειλήφθω ἢ παντὶ τὸ β τῷ γ ἐξ ἀνάγκης. ἐξ ὧν συνάγεται τὸ α τινὶ τῷ β μὴ ὑπάρχειν ὅ ἐστιν ἀδύνατον· ἔκειτο γὰρ αὐτῷ παντὶ ὑπάρχειν. ἀλλ᾽ εἴ γε ληφθείη τὸ α τῷ γ παντὶ ἐξ ἀνάγκης ἐπὶ τῆς κειμένης συζυγίας. ἀντιληφθείη τὸ ἀντικείμενον τῷ παντὶ ἐξ ἀνάγκης· τὸ ἐνδέχεσθαι τὸ α τῷ γ τινὶ μὴ ὑπάρχειν, καὶ προσληφθείη τὸ β τῷ γ παντὶ ἐξ ἀνάγκης, συνάγεται τὸ α τῷ γ τινὶ μὴ ὑπάρχειν. καὶ προσληφθείη τὸ β τῷ γ παντὶ ἐξ ἀνάγκης, συνάγεται τὸ α τινὶ τῷ β ἐνδέχεσθαι μὴ ὑπάρχειν, ὅ οὐκ ἔστιν ἀδύνατον· τὸ γὰρ παντὶ ὑπάρχον οὐκ ἀδύνατον ἐνδέχεσθαι τινὶ αὐτῷ μὴ ὑπάρχειν. ἡ αὐτὴ δὲ δεῖξις, κἂν ἡ μὲν μείζων καθόλου ἀποφατικὴ ὑπάρχουσα, ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἀναγκαία. καὶ γὰρ ἐπὶ τούτων ἂν μὲν ὑπάρχον ἀποφατικὸν γίνεσθαι τὸ συμπέρασμα κείμενον, διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς διὰ τοῦ πρώτου σχήματος δείξας, ἀδύνατόν τι συναχθήσεται. ἂν δὲ ἀναγκαῖον, οὐκέτι. ὡς τὰ ἂν ὑπάρχον μὲν τὸ συναγόμενον οἴονται διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς. ἀναγκαῖον δὲ οὔ, ὑπάρχον ἂν εἴη τὸ συναγόμενον.

Θεόφραστος δὲ ὅτι μὴ ἀναγκαῖον γίνεται τὸ συμπέρασμα ἐν τῇ τοιαύτῃ συμπλοκῇ, οὕτω λέγει· εἰ γὰρ τὸ μὲν β τῷ γ ἐξ ἀνάγκης, τὸ δὲ α τῷ β μὴ ἐξ ἀνάγκης, τὸ δὲ μὴ ἐξ ἀνάγκης καὶ χωρισθῆναι, φανερὸν ὡς τοῦ β χωριζομένου καὶ τοῦ γ χωρισθήσεται τὸ α. ὡς τὸ οὐκ ἐξ ἀνάγκης διὰ τῶν κειμένων. ἂν δειχθεῖεν τὸ προστεθεῖσιν, ὡσαύτως δὲ καὶ εἰ ἀναγκαία ἡ μείζων. εἰ γὰρ τὸ μεῖζον οὐκ ἐξ ἀνάγκης καὶ χωρισθῇ, τούτου δὲ χωριζομένου καὶ τὸ μεῖζον. ἐὰν γὰρ ἑξῆς οὕτως λαμβάνηται τοῦ τὸ β. καὶ τὸ α ἐξ ἀνάγκης, ὥσπερ ἀναγκαίας ἀμφοτέρας λαμβάνειν. μὴ γὰρ οὕτως λαβόντες ψευδεῖς. διὰ τοσούτων δείκνυσιν ὁ Θεόφραστος, ὅτι ἐν ταῖς μίξεσιν ὑπάρχουσαι καὶ ἀναγκαῖαι ἔστι.

ὁπότερα ἂν αὐτῶν ᾖ ἀναγκαία, ὑπάρχον τὸ συμπέρασμα :· +

Ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν, εἰ μὲν τὸ καθόλου ἐστὶν ἀναγκαῖον, τὸ συμπέρασμα ἔσται ἀναγκαῖον.

Εἰπὼν περὶ τῶν δύο συζυγιῶν τῶν ἐν πρώτῳ σχήματι ἐν αἷς ἐξ ἀμφοτέρων καθόλου προτάσεων, καθόλου συνάγεται· ἀλλ' ἐν μὲν τῇ ἐξ ἀναγκαίας καὶ ὑπαρχούσης προτάσεως, ὡς πότε μὲν ἀναγκαῖον ἔσται τὸ συμπέρασμα, τῆς ποίας ληφθείσης ἀναγκαίας· πότε δὲ ὑπάρχον, λέγει καὶ περὶ τῶν δύο συζυγιῶν ἐν αἷς ἡ ἐλάττων πρότασις ἐπὶ μέρους καταφατική ἐστιν· ἡ δὲ μείζων καθόλου ἢ καταφατικὴ ἢ ἀποφατική· καί φησιν ὅτι καὶ ἐν ταύταις ταῖς συμπλοκαῖς ἐὰν μὲν ἡ μείζων ἀναγκαία ᾖ καταφατικὴ οὖσα ἢ ἀποφατική, ἀναγκαῖον ἔσται τὸ συμπέρασμα καθάπερ καὶ ἐπὶ τῶν πρώτων συζυγιῶν· ἂν δὲ ἡ ἐλάττων, ὑπάρχον. ταῖς αὐταῖς δὲ προσχρώμενος καὶ ἐπὶ τούτων ἀναγκαίων ἢ τῷ ἐκθέσθαι δεικνύναι τὸ συμπέρασμα. οὔσης τῆς μείζονος ἀναγκαίας καθόλου· τῷ γάρ, τὸ μὲν α παντὶ τῷ β ἐξ ἀνάγκης, τὸ δὲ μέρος τοῦ γ ὑπὸ τὸ β εἶναι· ἤγουν ἀκολουθήσει καὶ τὸ καὶ τινὰ τοῦ γ τὸ ὑπὸ τὸ β, τὸ α ἐξ ἀνάγκης ὑπάρχειν. ὁμοίως δὲ ὁ λόγος, κἂν ἡ μείζων καθόλου ἀποφατικὴ ἀναγκαία ᾖ :·

Τοῦ μέντοι ἐπὶ μέρους ὄντος ἀναγκαίου, οὐκέτι δὴ ἔσται ἀνάγκη φησὶν ἀναγκαῖον τὸ συμπέρασμα· καὶ τὴν αἰτίαν προστιθεὶς φησίν· οὐδὲν γὰρ ἀδύνατον συμπίπτει καθάπερ οὐδ' ἐν τοῖς καθόλου συλλογισμοῖς. λαβόντος ὅτι ὑπάρχον ἐστὶ τοῦ συμπεράσματος τὸ ὑποτεθέντος κεῖσθαι οὐδὲν ἄτοπον ἀδύνατον. τοῦτ' ἔστι ψεῦδος. ὥσπερ οὐδὲ τῶν ἀμφοτέρων μὲν ἦσαν καθόλου δὲ ἡ ἐλάττων ἀναγκαία. ἐπ' ἐκείνων γὰρ ἀναγκαίου μὲν ὑποτεθέντος τοῦ συμπεράσματος, ψεῦδός τι ἀπήντα· ὑπάρχοντος δέ, οὐδέν. ἂν γὰρ ὑποθοίμεθα ἐπὶ τῶν καθόλου, τὸ α παντὶ τῷ γ ὑπάρχοντος· λάβοιμεν δὲ καὶ τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης, συνάγεται ἐν τρίτῳ σχήματι τὸ α τινὶ τῷ β ὑπάρχειν· ὅπερ ἀληθές ἐστιν· ὑπέκειτο γὰρ παντὶ ὑπάρχειν. ὥσπερ οὖν ἐπ' ἐκείνων ἀναγκαίου μὲν ὑποτεθέντος τοῦ συμπεράσματος, ψεῦδός τι συνήγετο· ὑπάρχοντος δὲ οὐκέτι, οὕτω φησὶ καὶ ἐπὶ τῶν ἐν μέρει ἔχει. ἐὰν ἡ ἐλάττων, ἤτοι ἐπὶ μέρους καταφατικὴ ἀναγκαία ᾖ τε, οὐδὲν γὰρ ἀδύνατ[ον]

συμπίπτει καθὰ προσδεῖ αὐτοῖς καθόλου συλλογισμοῖς, ἁπλῶν· ὁμοίως καὶ ἐπὶ τῶν
ἀναγκαίου τεθησομένου τοῦ συμπεράσματος. τῇ δὲ εἰς ἀδύνατον ἀπαγωγῇ χρωμένων
ἡμῶν, δέον δεδεῖξαι αὐτοῦ, οὐδὲν ἀδύνατον ἕπεται· ἀλλὰ ψεῦδος μόνον, ὡς ἐδεί-
χθη διὰ τῶν προειρημένων· διὸ οὐ καὶ τὸ συνάγεσθαι, οὕτως. οὐδὲ γὰρ
ἢ ἄλλο τι τῶν ἐπὶ μέρους ἀναγκαῖον καταφατικὴ πρότασις· εἰ γὰρ δὴ τὸ α τῷ β
παντὶ ὑπάρχει· τὸ δὲ β τῷ γ τινὶ ἐξ ἀνάγκης· ἢ βούλεται τις διὰ τῆς εἰς ἀδύ-
νατον ἀπαγωγῆς δεῖξαι τὸ α τινὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχον, λήψεται μὲν
τὸ ἀντικείμενον αὐτοῦ· τὸ ἐνδέχεσθαι τὸ α τῷ γ μηδενί· ᾧ προσληφθέντος
τοῦ τὸ β τινὶ τῷ γ ἐξ ἀνάγκης, συναχθήσεται διὰ τρίτου σχήματος τὸ α τινὶ τῷ β
ἐνδέχεσθαι μὴ ὑπάρχειν· ὃ οὐκ ἀδύνατον· ἔκειτο γὰρ αὐτῷ παντὶ ὑπάρχον.
ὡς τὸ οὐ καὶ τὸ συνάγεσθαι· ὃ μέντοι μὴ ἀναγκαῖον ἐπὶ μέρους καταφατικόν.
ἀλλ' ὑπάρχον βουληθέντι ἡμῖν δεῖξαι τὸ συμπέρασμα, διὰ τῆς εἰς ἀδύνατον ἀ-
παγωγῆς προχειρίσασθαι ὁ λόγος εἰς ἀδύνατον συναχθήσεται παρὰ τὴν
ὑπόθεσιν· τὸ μὲν γὰρ ἀντικείμενον τῷ τὸ α τινὶ τῷ γ, ἐστὶ τὸ τὸ α μηδενὶ τῷ γ.
ᾧ δὴ ἂν προσληφθῇ τὸ β τινὶ τῷ γ ἐξ ἀνάγκης, συναχθήσεται τὸ α τινὶ τῷ β
μὴ ὑπάρχον, οὐκ ἀδύνατον· παντὶ γὰρ ὑπῆρχεν αὐτῷ. ὥστε ἀδύνατος ἡ
ὑπόθεσις ἡ, μηδενὶ τῷ γ τὸ α λέγουσα. τινὶ ἄρα. ὡς οὖν ἐπὶ τῶν καθόλου
οὐκ ἦν ἀναγκαῖον τὸ συμπέρασμα ὅτι οὐδὲν ἀδύνατον ἕπεται χρωμένων
ἡμῶν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἀπ' αὐτῶν, οὕτως καὶ ἐπὶ τῶν ἐπὶ μέρους.
οὐκ ἐξὸν θέσθαι διὰ τὴν δεῖξιν οὔτε ἐπὶ τῶν καθόλου οὔτε ἐπὶ τῶν ἐπὶ μέρους,
τῷ διὰ ἀδυνάτου· ὡς καὶ προειρημένον· ἀλλὰ μόνον ἐμνημόνευσεν αὐτῆς.
ὅτι καὶ γίνεται ἐν αὐτῇ μίξις ἐνδεχομένης ἀναγκαίας· πρὶν ἢ μὴ ἔχωσ οὐδὲ
ποτὸν λόγον πεποίηται· δυνατὸν γὰρ τὸ, οὐδὲν γὰρ ἀδύνατον συμβαίνει, οὐ
καὶ ἐπὶ τῆς δείξεως ἐποιήσατο δυνατῆς ψεῦδος ἕπεσθαι ὑποτεθέντι τοῦ
ἀναγκαίου, ἐπανάγων τῇ ἡμῖν εἰρημένα. ἀλλ' οὐδὲ ἐπὶ τῆς εἰς ἀδύνατον ἀπα-
γωγῆς πρὶν ἢ ἀποδεῖξαι. ἀλλ' ἐπὶ τὴν ἐκ τῶν ὅρων μαρτυρίαν· τοῖς γὰρ
εἰρημένοις, ἡ ἐπὶ τῶν ὅρων δεῖξις συνᾴδει. ληφθήσονται γὰρ πρὸ τούτων
ἐν συζυγίᾳ τῇ μίξει τοιαύτῃ, τὸ συμπέρασμα ὑπάρχον ἢ ἐνδέχεται. καὶ διὰ
ἀδύνατον ὑφ' ἡμῶν, δὲ ἐπὶ τῶν ὅρων ἐλέγχεται. εἰ τοῦ τὰ εἶναι τὸ εἰρημένον,
σημεῖον δ' ἂν εἴη τοὺς ὅρους αὐτὸν εὐθέως παραθέσθαι· κίνησις μὲν γὰρ παντί

ζώῳ ὑπάρχοντος ἢ οὐδενί· ζῷον δὲ τινὶ λευκῷ ἐξ ἀνάγκης· κύκνῳ γάρ·
τινὶ γὰρ ὄντος τινὶ λευκῷ ὑπάρχει· οὐ μὴν ἐξ ἀνάγκης· ἢ τινὶ λευκῷ οὐχ ὑ-
πάρχει, ὑπάρχοντος· δεδειγμένου δὲ διὰ τῆς ἀπαγωγῆς ὅτι τὴν ἐπὶ μέρους ἀπόδειξιν,
οὐχ οἷόν τε ἐπὶ τούτων χρήσασθαι, ἢ ἐπὶ τῶν καθόλου ἐχρήσατο· καὶ γὰρ
γὰρ τοῦ, τὸ α τινὶ τῷ γ ὑπάρχειν ἐξ ἀνάγκης· ὁποτέραν προσλαβόντων
τῷ συμπεράσματι τούτων τῶν κειμένων, ὁ συλλογισμὸς ἢ συμπλοκὴ
ἢ γίνεται· ἂν μὲν γὰρ τὸ β τινὶ τῷ γ ἐξ ἀνάγκης ἐν τρίτῳ σχήματι, ἕξομεν
δύο τὰς ἐπὶ μέρους καταφατικὰς ἀναγκαίας· ὁμοίως δὲ καὶ ἐν πρώτῳ
ἀπὸ τοῦ β γ ἀντιστρέψομεν· ἂν δὲ τὸ α παντὶ τῷ β καὶ τινὶ τῷ γ ἐξ ἀνάγκης·
δύο πάλιν καταφατικὰς ἕξομεν ἐν δευτέρῳ σχήματι, καὶ οὐκ ἔστι δεῖξαι:
διὸ ἀλλὰ δεῖ ἐξ ἴσου ἡμᾶς τῶν προτάσεων τῶν καθόλου, καὶ περὶ τῶν ἐπὶ
μέρους ποιεῖσθαι· ἐπεὶ γὰρ αὐτῶν ἐκείνων μόνον ταῖς ἐπὶ μέρους τῷ σχημα-
τισμῷ διαφέρουσιν· ἐπεὶ δὲ τῶν καθόλου ὑπάρχοντος τε κειμένου τοῦ
συμπεράσματος, οὐ δεῖ ἀδύνατον· τούτου γὰρ οὐ δεῖ καὶ ἐπὶ τό
τε ἐπὶ τούτων ὑπάρχον μὲν ἔσται τὸ συμπέρασμα ὡς ἐπὶ τῆς ἐπὶ πάντων·
ἐπὶ μέρους δέ, αὕτη γὰρ μόνη ὡς ἐν τοῖς προτέροις διαφορὰ κειμένη.
Ἔτι οὐδὲ ἀδύνατον συμπίπτει ὑπάρχοντος ὑποτεθέντος τοῦ συ-
μπεράσματος· ὅτι μηδὲ συλλογιστική τις γίνεται συζυγία, δι' ἧς τὸ
ἀδύνατον ἂν ἐδείχθη τοῦτο· καὶ ἀναγκαῖον ὑποτεθὲν τὸ συμπέ-
ρασμα γίνεται· οὐδ' ἂν ἀποφατικὴ ἡ μείζων καθόλου
ὑπάρχουσα ληφθῇ, οὐδ' οὕτως ἡ δεῖξις προ-
χωρεῖ· γίνονται γὰρ πάλιν ἐν πρώτῳ καὶ
τρίτῳ σχήματι ἐπὶ μέρους ἀμ-
φότεραι· ἡ μὲν γὰρ ἀπο-
φατικὴ ἡ δὲ καταφα-
τική ἐστιν, ἢ ἐν
δευτέρῳ
ἀμ-
φότεραι ἀποφατικαί· οὐ δὴ παραθετέον ὅρους· ἁρμό-
ζουσι καὶ ἐπὶ τῆς συζυγίας ταύτης:

## Μίξις ὑπάρχοντος καὶ ἀναγκαίου ἐν δευτέρῳ σχήματι.

†

Ἐπὶ δὲ τοῦ δευτέρου σχήματος ἐὰν μὲν ἡ στερητικὴ πρότασις ᾖ ἀναγκαία, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον· ἐὰν δὲ ἡ κατηγορική, οὐκ ἀναγκαῖον·

δηλονότι, ἐὰν μὲν ἡ στερητικὴ πρότασις ᾖ καθόλου πρὸς ὑπάρχουσαν· περὶ γὰρ πρώτων λέγει τῶν ἐν καθόλου προτάσεων. ἐὰν γὰρ συμπλοκὴ ἐπὶ μέρους ᾖ, ἡ στερητικὴ ἔσται ἐν τῇ ἐλάττονι ζητεῖται τὸ ἀποφαντικὸν τοιοῦτον· ὅταν ἡ ἀναγκαία, ἐν τοῖς καθόλου συλλογισμοῖς ἀκουστέον· περὶ γὰρ τούτων ποιεῖται τὸν λόγον πρῶτον. προσθήσω γὰρ καὶ τὸ ὁμοίως δὲ ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν· ἀκόλουθα δὲ ἐστὶ καὶ ἐπὶ τοῦ δευτέρου σχήματος λεγόμενα τοῖς ἐπὶ τοῦ πρώτου δεδειγμένοις αὐτοῖς. ἐπεὶ γὰρ ἀνωτέρω τῆς μείζονος προτάσεως ἀναγκαίας οὔσης ἐν ταῖς μίξεσιν, ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, τὸ δὲ δεύτερον σχῆμα τῷ γίνεσθαι ἔχει ἀπὸ τοῦ πρώτου· τῆς γὰρ ἐν αὐτῷ μείζονος ἀντιστραφείσης προτάσεως, γέγονε τοῦτο. καὶ διὰ τῆς ἀντιστροφῆς οἱ πλεῖστοι τῶν ἐν τούτῳ συλλογισμῶν εἰς τὸ πρῶτον ἀνάγονται σχῆμα. ἀντιστραφεῖσα γὰρ ἡ καθόλου ἀποφατικὴ ἐν τῷ δευτέρῳ σχήματι, γίνεται μείζων ἐν τῷ πρώτῳ, ὅταν δὴ αὕτη ἀναγκαία ᾖ, ἀναγκαῖον ἔσται καὶ τὸ συμπέρασμα. ἐπεὶ γὰρ δεῖ μὲν ἐν τῷ πρώτῳ σχήματι τὴν μείζονα εἶναι καθόλου, εἰ συλλογισμὸς γίνοιτο. δεῖ δὲ ἀντιστραφείσης τινὸς καὶ τοῦ δευτέρου σχήματος γίνεσθαι τὴν μείζονα. ἐπειδὴ οὕτως ἐγένετο τὸ δεύτερον σχῆμα, αὕτη ἐστὶ πρότασις ἀντιστρεφομένη ἡ τε καθόλου τε ἐστὶ καὶ ἀντιστρεφομένη καθόλου μένουσα· τοιαύτη δὲ ἐστὶ μόνη ἡ καθόλου ἀποφατική. ταύτης γὰρ ἀντιστρεφομένης, εἰς τὸ πρῶτον σχῆμα τοῦ δευτέρου ἀναγωγή· ὅταν δὲ αὕτη ᾖ ἀναγκαία, ἀναγκαῖον ἔσται τὸ συμπέρασμα. ἐπεὶ τε ἀντιστραφεῖσα ἀναγκαία μένει, καὶ γίνεται ἡ μείζων ἐν πρώτῳ σχήματι. οὐκέτι μέντοι γε τῆς κατηγορικῆς προτάσεως ἀναγκαίας γενομένης ἐν δευτέρῳ σχήματι, ἀναγκαῖον τὸ συμπέρασμα. αὕτη γὰρ ἐστὶν ἡ γινομένη ἐλάττων ἐν τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ τῶν τοῦ δευτέρου σχήματος συζυγιῶν. οὔσης δὲ τῆς ἐλάττονος ἐν αὐτῷ ἀναγκαίας, ὑπάρχον γίνεται τὸ συμπέρασμα :•

Ἔστω πρότερον ἡ στερητικὴ ἀναγκαία :•

Σαφὴς ἡ λέξις. ἀντιστρέφει γὰρ ἡ καθόλου ἀποφατικὴ ἐπὶ τῆς ἀναγκαίας. καὶ ποιήσας τὸ πρῶτον σχῆμα ἐπεὶ ἀναγκαίας οὔσης τῆς μείζονος ἀναγκαίας, ἀναγκαῖον τὸ συμπέρασμα, ὅπερ φησὶ δείκνυσθαι καὶ ἀπὸ τοῦ τούτου σχήματος. ὅτι δὲ τὸ μηδενὶ ἐνδέχεσθαι ἀπὸ τῆς ΑΒ προτάσεως εἰρημένον. ἀποφάσεως οὔσης ἐνδεχομένης τῆς ἀναγκαίας δηλοῖ, γνώριμον. τὸ γὰρ μηδενὶ ἐνδεχόμενον, ἐξ ἀνάγκης οὐδενὶ αὐτῷ ὑπάρχει. οὐ γὰρ ὡς ἐνδεχομένη, ἀλλ' ὡς ἐνδεχομένης ἀποφάσεως ἀληπτέον. καὶ ἰσοδυναμοῦν τῆς ἐξ ἀνάγκης οὐδενί:

ὥστε οὐδενὶ τῷ Γ τὸ Β ἐνδέχεται.

Ὅμοιον ἐκείνῳ ἐστὶ γὰρ τὸ λεγόμενον, οὐ μηδὲ ἐνδέχεσθαι τινί. ὅ ἴσον ἐστὶ τῷ ἐξ ἀνάγκης οὐδενί. πάλιν δὲ τῷ αὐτῷ προσεχρήσατο ἀπών. τὸ γὰρ Γ ὑπὸ τὸ Α ἐστίν. ἐπεὶ γὰρ καὶ τὸ τὸ Α παντὶ τῷ Γ ὑπάρχειν, οὐδενὶ δὲ τῷ Α τὸ Β ἐξ ἀνάγκης, οὐδὲ τῷ Γ οὐδενὶ ὑπάρξει τὸ Β. καὶ ἐκ τοῦ τὸ Α, ὃ ἐξ ἀνάγκης οὐδενὶ ὑπάρχει τὸ Β:

ὡσαύτως δὲ καὶ εἰ πρὸς τὸ Γ τεθείη τὸ στερητικόν.

Λέγει ὅτι ἔστι καὶ τῶν καθόλου προτάσεων, ἐν τῷ δευτέρῳ σχήματι γινόμενοι συλλογισμοί· ποτὲ μὲν τῆς μείζονος οὔσης καθόλου ἀποφατικῆς, ποτὲ δὲ τῆς ἐλάττονος, οἵτινες ἀμφότεροι, εἰς τὸ πρῶτον ἀνάγονται σχῆμα, τῆς καθόλου ἀποφατικῆς ἀντιστρεφομένης, καὶ γινομένης ἐν τῷ πρώτῳ σχήματι, μείζονος προτάσεως. ἡ δὲ αὐτῶν πρὸς ἀλλήλους ἡ διαφορά, ὁ τὸ μὲν τὴν μείζονα ἔχων καθόλου ἀποφατικήν, διὰ μιᾶς ἀντιστροφῆς τὸ προκείμενον συνάγει ἐπιδείκνυται. ὁ δὲ τὴν ἐλάττονα, διὰ δύο ἀντιστροφῶν, οὐ γὰρ μόνον ἡ πρότασις ἡ ἀποφατικὴ ἀντιστρέφεται, ἀλλὰ καὶ τὸ συμπέρασμα, ὂν καθόλου ἀποφατικόν. ἐπεὶ τοίνυν καὶ τῆς ἐλάττονος οὔσης καθόλου ἀποφατικῆς ἐν τῷ δευτέρῳ σχήματι, μείζονος γινομένης ταύτης, ἀκολούθως λέγει, ὅτι κἂν ἡ ἐλάττων πρότασις ἐν τῷ δευτέρῳ σχήματι καθόλου ἀποφατικὴ ἀναγκαία ἦ, ἀναγκαῖον ἔσται τὸ συμπέρασμα. ὅ ἐστι γὰρ ἐπὶ τῆς προτέρας συζυγίας εἴρηται, καὶ ἐπὶ ταύτης ἁρμόσει. πλὴν δεήσει ἐπὶ ταύτης ἀντιστρέψαι καὶ τὸ συμπέρασμα, ὃ ἤδη δηλώσομεν ἐπελθόντες:

οὐκ ἄρα οὐδὲ τὸ Β τῷ Γ· ἀντιστρέφει γὰρ ὁμοίως.

Τὸ ὁμοίως προστεθέν, δηλωτικόν ἐστιν ἀντὶ τοῦ, ἀνάγκη ἡ ἀναγκαία ἀντιστρέφεται, ἀναγκαίαν καὶ τὴν ἀντιστρέφουσαν αὐτὴν γίνεσθαι, ἀνυπάρχουσαν, ἢ ὁμοί-

ὥστε τῶν ἀναγκαίων ὡς ἐκείνων τῶν ὑπαρχουσῶν:· ἐὰν δ' ἡ κατηγορικὴ πρότασις ἐστὶν ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον:· +

Ὅτι μὴ γίνεται ἀναγκαῖον τὸ συμπέρασμα ἐν δευτέρῳ σχήματι τῆς καταφατικῆς καθόλου τῆς ἀναγκαίας οὔσης, τῆς δὲ ἑτέρας καθόλου ἀποφατικῆς ὑπαρχούσης, δείκνυσιν ἀνάγων διὰ τῆς ἀντιστροφῆς τῶν συμπλοκῶν τῶν κειμένων εἰς τὸ πρῶτον σχῆμα. ἡ δὲ ἕξει τὴν ἐλάττονα ἀναγκαίαν γινομένην ἀνάγων αὐτάς, μείζονα δὲ ἐν πρώτῳ σχήματι ἀποφατικὴν ἐν ταῖς συλλογιστικαῖς συζυγίαις, τῷ τὴν ἐλάττω δέον δὲ αὐτὴν καὶ καταφατικὴν εἶναι. μὴ οὔσης δὲ τῆς ἀποφατικῆς ἀναγκαίας, τὸ συμπέρασμα οὐ γίνεται ἀναγκαῖον:· Ἔτι εἰ τὸ συμπέρασμά ἐστιν ἀναγκαῖον, συμβαίνει τὸ Γ τινὶ τῷ Α μὴ ὑπάρχειν ἐξ ἀνάγκης.

Οὐ μόνον τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ τὴν συμπλοκὴν τὴν ἐν δευτέρῳ σχήματι τὴν ἔχουσαν τὴν καθόλου καταφατικὴν ἀναγκαίαν, ὑπάρχουσαν δὲ τὴν καθόλου ἀποφατικὴν, δείκνυσιν μὴ ἀναγκαῖον συνάγουσαν, ἀλλὰ καὶ τῷ εἰ ὑποτεθείη ἀναγκαῖον εἶναι τὸ συμπέρασμα, ψεῦδός τι συνάγεσθαι, ὡς ἔδειξε τὸ ἐν τῷ πρώτῳ σχήματι, ὅταν ἡ ἐλάττων ᾖ καθόλου καταφατικὴ ἀναγκαία. καθ' ὃ γὰρ ἡ συζυγία ἦν τὸ Α παντὶ μὲν τῷ Β ἐξ ἀνάγκης ὑπάρχειν, τῷ δὲ Γ μηδενὶ ὑπάρχειν μόνον. ἂν δὴ συνάγεσθαι λέγῃ τὸ Β ἐξ ἀνάγκης μηδενὶ τῷ Γ, ἔσται καὶ τὸ Γ ἐξ ἀνάγκης μηδενὶ τῷ Β· ἀντιστρέφει γάρ. ἀλλ' ἐπεὶ δὴ ἔκειτο τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, καὶ τὸ Β τινὶ τῷ Α ἐξ ἀνάγκης ὑπάρξει. ἐξ οὗ ἐν τῷ πρώτῳ σχήματι ἐκ δύο ἀναγκαίων τῆς μὲν μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἐπὶ μέρους καταφατικῆς, ἐπὶ μέρους ἀναγκαῖον ἀποφατικὸν συναχθήσεται τὸ, τὸ Γ τινὶ τῷ Α ἐξ ἀνάγκης μὴ ὑπάρχειν· ὃ ψεῦδος εἶναί φησι. διὰ τὸ μηδὲν κωλύειν ὅτε τὸ Α κεῖται μηδενὶ τῷ Γ ὑπάρχειν, τότε τοιοῦτον εἶναι τὸ Α· ὡς ἐνδέχεσθαι μηδενὶ αὐτῷ ὑπάρχειν τὸ Γ, διὰ τὸ κεῖσθαι μὲν τὸ Α τῷ Γ μηδενὶ ὑπάρχειν· ἀντιστρέφειν δὲ τὴν καθόλου ἀποφατικὴν ἑαυτῇ, ἀλλ' οὐδ' ὡς ἂν αὐτῷ ἢ παντὶ ὑπάρχειν· οὐ γὰρ κωλύεται ἀληθὴς εἶναι ἡ ἀπόφασις ἡ λέγουσα τὸ Γ οὐδενὶ τῷ Α ὑπάρχειν, ἐνδέχεσθαι αὐτῷ παντὶ ὑπάρξαι. ὅτε δ' οὐ εἰλημμένης τῆς ἀποφατικῆς τὸ Α μηδενὶ ὑπάρχειν τῷ Γ. ὡς εἰ τοῦ Α παντὶ αὐτῷ ἐνδεχομένου τοῦ Γ. ἢ τοῦ Γ παντὶ αὐτῷ ὑπάρχειν τῷ Α, συναχθὲν τὸ Γ τινὶ ἐξ ἀνάγκης μὴ ὑπάρχειν τῷ Α, ψεῦδος ἔσται τὸ συναγόμενον. ὥστε

ὑποτεθέντος τοῦ συμπεράσματος ἀναγκαίου γίνεσθαι ἐν τῇ εἰρημένῃ συζυγίᾳ,
ψεῦδός τι ἠκολούθησε· ψευδὴς ἄρα καὶ ἡ ὑπόθεσις. οὐ γὰρ οἷόν τε ἐξ ἀληθῶν
ψεῦδός τι συνάγεσθαι. παρατίθεται δὲ καὶ ὅρους ἐφ' ὧν ἐνδέχεται τὴν καθόλου
ἀποφατικὴν ἀληθῆ εἶναι, ἐνδεχομένου καὶ παντὶ ὑπάρχειν τοῦ ὑποκειμένου
τοῦ ἀποφατικοῦ ἀληθῶς. ἂν γὰρ τὸ μὲν α ζῷον· τὸ δὲ γ κινούμενον· ἐγχωρεῖ
τὸ α τουτέστι τὸ ζῷον, μηδενὶ κινουμένῳ ὑπάρχειν. οὐ μὴν διὰ τοῦ τοιού-
του καὶ αὐτῷ ἐνδέχεσθαι καὶ παντὶ ὑπάρξαι. ὁμοίως καὶ τὸ κινούμενον καὶ μη-
δενὶ ζώῳ ὑπάρχει, ἀλλὰ καὶ παντὶ αὐτῷ ἐνδέχεται ὑπάρχειν. τὸ κινεῖσθαι τῷ
οὐδενὶ ζώῳ δυνατόν· τουτέστι τὸ γ τῷ α. διὰ τὸ ἀντιστρέφειν τὴν καθόλου ἀποφατικήν.
οὐ μὴν ἀλλὰ καὶ παντὶ αὐτῷ ἐνδέχεται. καὶ γὰρ εἰ μὴ τὸ ζῷον συγχωρεῖ τις παντὶ
κινουμένῳ δύνασθαι ὑπάρχειν, ἀλλὰ καὶ τὸ κινεῖσθαι τῷ παντὶ ζώῳ συγχω-
ρήσει ἐνδέχεσθαι ὑπάρχειν. ὥστε κἀπὶ τινῶν οὕτως ἐνδέχεται. ὁ δέ, ἀπο-
φατικὸν ἐπὶ μέρους ἀναγκαῖον ποιήσας τὸ συμπέρασμα, ἀναιρεῖται τοῦτον.
ἐξ ἀνάγκης γὰρ δήπου τινὶ μὴ ὑπάρχον, ὃ καὶ τὸ α ἁπλῶς μηδενὶ ὑπάρ-
ἐλέγχοι τοῦτον ὡς οὐχ ὑγιῶς λαμβάνων ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα
ἐπὶ τῇ τοιαύτῃ τῶν προτάσεων μίξει τε καὶ συμπλοκῇ. ὅτι δὲ τῆς τοιαύτης οὔσης
συμπλοκῆς, οὐκ ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, δείκνυται καὶ διὰ τῆς
εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ ὑπάρχον τινὶ μὲν τεθειμένου γίνεσθαι τοῦ
συμπεράσματος, καὶ τοῦ ἀντικειμένου τῷ ὑπάρχοντι ὑποτεθειμένου, ἀδύ-
νατον ἕπεται. εἰ δὲ ἀναγκαῖον ὑποτεθῇ γίνεσθαι, οὐ δείκνυται διὰ τῆς
εἰς ἀδύνατον ἀπαγωγῆς, ἀδύνατον. δηλονότι ὡς ὑπάρχον ἂν δεικνύοι τὸ
ἀλλ' οὐκ ἀναγκαῖον γινόμενον τὸ συμπέρασμα. κείσθω γὰρ τὸ α τῷ μὲν β
παντὶ ἐξ ἀνάγκης, τῷ δὲ γ μηδενί. λέγω ὅτι τῷ β τὸ γ οὐδενὶ ὑπάρξει.
εἰ γὰρ μή, τινὶ ὑπάρξει. ἀλλὰ καὶ τὸ α τῷ β παντὶ ἐξ ἀνάγκης. τὸ α ἄρα
τινὶ τῷ γ ἐξ ἀνάγκης, ὅπερ ἀδύνατον. ἔκειτο γὰρ μηδενὶ αὐτῷ ὑπάρχειν. εἰ δὲ
λέγει τις ἐπὶ τῆς εἰρημένης συζυγίας, ἀναγκαῖον ἀποφατικὸν καθόλου συνά-
γεσθαι· τὸ β οὐδενὶ τῷ γ ἐξ ἀνάγκης· ἂν λαμβάνωμεν τὸ ἀντικείμενον τούτου.
ὅ ἐστιν ἐνδέχεσθαι τὸ β τινὶ τῷ γ, καὶ προσλαμβάνωμεν τὸ α παντὶ τῷ β ἐξ ἀ[νάγκης]
ἔσται τὸ συμπέρασμα τὸ α τινὶ τῷ γ ἐνδέχεσθαι, ὃ οὐκ ἔστιν ἀδύνατον. οὐ γὰρ
ἀδύνατον, τὸ μηδενὶ ὑπάρχον, τινὶ αὐτῷ ἐνδέχεσθαι ὑπάρχειν:

ἔτι καὶ ὅροις ἐνῆν φανερὸν ἀποδεῖξαι, ὅτι τὸ συμπέρασμα οὐκ ἔστιν ἀναγκαῖον ἁπλῶς, ἀλλὰ τούτων ὄντων, ἀναγκαῖον:

Ὅτι τῆς τοιαύτης οὔσης συμπλοκῆς, οὐκ ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, καὶ τῇ τῶν ὅρων παραθέσει δείκνυσιν. ἂν γὰρ ᾖ τὸ μὲν α, ζῶον· τὸ δὲ β, ἄνθρωπος· τὸ δὲ γ, λευκόν· τὸ α ὅ ἐστι ζῶον, παντὶ μὲν ἐξ ἀνάγκης τῷ β, ὅ ἐστιν ἄνθρωπος· οὐδενὶ δὲ τῷ γ ὅ ἐστι λευκόν, ὑπάρξει ἁπλῶς· ὁ μὲν τὰ παραμυθίας(?) θήκων(?)· ἄπων(?)· ἐνδέχεται γὰρ τὸ ζῶον μηδενὶ λευκῷ ὑπάρχειν· καὶ γὰρ τοῦ τὸ μὴ τοιοῦτον εἴη. ἀλλὰ ἄλλο τι τοιοῦτον ληφθήσεται, ὅ, δὴ ἄνθρωπος οὐδενὶ μὲν λευκῷ ὑπάρξει· οὐ μὴν ἐξ ἀνάγκης. δηλοῦσι δὲ τοῦτο, τὸ οὐκ ἐξ ἀνάγκης, ἡ τῆς σημειώσεως(?) πρότασις ἡ λέγουσα ἄνθρωπον οὐδενὶ λευκῷ, ἐπεὶ ἀναγκαῖον(?)· ἐνδέχεται γὰρ ἄνθρωπον γενέσθαι λευκόν· ὁ γὰρ λέγων ἄνθρωπον μηδενὶ λευκῷ, λέγει οὐδένα λευκὸν ἄνθρωπον· ὅτι τὸ ἐνδέχεσθαι(?), οὐδεὶς ἄνθρωπος λευκός. ἀλλ' εἰ καὶ ἀληθὴς εἴη ὁ λέγων οὐδεὶς ἄνθρωπος λευκός, οὐκ ἤδη καὶ ἐξ ἀνάγκης ἔσται ἄνθρωπος οὐ λευκός· μέχρι γὰρ οὗ τὸ ζῶον μὴ ὑπάρχει τῷ λευκῷ, μέχρι τότε οὐδὲ ἄνθρωπος ἔσται λευκός· οὐ μὴν ἀεί, οὐδὲ ἐξ ἀνάγκης· διὰ δὲ τοῦ ἐπὶ(?) οὐ μέντοι ἕως ἂν ζῶον μηδενὶ λευκῷ ὑπάρχῃ· ὥστε τούτων μὲν ὄντων, ἀναγκαῖον μέν ἐστι τὸ συμπέρασμα· ἁπλῶς δὲ οὐκ ἀναγκαῖον· διὰ δὴ τοῦ τῆς προσθήκης, ἐδήλωσεν ὅτι ἐν ταῖς μίξεσιν ὅταν ἀναγκαῖον λέγῃ γίνεσθαι τὸ συμπέρασμα, τὸ ἁπλῶς ἀναγκαῖον λέγει καὶ οὐ τὸ μετὰ διορισμοῦ· ὅτι τῶν ἐξηγουμένων τινὲς περὶ τῆς μίξεως τῶν προτάσεων τῷ που βοηθεῖν οἰόμενοι τῇ δόξῃ αὐτοῦ, λέγουσι φάσκοντες οὐ τὸ ἁπλῶς ἀναγκαῖον συνάγεσθαι λέγειν αὐτόν, ἀλλὰ τὸ μετὰ διορισμοῦ· λέγουσι γὰρ ὅτι τὸ ζῶον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ ἄνθρωπος ὡς ἐν πρώτῳ σχήματι παντὶ κινουμένῳ, ἢ παντὶ περιπατοῦντι, γίνεσθαι τὸ συμπέρασμα, τὸ μετὰ διορισμοῦ ἀναγκαῖον· ζῶον γὰρ παντὶ περιπατοῦντι ἢ κινουμένῳ, ἕως τοῦ ὁ ἄνθρωπος ὑπάρχει αὐτῷ. τουτέστιν ἄνθρωπος· οὐκέτι γὰρ τῆς ἐλάττονος ἀναγκαίας οὔσης, γίνεσθαι τοῦτο τὸ συμπέρασμα· οὐ γὰρ ἀεὶ τὸ κινεῖσθαι παντὶ ζώῳ· ἢ ζῶον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης τὸ κινεῖσθαι παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ἕως ἂν αὐτῷ τὸ ζῶον ὑπάρχει· ψεῦδος γὰρ τοῦτο, ἀλλ' ὥσπερ δὴ παντὶ ζώῳ τὸ κινεῖσθαι· ὅτι δὲ τὸ συμπέρασμα καὶ ὅτε οὕτως ἀναγκαῖον εἶναι βούλεται, ἐδήλωσεν αὐτός, δείξας μὲν τοιοῦτον τὸ οὕτως ἀναγκαῖον τὸ συμπέρασμα γινόμενον ἐν δευτέρῳ σχήματι· καὶ τὰ ἐφεξῆς

ὅτι ἐλλιπῶς ἐστιν, ἀναγκαῖα μὴ λέγων δὲ ἐν τῇ τοιαύτῃ μίξει ἀναγκαῖον ἁπλῶς γίνεσθαι τὸ συμπέρασμα· ἢ ἐπεὶ καὶ τοῦ τοιούτου λέγει ἀναγκαῖον ὅμοιον εἶναι, καὶ ἐκεῖνο αὐτῷ προσέθετο τὸ μὴ ἁπλῶς ἀναγκαῖον γίνεσθαι ἀλλὰ τὸ μετὰ διορισμοῦ ὡς καὶ ἐπὶ τούτου ἅμα δὲ καὶ τὴν τοῦ ἀναγκαίου διαφορὰν ὅτι καὶ αὐτὸς οἶδεν· ὡς οἱ ἑταῖροι αὐτοῦ ποιοῦνται· διαδηλοῖ τοῦτο διὰ τῆς προσθήκης, ὧν φθάσας εἴρηκεν ἐν τῷ περὶ ἑρμηνείας διδάσκων· ἐν οἷς περὶ τῆς ἐφ᾽ οὗ ὑπάρχοντα χρόνον λεγομένης ἀποφάνσεως περὶ τῶν καθ᾽ ἕκαστα ἔλεγεν:

Τὸ μὲν οὖν εἶναι τὸ ὂν ὅταν ᾖ, καὶ τὸ μὴ ὂν μὴ εἶναι ὅταν μὴ ᾖ, ἀνάγκη.

Τὸ γὰρ ἐξ ὑποθέσεως ἀναγκαῖον, τοιοῦτόν ἐστι. μᾶλλον δὲ αὐτὸ τὸ εἰρημένον φανερὸν γένοιτο, ἂν μεταβάλλοιμεν ὅρους ἀληθεῖς ὅρους. εἰ φῶμεν γὰρ αὐτὸς ἐπαραθῆσθαι, οὐκ ἦν καὶ πρότασις ἀληθές· οὐ γὰρ ἀληθές, τὸ ζῷον μηδενὶ λευκῷ, κινεῖσθαι γὰρ ἐξ ἀνάγκης· κινούμενον αὐτὸ τὸ ὅλον καθεύδομεν ἢ λουόμεθα ἄλλους· ἔστω τοίνυν ἐπὶ μὲν τοῦ α, τὸ ἐγρηγορέναι ἢ τὸ κινεῖσθαι· ἐπὶ δὲ τοῦ β βαδίζειν· ἐπὶ δὲ τοῦ γ ἄνθρωπος. τὸ δὲ ἐγρηγορέναι, παντὶ μὲν τῷ βαδίζοντι ἐξ ἀνάγκης ὑπάρχει· ὁμοίως δὲ καὶ τὸ κινεῖσθαι· ἀνθρώπῳ μηδενὶ ὑπαρχέτω τὸ δὴ βαδίζειν, οὐδενὶ μὲν ἀνθρώπῳ ὑπάρχει· οὐ μὴν ἐξ ἀνάγκης, ἢ οὐδενὶ ἤ τινί. ἐνδέχεται γὰρ αὐτὸν βαδίζειν· ἀλλ᾽ οὐ μὴν διὰ τοῦτο ἀληθές ἐστι τὸ ἐγρηγορέναι καὶ τὸ κινεῖσθαι μηδενὶ ἀνθρώπῳ ὑπάρχειν· διὸ ἐλλιπῶς πρότασις εἴη, καθόλου καταφατικὴ ἀναγκαία· ἡ δὲ μείζων ἀποφατικὴ καθόλου ὑπάρχουσα, ὑποτεθεῖσα τοῦ συμπεράσματος ἀναγκαίου εἶναι· οὐκ ἐκ τοῦ δεικνυμένου γινόμενον τὸ συμπέρασμα ψεῦδος οὔτε ἐν τῷ πρώτῳ σχήματι οὔτε ἐν τῷ τρίτῳ. ἐν μὲν πρώτῳ, ὅτι ἡ μείζων ἀποφατικὴ γίνοιτο· κείσθω γὰρ τὸ α μηδενὶ τῷ β, καὶ παντὶ τῷ γ ἐξ ἀνάγκης· ἂν δὲ ληφθῇ ἐπὶ τούτοις συμπέρασμα τὸ β ἐξ ἀνάγκης οὐδενὶ τῷ γ· καὶ ἀντιστραφήσεται καὶ τὸ γ οὐδενὶ τῷ β ἐξ ἀνάγκης· εἰ δὲ καὶ τὸ β οὐδενὶ τῷ α· ἔκειτο γὰρ τὸ α μηδενὶ τῷ β· διὰ ἀποφατικαὶ καὶ ἀσυλλόγιστος ἡ συζυγία. ἀλλ᾽ οὐδὲ ἐν τῷ τρίτῳ, γίνεται γὰρ ἡ ἐλάττων ἀποφατική· τὸ β οὐδενὶ τῷ γ ἐξ ἀνάγκης· καὶ τὸ α παντὶ τῷ γ ἐξ ἀνάγκης· ἡ πρὸς μὲν τὸ ὑποκείμενον ἀσυλλόγιστος ἡ τοιαύτη συμπλοκή· ὡς περὶ καὶ ἡ πρὸ ὀλίγου ῥηθεῖσα· ὅτι κἂν ἡ μείζων, τὸ ἀναγκαῖον καὶ καταφατικὸν ἔχουσα· συνάγεται μὲν τοίνυν διὰ τῆς συλλογιστικῆς, καὶ τὰ ἀντιστροφῶν τῆς καταφατικῆς προτάσεως, τὸ β τινὶ τῷ α ἐξ ἀνάγκης μὴ ὑπάρχειν, συμπί-

ρασμα· ὡς πρὶν ἢ ἐπιτείνεσθαι συνάγεται τὸ γ̄ τινὶ τῷ ᾱ ἐξ ἀνάγκης μὴ ὑπάρχειν·
ὃ ἐδείχθη ἀδύνατον εἶναι· διὰ τὸ ἐνδέχεσθαι παντὶ τὸ γ̄ τῷ ᾱ ὑπάρχειν· τὸ γὰρ β̄ οὐδενὶ
τῷ γ̄ ἐξ ἀνάγκης· ἢ τὸ γ̄ τῷ ᾱ τινὶ ἐξ ἀνάγκης, ἐξ οὗ συνάγεται τὸ β̄ τινὶ τῷ ᾱ
μὴ ὑπάρχειν ἐξ ἀνάγκης· ἀλλὰ μένει ψεῦδος πάλιν τὸ λέγειν τὸ β̄ τινὶ τῷ ᾱ ἐξ ἀνάγκης
μὴ ὑπάρχειν· κειμένου τοῦ ᾱ μηδενὶ τῷ β̄ ὑπάρχειν ἁπλῶς, ὡς ἐδείχθη πρὸ
ὀλίγου· ἐνδέχεται γὰρ τὸ β̄ μηδενὶ τῷ ᾱ ὑπάρχον διὰ τὸ ἀντιστρέφειν, μὴ ὑπάρχειν
οὕτως ὡς ἐνδέχεσθαι αὐτῷ καὶ παντὶ ὑπάρχειν· ὥστε ὑπάρχον τὸ συμπέρασμα
ἀλλ' οὐκ ἀναγκαῖον ἂν εἴη· ἀεὶ δὲ δείκνυσι τὸ αὐτὸ τὸ ψεῦδος καὶ ἐν τῷ δευτέρῳ σχή-
ματι· ἀντιστραφεισῶν ἀμφοτέρων τῶν προτάσεων· ἂν γὰρ ληφθῇ τὸ γ̄ μηδενὶ
τῷ β̄ ἐξ ἀνάγκης· ἢ τὸ γ̄ τινὶ τῷ ᾱ ἐξ ἀνάγκης, κατὰ ἀντιστροφὴν τοῦ τε συμπε-
ράσματος καὶ τῆς καταφατικῆς ἀναγκαίας κειμένης προτάσεως· συνάγεται
τὸ β̄ τινὶ τῷ ᾱ μὴ ὑπάρχειν ἐξ ἀνάγκης, ὃ ψεῦδος· ἔκειτο γὰρ ᾱ ἁπλῶς μὴ ὑπάρ-
χειν, ὥστε καὶ ὑπάρχειν δύνασθαι· καὶ ἐπὶ τῶν ὅρων δέ, πρόδηλον ὅτι μηδὲ ἐπὶ τῶν
τῆς συζυγίας ἀναγκαῖον τὸ συμπέρασμα· ζῷον γὰρ οὐδενὶ κινουμένῳ καὶ παντὶ
αὐτῷ ἐξ ἀνάγκης, ἢ τὸ κινεῖσθαι, οὐδενὶ μὲν αὐτῷ· οὐ μὴν ἐξ ἀνάγκης:

ὁμοίως δὲ ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν: +

Λέγει ὅτι καὶ ἐπὶ τῶν ἐν μέρει συμπλοκῶν τῶν συζυγιῶν, ὁμοίως ἕξει· ἂν μὲν ἡ καθόλου
ἀποφατικὴ ἀναγκαία ᾖ, ἀναγκαῖον ἔσται τὸ συμπέρασμα· ἂν δὲ ἡ καταφατικὴ
ᾖ ἀναγκαία· ἄν τε ἐπὶ μέρους οὔσης ἐν τῷ γ̄ τῷ συλλογισμῷ τῆς καθόλου ἀπο-
φατικῆς τῆς μείζονος· καὶ ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος· ἄν τε καθόλου
ὡς ἐν τῷ δευτέρῳ τῆς καθόλου καταφατικῆς τῆς μείζονος καὶ ἐπὶ μέρους ἀποφατικῆς
τῆς ἐλάττονος, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον:

ἔστω δὴ πρῶτον ἡ στερητικὴ καθόλου τε καὶ ἀναγκαία·

Λέγει ὅτι ἐν τῇ δ̄ τῇ συζυγίᾳ τῶν ἐν β̄ σχήματι συλλογισμῶν, πῶς οὔσης τῆς καθόλου
ἀποφατικῆς ἀναγκαίας, ἀναγκαῖον τὸ συμπέρασμα γίνεται· ἀπὸ γὰρ ἀντιστρο-
φῆς τῆς καθόλου ἀποφατικῆς τὸ πρῶτον γίνεται σχῆμα· καὶ ὁ ἐν αὐτῷ δ̄ συλλο-
γισμός· ὃ ἔχων τὴν μείζονα καθόλου ἀποφατικὴν ἀναγκαίαν· ἐν ᾗ συζυγίᾳ
οὕτως ἐχούσῃ, ἀναγκαῖον τὸ συμπέρασμα, δῆλον ὡς καὶ ἐν τῷ δευτέρῳ σχή-
ματι, ἀναγκαῖον ἐπὶ μέρους ἀποφατικὸν ἔσται τὸ συμπέρασμα, οὕτως ἐ-
χουσῶν τῶν προτάσεων: +

πάλιν κἂν ᾖ ἡ κατηγορικὴ καθόλου ἀναγκαία·

Ὅπως μὲν τῆς ἐπὶ μέρους καταφατικῆς ἀναγκαίας οὔσης ἐν τῇ προειρημένῃ συμπλοκῇ, οὐ γίνεται τὸ συμπέρασμα καὶ ἀναγκαῖον, ὡς γνώριμον παρέλιπε· διὰ γὰρ τῆς ὁμοίας ἀντιστροφῆς γίνεται ἐν τῷ πρώτῳ σχήματι ἡ ἐλάττων ἐπὶ μέρους ἀναγκαία καταφατική, τοῦ γε τοῦ συλλογισμοῦ τοῦ ἐν δευτέρῳ σχήματι. καὶ διὰ τῶν ὅρων δὲ δείκνυσι τοῦτ'· εἰ ληφθείη τὸ ζῷον κινουμένου μέσου· καὶ τινὶ λευκῷ ἐξ ἀνάγκης κινούμενον. τὸ γὰρ καθεύδειν τινὶ λευκῷ οὐχ ὑπάρχει· οὐ μὴν ἐξ ἀνάγκης. ἐπὶ δὲ τῇ ϛ' συζυγίᾳ μετελήλυθεν, ἐν ᾗ ἐστιν ἡ μὲν μείζων πρότασις καθόλου καταφατική, ἡ δὲ ἐλάττων ἐπὶ μέρους ἀποφατική, ἡ δὲ δεῖξις οὐ διὰ ἀντιστροφῆς ἀλλὰ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ὡς ἐπὶ τῶν ὑπαρχόντων· ἐπὶ δὲ τῶν ἀναγκαίων διὰ τῆς ἐκθέσεως· καὶ τοῦ λαβεῖν ᾧ τινι μὴ ὑπάρχει, δείκνυσι δὲ ἐπὶ τῆς συζυγίας ταύτης ὁποτέρα ἂν αὐτῶν ληφθῇ μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα. εἶτα προστίθησιν ὅπως τῆς καθόλου καταφατικῆς οὔσης ἀναγκαίας, οὐ γίνεται τὸ συμπέρασμα ἀναγκαῖον· δείκνυσι δὲ τοῦτο τῇ τῶν ὅρων παραθέσει. αὐτὸς μὲν οὖν φησί, διὰ τῶν αὐτῶν ὅρων δειχθήσεται μὴ ἀναγκαῖον εἶναι τὸ συμπέρασμα τῆς καθόλου καταφατικῆς ἀναγκαίας οὔσης· διὸ καὶ ἐν τῇ ἐν τοῖς καθόλου προτάσεσιν οὔσῃ, εἴτε τῆς καταφατικῆς ἀναγκαίας οὔσης· ἔστω δὲ ζῷον· καὶ ἄνθρωπος· καὶ λευκόν. τὸ γὰρ ζῷον παντὶ μὲν ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει· τινὶ δὲ λευκῷ οὐχ ὑπάρχει ἁπλῶς· καὶ ἄνθρωπος τινὶ λευκῷ ἁπλῶς οὐχ ὑπάρξει· ἀλλ' ἐπεὶ μὴ αἱ προτάσεις ἀληθεῖς ὡς οὐδὲ ἐπὶ τῶν καθόλου, οὐ γὰρ ὑπάρχουσα ἀλλ' ἀναγκαία, ἡ ζῷον τινὶ λευκῷ οὐχ ὑπάρχει, ἐπ' ἄλλων ὅρων δείξομεν· τὸ κινεῖσθαι δὴ παντὶ μὲν περιπατοῦντι ἐξ ἀνάγκης· τινὶ δὲ ἀνθρώπῳ μὴ ὑπάρχει τῷ μόνον· καὶ ἄνθρωπος δή τις οὐ περιπατεῖ μέν, οὐ μὴν ἐξ ἀνάγκης. ἀλλ' οὐδὲ ἂν ἡ στερητικὴ ἐπὶ μέρους οὖσα ἀναγκαία ληφθῇ· οὐδ' οὕτως ἀναγκαῖον ἔσται τὸ συμπέρασμα· ὅροι τὸ ἐγρηγορέναι παντὶ γραμματικῷ ὑπάρχοντος· τινὶ δὲ ἀνθρώπῳ ἀναγκαίως μὴ ὑπάρχοντος, ὡς τῷ κοιμωμένῳ· οὐ μὴν ἐξ ἀνάγκης τις ἄνθρωπος οὐκ ἔστι γραμματικός. πάλιν· ζῷον παντὶ κινουμένῳ· ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· τὸ δὴ κινεῖσθαι τινὶ λευκῷ οὐχ ὑπάρξει· οὐ μὴν ἐξ ἀνάγκης. ἀεὶ δή που παντὶ ἐγρηγορότι· τινὶ δὲ ζῴῳ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· καὶ τὸ ἐγρηγορέναι οὐ παντὶ τῷ ζῴῳ, οὐ μὴν ἐξ ἀνάγκης. ἐπεὶ δὲ αὐτὸς διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις.

ἄγος μόνου μεταλαμβανομένη· αἱ γὰρ ἀντιγραφαὶ τοιαῦται τοῦτο προσῆκε τὸ ὁ προεχείρισας ἀναγκαῖον ἕξει. ἡ ζήτησις γὰρ ἐπὶ τῶν καθόλου, ὅροι· ζῷον· κύκνος· λευκόν. οὕτως δὲ ἐχουσῶν, ἡ μὲν καθόλου καταφατικὴ ἀναγκαία· ἀλλ' οὐχ ἡ ἀποφατικὴ ἐπὶ μέρους· οὐ γὰρ πρόκειται. ἀλλ' οὐδ' ἂν ἀνθ' ὁ κύκνος, μετατεθῇ μὲν τὸ λευκὸν ὡς ἀναγκαῖον ζῷον· παντὶ λευκῷ ὑπάρχοντος· ψευδὴς γὰρ ἡ αὕτη. ἀλλ' οὐδ' ἂν ἐπὶ μὲν τοῦ α μετατεθῇ μὲν τὸ λευκόν. ἐπὶ δὲ τοῦ β κύκνον· ζῷον δὲ ἐπὶ τοῦ γ· ὡς ἀναγκαῖον τὸ λευκὸν παντὶ μὲν αὐτῷ· τινὶ δὲ ζῴῳ ἐξ ἀνάγκης οὐχ ὑπάρχειν· ἡ γὰρ πρώτη πρότασις ψευδής. ἡ δὲ συμπέρασμα ἀναγκαῖον· τοῦτο δὲ τὸ ἀξίωμα, ὁ λέγειν δὲ ἐπὶ τῶν καθόλου προτάσεων· ἀληθὴς ἡ ζήτησις οἱ ὅροι οὗτοι· ὡς ἐπισημειωσόμεθα, ἀντὶ τοῦ λευκοῦ λαβόντας τὸ κινεῖσθαι. ὡς οὖν ἐκεῖ ἀντὶ τοῦ λευκοῦ τὸ κινεῖσθαι ἐλάβομεν, οὕτω καὶ ἐνταῦθα ληφθείη ἀντὶ τοῦ αὐτοῦ τὸ κινεῖσθαι, τὸ δὲ λευκὸν μένει, ἢ ἴσως τὸ ἠρεμοῦν· κινεῖται γὰρ ζῷον παντὶ κύκνου μὲν ὑπάρχοντος· ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. χόνι γάρ· ἢ κινεῖσθαι τινὶ λευκῷ οὐ μὴν ἐξ ἀνάγκης οὐχ ὑπάρξει· ὅσος ἄρα μεταληφθέντος ἐνδέχεται· δύναται γὰρ καὶ διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις. εἰρῆσθαι ἀντὶ τοῦ, διὰ γὰρ τῶν αὐτῶν ἡ ἀπόδειξις· πῶς δὲ διὰ τῶν αὐτῶν, διὰ ὅρων γὰρ τῆς τούτων παραθέσεως:· Ἐπιζητήσειε δ' ἄν τις καὶ ὁλότως αὐτή συζυγία τούτῃ, διὰ τί μὴ γίνεται καὶ ἐνταῦθα ἀναγκαῖον τὸ συμπέρασμα καὶ οὕτως ἀναγκαίας τῆς ἐπὶ μέρους ἀποφατικῆς· ἃ γὰρ διὰ τῆς ἐκθέσεως ἐδείκνυτο γινομένη καθόλου ἀποφατική. ὅταν ὦσιν ἀναγκαῖαι ἀμφότεραι· ὅτε γὰρ ἦν τὸ α τῷ μὲν β παντὶ ἐξ ἀνάγκης. τὸ δὲ γ τινὶ οὐκ ἐξ ἀνάγκης, λαμβάνοντες τὸ γ ᾧ οὐχ ὑπάρχει τὸ α ἐξ ἀνάγκης· ὅπερ τὸ δ, καθόλου ἀποφατικὴν ἀναγκαίαν ἐποιοῦμεν τὴν α δ. ἀντιστρέφοντες αὐτήν, ἐλαμβάνομεν τὸ δ οὐδενὶ τῷ α ἐξ ἀνάγκης. ἀλλὰ καὶ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης· τὸ δ ἄρα τῷ β οὐδενὶ ἐξ ἀνάγκης· τὸ β ἄρα τῷ δ ὁμοίως· ἀλλ' ἐπεὶ τὸ δ τί ἦν τοῦ γ, τὸ β ἐδείκνυτο τινὶ τῷ γ ἐξ ἀνάγκης οὐχ ὑπάρχον, ἀγνῶτος τῇ ἐκθέσει ἡ ἐπὶ μέρους ἀναγκαία ἀποφατική, καθόλου ἀναγκαία ἀποφατική, ἀντιστραφεισῶν ἀμφοτέρων τῶν προτάσεων γίνεται συζυγία ἐν πρώτῳ σχήματι· ἐκ καθόλου ἀποφατικῆς ἀναγκαίας καὶ καθόλου καταφατικῆς ὑπαρχούσης· ἐξ ὧν καὶ τὸ ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα· τὸ γὰρ δ οὐδενὶ τῷ α ἐξ ἀνάγκης· τὸ α παντὶ τῷ β ὑπάρχοντος· τὸ δ ἄρα οὐδενὶ τῷ β ἐξ ἀνάγκης· εἰ δὲ τοῦτο, καὶ τὸ β οὐδενὶ τῷ δ ἐξ ἀ(νάγκης).

ἀπο(ρία) σημείωσαι τὴν ἐπο- ζή(τησιν) κα(λ)λ(ίστην) ... τοῦ ... σχή(ματος) ... λό- γου:



τὸ δὲ λευκὸν ἐπ' ἐλάττονος τοῦ ζῴου ἐστί· καὶ τοῦ ζῴου τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρξει τὸ β:·

λυ ἀλλ' ἐπὶ τῶν ὅρων ἔδειξε μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα· τὸ γὰρ ζῷον
παντὶ μὲν ... μὲν ἐνὶ δὲ λευκῷ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· καὶ τὸ κινεῖσθαι
οὐχ ὑπάρχει μὲν τινὶ λευκῷ, οὐ μὴν ἐξ ἀνάγκης. ὅθεν καὶ τὸ σημεῖον χρὴ λαμ-
βάνειν τοῦ μὴ γίνεσθαι ἐν τῇ ἐξ ἀναγκαίας καὶ ὑπαρχούσης μίξει, ἀναγκαῖον
τὸ συμπέρασμα καθόλου. ὅπου ἐπὶ ὕλης ἑνός τινος ἐξ ἑτέρου ποιεῖται
τοῦ προσχρῆται καὶ τὸ μὴ δεῖν ἐξ ἀνάγκης· καθὸ ἡ παραγωγὴ γίνεται.
εὑρίσκεται γὰρ ὑπάρχον ἀλλ' οὐκ ἀναγκαῖον γινόμενον τὸ συμπέρασμα· καίτοι
ἀεὶ ἀληθῆ τὰ εἰρημένα, πάντως καὶ ἐν ταύτῃ τῇ συμπλοκῇ ἀναγκαῖον ἀεὶ δεῖ γίνε-
σθαι τὸ συμπέρασμα καθὼς ἔδειξα. ὅτε γὰρ παρὰ τὴν ἑτέραν πρότασιν ὑπάρ-
χουσαν εἶναι, ὑπάρχον τὸ συμπέρασμα ἐπὶ τῆς ὕλης εὑρίσκεται δῆλον
ὅτι τοῦτο ... ἀναγκαῖα ληφθεὶς οὖν ἐν τῇ συμπλοκῇ ταύτῃ μὴ καθ' ἡμᾶς
δύνασθαι ἐπὶ τῆς ὕλης εὑρεῖν ὑπάρχον τὸ συμπέρασμα· καθάπερ τὸ ζῷον
παντὶ μὲν αὐτῷ ἐξ ἀνάγκης· τινὶ δὲ λευκῷ ἐξ ἀνάγκης μὴ ὑπαρχέτω·
ὡς τῇ χιόνι· καὶ ὁ αὐτὸς τινὶ λευκῷ ἐξ ἀνάγκης οὐχ ὑπάρξει· ὡς οὐδὲ τὸ ζῷον.
τοῦτο γὰρ ἦν ἀπὸ τῶν εἰρημένοις τὸ συμπέρασμα:·

## + Μίξις ὑπάρχοντος καὶ ἀναγκαίου ἐν τρίτῳ σχήματι:·
» ἐν δὲ τῷ τελευταίῳ σχήματι καθόλου μὲν ὄντων τῶν ὅρων πρὸς
» τὸ μέσον καὶ κατηγορικῶν ἀμφοτέρων.

Μετὰ βέβηκεν ἐπὶ τὸ τρίτον σχῆμα· καὶ διδάσκει καὶ ἐν τούτῳ πότε μὲν ἀναγκαῖον γίνεται τὸ συμπέρασμα· τῆς μὲν ἑτέρας ἀναγκαίας οὔσης προτάσεως τῆς δ' ἑτέρας ὑπαρχούσης, πότε δὲ ὑπάρχον· καὶ αὐτοῦ δὴ κατὰ τὴν ἐπὶ τὸ πρῶτον σχῆμα ἀναγωγὴν διὰ τῆς ἀντιστροφῆς, τότε ἀναγκαῖον ἢ ὑπάρχον δεικνὺς τὸ συμπέρασμα. ἂν μὲν γὰρ ἡ καθόλου ἀναγκαία ἐν τρίτῳ σχήματι αὕτη ἤτις ἀναχθῇ τῆς συζυγίας διὰ τῆς ἀντιστροφῆς εἰς πρῶτον σχῆμα, μείζων ἐστὶν ἀναγκαία, ἔσται ἀναγκαῖον τὸ συμπέρασμα. ἂν δὲ ἐλάττων, ὑπάρχον. καὶ κατὰ φάσιν μὲν ἀμφοτέρων οὐσῶν καθόλου· ὁποτέρα δ' ἂν ἀναγκαία ληφθῇ, ἀναγκαῖον ἔσται τὸ συμπέρασμα. τὴν ἐλάττονα γὰρ τὴν καθόλου καταφατικὴν ἀντιστρέψαι

τὸ ἀντιστρέψαντας τὴν ἑτέραν τῶν ὑπαρχουσῶν, εἰς πρῶτον σχῆμα τὴν ἐξ ὁμοίων τὴν μεί-
ζονα καθόλου καταφατικὴν ἀναγκαίαν τὴν ἐλάττονα, ἐπὶ μέρους καταφατικὴν ἐξ
ὑπαρχουσῶν· οὕτως δὲ διὰ ταύτης συζυγίας ἀναγκαῖον τὸ συμπέρασμα. ἔστω γὰρ
ἀνάγκῃ μὲν τὸ α παντὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχον· τὸ δὲ β τῷ γ παντὶ ὑπαρχόντως,
ἂν ἀντιστρέψωμεν τὴν βγ, ἔσται τὸ γ τινὶ τῷ β ὑπάρχον· καὶ ἦν δὲ καὶ τὸ α παντὶ
τῷ γ ἐξ ἀνάγκης· ἐξ ὧν συναχθήσεται τὸ α τινὶ τῷ β ἐξ ἀνάγκης· τὸ δέ, τὸ γὰρ
β ὑπὸ τὸ γ ἐστί. δεικτικοῦ προσθήκη αὐτοῦ, τὸ πρῶτον γίνεσθαι σχῆμα. ἡ ἐλάττων
εἶναι ἐν αὐτῷ τῷ γ β. διὰ τοῦτο παντὶ τῷ γ ἐξ ἀνάγκης τὸ α ὑπάρχον, ὑπάρ-
ξει τῷ β· ἀλλὰ καὶ ἂν ἀνάπαλιν, τὸ μὲν β ληφθῇ παντὶ τῷ γ ἐξ ἀνάγκης, τὸ δὲ
α παντὶ τῷ γ ὑπάρχειν, ἀναγκαῖον ἔσται τὸ συμπέρασμα. ἀντιστρέψωμεν γὰρ
τὴν αγ τῶν ὑπαρχουσῶν καὶ ἔσται τὸ γ τινὶ τῷ α ὑπάρχον· ἀλλὰ τὸ δὲ καὶ τὸ β
παντὶ τῷ γ ἐξ ἀνάγκης· ἐξ ὧν συναχθήσεται τὸ β τινὶ τῷ α ἐξ ἀνάγκης.
τὸ ἐπεὶ τὸ ἐπὶ μέρους καταφατικὸν ἀναγκαῖον ἀντιστρέφει, καὶ τὸ α τινὶ τῷ β
ἐξ ἀνάγκης ὑπάρξει· ἔδει γὰρ τοῦτο τὸ εἶναι καὶ τηρούμενον ἐν τῷ συμπερά-
σματι. ἐπεὶ ἀλλὰ τοῦτο τὸ μείζων· διὸ οὐδὲν ἐθέμεν ἐπὶ τῆς συμπλοκῆς τῆς διὰ
ἀντιστρέψαι ἢ τὸ συμπέρασμα. αὐτὸς μέντοι τὸ ἀντιστρέψαι τὸ συμπέρασμα,
παρέλιπεν ἴσως ὡς ὂν σαφές· μόνον δὲ εἶπε δεῖξαι ὅτι τὸ β, καὶ τὸ α τινὶ ἐξ ἀνάγκης
ὑπάρξει· ἐπεὶ παντὶ τῷ γ ἀνάγκη τὸ ἐξ ἀνάγκης ὑπάρχειν. δεῖ δὲ πάλιν ὡς ἀπὸ
τοῦ τὸ β ἀντιστρέψαι· ἵνα καὶ δείξῃ, μὴ ἄλλου τινὸς ἀλλὰ τοῦ προειρημένου.
τὸ γὰρ α, μείζων ὅρος καὶ ἔστι· τοῦτον οὖν ἐν τῷ συμπεράσματι δεῖ καὶ τηρού-
μενον εἶναι:· πάλιν ἔστω τὸ μὲν α γ, στερητικόν· τὸ δὲ βγ, καταφατικόν·
ἀναγκαῖον δὲ τὸ στερητικόν·

Δ ἀναγκαῖον ὅτι ἐὰν ᾖ ἐν τῇ συζυγίᾳ τῇ καθόλου ἀποφατικῆς τῆς μείζονος, καὶ κα-
θόλου καταφατικῆς ὑπαρχούσης τῆς ἐλάττονος, ἀναγκαῖον γίνεται τὸ συ-
μπέρασμα. τῷ ἀντιστραφείσης τῆς καταφατικῆς, τὸ πρῶτον γίνεται σχῆμα.
ἔχον τὴν μείζονα καθόλου ἀποφατικὴν ἀναγκαίαν. τὸ γὰρ α τῷ γ μηδενὶ ἐξ ἀ-
ὑπαρχέτω· τὸ β παντὶ ὑπαρχέτω τῷ γ· ἀντιστραφείσης δὴ τῆς βγ, γίνεται
τὸ β τινὶ τὸ γ ὑπάρχον· ἀλλὰ τὸ δὲ καὶ τὸ α μηδενὶ τῷ γ ἐξ ἀνάγκης. τὸ ἄρα
α τινὶ τῷ β ἐξ ἀνάγκης οὐχ ὑπάρξει. ἐὰν δὲ τὸ βγ τὸ καταφατικὸν καθόλου
ᾖ ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον· τῷ ἀντιστρέφεσθαι μέν

τὴν βγ τῶν καταφατικῶν ἀναγκαίαν· ἀντιστραφείσης δὲ ταύτης εἰς τὴν γενομένης ἐπὶ μέρ
καταφατικῆς ἀναγκαίας, γίνεται ἐν πρώτῳ σχήματι συζυγία· ἔχουσα τὴν
ἐλάττονα μὲν ἀναγκαίαν· τὴν μείζονα δέ, ὑπάρχουσαν· ἕξει γὰρ οὕτως.
τὸ α οὐδενὶ τῷ γ ὑπάρχει· τὸ γ τινὶ τῷ β ὑπάρχει ἐξ ἀνάγκης· τὸ α τινὶ τῷ β οὐχ
ὑπάρχει ἐξ ἀνάγκης. δέδεικται δὲ διὰ τῆς ἀντιστροφῆς ὅτι μὴ γίνεται ἀναγκαῖον
τὸ συμπέρασμα. ταῖς ἐν πρώτῳ σχήματι, τῶν ἐλαττόνων γίνεσθαι ἀναγκαίαν.
παρατίθεται καὶ ὅρους· διὰ τῶν καὶ αὐτῶν δεικνὺς μὴ γινόμενον τὸ συμπέρασμα
ἀναγκαῖον. οἱ δὲ ὅροι οὓς λαμβάνει· ἐπὶ μὲν τοῦ α, ἀγαθόν· ἐπὶ δὲ τοῦ β,
ζῷον· ἐπὶ δὲ τοῦ γ, ἵππος· τὸ δὴ ἀγαθὸν οὐδενὶ ἵππῳ· ζῷον δὲ παντὶ ἵππῳ
ἐξ ἀνάγκης· τὸ ἀγαθὸν δὴ τινὶ μὲν ζῴῳ οὐχ ὑπάρξει· οὐ μὴν ἐξ ἀνάγκης.
βουλόμενος δὲ δεῖξαι τῶν ἀποφατικῶν, ὑπάρχουσαν εἴληφε καὶ οὐκ ἀναγκαίαν,
ἐπεὶ τὸ μὲν οὖν ἀγαθόν, ἐνδέχεται καὶ μηδενὶ ἵππῳ ὑπάρχειν· δεικνὺς ὅτι καὶ ἐνδε-
χομένης αὐτῷ οὐχ ὑπάρχει, ἀλλ᾽ οὐκ ἐξ ἀνάγκης· οὐ γὰρ ἐνδεχομένην λαμβά-
νει· ἀλλ᾽ ἐστὶν αὐτῷ τοῦ μὴ ἀναγκαίου δεικτικοῦ, τὸ ἐνδέχεσθαι τὸ ἀγαθὸν
μηδενὶ ἵππῳ· καὶ τό, ἀλλ᾽ οὐκ ἀνάγκη ζῷόν τι μὴ εἶναι ἀγαθόν· ὃ ἴσον ἐστὶ τῷ,
τὸ ἀγαθὸν τινὶ ζῴῳ οὐχ ὑπάρξει· οὐ μὴν ἐξ ἀνάγκης οὐχ ὑπάρξει· ὃ ὅπως ἂν
ἀληθὲς δεικνύς, προσέθηκε τό, ἐπεὶ ἐνδέχεται πάντα εἶναι ἀγαθόν· τὸ γὰρ
ὑπάρχοντος τινὶ οὐχ ὑπάρξει ζῴῳ τὸ ἀγαθόν· ὅ ἐστι καὶ παντὶ αὐτῷ ἐνδέχεσθαι
ὑπάρχειν· ἐπεὶ δὲ δόξειε μὴ πᾶν ζῷον ἐπιδεκτικὸν εἶναι τοῦ ἀγαθοῦ, μετα-
ληπτέον φησὶ τὸν ὅρον· καὶ θετέον ἀντὶ τοῦ ἀγαθοῦ, ἢ τὸ ἐγρηγορέναι· ἢ τὸ καθεύδειν,
μηδενὶ ἵππῳ ὑπάρχοντος· ζῷον δὲ ἐξ ἀνάγκης παντὶ ἵππῳ· γίνεται γὰρ
ἢ τὸ ἐγρηγορέναι ἢ τὸ καθεύδειν, τινὶ μὴ ὑπάρχον ζῴῳ· οὐ μὴν ἐξ ἀνάγκης
ὃ δεικνύς, προσέθηκε τό, ἅπαν γὰρ ζῷον δεκτικὸν τούτων· ἃ γὰρ δεκτικόν ἐστι,
οὐδέν ἐστι ζῷον ᾧ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ ἐγρηγορέναι ἢ τὸ κοιμᾶσθαι:
Εἰπὼν δὲ περὶ τῶν μίξεων τῶν, ἐξ ἀμφοτέρων προτάσεων καθόλου· ἑξῆς
λέγει καὶ περὶ τῶν τὴν ἑτέραν ἐπὶ μέρους ἐχουσῶν· ὅταν δὲ ἡ μέν, καθόλου τῶν
προτάσεων ᾖ· ἡ δέ, ἐν μέρει· ἀμφοτέρων οὐσῶν καταφατικῶν· ἂν ἡ καθόλου
ᾖ ἀναγκαία, ἀναγκαῖον ἔσται τὸ συμπέρασμα· ἀντιστραφείσης γὰρ τῆς ἐπὶ
μέρους καταφατικῆς ὑπαρχούσης, γίνεται πάλιν τὸ πρῶτον σχῆμα· ἔχον
τὴν μείζονα ἀναγκαίαν· καὶ πρῶτον μὲν τοῦτο δείκνυσι· τὴν ἐλάττονα, καθόλου

καταφατικὴν ἀναγκαίαν λαβόντες· τὴν δὲ μείζονα, ἐπὶ μέρους ἀποφατικὴν
ὑπάρχουσαν· λαμβάνεται γὰρ τὸ μὲν α τινὶ τῷ γ μὴ ὑπάρχον· τὸ δὲ β παντὶ τῷ γ
ἐξ ἀνάγκης ὑπάρχον· ἐὰν τηρήσας ἀντιστρέψῃς τὴν α γ, καὶ λαμβάνεται τὸ γ τινὶ
τῷ α ὑπάρχον· τοῦτο γὰρ ἔστι, τὸ, τὸ δὲ α ὑπὸ τὸ γ ἐστί· διὰ γὰρ τὴν ἀντιστροφὴν
ἐξ αὐτῆς τοῦ πρώτου σχήματος τρίτη συμπλοκὴ συνάγεται τὸ β τινὶ τῷ α ἐξ ἀνάγκης
ὑπάρχειν· ὁ δὲ τὸ β τῷ α, καὶ τὸ α τῷ β· τοῦτο γὰρ ἔδει δειχθῆναι· μείζονος ἄκρου
τοῦ α ὄντος· ἐδείχθη οὖν τὸ προκείμενον· τῆς τε ἐπὶ μέρους καταφατικῆς ὑπαρ
χούσης ἀντιστραφείσης· ἤγουν τῆς α γ καὶ τοῦ β γ συμπεράσματος· οὔσης ἐπὶ μέρους
ἀναγκαίου καταφατικοῦ: ὁμοίως δέ φησιν ἀναγκαῖον ἔσεσθαι τὸ συμπέ
ρασμα, κἂν ἡ μείζων καταφατική, καθόλου ἀναγκαία ληφθῇ· ἡ δὲ ἐλάτ
τω ἐπὶ μέρους καταφατικὴ ὑπάρχουσα· πάλιν γὰρ ταύτης ἀντιστραφείσης,
γίνεται ἐν πρώτῳ σχήματι ἡ μείζων καθόλου καταφατικὴ ἀναγκαία· διὸ καὶ ἐπὶ
μέρους καταφατικὸν ἀναγκαῖον γίνεται πάλιν τὸ συμπέρασμα· πλὴν ὅτι ἐπὶ
μὲν τῆς πρὸ ταύτης συμπλοκῆς, καὶ τὸ συμπέρασμα ἔδει ἀντιστρέψαι· ἐπὶ
δὲ ταύτης ἐχούσης τὴν μείζονα, καθόλου καταφατικὴν ἀναγκαίαν, τὴν ἐλάτ
τονα πρότασιν μόνην ἀντιστρέφομεν· τάχα δὲ ἐδήλωσε τὴν αἰτίαν τοῦ γίνεσθαι
ἀναγκαῖον τὸ συμπέρασμα· ἐπεὶ τὸ γὰρ β ὑπὸ τὸ γ ἐστί· διὸ οὖν καὶ τὴν ἀντιστροφὴν
ἔδειξε τῆς ἐλάττονος προτάσεως τῆς α γ οὔσης καταφατικῆς ἐν μέρει:
ἂν δὲ ἡ ἐπὶ μέρους πρότασις ἀναγκαία ληφθῇ, οὐκ ἔσται γίνεσθαι τὸ συμπέρασμα
ἀναγκαῖον· τῷ γίνεσθαι οὕτως τὴν ἐλάττονα πρότασιν ἐν τῷ πρώτῳ σχήματι
ἀναγκαίαν· καὶ οὔσης τοιαύτης, τῆς δὲ μείζονος ὑπαρχούσης, ὑπάρχον ἐγί
νετο τὸ συμπέρασμα· ἔστω γὰρ τὸ μὲν β τινὶ τῷ γ ὑπάρχον ἐξ ἀνάγκης· τὸ δὲ
α παντὶ τῷ γ ὑπάρχον· ἀντιστρέψωμεν τὴν β γ· τηρήσαντες τὴν α γ
τὴν καθόλου ὑπάρχουσαν· οὐ γὰρ οἷόν τε ἄλλως, γίνεται τὸ α τῷ γ παντί·
τὸ γ τινὶ τῷ β ἐξ ἀνάγκης· οὕτως δὲ ἐχουσῶν, οὐκ ἂν γίνεται ἐν τῷ πρώτῳ σχήματι
ἀναγκαῖον τὸ συμπέρασμα· ὅτι δὲ μὴ ἀναγκαῖον γίνεται τὸ συμπέρασμα,
δῆλον καὶ τῇ τῶν ὅρων παραθέσει· λαμβάνεται γὰρ ἀντὶ τοῦ α, ἐγρήγορσιν·
ἀντὶ δὲ τοῦ β, δίπουν· ἀντὶ δὲ τοῦ γ, ζῷον· τὸ μὲν δίπουν, τινὶ ζῴῳ ἐξ ἀνάγκης
ὡς αὐτῷ· ἡ δὲ ἐγρήγορσις, παντὶ ζῴῳ ὑπαρχόντως, καὶ ἐγρήγορσις τινὶ δίποδι,
ἀλλ᾽ οὐκ ἐξ ἀνάγκης· πάλιν δὲ τὸ α τῷ γ οὐδὲ ἐχέτω ἐπί τε, δηλοῦντο, παντὶ
μὲν ὑπάρχειν.

οὐ μὴν ἀναγκαίου:· σημειωτέον δὲ ὅτι καὶ ἐν τούτῳ τὸ χρήματα ἐνδέχεσθαι, ἀλλὰ τοῦ ὑπάρχ-
ειν καὶ ἐπὶ τῆς, τῆς ἀναγκαίων προτάσεων ἀντιστροφῆς. τὸ δὲ, οὐδὲ γὰρ ἀνάγκη δίπουν
εἶναι μηδέν. δηλονότι ἂν ᾖ τοῦ τῷ ἐγρηγορὸς ἐνδέχεσθαι τινὶ ζῴῳ, ᾗ καὶ ἐνδέχεσθαι
μηδενί. εἰ γὰρ ἐξ ἀνάγκης ἔσται ζῷον εἶναι μηδέν, οὐ καὶ ἐγρηγορὸς τῷ ζῴῳ παντὶ ἐνδε-
χομένως ὑπάρχει. διὸ καὶ τοῦτο, οὐδὲ γὰρ ἀνάγκη, δίπουν εἶναι μηδέν. δηλονότι
ἀνάγκη τινὶ ἐγρηγορὸς ἐνδέχεσθαι τινὶ ζῴῳ, ὡς καὶ ἐνδέχεσθαι μή:· διὰ δὲ τῶν αὐτῶν
ὅρων φησὶ δειχθήσεσθαι μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα, κἂν ἡ μὲν μείζων
ἡ αγ, ἐπὶ μέρους ἀναγκαία καταφατικὴ ληφθῇ. ἡ δὲ βγ, καθόλου καταφατικὴ
ὑπάρχουσα. πλὴν δεῖ ὡσαύτως τεθῆναι τοὺς ὅρους, καὶ ἀλλάξαι τὴν πρότασιν αὐτῶν.
ὁμοίως γὰρ αὐτῶν κειμένων, οὐκ ἀληθεῖς αἱ προτάσεις. δεῖ οὖν θεῖναι, ἐπὶ μὲν τοῦ α,
δίπουν. ἐπὶ δὲ τοῦ β ἐγρηγορός. ἔσται γὰρ οὕτω τὸ δίπουν πάλιν τινὶ ζῴῳ ἐξ ἀνάγκης.
ἐγρηγορὸς παντὶ ζῴῳ ὑπάρχοντος. τὸ δίπουν τινὶ ἐγρηγορότι, οὐ μὴν ἐξ ἀνάγκης.
οὐδὲν δὲ ἔλαττόν ἐστι καὶ τοῦτο διὰ τῆς ἀντιστροφῆς τῆς ἐπὶ μέρους καταφατικῆς
ἀναγκαίας, ἀνάγοντας εἰς τὸ πρῶτον σχῆμα, δεῖξαι τὴν ἐλάττονα πάλιν ἐν αὐτῷ
γινομένην ἀναγκαίαν, ἀντιστρεφομένου καὶ τοῦ συμπεράσματος:·

Ἀδιορίστου μὲν, κατηγορικοῦ· ὁ δὲ στερητικός· +

Λείπεται δὲ καὶ τῆς ἑτέρας στερητικῆς οὔσης τῆς δ' ἑτέρας καταφατικῆς. ἂν μὲν ἡ στερητική
καθόλου τε ᾖ ἀναγκαία, ἀναγκαῖον καὶ τὸ συμπέρασμα. περὶ γὰρ τῶν τινὰ ἑτέρ(αν)
ἐχουσῶν ἐν μέρει, ὁ λόγος αὐτῷ νῦν. ἂν δὲ ἡ καταφατικὴ ἀναγκαία, ὑπάρχον ἢ
οὐκ ἀναγκαῖον. ἄξιον δὲ καὶ ἐν τούτοις, ὅτι ἡ στερητικὴ ὅταν ᾖ καθόλου, ἀντιστραφ(είσης)
τῆς καταφατικῆς, αὕτη γίνεται ἡ μείζων πρότασις ἐν πρώτῳ σχήματι, ὥστε ἂν ᾖ
ἀναγκαία, ἀναγκαῖον καὶ τὸ συμπέρασμα. διὰ βραχέων δὲ ἅπαντα περὶ τῆς συμπλοκῆς
ταύτης, ὡς οὔσης τῆς μετὰ ἑξῆς ταύτης ἤδη γνωρίμου. μὴ οὔσης δὲ ταύτης ἀναγκαίας
ἀλλὰ τῆς καταφατικῆς, ἢ τῆς ἐλάττονος γίνεται ἐν τῷ πρώτῳ σχήματι ἀναγκαίας,
ὑπάρχον ἔσται. εἰ γὰρ τὸ α τῷ γ μηδενὶ ἐνδέχεται, τουτέστιν ἐξ ἀνάγκης μη-
δενί, τὸ δὲ β τῷ γ τινὶ ὑπάρχει, ἀντιστραφείσης μὲν ὁ βγ, καὶ ἔσται τὸ γ τινὶ
τῷ β. μείζων δὲ ἡ αβ μείζων· οὖσα καθόλου ἀποφατικὴ ἀναγκαία. διὸ συναχθή-
σεται τινὶ τῷ β τὸ α ἐξ ἀνάγκης μὴ ὑπάρχειν:· ἂν δὲ ᾖ ἡ ἑτέρα τὸ καταφατικὸν ἐξ
ἀναγκαίου ἢ καθόλου ὂν ἢ ἐν μέρει, ὡς εἶναι τὴν μὲν μείζονα ἢ καθόλου ἀπο-
φατικὴν ὑπάρχουσαν, ἢ ἐπὶ μέρους ἀποφατικὴν ὑπάρχουσαν. τὴν δὲ ἐλάττονα

ἢ καθόλου καταφατικὴν ἀναγκαίαν, ἢ ἐπὶ μέρους καταφατικὴν ὁμοίως ἀνα-
γκαίαν· ὅταν μὲν ἡ καθόλου ἀποφατικὴ ἡ μείζων, ὑπάρχουσα· αὕτη καθόλου
καταφατικὴ ἀναγκαία, οὐδὲν ἀναγκαῖον συναχθήσεται· διότι ἀντιστραφείσης
τῆς ἐλάττονος ὅταν ἐπὶ μέρους ᾖ, γίνεται τὸ πρῶτον σχῆμα ἔχον τὴν ἐλάττονα
ἀναγκαίαν. τοῦτο γὰρ δείκνυσι, καὶ τῆς ἀντιστραφείσης σημαῖνον, εἰπὼν, τὰ μὲν γὰρ
ἄλλα, τὰ αὐτὰ ἂν εἴη ἐπὶ τῶν προτέρων ἐροῦμεν. οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν ὅρων παρα-
θέσει δείκνυσι μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα. τίθησι δὲ ἐπὶ μὲν τοῦ α,
ἐγρηγορός· ἐπὶ δὲ τοῦ β, ζῷον· λευκὸν δὲ ἐπὶ τοῦ γ· ἐγρηγορὸς μὲν γὰρ οὐδενὶ
λευκῷ ἐνδέχεται· ζῷον δέ τινι λευκῷ ἐξ ἀνάγκης· καὶ ἐγρηγορὸς τινὶ ζῴῳ οὐχ
ὑπάρχει, οὐ μὴν ἐξ ἀνάγκης. τοῦτο γὰρ σημαίνει τό, καὶ οὐκ ἀνάγκη τινὶ ζῴῳ
μὴ ὑπάρχειν ἐγρηγορός: κἂν τὸ καθόλου δὲ καταφατικὸν ἀναγκαῖον ᾖ τῆς
ἑτέρας τῆς μείζονος προτάσεως, ἐπὶ μέρους ἀποφατικῆς ὑπαρχούσης οὔσης,
δείκνυσιν ὅρους παραθέμενος μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα. ἐπὶ
μὲν γὰρ τοῦ α, ἐγρηγορός· ζῷον δὲ ἐπὶ τοῦ β· ἄνθρωπος δὲ ἐπὶ τοῦ γ· ζῷον μὲν γὰρ παν-
τὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ἐγρηγορὸς δέ τινι ἀνθρώπῳ οὐχ ὑπάρχει· συνάγεται ἐγρηγορὸς
τινὶ ζῴῳ μὴ ὑπάρχειν ἁπλῶς, ἀλλ' οὐκ ἐξ ἀνάγκης. ἂν τοῦ μὲν οὖν ἐν τῇ δείξει
πρῶτον περὶ τῆς συζυγίας τῆς τὸ καθόλου καταφατικὸν ἀναγκαῖον ἐχούσης
τὸ δὲ ἐπὶ μέρους ἀποφατικὸν ὑπάρχον, εἴρηκεν· ἥ καὶ ἐστὶ τοῦ ε συλλογισμοῦ.
ἐφεξῆς περὶ τῆς, τὸ ἐπὶ μέρους καταφατικὸν ἀναγκαῖον· τὸ δὲ καθόλου, ἀπο-
φατικὸν ὑπάρχον· ἐφ' ἧς μόνης συμπλοκῆς ἁρμόζει ἡ διὰ ἀντιστροφῆς δεῖξις.
ἣν βουλόμενος δηλῶσαι, εἶπε· τὰ μὲν γὰρ ἄλλα ταῦτα ἐροῦμεν. οὐκέτι γὰρ
δι' ἀντιστροφῆς δείκνυται ὅταν ἡ ἐλάττων ᾖ καθόλου καταφατική, οὔτε ἀνα-
γκαία ἢ οὐχ ὑπάρχουσα: ἀλλ' οὐδ' ἐὰν ἡ ἐπὶ μέρους ἀποφατικὴ ἀναγκαία
γένηται, οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον· ὡς γὰρ ἐν τῷ δευτέρῳ σχήματι
ἐν τῇ τοῦ δ συλλογισμοῦ συζυγίᾳ· οὐδετέρας οὔσης ἀναγκαίας ἀναγκαῖον ἐγίνετο
τὸ συμπέρασμα, τῷ ἀναλύεσθαι δι' ἀντιστροφῆς τὴν τοιαύτην συμπλοκὴν εἰς τὸ
πρῶτον σχῆμα, οὕτω καὶ ἐν τῷ τρίτῳ καὶ ἐν τῇ τοῦ ε συλλογισμοῦ συζυγίᾳ. οὐδετέρ(ας)
οὔσης ἀναγκαίας, ἀναγκαῖον γίνεται τὸ συμπέρασμα. ὅτι μὲν οὖν τῆς κατα-
φατικῆς καθόλου τε οὔσης καὶ ἀναγκαίας, οὐ γίνεται ἀναγκαῖον τὸ συμπέρασμα
ἐδείχθη διὰ τῶν ὅρων μικρῷ πρόσθεν· ὅταν δὲ ἡ ἐπὶ μέρους ἀποφατικὴ ἀνα-

ὅροι, δίπουν, ἐφ' οὗ τὸ α· κινούμενον ἐπὶ τοῦ β· ζῷον ἐπὶ τοῦ γ. δίπουν γὰρ τινὶ ζῴῳ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· τὸ κινεῖσθαι παντὶ ζῴῳ· καὶ δίπουν τινὶ κινουμένῳ οὐχ ὑπάρχει· οὐ μὴν ἐξ ἀνάγκης. ἀναγκαῖον γὰρ ἦν τὸ, δίπουν τινὶ κινουμένῳ οὐχ ὑπάρχει· εἰ τὸ δίπουν ποτὲ οὐ κινεῖται, μηδὲ δίπουν ἐξ ἀνάγκης κινεῖσθαι, οὐκ ἔσται ἀληθὲς τὸ, δίπουν τινὶ κινουμένῳ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. πρόσκειται δὲ τῷ ἀντιγράφῳ τὸ δίπουν μᾶλλον· καὶ δεῖ τῷ τοῦ γράφοντος καὶ τὰ ἀρχαῖα βιβλία διαμαρτεῖν· οὐ γὰρ τὸ δίπουν δεῖ μέσον ὅρον ἀλλὰ τὸ ζῷον εἶναι· ὃ τοῦτο, ἐν τῇ τῶν ὅρων παραθέσει δηλοῦται. πρῶτον γὰρ τοῦ δίποδος ἐμνημόνευσεν· ἔχων ἐκθέσθαι ἐπὶ τοῦ τοῦ τρίτου σχήματος, ὥσπερ εἴη ἂν τὸν μέσον ὅρον. δεῖ οὖν ἡγεῖσθαι λέγεσθαι ὑπ' αὐτοῦ, οὐ δίπουν μᾶλλον· ἀλλὰ ζῷον μᾶλλον. ὥσπερ τὸ δίπουν ἄκρον μᾶλλον, οὐδέτερος τῶν εἰρημένων ὅρων, οὔτε τὸ κινούμενον οὔτε τὸ ζῷον, τινὶ αὐτῷ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. τοῦ τοῦδε εἶπεν, λέγοντος ὅτι καὶ ἐπὶ τοῦ δευτέρου σχήματος ἐπὶ τῆς δ' συμπλοκῆς εἰρημένον· τῆς ἐχούσης ἐπὶ μέρους τῷ ἀποφατικῷ ἀναγκαίαν, ἀναγκαῖον δύναται. ὅτι καὶ τὸν ἐπὶ τοῖς προειρημένοις, ἀναγκαῖον ἐδείκνυσθαι τὸ συμπέρασμα. τῇ γὰρ ἀντιθέσει χρησάμενοι, ἕξομεν τὴν ἐπὶ μέρους ἀναγκαίαν ἀποφατικὴν, καθόλου ἀποφατικὴν ἀναγκαίαν. καὶ οὔσης ἀναγκαίας, καὶ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος ἐγίνετο ἐν πρώτῳ σχήματι ἡ μείζων, καθόλου ἀποφατικὴ ἀναγκαία. ἀλλ' ὅτι μὴ ἀναγκαῖον τὸ συμπέρασμα ἐπὶ τῇ τοιαύτῃ συμπλοκῇ, ἡ παράθεσις τῶν ὅρων δείκνυσιν, ἣν καὶ αὐτὸς ἐχρήσατο:·

Φανερὸν οὖν ὅτι τοῦ μὲν ὑπάρχειν οὐκ ἔστι συλλογισμὸς ἂν μὴ ἀμφότεραι ὦσιν αἱ προτάσεις ἐν τῷ ὑπάρχειν, τοῦ δ' ἀναγκαίου, ἔστι κἂν ἡ ἑτέρα μόνον:

Τοῦτο ἁπλῶς μὲν ἢ καθόλου λεγόμενον, ψεῦδος ἂν εἴη τοῖς προειρημένοις μαχόμενον· δέδεικται γὰρ ὑπάρχον γινόμενον τὸ συμπέρασμα τῆς ἑτέρας τῶν προτάσεων ἀναγκαίας οὔσης. ἔδει τε καὶ οὐ δὲ τοῦ εἰρημένου ὡς ἐπὶ τοῦ β' τοῦ σχήματος εἰρημένου ἀλλ' ἀπεῖρον. ἀληθὲς ἂν εἴη. τοῦ γὰρ ὑπάρχειν ἐν τρίτῳ σχήματι ἀμφοτέρων οὐσῶν καθόλου καταφατικῶν τῶν προτάσεων, οὐ γίνεται συμπέρασμα ἂν μὴ ἀμφότεραι ὦσιν ἐν τῷ ὑπάρχειν. ταῖς ὁποτέρας ἂν αὐτῶν ἀναγκαία ληφθῇ ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα, ὃ οὐκ ἐπὶ τοῦ πρώτου σχήματος ἔχει οὕτως. οὐσῶν ἀμφοτέρων τῶν προτάσεων καθόλου καταφατικῶν

ἐπὶ γὰρ τῆς ἑτέρας τῆς ἐλάττονος ἀναγκαίας οὔσης, ὑπάρχον ἐγίνετο τὸ συμπέρασμα·
ἐν δὲ τῷ δευτέρῳ σχήματι, οὐδὲ τῶν ἀρχῶν σώζεται τὸ καθόλου καταφατικόν· ἀλλ' αὐτοῦ
τὸ ἴδιον τῶν ἐν τῷ δευτέρῳ σχήματι συμπλοκῶν τῶν ἐκ δύο καθόλου καταφατικῶν, δι' ἀδήλω
πως διὰ τούτων· ὡς γὰρ ἦν περὶ τοῦ τούτου σχήματος λέγων· ἐν γὰρ τούτῳ· τῶν δύο καθόλου
καταφατικῶν οὐσῶν, ὑπάρχον μὲν οὐ συνάγεσθαι· εἰ μὴ εἶεν ἀμφότεραι ὑπάρ
χουσαι· ἀναγκαῖον δὲ, τῆς ἑτέρας μόνης ἧς ὁποτερασοῦν· ἐπεὶ δὲ ἐδείχθησαν
ἤδη τινὲς συμπλοκαὶ αἱ ἐκ πάλιν καθόλου ἀμφοτέρων ἀναγκαίων, οὐδὲ τὸ συ-
μπέρασμα ἀναγκαῖον· ὡς ἐπὶ τῆς αὐτῆς, ἐν ᾗ ἐστιν ἡ τοῦ ὑπάρχειν ἀκολουθεῖν αὐτῷ τοῦ
καταφατικοῦ· ἵν' ἢ λέγων, καταφατικῶν μὲν μὴ γίνεσθαι τὸ συμπέρασμα, ἂν μὴ
ὦσιν ἀμφότεραι καταφατικαί· ἀναγκαῖον δὲ γίνεσθαι τῆς ἑτέρας ἀναγκαί-
ας οὔσης μόνης· ἴσως δὲ τὸ ἐξ ἀβιάστου τοῦτο συνάγουσαι τοῦ εἰρημένου· τὸ ἐξ ἄρα μὴ
αὐτὴ τοῦ καταφατικοῦ· νοεῖσθαι λήψεσθαι τὸ ὑπάρχον· ἄλλως τὸ ἀναγκαίων αὐτὸ δια
στελλόμενον· ὡς δῆλον ἐκ τοῦ ἐπιφερομένου· τοῦ δὲ ἀναγκαίου· ἐστὶν ἧς τῆς ἑτέρ
μόνον, ἀναγκαίας οὔσης: ἐκ δὲ τοῦ τὸ λεγόμενον εἰ μὴ περὶ τοῦ δευτέρου σχήματος
ἰδίως λέγοιτο ἀλλὰ καθόλου τε καὶ κοινῶς, ὅτι τοῦ ὑπάρχειν ἁπλῶς, συμπέ
ρασμα οὐ γίνεται· τὸ γὰρ συλλογισμὸς οὐ γίνεται, τὸ μὴ γίνεσθαι συμπέρασμα
σημαίνει· ἐὰν μὴ ἀμφότεραι ὦσιν αἱ προτάσεις ὑπάρχουσαι· ἡ γὰρ ἐν ταῖς
συζυγίαις οὔσης ἀναγκαίας τῆς ἑτέρας, ὑπάρχον γίνεται τὸ συμπέρασμα,
εἰ τό γε ἐξ ὑπαρχουσῶν τῶν δύο γίνεται· τὸ δ', τὸ ἀναγκαῖον καὶ ὑπάρχον εἶναι·
τὸ γὰρ ἀναγκαῖον, καὶ ὑπάρχον· οὐκέτι δὲ τὸ ὑπάρχον, ἀναγκαῖον· διὸ ὅταν
μὲν ἡ ἑτέρα ἀναγκαία ᾖ· ἔστιν ἀμφοτέρας ὑπαρχούσας εἰπεῖν· ὅταν δὲ ὑπαρχούσα
ἢ ἑτέρα ἀναγκαία ᾖ, ἔστιν ἀμφοτέρας ὑπάρχ· οὐκέτι ἀμφοτέρας οὔσας
εἰπεῖν ἀναγκαίας· διὰ τοῦτο τὸ μὲν ὑπάρχον, ἐξ ἀμφοτέρων ὑπαρχουσῶν
τὸ δὲ ἀναγκαῖον, τῆς ἑτέρας μόνης ἀναγκαίας οὔσης· μήποτε δὲ ἄμεινον ἀκού ειν
τοῦ, φανερὸν οὖν ὅτι τοῦ μὲν ὑπάρχειν οὐκ ἔστι συλλογισμὸς ἂν μὴ ἀμφότεραι
ὦσιν αἱ προτάσεις ἐν τῷ ὑπάρχειν, ὡς λέγοντος αὐτοῦ φανερὸν γενέσθαι ἐκ τῶν
εἰρημένων, ὅτι οὐκ ἔστι ποτὲ ἐν συμπλοκῇ τινὶ συλλογιστικῇ, ἐν ᾗ ἀδύνατον τὸ συ
μπέρασμα ὑπάρχον γενέσθαι, εἰ μὴ εἶεν ἀμφότεραι αἱ προτάσεις ὑπάρ
χουσαι· οὐ γὰρ ὡς καθόλου λεγομένου αὐτοῦ ἀκουστέον· ὅτι μὴ δὲ ἀληθές ἐστιν,
οὕτω λεγόμενον· ἀληθὲς δὲ, ἐπεὶ τῆς ἐν δευτέρῳ σχήματι τῆς καθόλου καταφα

τικῆς

ὁ δὲ δεδεῖχθαι δοκεῖ· τοῦ μὲν τὸ ἀναγκαῖον ἐστὶν ἐν πάσαις ταῖς συλλογιστικαῖς συζυγίαις γίνεσθαι συμπέρασμα· καὶ δι᾽ ἑτέρας μόνης τῶν προτάσεων ἀναγκαίας οὔσης. ὡς καὶ αὐτὸς λέγει. καὶ ἐπὶ τοῦ ἀναγκαίου ταυτόν ἐστιν λέγειν. δέδεικται γὰρ ὅτι ἐνδεχόμενον συμπέρασμα, ἐὰν ἐξ ἀμφοτέρων ἀναγκαίων οὐσῶν ἀναγκαῖαι, οὐ τοιαῦτα τὸ ἀναγκαῖον. ὡς ἐπὶ τοῦ δευτέρου σχήματος δέδεικται ἔχουσα· καὶ ἐπὶ τοῦ τρίτου:

*τοῦ δ᾽ ἀναγκαίου, ἐστὶ καὶ τῆς ἑτέρας μόνης ἀναγκαίας οὔσης.*

Δέδεικται ἐπὶ τοῦ πρώτου σχήματος, οὐ μόνον τῶν δύο καθόλου καταφατικῶν προτάσεων· ὁποτέρα αὐτῶν ἀναγκαία ληφθῇ· ἀναγκαῖον τὸ συμπέρασμα, ὥστε καὶ τῆς ἑτέρας μόνης ἀναγκαίας οὔσης, ἀναγκαῖον τὸ συμπέρασμα. δέδεικται δὲ τοῦτο καὶ ἐν τοῖς ἄλλοις σχήμασιν, ὅτι τῆς ἑτέρας οὔσης ἀναγκαίας, καὶ τὸ συμπέρασμα ἀναγκαῖον. οὐ γὰρ οἷόν τε ἀμφοτέρας λέγειν ἀναγκαίας. τῆς ἑτέρας, ὑπαρχούσης οὔσης· τὸ γὰρ ὑπάρχον, οὐκ ἀναγκαῖον, ὥσπερ τὸ ἀναγκαῖον ὑπάρχον:

*ἐν ἀμφοτέροις δὲ καὶ καταφατικῶν καὶ στερητικῶν οὐσῶν.*

Εἰπὼν ἐν ἀμφοτέροις, τὸ ἐν ἀμφοτέροις λέγει, ἐδήλωσε διὰ τοῦ, καὶ καταφατικῶν καὶ ἀποφατικῶν οὐσῶν. ἐν ἀμφοτέροις γὰρ λέγει, περὶ τῶν προειρημένων, τοῦ τε ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος. ὡς διὰ τῶν ἐπιφερομένων δηλοῖ. ἐὰν γὰρ τοῦτο ᾖ, αὐτὸ καταφατικὸν συμπέρασμα ᾖ, αὐτὸ ἀποφατικόν· ἐν ἑκατέρῳ αὐτῶν, ἀνάγκη τὴν ἑτέραν πρότασιν ὁμοίαν εἶναι τῷ συμπεράσματι ἐν παντὶ τῷ σχήματι· καθόλου δὲ δεῖ ὁμοίαν εἶναι καὶ τὴν ἑτέραν τῶν καθόλου προτάσεων, τῷ συμπεράσματι, λέγω καὶ προστίθησιν, ὑπὲρ ἐγχωρεῖ τε τὸ ἀμφοτέρας ὁμοίας εἶναι τῷ συμπεράσματι· ἢ ἐπὶ τῶν μίξεων περὶ ὧν νῦν λέγει, οὐχ οἷόν τε τοῦτο· πῶς οὖν ὅμοιον ἐν ταῖς προειρημέναις μίξεσιν. λέγει. ἐὰν μὲν γὰρ ὑπάρχον ᾖ, ὑπάρχουσαν· ἐὰν δὲ ἀναγκαῖον ἀναγκαίαν. οὐκ ἔτι γὰρ δὲ ἐπὶ μέρους ᾖ τὸ συμπέρασμα, καὶ τῶν προτάσεων δεῖ τὴν ἑτέραν, ἐπὶ μέρους εἶναι πάντως· διὰ τί; ἐν τῷ τρίτῳ σχήματι καὶ τῶν δύο καθόλου οὐσῶν, ἐπὶ μέρους γίνεσθαι τὸ συμπέρασμα, ἢ, καὶ τὸ τυχὸν ἅμα δὲ ἐπὶ μέρους ἀληπτέον. δηλοῖ δὲ καί, ὡς τὸ πρῶτον σχῆμα ἀνάγεται τῆς συζυγίας, διὰ τὴν ἀντιστροφὴν γινομένην. δῆλον ὅτι ἡ ἑτέρα τῶν καθόλου, ἐπὶ μέρους γίνεται· δεῖ οὖν καὶ διὰ τοῦτο, ἐν ἀμφοτέροις τῆς μίξεως εἶναι δηλονότι καθόλου. ὅταν γὰρ ἐν ταῖς συζυγίαις ἀμφότερα ᾖ, καὶ τὸ ὑπάρχον καὶ τὸ ἀναγκαῖον· δεῖ φησι τὴν ἑτέραν πρότασιν ὁμοίαν εἶναι

τὸ συμπέρασμα κατὰ τὸν τρόπον· δῆλον δὲ καὶ ὅτι καταφατικοῦ τοῦ συμπεράσματος
ὄντος, ἀποφατικὴν οὐ δεῖ προτείνεσθαι· ὃ οὐδὲ αὐτὸ προσέθηκε· διὰ τὸ, περὶ τοῦ
ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος μόνων αὐτὸν λέγειν νῦν· ἐπεὶ χρήσιμον ἐστὶ καὶ τοῦτο
αὐτὸ τὸ εἰρημένον πρὸς τὰ μέλλοντα· ὅτι δὲ τὸ πρὸ ὀλίγου ῥηθὲν ἐπὶ τοῖς ἐξ ἀμφοτέρων
σχήμασι καὶ διορισθὲν ὅλον καταφατικῶν συζυγίας ἅπασι· τὸ μὴ ἔσεσθαι τοῦ ὑπάρ-
χειν συλλογισμὸν ἂν μὴ ὦσιν αἱ προτάσεις ἀμφότεραι ἐν τῷ ὑπάρχειν· καὶ ἐ-
δήλωσε λέγων· ἐστερῆσθαι τὸ ὅλον, καὶ εἰ ἁπλῶς ἀναγκαίαν τὴν ἑτέραν πρότασιν ὁμοίως
εἶναι τὸ συμπέρασμα· ἂν μὲν ὑπάρχον, ὑπάρχουσαν· διωρισμένου καὶ περὶ
ὑπαρχούσης, τοῦ ὑπάρχειν συμπέρασμα γίνεσθαι:· ὥστε καὶ τοῦτο δῆλον
ὅτι οὐκ ἔσται τὸ συμπέρασμα οὐδ' ἀναγκαῖον οὐδ' ὑπάρχον ἁπλῶς,
μὴ ληφθείσης ἀναγκαίας ἢ ὑπαρχούσης προτάσεως·

Τούτων καὶ χρήζει μέν, ἤδη ποτὲ δείξας ψεῦδος συναγόμενόν τι ἐπὶ τῆς ὑπο-
θέσεως τὸ συμπέρασμα ἀναγκαῖον εἶναι· ἐν τῇ μίξει τῇ ἐξ ὑπαρχούσης τῆς
μείζονος καὶ ἀναγκαίας τῆς ἐλάττονος· ἐλάμβανε γὰρ τοῦτο, οὐδὲ ἄλλο τι.
ὅτι καὶ δεῖ ἐπὶ τῇ τοιαύτῃ συζυγίᾳ, ἢ ἀναγκαῖον ἢ ὑπάρχον γενέσθαι συμπέ-
ρασμα· ὡς χρήσιμον δὲ ὂν αὐτό, καὶ πρὸς τὰ μέλλοντα· τὸ μὴ δύνασθαι μήτε
ἀναγκαίας μήτε ὑπαρχούσης εἰλημμένης προτάσεως ἐν τῇ συμπλοκῇ
ἀναγκαῖον ἢ ὑπάρχον γίνεσθαι τὸ συμπέρασμα, ἐπεσημήνατο:·
καὶ ζητήσειεν ἄν τις πρὸς αὐτόν, πῶς τοῦτο καθόλου εἴη ἐπὶ τῆς ἀναγκαίας·
ἐπὶ μὲν γὰρ τοῦ ὑπάρχοντος, ὑγιὲς εἶναι φαίνεται· δυνατὸν δὲ ἀναγκαῖον γίνεσθαι
τὸ συμπέρασμα, καὶ μηδετέρας τῶν προτάσεων οὔσης ἀναγκαίας· ἰδοὺ γοῦν
τὸ κινεῖσθαι παντὶ ἀνθρώπῳ· καὶ ἄνθρωπος παντὶ περιπατοῦντι ὑπάρχοντος· καὶ τὸ κινεῖσθαι,
παντὶ περιπατοῦντι ἐξ ἀνάγκης:· ἤ, ἐπειδὴ καὶ τοιοῦτον· ἀεὶ δὲ ὅτε ἢ
ἀναγκαῖαι ἢ ὑπάρχουσαι ὡς εἴρηκα λαμβάνονται, ὅμοιον τὸ συμπέρασμα,
διὰ τοῦτο εἶπε μὴ γίνεσθαι ἀναγκαῖον· ἂν μὴ καὶ ἡ ἑτέρα πρότασις ἀναγκαία
ᾖ: ἢ ὅτι τὸ ἀναγκαῖον τῇ τοῦ τρόπου προσθήκῃ σημαίνεται· ὅς, οὐ προστεθή-
σεται, ἂν μὴ ἡ μία τῇ προτάσει προσκείμενον: ἢ, ὅτι καὶ μὴ τῇ προσθήκῃ τὸ
ἀναγκαῖον κρίνοι, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων, καὶ τὸ κινεῖσθαι παντὶ
ἀνθρώπῳ, ἀναγκαῖον ἄν· ἀνάγκη αὐτὸ εἶναι τῇ συνήθως ὑπαρχούσῃ χρῆται· οὐδὲ
ποτὲ γάρ ἐστιν ὅτε μὴ κινεῖται ἄνθρωπος, ἢ ζῷον ὅλως· ἢ ἀεί γε τό, πῶς τῷ ἀνθρώ-

ἀπο

λυ

ὑπάρχειν τὸ κινεῖσθαι λαμβάνεται, προσδιορίζεσθαι. οὕτως γὰρ ὑπάρχοντα τὰ ἄστρα καὶ οὐρανὸς ἔσται· καὶ ὁ τρόπος τοῦ συμπεράσματος· οὐ γὰρ ἐξ ἀνάγκης, τὸ κατὰ τὸ ἀλλοιοῦσθαι κινεῖσθαι, παντὶ περιπατοῦντι, ὅ ἐστι συμπέρασμα, ἀληθές, ἀλλ' ὅτι παντὶ κινεῖσθαι κατὰ τὸ ἀλλοιοῦσθαι ὑπάρχον: ἤ, οὐδὲ ἂν ληφθῇ παντὶ τῷ περιπατοῦντι αὐτὸν εἶναι. παντὶ ζώῳ δὲ αὐτὸν κινεῖσθαι· οὐδὲ οὕτως τὸ συμπέρασμα, τὸ παντὶ τῷ περιπατοῦντι κινεῖται, ἀναγκαῖον ἁπλῶς· ἀλλὰ μετὰ διορισμοῦ, ἕως ἂν γὰρ περιπατῇ, οὐ γὰρ παντὶ τῷ περιπατοῦντι, ἐξ ἀνάγκης κινεῖται· ἀλλὰ καὶ δεῖ περιπατεῖν ἀναγκαίως τῷ περιπατοῦντι, ἀληθές, ἀλλ' ὡς εἴπομεν μετὰ διορισμοῦ, ἕως ἂν γὰρ περιπατῇ:· περὶ μὲν τοῦ ἀναγκαίου πῶς γίνεται

Τουτέστι, πῶς ἀναγκαῖον γίνεται τὸ συμπέρασμα· γίνεται δὲ ἀπὸ τῆς αὐτῆς ἑτέρας ὅταν ἡ μείζων ἀναγκαία ᾖ· καὶ ὅτι τῆς ὑπαρχούσης ὁμοίως ἀναγκαίας συμπλεκομένης, γίνονται συλλογισμοί· καὶ ὅτι διαφέρει τοῦ ὑπάρχοντος, τὸ ἀναγκαῖον, τῇ ἀϊδίῳ ὑπάρξει. λέγεται δὲ περὶ τοῦ, ὡς συμπεραίνεται ἀναγκαίου:· +

περὶ τοῦ ἐνδεχομένου.

περὶ δὲ τοῦ ἐνδεχομένου, μετὰ ταῦτα λέγομεν· πότε καὶ πῶς καὶ διὰ τίνων ἔσται συλλογισμός.

Ἐπὶ τὸν τρίτον προσδιορισμὸν τῶν προτάσεων μέτεισιν· οὗτος δέ ἐστιν ὁ κατὰ τὸ ἐνδεχόμενον· καὶ διδάσκει πρῶτον πότε ἐξ ἐνδεχομένων προτάσεων ἀμφοτέρων γίνεται συλλογισμός· καὶ πῶς συμπλεκομένων πρὸς ἀλλήλας· καὶ τούτων. οὔτε γὰρ αἱ τυχοῦσαι συμπλακεῖσαι ποιοῦσι συλλογισμόν, οὔτε ὡς ἔτυχεν· ὥσπερ οὐδὲ ἐπὶ τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων:· λέγω δ' ἐνδέχεσθαι καὶ τὸ ἐνδεχόμενον· οὗ μὴ ὄντος ἀναγκαίου, τεθέντος δὲ ὑπάρχειν, οὐδὲν ἔσται διὰ τοῦτ' ἀδύνατον. τὸ γὰρ ἀναγκαῖον ὁμωνύμως ἐνδέχεσθαι λέγομεν.

Μέλλων περὶ τῶν ἐξ ἐνδεχομένων προτάσεων γινομένων συλλογισμῶν λέγειν, πρῶτον ὁρίζεται τὸ ἐνδεχόμενον· ὁρίζεται δέ, οὐ τὸ ὁμωνύμως λεγόμενον· οὐ γὰρ οἷόν τε τὰ ὁμωνύμως λεγόμενα ὁρίζεσθαι. ἀλλ' ἀποτεμνόμενος τοῦ ἐνδεχομένου, τὸ παρὰ τὸ ἀναγκαῖόν τε καὶ τὸ ὑπάρχον. ἔδειξε γὰρ ὅτι τὸ ἐνδεχόμενον, καὶ κατὰ τούτων κατηγορεῖται· διὰ δὲ τοῦ εἰπεῖν, ὅτι τεθέντος δὲ ὑπάρχειν· ἐδήλωσε τὸ

πρὸς τὸ μὴ εἶναι ἀναγκαῖον, οὐδ' ὑπάρχον ἐστί· τοιοῦτον γάρ τι, καὶ κατὰ τὴν [illegible] πρὸς-
ρησιν ἐνδεχόμενον· διαφέρον τοῦ τε ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος, τῷ μηδέπω
εἶναι τοῦ τὸ ὅλα τε τὸ δύνασθαι εἶναι· ἀκολούθως οὖν κυρίως ἐνδεχόμενον, ὃ μὴ
ἐστὶ μέν, τεθὲν δ' εἶναι, οὐδὲν ἀδύνατον ἑπόμενον ἔχει· καὶ εἰ ἀντὶ τούτου ὡς κυρι-
ώτερον εἴρηκας περὶ αὐτοῦ· οὐ μὴν ὂν τὸ τεθὲν ὡς δὲ ὑπάρχειν· τὸ γὰρ μὴ ὄν, οὔτε
ἀναγκαῖον· οὐ μὴν τὸ μὴ ἀναγκαῖον ἤδη μὴ ὄν· ἢ ἀμφότερα ἀπέφησε τοῦ
ἐνδεχομένου, καὶ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον· τὸ μὲν ἀναγκαῖον, διὰ τοῦ ἀπεῖναι (?)
μὴ ὂν ὡς ἀναγκαίου· τὸ δ' ὑπάρχον, διὰ τοῦ τεθέντος δ' ὑπάρχειν· τὸ γὰρ τεθέντος,
ἀπέφησεν αὐτοῦ καὶ τὸ ὑπάρχον· κατηγορεῖται γὰρ καὶ τοῦτο καὶ κατὰ τοῦ ὑπάρ-
χοντος, τὸ ἀναγκαῖον· τὸ γὰρ ὑπάρχον τινί, ἀναγκαῖον ὑπάρχειν αὐτῷ ὡς τότε ἦν.
ὅτου Θεόφραστος αὐτῷ πρώτῳ τῶν προτέρων ἀναλυτικῶν λέγων περὶ τῶν, — Θεόφρα
ὑπὸ τοῦ ἀναγκαίου σημαινομένων, οὕτως γράφει· περὶ τὸ ὑπάρχον· ὅτε
γὰρ ὑπάρχει, τότε οὐχ οἷόν τε μὴ ὑπάρχειν· ἴδιον δὲ τοῦ ἐνδεχομένου τό, τὸ μὴ
ὂν ὑποτεθῆναι εἶναι· ἐπεὶ καὶ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον ἂν λαμβάνοιτο εἶναι
οὐκ ἀδύνατόν τι ἀκολουθήσει· καὶ ἔστιν ἐφαρμόζον ὃ λέγει, καὶ τῷ ἀναγκαίῳ καὶ τῷ
ὑπάρχοντι. διό, ἴδιον τοῦ ἐνδεχομένου τὸ μὴ ὑπάρχον αὐτὸ ὡς ὑπάρχον ὑπο-
τεθέν, μηδὲν ἀδύνατον ἔχειν ἑπόμενον· ᾧ γὰρ ἀδύνατόν τι ὑποτεθέντι
ἕπεται, ἀδύνατον τοῦτο. δυνατῷ δὲ ὑποτεθέντι, οὐκ ἔστι ἀδύνατον ὡς ἐ-
δείξαμεν· ὥστε εἶναι ἴδιον αὐτοῦ, οὐ τὸ μὴ ὑπάρχειν, ἀλλ' ὅταν μὴ ὑπάρχον
ὑποτεθῇ ὑπάρχειν, μηδὲν συμβαίνειν ἀδύνατον:

ὅτι δ' ἐν τούτῳ ἐστὶ τὸ ἐνδεχόμενον· φανερὸν ἔκ τε τῶν καταφάσεων καὶ τῶν
ἀποφάσεων τῶν ἀντικειμένων·

τὸ δ' ἐνδεχόμενον τοιοῦτόν ἐστιν ὅπερ αὐτὸς ὡρίσατο δυνατός· γνωριμώ-
τερον δ' ἔσται τὸ λεγόμενον, ἂν τὸ ὑπ' αὐτοῦ μικρὸν ἔλαττον λεγόμενόν τε καὶ δεικνύ-
μενον, προλάβωμεν ἤδη· φανερώτερον γὰρ ἡμῖν τὸ λεγόμενον ἔσται δι' αὐτοῦ,
ἔστι δὲ ὃ δείξει, τοῦτο· ὧν ἀντιφάσεων τὰ ἕτερα μόρια ἀλλήλοις ἕπεται,
τούτων ἀντιφάσεων καὶ τὰ λοιπὰ μόρια, ἀνάπαλιν ἕπεσθαι ἀλλήλοις· ἐπεὶ
καὶ τὸ ἀπ' αὐτῆς τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως· ὡς καὶ αὐτὸς ἐν τῷ ἐφεξῆς προ-
σέθηκεν· ἔστωσαν γὰρ λόγου χάριν δύο ἐκκείμεναι καταφάσεις, ἥ τε α, καὶ ἡ β· καὶ ἔ-
στωσαν ἀντιφατικαὶ ἀποφάσεις αὐτῶν, τῆς μὲν α, ἡ γ· τῆς δὲ β, ἡ δ· καὶ ἑπέσθω

τῇ α' καταφάσει· β' καταφάσεως οὔσης ἄρα οὔσης αὐτῇ ἀληθής, ἀκολουθήσει δὴ καὶ τῇ γ' ἀποφάσει ἡ δ' ἀπόφασις· καὶ ἄρα αὐτῇ ἀληθὴς ἔσται· ἀλλ' ἐφθῶς ἄρα τῇ ἐφ' οὗ ἀληθής ἐστι καὶ ἡ δ' ἀπόφασις· εἰ γὰρ μὴ εἴη αὐτῇ, ἡ κατάφασις αὐτῆς ἀληθὴς ἔσται ἡ β'· ἔδει αὐτῇ καὶ ἡ α' κατάφασις· εἴπερ ἀκολουθοῦσιν ἀλλήλαις. τὸ ἄρα μὴ εἶναι ἀληθές· ἐφ' οὗ ἄρα ἡ γ' ἀπόφασις ἀληθής, ἔσται ἐπὶ τοῦ τοιούτου καὶ ἡ κατάφασις αὐτῆς ἡ α', ἀληθής· καὶ ἄρα ἄρα καὶ ἐπὶ τοῦ αὐτοῦ, ἡ α' κατάφασις ἀληθὴς ὅπερ ἀδύνατον· ἀκολουθήσει ἄρα τῇ α' ἡ δ' ἀπόφασις· ἠκολούθει δὲ τῇ γ' ἀπόφασις· καθόλου ἄρα εἰπεῖν, ὧν αἱ καταφάσεων θάτερα μόρια συναληθεύεται ἀλλήλοις, τούτων καὶ τὰ ἕτερα πάλιν ἀλλήλοις συναληθεύεσθαι τε καὶ ἀκολουθεῖν· τούτου δὲ δεδειγμένου γνώριμον τὸ λεγόμενον ὑπ' αὐτοῦ. εἰ γὰρ τὸ, οὐκ ἐνδέχεται ὑπάρχειν, καὶ ἀδύνατον ὑπάρχειν· καὶ ἀναγκαῖον μὴ ὑπάρχειν, ἴσον τε ἐστίν, ἢ ἀκολουθεῖν ἀλλήλοις ὡς πάντες φασίν· καὶ ἐν τῷ περὶ ἑρμηνείας δέδεικται· καὶ γὰρ εἰ μὴ ἴσον τὰ πάντη· ὅτε τὸ μὲν, ἀποφάσεις· τὰ δὲ καταφάσεις, ἀλλ' ἐφ' οὗ τε ἓν ἐξ αὐτῶν ἀληθεύει, καὶ τὰ ἄλλα· δῆλον ὡς καὶ αἱ τούτων καταφάσεις ἀκολουθοῦσιν ἀλλήλαις· ἔστι δὲ τοῦ μὲν οὐκ ἐνδέχεται ὑπάρχειν οὔσης ἀποφάσεως καταφάσις τὸ, ἐνδέχεται ὑπάρχειν. τοῦ δὲ, ἀδύνατον ὑπάρχειν, καὶ ἀναγκαῖον μὴ ὑπάρχειν καταφάσεων· αἱ ἀποφάσεις, τὸ, οὐκ ἐνδέχεται ὑπάρχειν ἀπόφασις, τὸ, τε οὐκ ἀδύνατον ὑπάρχειν· τὸ οὐκ ἀναγκαῖον μὴ ὑπάρχειν· ἀκολουθήσουσιν ἄρα καὶ αὗται ἀλλήλαις· καὶ ἔσται τὸ, ἐνδέχεται εἶναι· καὶ οὐκ ἀδύνατον εἶναι· καὶ οὐκ ἀναγκαῖον μὴ εἶναι, ἀληθές, τὸ, ἄρα ἐνδεχόμενον εἶναι, οὐκ ἀδύνατον ἔσται εἶναι, οὐ τῶν ἀναγκαῖον μὴ εἶναι. οὐκοῦν τε ἄρα αὐτὸ ἀναγκαῖον· ἀλλ' εἰ μὴ δὲ ὑπάρχοντι, ὑποτεθέντι ὑπάρχειν· ἐπεὶ οὐκ ἀδύνατόν ἐστιν, οὐδὲν ἀδύνατον ἀκολουθήσει· τοῦτο γὰρ ἀληθές. διὸ τὰ ἀδύνατα ἀδύνατον ἀκολουθεῖ, ὡς προϊὼν ὀλίγον, ἐρεῖ τε καὶ δείξει:·

ἔσται ἄρα τὸ ἐνδεχόμενον, οὐκ ἀναγκαῖον·

δεῖξαι τίνος χάριν· τὴν ἀκολουθίαν εἴληφε τῶν προτάσεων· ὅτι τοῦ δεῖξαι, τὸ λεγόμενον τῷ τοῦ ἐνδεχομένου ὁρισμῷ, κείμενον τὸ, οὗ μὴ ὄντος ἀναγκαίου, ὑποτεθέντος δὲ εἶναι, οὐδὲν ἀδύνατον ἕπεται· οὔτε γὰρ ἀναγκαῖον οὔτε ἀδύνατον τὸ, ἐνδεχόμενον:· συμβαίνει δὲ ἐπὶ πασῶν τῶν κατὰ τὸ ἐνδέχεσθαι προτάσεων, αὗται ἑπόμεναι(?) ἀλλήλαις·

| | |
|---|---|
| ἐνδέχεται ὑπάρχειν | οὐκ ἐνδέχεται ὑπάρχειν |
| οὐκ ἀδύνατον ὑπάρχειν | ἀδύνατον ὑπάρχειν |
| οὐκ ἀναγκαῖον μὴ ὑπάρχειν | ἀναγκαῖον μὴ ὑπάρχειν |

διὸ τοῦ ἐνδεχομένου τὸ ἀντιστρέφειν τοῦτ' ἔστι τὸ ἀκολουθεῖν ἀλλήλαις τάς τε κατὰ τὸ
γινομένας καταφάσεις τε καὶ ἀποφάσεις· ἀποφάσεις δὲ λέγω κατὰ τὸ ἐνδέ-
χεσθαι, οὐ τὰς τοῦ ἐνδέχεσθαι ἀποφάσεις· ἀλλὰ τὰς ἐνδεχομένας ἀποφατικάς.
διαφέρει γὰρ ἐνδεχομένη ἀποφατικὴ καὶ ἐνδεχομένης ἀπόφασις· ὥσπερ καὶ Contingens negativa et contingentis neg.
ἀναγκαία ἀποφατικὴ καὶ ἀναγκαίας ἀπόφασις· ἡ μὲν γὰρ ἀναγκαίως ὑπάρ-
χειν λέγουσα, ἀναγκαία ἐστὶν ἀποφατική· οὐκ ἔστι δὲ ἀπόφασις τῆς ἀναγκαίως
ὑπάρχειν· ἡ δὲ, οὐκ ἀναγκαίως ὑπάρχειν, ἀναγκαίας τῆς ἀναγκαίως ὑπάρχειν.
ἐστὶν ἀπόφασις· ἥτις κυρίως ἐστὶν ἀποφατική· ἡ δὲ ἑτέρα ἁπλῶς μὲν ἐστὶ κα-
ταφατική· τῷ δὲ τρόπῳ ἀναγκαία ἀποφατική· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τοῦ ἐν-
δεχομένου· ἀπόφασις μὲν τοῦ ἐνδεχομένου ἡ κυρίως ἀπόφασις, ἡ οὐκ ἐν-
δέχεται εἶναι· ἐνδεχομένη δὲ οὐ, τῷ ἁπλῶς καταφάσει, ἡ, ἐνδέχεται μὴ εἶναι.
τὰς δὴ ἐνδεχομένας ἀποφατικὰς καὶ τὰς ἐνδεχομένας καταφατικὰς, ἀκο-
λουθεῖν συμβέβηκεν ἀλλήλαις, κατὰ τὸ ἐκκείμενον σημαινόμενον, νῦν λαμ-
βανομένου τοῦ ἐνδεχομένου· πᾶν γὰρ ὃ οὕτως ἐνδέχεται εἶναι, ἐνδέχεται καὶ
μὴ εἶναι· μέλλων δὲ χρῆσθαι πρὸς τὰς ἐξ ἐνδεχομένων προτάσεων συλλογισ-
μοὺς γινομένους, τῇ τοιαύτῃ τοῦ ἐνδεχομένου ἀντιστροφῇ, διὰ τοῦ τὸ πρῶτον
αὐτὸ ἐπιδεικνύναι οὕτως ἔχουσαν· ὅτι μὲν τοι ἐδόκει ὅτι ἡ τοιαύτη τῶν προτάσεων
ἀντιστροφή, οὐκ ἔστιν ἡ γνησία κατὰ τοὺς περὶ Θεόφραστον· οὐδὲ χρῶνται αὐτῇ, θεόφρα(στος)
τὸ γὰρ αὐτὸ ἀξιοῦν τοῦ, τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην, ἀντιστρέ-
φειν αὐτῇ λέγειν· παραπλήσιόν ἐστι τῇ ὑπαρχούσῃ καὶ τῇ ἀναγκαίᾳ· καὶ τοῦ ἀν-
τιστρέφειν τὰς καταφατικὰς ἐνδεχομένας ταῖς ἀποφατικαῖς ἐνδεχομέναις.
ὃ ἀξιοῖ Ἀριστοτέλης· ἐπισημαινούμεθα δὲ ἐπὶ τούτου, ὅτι καὶ περὶ τῆς κατὰ ἀριστο(τέλης)
τῶν ἐνδεχομένων ἀντιστροφῆς καὶ ὅρους λέγει· τὸ δέ, λέγω οὐ τὰς κα-
ταφατικὰς ταῖς ἀποφατικαῖς· ἀλλ' ὅσαι καταφατικὸν ἔχουσι τὸ σχῆμα
κατὰ τὴν ἀντίθεσιν, τοῦ προειρημένου δηλωτικόν ἐστιν· ἀντικεῖσθαι μὲν γὰρ δοκεῖ
τῷ ἐνδέχεσθαι εἶναι, τὸ ἐνδέχεσθαι μὴ εἶναι κατὰ τοῦτο· διὰ τό, ἐν μὲν τῷ, τὸ εἶναι·
ἐν δὲ τῷ, τὸ μὴ εἶναι συντετάχθαι· δοκοῦσαι ἀλλήλαις ἀντικεῖσθαι· οὐ μὴν ἀλλὰ
γε ἀμφότεραι καταφατικὸν ἔχουσι τὸ σχῆμα τῷ, καταφάσεις εἶναι, ἐν αἷς μὲν
προσκεῖται τῷ τρόπῳ τὸ ἀποφατικόν· εἰπὼν δὲ ἐπὶ ἀδιορίστων, τίνα καὶ
πῶς λαμβανόμεναι αἱ ἀποφατικαὶ ἐνδεχόμεναι· ἀκολουθοῦσι ταῖς καταφα-

ἀποφατικαῖς ἐνδεχομέναις. ἐξῆς δὲ τοὺς διορισμοὺς ἔλαβε· τὸ παντὶ ἐνδέχεσθαι ὑπάρχειν, τῷ ἐνδέχεσθαι μηδενὶ ὑπάρχειν λέγων ἀντακολουθεῖν· ὁμοίως δὲ τὸ ἐνδέχεσθαι μὴ παντὶ ὑπάρχειν· αὗται μέν, τῶν καθόλου ἐνδεχομένων καταφατικῶν. ἡ ἐνδέχεσθαι τινὶ μηδενί· ἡ δέ, ἐπὶ μέρους. ἡ δὲ ἐν τῇ μερικῇ ἀποφάσει ἐνδέχεσθαι μὴ παντί. δηλονότι(?) ὅτι τῇ καταφάσει τῇ ἐνδεχομένῃ καθόλου, πᾶσαι αἱ ἀποφάσεις αἱ ἐνδεχόμεναι συναληθεύουσι· καὶ γὰρ ἡ ὡς ἐναντία· καὶ ἡ ὡς ἀντίφασις. οὐδετέρα αὐτῶν προσαληθεύει(?)· οὔτε ὡς ἀντικειμένη(?) οὔτε ὡς ἀντίφασις. οὐδὲ γὰρ ἂν ἅμα ἦσαν ἀληθεῖς. ὅτι δὲ αἱ οὕτως λαμβανόμεναι ἀντακολουθοῦσιν, ἐκ τῆς ἐπαγωγῆς δῆλον. καὶ τὸ τινὶ δὲ καὶ μὴ τινί, ἀντιστρέφει ἐπὶ τῶν ἐνδεχομένων. τοῦ τινός, ἐπὶ τοῦ αὐτοῦ λαμβανομένου. ἴδιον γὰρ τοῦ ἐνδεχομένου τὸ καὶ ἐπὶ τοῦ αὐτοῦ λαμβανομένας οὕτως, ἅμα ἀληθεῖς εἶναι. ἐπεὶ τὸ τινί, καὶ τὸ τινὶ μή, ὅταν ἐπ' ἄλλου καὶ ἄλλου λαμβάνηται, οὐχ αἱ ἐνδεχόμεναι μόνον ἐπὶ μέρους συναληθεύουσιν, ἀλλὰ δύνανται ποτὲ καὶ ὑπάρχουσαι καὶ ἀναγκαῖαι. καὶ ἔστι τὸ τινὶ ἐνδέχεσθαι τὸ ἐνδέχεσθαι τινὶ μή. ἐπὶ τούτων τῷ, ὥσπερ εἰ λαμβάνει(?) ἢ πλεῖστα(?) ἢ τινὰ τῶν καθέκαστα. καὶ ἐπὶ τοῦ αὐτοῦ τινὸς καὶ τὸ ἐνδέχεσθαι ἀντίθεσιν ποιεῖσθαι κατὰ τὸν εἰρημένον τρόπον. τὸ δὲ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἄλλων, εἴπερ(?), ἀναπέμπων ἡμᾶς ἐπὶ τὰς ἄλλας τὰς ἰσοδυναμούσας τῇ ἐνδεχομένῃ. αὗται δέ φησιν, καὶ κατάφασις μέν, ἡ δυνατὸν εἶναι. ἡ ἀντιστρέφει ἡ δυνατὸν μὴ εἶναι. καὶ πάντας τοὺς προσδιορισμοὺς οὓς ἔδειξε, καὶ παντί, καὶ μηδενί· καὶ τινί· καὶ τινὶ μή, ὁμοίως τῆς ἐνδεχομένης ἀποφάσεως δέ, ἡ τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι. αὕτη γὰρ ἕπεται τῇ ἐνδεχομένῃ εἶναι. ἧ ἀκολουθεῖ τε καὶ ἀντιστρέφει. ἤ, οὐκ ἀναγκαῖον εἶναι καὶ οὐκ ἀδύνατον εἶναι. καὶ γὰρ αὕτη ἕπεται τῇ ἐνδέχεσθαι εἶναι. πρὸς ἣν ἀντιστρέφει λέγουσα(?) οὐκ ἀδύνατον μὴ εἶναι :·

ἐπεὶ γὰρ τὸ ἐνδεχόμενον οὐκ ἔστιν ἀναγκαῖον ·

Ἐπειδὴ ὅτι ἀντακολουθοῦσιν αἱ ἐνδεχόμεναι ἀποφατικαὶ ταῖς ἐνδεχομέναις καταφατικαῖς, καὶ τίνας, ἅσιν αὐτῇ παραθέμενος(?)· νῦν καὶ τὴν αἰτίαν ἀποδίδωσι τοῦ ἀντακολουθεῖν αὐτὰς καὶ ἀντιστρέφειν ἀλλήλαις. ἐπεὶ γὰρ τὸ ἐνδέχεσθαι ὑπάρχειν, οὐκ ἐξ ἀνάγκης λέγεται(?) τὸ ὑπάρχειν· ἦν γὰρ τὸ ἐνδεχόμενον ὡς ἐν τῷ λόγῳ αὐτοῦ ἐδηλώθη. οὗ μὴ ὄντος ἀναγκαίου. τὸ δὲ μὴ ἀναγκαῖον ἐγχωρεῖ καὶ μὴ ὑπάρχειν. ἀνάγκη τὸ ἐνδέχεσθαι ὑπάρχειν συναληθεύειν τὸ

ἐνδέχεσθαι μὴ ὑπάρχειν ὁμοίως καὶ ἐπὶ πάντων διορισμῶν. διὰ ταῦτα δὲ φησὶ
αἵ τε ἀδιόριστοι λεγόμεναι καὶ αἱ διωρισμέναι, ἐπὶ τοῦ καθόλου, ἀκολουθοῦσιν
καταφάσεις τε καὶ ἀποφάσεις ἀλλήλαις· καὶ ἐπὶ μερικῶν τε καὶ καθ' ἕκαστα δὲ ὁμοίως
τούτων τῶν λεγομένων ἀντακολουθοῦσιν. διὰ γὰρ τὸ τῶν λεγομένων καταφάσεων
μὴ ἐξαλλάττεσθαι τὰ κατηγορούμενα δηλονότι· ἀ γὰρ ἐστὶ τοιοῦτον τὸ ἐνδε-
χόμενον, οἱ μὲν ἰσούμεναι ἀντιστρέφειν ταῖς ἐνδεχομέναις ἀποφάσεσι τὰς
καταφάσεις, οὐκ ἀληθὲς λέγουσιν. ἀλλ' ἐὰν ὦσιν αἱ ἐνδεχόμεναι ἀποφατικαί· καὶ //
καταφάσεις ἀλλ' οὐκ ἀποφάσεις, ὑπομιμνήσκει ἡμᾶς. οὐ γὰρ τὰ προειρημένα.
ἔδειξε τὰς τὸν τρόπον ἐχούσας ἀνάγκῃ τοῦ ἀποφατικοῦ πρὸς τὸ κατηγορούμενον,
προτάσεις καὶ καταφάσεις εἶναι. διὰ τοῦτο προστίθησι καθόλου· ἐπεὶ προσέχει προ
ἐξ ἀνάγκης αὐτῶν ἐν ἐστι δείκνυμι, ὅτι τὸ προειρημένα ἀριστοτέλει ἐστίν. ἄλλου
χώρας ἀνθρώπινος φησίν· καὶ θεοῦ τὸ προειρημένα δὴ περὶ τούτου ὅτι ἔλεγε
μὴ ἀντιστρέφειν τὰς καθόλου ἀποφατικάς: ἐζήτησα δὲ τὸ ἐνδεχόμενον ἀπὸ
τοιοῦτον ἐστὶν ὁποῖον ὥρισται, τὸ μήτε ἀναγκαῖον μήτε ὑπάρχον. πῶς αἵ τε
καταφατικαὶ ἐνδεχόμεναι, αἱ ἀποφατικαὶ ἐνδεχόμεναι ἀντιστρέφουσι
φυλαττομένου τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐν ἀμφοτέραις. ἀ γὰρ
ὃ ἐνδέχεται εἶναι, τοῦ μὴ παντὶ καὶ τοῦ τὸ ὅλα ἐστί· τοῦτο γὰρ σημεῖον ἴδιον ἐστὶ
τοῦ ἐνδεχομένου τὸ μὴ παντὶ καὶ τοῦ τὸ ὅλα, ἔσται ἄρα οὐχ ὑπάρχον.
τὸ ἐνδέχεται μὴ εἶναι, οὔπω ἐστὶ μὴ ὑπάρχον· ὑπάρχον ἄρα. ὥστε τὸ μὲν
καταφατικὸν ἀληθὲς καὶ τὸ τοῦ μὴ ὑπάρχοντος· τὸ δὲ ἀποφατικόν, ὡς τοῦ
ὑπάρχοντος. ἀδύνατον δὲ ἄμφω. οὐ κατὰ τὸ καὶ τὸν διορισμὸν ἐνδε-
χόμενον ἐν τῇ ἀποφάσει ληφθήσεται: ἢ διὰ τοῦτο οὕτως ὥρισται τὸ ἐνδε- λυση
χόμενον ἁπλῶς, ὃ μὴ ὂν ἀναγκαῖον, οὐκέτι δὲ προστίθησι τὸ μὴ ἢ ὑπάρχον
πάντως. οὐ γὰρ τὸ μὴ ὑπάρχειν ἴδιον αὐτοῦ. ἀλλὰ τὸ μὴ ὑπάρχον ἃ ὑποτε-
θὲν ὑπάρχειν, μηδὲν ἀδύνατον αὐτὸ εἶπε. ὅ τε γὰρ τοῦτο βούλεται, ἤδη
δῆλος καὶ διὰ τοῦ εἰπεῖν τὸ γὰρ ἀναγκαῖον ὁμωνύμως ἐνδέχεσθαι λέγομεν.
μηκέτι δὲ προσθεῖναι, ὅτι καὶ τὸ ὑπάρχον. ὅτι τῆς ἀναγκαίας ἀκολουθίας ἐστί.
οὐχ ὡς ὁμώνυμον γὰρ ἐπ' αὐτοῦ. οὐκέτι πάντως ἐφ' οὗ τὸ ἐνδέχεσθαι εἶναι
ἀληθές, ἐπὶ τούτου ἀληθὲς καὶ τὸ ἐνδέχεσθαι μὴ εἶναι. ὥστε καὶ ἑκάτερον ἀληθὲς : ὅτε τὸ
εἶναι τότε καὶ θάτερον. ἀλλ' οὐκ ἡ παρὰ μέρος. οὐ γὰρ ὅτε μὴ ὑπάρχει τότε.

ἀλλ' ὅταν μὴ ὑπάρχῃ· ἐνδέχεται μὴ ὑπάρχειν. ὃ γὰρ ἐνδέχεται ὑπάρχειν
μὴ ὑπάρχον, τοῦτο ἐνδέχεται καὶ μὴ ὑπάρχειν· ὅταν ὑπάρξῃ· καὶ τὸ ἐνδέ-
χεται ἐπὶ τοῦ μήπω ὄντος λέγεται, τὸ ἐνδέχεσθαι εἶναι, ἀντὶ τοῦ ἐνδέχε-
ται γενέσθαι λέγεται τοῦτο. πᾶν δὲ ὃ μήπω ὂν ἐνδέχεται γενέσθαι, τοῦτο ἐνδέχε-
ται μὴ γενέσθαι· ὥστε κατ' ἄμφω ἐπὶ τοῦ μηδέπω ὄντος:: διωρισμένων δὲ τούτων,
πάλιν λέγωμεν ὅτι τὸ ἐνδέχεσθαι κατὰ δύο λέγεται τρόπους.

Ἐπεὶ τὸ τέλεον ἐνδεχόμενον καὶ ὅτι καὶ ἡ κατάφασις αὐτοῦ καὶ ἡ ἀπόφα- 35/
σις ἀντιστρέφουσιν ἀλλήλαις, φησὶ διχῶς λέγεσθαι τὸ ἐνδεχόμενον οὐχ ὁμωνύ- μς/
μως λέγων· οὐ γὰρ ὡρίσατο ποίου ἐνδεχομένου ποιεῖται τὴν διαίρεσιν ταύτην.
ἀμφοτέροις γὰρ ὁ εἰρημένος ἐφαρμόζει τοῦ ἐνδεχομένου λόγος· ~~ποιεῖται~~
~~τὴν διαίρεσιν ταύτην· ἀμφοτέροις γὰρ ὁ εἰρημένος ἐφαρμόζει τοῦ ἐν-~~
~~δεχομένου λόγος~~· ποιεῖται οὖν τὴν διαίρεσιν ὡς γένους τοῦ ἐνδεχομέ- γ/
νου εἰς εἴδη ἃ ἐκτίθεται· ἀλλ' οὐχ ὡς ὅλου εἰς μέρη· φησὶ δὴ τοῦ ἐνδεχομένου ἓν μὲν
εἶναι σημαινόμενον, τὸ ἐπὶ τῶν ὡς ἐπὶ τὸ πολὺ λεγομένων· ἅ τε μὴ ἀεὶ
οὕτω γίνεσθαι· ἀλλὰ καὶ διακόπτεσθαι τὸ ἀεὶ καὶ τὸ ἐξ ἀνάγκης, τῷ δύνασθαι
μὴ οὕτως ἀπαντῶντα ποτέ, ἐνδεχόμενόν ἐστι καὶ αὐτό. τοιαῦτα ἐστὶ τὰ
φυσικὰ γινόμενα, ἃ οὐκ ἐξ ἀνάγκης μὲν γίνεται· τῷ ἐπί τινων συμπί-
πτειν ποτὲ καὶ μὴ οὕτως· οὐ μὴν ἀλλ' ὡς ἐπὶ τὸ πολὺ γίνεται· τὸ γὰρ πολιοῦσθαι
τοὺς γηρῶντας οἱ ἄνθρωποι κατὰ φύσιν· καὶ ὡς ἐπὶ τὸ πολὺ οὕτως ἀπαντᾷ.
ἤδη γάρ τινες καὶ οὐκ ἐπολιώθησαν· καὶ αὔξονται μέχρι τοσοῦδε χρόνου.
τὸ φυσικὸν ὡς ἐπὶ τὸ πλεῖστον:· + + +

τοῦτο γὰρ οὐ συνεχὲς μὲν ἔχει τὸ ἀναγκαῖον διὰ τὸ μὴ ἀεὶ εἶναι ἄνθρωπον. ὄντος μέντοι
ἀνθρώπου ἢ ἐξ ἀνάγκης, ἢ ὡς ἐπὶ τὸ πολύ ἐστι: +

Τὰ ὡς ἐπὶ τὸ πλεῖστον γινόμενα, τοῦ μὴ εἶναι ἀναγκαῖα δι' ἣν αἰτίαν
φέρει· μίαν μέν, ὅτι μὴ ἀεὶ ἔστιν οἷς ταῦτα ὑπάρχει· τὰ γὰρ κατὰ φύσιν
γινόμενα, οὐκ ἀΐδια· τὰ οὖν μὴ ἀεὶ ὄντα εἶναι· οἷς ἐνδέχεσθαι φαμὲν
τὰ κατὰ φύσιν ὑπάρχειν· τοῖς γὰρ μηδὲ ἐκεῖ ὄντα ταῦτα ὑπάρχει, οὐκ ἐξ ἀνάγ- α3/
κης τὰ κατὰ φύσιν. τὸ γὰρ ἀναγκαῖον, ἀΐδιόν τε καὶ ἀεὶ ὁμοίως ἐπὶ τῶν ὁμοίως
ἐχόντων λέγεται· τοῦτο οὖν ἐνδέχεσθαι, καὶ τὸ ἐξ ἀνάγκης ὑπάρχοντα οὐκ ἀΐ-
διον ἂν μὴ προαπόληται· διότι ἐνδέχεται προαπολλυμένου αὐτοῦ, μὴ

γίνεσθαι τοῦτο· ὃ ἐξ ἀνάγκης οὐκ ἔστιν ἐπεὶ τό· ἀεὶ ἀνάγκη ἄλλως· οὐ γὰρ ἅπας ἄνθρωπος ἐξήκοντα-
ταετὴς γινόμενος, ἐξ ἀνάγκης ἐπολιοῦτο· ὅμως οὐδὲ ἐν τῇ τῶν ἐνδεχομένων
ἐστί, τὸ πολιωθήσεσθαι τὸν δέ τινα· ὅτι ἐνδέχεται αὐτόν, καὶ μὴ προσγενέσθαι αὐτῷ
τὰ τοσαῦτα ἔτη. τὸ παρὰ ταύτην τὴν αἰτίαν ἐνδεχόμενον γινόμενον,
ἐδήλωσε μέν, ἀπὸ τοῦ τὸ παρ' οὗ συνεχὲς μὲν ἔχει τὸ ἀναγκαῖον διὰ τὸ μὴ ἀεὶ
εἶναι αὐτόν· λέγων οὐ συνεχὲς μὲν τὸ τοιοῦτον εἶναι· διό, μηδὲ ἀναγκαῖον·
δεύτερον δὲ ὅτι τὰ κατὰ τὸ πεφυκὸς γινόμενα, οὐκ ἐξ ἀνάγκης ἐστίν· ὅτι καὶ
οὕτως ὡς ὑπάρχει τὸ κατὰ τὸ πεφυκός· εἰ ἐξήκοντα ἔτη προεληλυθώς, ὡς ἐπὶ
τὸ πλεῖστον μὲν ~~πολι~~ πολιωθήσεται· οὐ μὴν ἐξ ἀνάγκης, ὃ ἐδήλωσε μὲν ἀπὸ
ὅν τοῖς μὲν τοιαύτου, ἢ ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολὺ ἐστίν· ἅτε γὰρ ὡς ἐπὶ τὸ πολύ,
δηλονότι οὐκ ἐξ ἀνάγκης. τὸ μὲν οὖν ἕτερον τῶν τοῦ ἐνδεχομένου σημαινο-
μένων τοῦτο· ἀπολείπει τὸ τοῦ τὸ κατὰ τὸ προαιρετὸν γινόμενα, τέ τε τῆς δ'
τὸ γὰρ ἢ ἐπὶ τούτων τὸ ὡς ἐπὶ τὸ πλεῖστον· τὸ δὲ ἕτερον φησὶ τὸ ἀόριστον· ἀόριστον
λέγων τό, τὸ ἐπίσης ἔχον· τό, οὐδὲν μᾶλλον οὕτως ἐχόμενον, ἢ μή· οὐ γὰρ τὸ περι-
πατῆσαι ἐνδέχεσθαι σωκράτην· ἢ τὸ διαλεχθῆναι ἀλλ' ἐνδέχεται· ἐπεὶ δὴ καὶ τὸ ἴσως
ὡς τὸ πλεῖστον γινομένῳ τοῦ ἐνδεχομένου ἀντικείμενον· ὅ ἐστι τὸ ἐπ' ἔλαττον
γινόμενον· διὸ παρεμπῖπτον, κωλύεται τὸ ἐπὶ πλεῖστον γινόμενον, ἅτε
γίνεσθαι καὶ εἶναι ἀναγκαῖον· τοιοῦτον δ' ἂν εἴη τὸ μὴ πολιωθῆναι τὸν ἐξήκοντα-
ταετῆ, ἐν τῷ τοιούτῳ τοῦ ἐνδεχομένου σημαινομένῳ· τὸ ἐπ' ἔλαττόν ἐστι καὶ τὸ
ἀπὸ τύχης· διὰ μὲν οὖν τοῦ βαδίζειν, ἐδήλωσε τοῦ ἐνδεχομένου τὸ πρὸς τὰ
ἀντικείμενα ἐπίσης ἔχον· διὰ δὲ τοῦ βαδίζοντος γενέσθαι σεισμόν, ὅλως
τὸ ἀπὸ τύχης γινόμενον ἢ τὸ ἐπ' ἔλαττον· ὅτῳ ὡς ἐπὶ τὸ πολὺ γινομένῳ ἀν-
τίκειται· ἀόριστα δὲ ἀμφότερα· καὶ τὸ μέν, διὰ τὸ ἐφ' ἑκάτερον ἴσον· ἀόριστον
γὰρ τὸ οὐδὲν μᾶλλον οὕτως ἢ ἐκείνως· τὸ δὲ ἐπ' ἔλαττον ἀόριστόν ἐστιν, ὅτι
ἔχει οὐκ ἀναγκαίως γίνεται· τοιοῦτον γὰρ καὶ οὕτω γίνεται τὸ ἀπὸ τύχης· ἡ γὰρ
τύχη, καὶ τὸ συμβεβηκὸς αἴτιον, οὐκ ἔσθ' αὐτό· καὶ τὸ ἔσεσθαι αὐτό, ὅλως ἀόρι-
στόν τε καὶ ἄδηλον· μάλιστα μὲν γὰρ ὥρισται τὸ ἀναγκαῖον· δευτέρως δέ, τὸ
ἐγγὺς τοῦ ἀναγκαίου· τοῦτο δέ ἐστι τὸ ἐπὶ πλέον ὃ δὲ ὡς ἐπὶ πλεῖστον ἀφέστηκε
τοῦ ὡρισμένου· τοῦτο καὶ λόγως ἀόριστον· τοιοῦτον δὲ τὸ ἐπίσης· ἢ ἔτι μᾶλ-
λον τὸ ἐπ' ἔλαττον· ὡς παρ' ὃ γὰρ γραμμὴ στιγμὴ μένουσα ἀπὸ παντὸς τὰ ἐπ' ἄλλα
χρόνον,

τοῦ ἀναγκαίου τὸ ἐνδεχόμενον ἀπὸ τοῦ τῆς τῶν γενέσεων τεταγμένης λαμβάνει-
να· ἅμα μὲν γὰρ δὲ ἀνίσταται πλησθεὶς καὶ γίνεται τὸ τεταγμένον φύσιν καὶ τὸ ὡς ἐπὶ τὸ πολὺ
ἐνδεχόμενον, καὶ τὸ ἐπ᾿ ἔλαττον· ὅμως καὶ τὸ τυχικὸν τὸ αὐτόματον· ἄλλο δὲ ἐστὶ τὸ
ὁπότερ᾿ ἔτυχεν. αὐτὸ μὲν ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον, ἀντιστρέφει τῷ οὐ
κατ᾿ ἀνάγκην ὑπάρχειν· διὰ τοῦτο γὰρ καὶ ἐπὶ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχομένου,
γίνεσθαι ἀληθὲς καὶ τὸ ἐνδέχεσθαι μὴ ὑπάρχειν· ὅτι ἀληθὲς τὸ οὐ κατ᾿ ἀνάγκην ὑ-
πάρχειν ἐπ᾿ αὐτοῦ· ἀκολουθεῖ γὰρ τὸ ἐνδέχεσθαι εἶναι, καὶ τὸ οὐ κατ᾿ ἀνάγκην εἶναι·
ὥσπερ καὶ τὸ οὐκ ἀνάγκη μὴ εἶναι. τὸ δὲ οὕτως ἐνδεχόμενον καὶ τὸ ὡς ὁπότερ᾿ ἔ-
τυχε, τῷ ἐνδέχεσθαι μὴ ὑπάρχειν· ἐπίσης γάρ· καὶ οὐδὲν μᾶλλον τοῦ ἑτέρου θά-
τερον ταῦτα καὶ αὐτὸ ἐστὶ δηλοῖ· δι᾿ ὧν ἐπήνεγκε λέγων· ἀντιστρεφομένων
κατὰ τὰς ἀντικειμένας προτάσεις ἑκατέρου τῶν ἐνδεχομένων. οὐ μὴν
τὸν αὐτὸν τρόπον, ἑκατέρου λέγων τῶν ἐνδεχομένων· τό τε ὡς ἐπὶ τὸ πλεῖστον
καὶ τὸ ἀόριστον. ἀλλ᾿ ἐπὶ μὲν τοῦ ὡς ἐπὶ τὸ πλεῖστον, ἀληθὲς εἶναι τὸ ἐνδέχε-
σθαι μὴ γενέσθαι φησίν· οὐχ ὅτι ἐπίσης τῷ ἐνδέχεσθαι γενέσθαι ἀληθές ἐστιν·
ἀλλὰ διότι ἀληθές ἐστιν ἐπὶ τοῦ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχομένου τὸ οὐ κατ᾿ ἀνάγκη
εἶναι. οὐ γὰρ ἀναγκαῖον τὸ ἐνδεχόμενον· τῷ οὖν διακόπτεσθαι τὴν συνέχειαν
αὐτοῦ, τοῦτο ἀληθὲς καὶ ἐπ᾿ ἔλαττον ἐνδέχεται μὴ γενέσθαι. τὸ δέ γε ἀόριστον
ἐνδεχόμενον, κατὰ τοῦτο ἀντιστρέφει, καθὸ οὐδὲν μᾶλλον οὕτως ἢ οὐ
τι· γὰρ ἐπὶ τῶν οὕτως ἐνδεχομένων καταφατικῶς τι ἐνδέχεται εἶναι, καὶ ἐν-
δέχεται μὴ εἶναι συναληθεύει τε καὶ ἀντιστρέφει· ὡς μηδὲν μᾶλλον τοῦτο
ἢ ἐκεῖνο ἀληθὲς εἶναι. τὸ δὲ ἀντιστρέφειν μὲν οὖν κατὰ τὰς ἀντικειμένας
προτάσεις ἑκάτερον τῶν ἐνδεχομένων, ἴδιον ἐστὶ τῶν ἀντιστρεφομένων
κατὰ τὰς ἀντικειμένας προτάσεις, καὶ ἑκάτερον τῶν ἐνδεχομένων· δηλοῖ
δι᾿ ὧν δεικνύναι πειρᾶσθαι· ἢ κατὰ τὰς ἀντικειμένας προτάσεις
εἶπεν, ὡς καὶ ἄλλως ἀντιστρεφόντων αὐτῶν, καὶ γὰρ καὶ κατὰ τὴν τῶν ὅρων ὑπαλ-
λαγήν: ἐπιστήμη δὲ καὶ συλλογισμὸς ἀποδεικτικὸς τῶν μὲν ἀορίστων οὐκ ἔ(στι)·
ἰπὼν τὸ ἕτερον τῶν τοῦ ἐνδεχομένου σημαινομένων ἀόριστον εἶναι, φησὶ τὸ
μηδεμίαν ἐπιστήμην περὶ τὸ οὕτως ἐνδεχόμενον ἐστιν· οὐδὲ γὰρ ἀπόδειξίν τινος
γίνεσθαι τῶν οὕτως ἐνδεχομένων, τῷ μηδὲν μᾶλλον εἶναι τοῦ δεικνυμένου
διὰ τοῦ συλλογισμοῦ τὸ ἀντικείμενον αὐτῷ· ἢ γὰρ τοῦ μέσου ὅρου ἀοριστία.

τὸ μέσον δ᾽ ἂν μᾶλλον τοιοῦτος λαμβάνεται ἔχειν πρὸς τοὺς ἄκρους, ἔχειν αὐτό.
ἢ ἀτάκτως μὲν ὡς πρὸς αὐτούς, αἴτια τούτου. διὸ καὶ παραιτεῖταί τινες ἐπὶ τοῦ οὕ-
τως ἐνδεχομένου δεῖξιν τῶν κατὰ τὰ σχήματα συλλογισμῶν· οὐχ ὡς μὴ
δυναμένων γίνεσθαι, ἀλλ᾽ ὡς ἄχρηστον. ὁ δεικνύμενος ἢ μὲν ὅτι ἐνδέχεται· ἄχρη-
στη δὲ τῇ πραγματείᾳ τὰ πρὸς τὰ δειχθησόμενα μόνον λαμβάνοντες καὶ ἀπ-
εργάζεσθαι· τὸ δὲ ἄχρηστον ἄν ποτε ἔχει τινὰ συμπλοκὴν παραλείπεσθαι.
ὅθεν δηλονότι καὶ τοῦτο περὶ ὧν αὐτοῖς μὲν οὖν εἴρηκε. λέγοιτο δὲ οἱ νεώτεροι·
ἀχρήστων ὄντων πρὸς ἀπόδειξιν. διὰ ἀχρηστίαν οὐ δι᾽ ἄγνοιαν παρέλιπεν.
οἷοί εἰσιν οἱ διαφορούμενοι λόγοι καὶ ἀδιαφόρως περαίνοντες· ἢ καὶ ἄπειρος
ὕλη λεγομένη· καὶ ἡ καθόλου τὸ θέμα τὸ δεύτερον καλούμενον παρὰ τοῖς νεω-
τέροις. πάντος γὰρ ὀργάνου μέτρον ἡ χρεία ἡ πρὸς τὸ τοιοῦτο δεικνυμένου — Commentator organi metrum est usus /
γινόμενον. τὸ δὲ μηκέτι χρεία, οὐδ᾽ ὄργανον ἄν. τὸ γὰρ ἄχρηστον σκεῦος ἐπὶ
τῷ τεύχοντι, οὐκέτι σκέπαρνον ἀλλ᾽ ὁμωνύμως. ἢ τοῦτο μάλιστα ἐνεδείξατο,
διὰ τοῦ παραιτήσασθαι τὸν περὶ τοῦ οὕτως ἐνδεχομένου λόγον. ἐπαινεῖ ἐκείνων
δὲ ἐγχωρεῖ γίνεσθαι συλλογισμόν· οὐ μὴν ἀξιοῖ ζητεῖσθαι ὡς τῶν συλλογισμῶν
τῶν ἀναφορὰν ὠφέλειαν οὐκ ἐχόντων. περὶ αὐτῶν δὲ λόγον ποιεῖσθαι πρὸς τὰ ζητού-
μενα καὶ δείξεως δεόμενα. περὶ μὲν οὖν τοῦ τοιούτου ἐνδεχομένου ὡς ἀχρή-
στου πρὸς τὰς ζητήσεις, λέγων παρῃτήσατο. περὶ δὲ τοῦ ἑτέρου ἐρεῖν ἐπαγγέλ-
λεται· ὅτι πολλαὶ τέχναι στοχαστικαὶ οὖσαι, καὶ τοῦ οὕτως ἐνδεχομένου
τὸ προκείμενον συλλογίζονται· ὡς ἰατρική· κυβερνητική· γυμναστική·
ἀλλὰ καὶ ὅλως τὰ ἐν τῷ βουλεύεσθαι λαμβανόμενα· διὰ τοῦ τοιούτου ἐν-
δεχομένου δείκνυται. οἷα ἐστὶ τὸ εἰκὸς ἀνῶδε πλεῦσαι· καὶ λαβεῖν ὅτι
κεκρυμμένα τὰ πνεύματα ἐστίν, οἱ πλέοντες ὡς ἐπὶ τὸ πλεῖστον σώζονται.
νῦν δὲ κεκρυμμένα τὰ πνεύματα, οἱ νῦν ἄρα πλέοντες, ὡς ἐπὶ τὸ πολύ
σωθήσονται. συλλογισμὸν δὲ ἀποδεικτικὸν ἅπαν· ὡς αὐτὸ καὶ δεῖξαι βουλόμενος
χρήσαιτο. · τῶν δὲ ἐνδεχομένων διορισθέντων μᾶλλον ἐν τοῖς ἑπομένοις.
καὶ ἐπὶ τῶν ἐνδεχομένων ἀντιστρέφει καὶ τὰ καταφατικὰ τὰ ἀποφατικά· καὶ πῶς.
ὅτι τὸ ἐνδεχόμενον διττόν· καὶ ὅτι τὸ ἀόριστον, ἄχρηστον πρὸς τὰς ζη-
τήσεις. ἐπεὶ μᾶλλον φησὶν ἐν τοῖς ἑξῆς διορισμοῦ τεύξεται. προτέθειται
δὲ ταῦτα νῦν λεγόμενα. περὶ τῶν συζυγιῶν τῶν ἐξ ἐνδεχομένων προτάσεων,

καθ' ἕκαστον σχῆμα γινόμενον συλλογιστικῶν τε καὶ ἀσυλλογίστων:

ἐπεὶ δὲ τὸ ἐνδέχεσθαι τόδε τῷδε ὑπάρχειν, διχῶς ἐστιν ἐκλαβεῖν: λαβεῖν

Ἐπεὶ διχῶς ἐστί φησιν ἀκοῦσαι τῆς προτάσεως τῆς λεγούσης, ἐνδέχεσθαι τὸ α τῷ β ὑπάρχειν παντί· ὅτε μὲν γὰρ ἔστιν ἀκοῦσαι, ὡς τοῦ λέγοντος τοῦτο λέγοντος· ᾧ ὑπάρχει τὸ β, τούτῳ ἐνδέχεται τὸ α παντί· ὅτε δὲ ᾧ ἐνδέχεται τὸ β, τούτῳ ἐνδέχεται τὸ α παντί· ὅτι δὲ ἢ λέγοιτο ἂν τὸ α τῷ β ἐνδέχεται παντί, δύναται ἑκάτερον τούτων σημαίνειν, ἔδειξε μεταλαβὼν μὲν αὐτὴν, εἰς τὴν καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι λέγοιτο ἄν, ἐφ' οὗ ἔδειξας εἶναι τὸ ῥηθὲν δυνάμενον, δυνάμενον ἐξακούεσθαι· ἢ τὸ καθ' οὗ λέγεται τὸ β, ἢ τὸ καθ' οὗ ἐνδέχεται λέγεσθαι, μετὰ ταῦτα ἐπήνεγκεν, ὅτι: +

τὸ δὲ καθ' οὗ τὸ β, τὸ α ἐνδέχεσθαι, ἢ παντὶ τῷ β τὸ α ἐνδέχεσθαι, οὐδὲν διαφέρει: +

Ὡς ἴσα δύναται ταῦτα, ἀλλ' ὅταν μὲν τὸ πρῶτον ῥηθὲν, ἡ πρότασις σημαίνῃ, γίνονται αἱ προτάσεις ἀμφότεραι ἐνδεχόμεναι ἀλλ' ἡ μὲν ἐλλιπῶς ὑπάρχουσα· ἡ δὲ μᾶλλον, ἐνδεχομένη· ἡ δὲ τοιαύτη συζυγία, μικτή. ὅταν δὲ τὸ δεύτερον, ἀμφότεραι γίνονται ἐνδεχόμεναι. ἐπεὶ τοίνυν ἀεὶ πρὸ τῶν μικτῶν συζυγιῶν περὶ τῶν ὁμοιοσχημόνων λέγει. πρῶτον φησὶ δεῖν τὸν λόγον ποιεῖσθαι, περὶ τῶν ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων. χρησάμενος δὲ τῷ καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι, ἔδειξε τοῦτο, ὅτι δύο ἐστὶ σημαινόμενα, ὑπὸ τοῦ τὸ α παντὶ τῷ β ἐνδέχεται· ὅτι καὶ ἄλλο τι ἔδειξεν, ἢ ὃ προέθετο ἐδήλωσε. τὸ γὰρ καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι, τῷ τὸ α παντὶ τῷ β ἐνδέχεται ταὐτὸν σημαίνειν ὡς εἰρήκαμεν. τὸ γὰρ καθ' οὗ τὸ καθόλου καὶ παντὸς ἐστὶ δηλωτικόν· ὡς ταὐτὸν σημαίνεται ὑπὸ τοῦ, καθ' οὗ τὸ β κατ' ἐκείνου παντὸς τὸ α ἐνδέχεται, ὅτι καὶ αὐτὸ τὸ ἐκ σημαινόμενα καὶ ὑπὸ τοῦ τὸ α παντὶ τῷ β ἐνδέχεται. διὰ δὲ τούτων ὅτι καὶ αἱ προσλαμβανόμεναι προτάσεις, τὸ αὐτὸ δύναται τῇ κατηγορικῇ, δείκνυσιν. ἀλλ' ἔστι τὸ καθ' οὗ τὸ β τὸ α ἐνδέχεται διττὸν ἐστὶν ὡς τὸ καθ' οὗ τὸ β τὸ α ἐξ ἀνάγκης διττόν ἐστι· ἢ γὰρ καθ' οὗ ὑπάρχοντος. ἢ καθ' οὗ ἐξ ἀνάγκης· ὃ δὲ τοῦτο, συνάγεται ἢ τὸ α καὶ τοῦ παντὸς τοῦ β ἐξ ἀνάγκης α β γ,
ἴσα τῇ, καθ' οὗ παντὸς τὸ β, κατ' ἐκείνου παντὸς τὸ α ἐξ ἀνάγκης, ὥστινας

λέγοιτο τῶν δυνατῶν τὸ καὶ ἀληθὲς τό, ἐξ ἀναγκαίας τῆς μείζονος, καὶ ὑπαρχούσης τῆς ἐλάττονος, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα :· +

πρῶτον οὖν ἔστω μὲν καθόλου τὸ Γ τὸ Β ἐνδέχεσθαι· καὶ καθόλου τὸ Β τὸ Α :·

Πρῶτον μέν φησι δεῖ λέγειν περὶ τῆς συζυγίας τῆς ἐξ ἀμφοτέρων ἐνδεχομένων, ἐπεὶ δὲ καὶ δέδεικται αὐτῷ ἴσον εἶναι· τὸ καθόλου τόδε τῷδε, τῷ καὶ κατὰ παντὸς τούτου τοῦτο, τῷ προτεθέντι τῷ Β παντὶ τῷ Γ ἐνδέχεσθαι, διὰ τοῦ τὸ ἴσον καὶ ταὐτὸν σημαίνοντος ἔλαβε· τοῦτο δ' ἐστί, τὸ καθόλου τὸ Γ τὸ Β ἐνδέχεται. ὁμοίως τὸ καθόλου τὸ Β τὸ Α· καὶ γὰρ τοῦτο ἴσον ἐστί, τῷ καὶ κατὰ παντὸς τοῦ Β τὸ Α. ἐπεὶ δὲ δεῖν ἀπὸ τῶν ὁμοιοσχημόνων ἄρχεσθαι πρῶτον, προσέθηκε τὸ καθόλου περὶ ἐπὶ τῶν ἄλλων. καὶ γὰρ ἐπὶ τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου, πρῶτον ἰδίᾳ περὶ ἑκατέρου εἶπεν· καὶ περὶ τῶν ὁμοιοσχημόνων καὶ τῶν καθόλου πρὸ τῶν μικτῶν· εἶθ' οὕτως περὶ τῶν μίξεων· ὃ καὶ περὶ τοῦ ἐνδεχομένου, προτίθεται ταὐτὸ ποιῆσαι :· +

ὅταν οὖν τὸ Α παντὶ τῷ Β ἐνδέχηται καὶ τὸ Β παντὶ τῷ Γ·

Δηλονότι ἐνδέχηται· τοῦτο γὰρ προείρηκε. φησὶ δὲ οὕτως· ληφθεισῶν τῶν προτάσεων καθόλου ἐνδεχομένων καταφατικῶν ἐν πρώτῳ σχήματι. περὶ γὰρ τούτου τοῦ σχήματος καὶ τῶν ἐν τούτῳ συζυγιῶν, πρῶτον ἀναγκαῖον λέγειν. ὅτι καὶ οἱ ἐν τοῖς ἄλλοις διὰ τούτων δείκνυνται, φησὶ δὴ καθόλου καταφατικὸν ἔσεσθαι ἐνδεχόμενον τὸ συμπέρασμα. τὸ δὲ τοῦτο δὲ φανερὸν ἐκ τοῦ ὁρισμοῦ δηλωτικόν ἐστιν ὅτι τὸ συνάγεσθαι ἐν τῇ προκειμένῃ συζυγίᾳ καθόλου καταφατικὸν ἐνδεχόμενον συμπέρασμα, δῆλον ἐστὶν ἐκ τοῦ ὁρισμοῦ τοῦ κατὰ παντός, τῷ γὰρ κατὰ παντός, ἐν ᾧ μηδὲν ἦν λαβεῖν καθ' οὗ θάτερον οὐ ῥηθήσεται. ὅταν δὴ τὸ Α κατὰ παντὸς τοῦ Β ληφθῇ ἐνδεχομένως, οὐδὲν ἔσται τοῦ Β καθ' οὗ τὸ Α οὐκ ἐνδέξεται. τὸ δὲ Γ ὑπὸ τὸ Β ἐστίν· ὥστε καὶ κατὰ τοῦ παντὸς τὸ Α ἐνδέχεται. ἡ αὐτὴ δὲ δεῖξις κἂν τὸ μὲν Α ἐνδέχηται μηδενὶ τῷ Β· τὸ δὲ Β παντὶ ἐνδέχηται τῷ Γ. συνάγεται γὰρ πάλιν τὸ Α ἐνδέχεσθαι μηδενὶ τῷ Γ. καὶ τοῦτο δῆλον πάλιν διὰ τοῦ ὁρισμοῦ τοῦ κατὰ μηδενός. οὐδὲν γάρ ἐστι τοῦ Β λαβεῖν, ὃ τὸ Α οὐκ ἐνδέχεται μὴ ὑπάρχειν. αἱ γὰρ ἐν τῷ πρώτῳ σχήματι συναγωγαί,

διὰ τούτων γίνονται. ἐπεὶ οὖν δὲ μετὰ τῆς, ἡ διὰ καθόλου καταφατικῶν ἐνδεχο-
μένων συζυγίας ἐν τῷ πρώτῳ σχήματι, φανερὸν εἶναι συναγόμενον, καὶ
τοῦ ὁρισμοῦ· τὸ γὰρ ἐνδέχεσθαι παντὶ ὑπάρχειν. οὕτως λεγόμενον, πρῶτον
ἔθηκε τὴν ἀφεξῆς συζυγίαν τὴν ἔχουσαν τὴν μείζονα καθόλου ἀποφατικὴν
ἐνδεχομένην· τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν ἐνδεχομένην.
ἐφ' οὗ τὸν ὁρισμὸν ἀποδέδωκε τοῦ κατὰ παντός. διὸ οὐκ ἔφη· δῆλον εἶναι
τὸ συναγόμενον ἐν τῇ προτέρᾳ τῆς συζυγίᾳ· διὸ καὶ ἀσαφεστέρα ἡ λέξις ἔχει· δέον
ἢ προσεξακούειν δεῖ, ὅτι καὶ τὸ κατὰ μηδενὸς ὁμοίως. εἰ γὰρ τὸ β τῷ α
ἐνδέχεται μηδενί, οὐδὲ ἔσται λαβεῖν τοῦ β ὃ τῷ α οὐκ ἐνδέχεται μὴ
ὑπάρχειν. καὶ ἀμφοτέρων ἐν ἀμφοῖν μόνον τὸ αὐτὸ καταφατικοῦ ἢ τοῦ ἀ-
ποφατικοῦ, διὰ τοῦ, τὸ γὰρ καθ' οὗ τὸ β ἐνδέχεται τὸ α ἐνδέχεσθαι ὑπάρ-
χειν· ἢ δεῖ προσυπακούειν ἢ ἐνδέχεσθαι μὴ ὑπάρχειν:

ὅταν δὲ τὸ α παντὶ τῷ β ἐνδέχηται, τὸ δὲ β ἐνδέχηται μηδενὶ τῷ γ·

66 Συζυγίας λαμβάνει ἐν πρώτῳ σχήματι, τὴν τὴν μείζονα ἔχουσαν καθόλου
καταφατικήν· τὴν δὲ ἐλάττονα, καθόλου ἀποφατικήν, ἀμφοτέρας
ἐνδεχομένας. ἢ τὴν ἐκ δύο καθόλου ἀποφατικῶν ἐνδεχομένας, ἀλλ' ἐν ταῖς
συζυγίαις, ἀσυλλόγιστοι ἦσαν ἐπί τε τῶν ὑπαρχουσῶν καὶ ἐπὶ τῶν ἀναγκαίων
προτάσεων· φησὶ δὴ καὶ ἐπὶ τῶν ἐνδεχομένων. εἰ μὲν οὕτως ἔχοιεν αἱ φυ-
λακτικαὶ προτάσεις· μηδένα μηδ' ἐπὶ τούτων συναχθήσεσθαι συλλο-
γισμόν· εἰ μέντοι μεταληφθεῖεν αἱ ἀποφατικαὶ εἰς τὰς καταφατικάς.
δυνατὸν δὲ τοῦτο, τὰ δὲ ἐνδεχόμενα ἀντιστρέφει ἀλλήλοις· τὸ γὰρ ἐνδέ-
χεσθαι μηδενί, ἀντιστρέφει τῷ ἐνδέχεσθαι παντί ὡς ἐδείχθη. μεταλη-
φθεισῶν δὴ τῶν ἀποφατικῶν ἐνδεχομένων εἰς τὰς καταφατικὰς ἐν-
δεχομένας, ἔσεσθαί φησι τὰς συζυγίας, συλλογιστικάς. ἔσεσθαι γὰρ
ἐξ ἀμφοτέρων ἐνδεχομένων καθόλου καταφατικῶν, ἐπὶ μὲν τῆς προ-
ειρημένης συζυγίας, εἰ ἡ ἐλάττων μεταληφθείη· αὕτη γὰρ ἦν ἀποφατική.
ἐπὶ δὲ τῆς δευτέρας, εἰ ἀμφότεραι εἰς τὰς καταφατικὰς μεταληφθεῖεν.
κεῖνται γὰρ ἀμφότεραι ἀποφατικαί. οὐ μὴν ἀλλὰ καὶ τῆς ἑτέρας μόνης
τῆς ἐλάττονος μεταληφθείσης ἔσται συλλογισμός· ἐχόντων τὴν μείζονα μὲν
καθόλου ἀποφατικὴν ἐνδεχομένην· τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν
ἐνδεχομένην.

ἔχον τὸ συμπέρασμα καθόλου ἀποφατικὸν ἐνδεχόμενον. ὅτι μὲν οὖν ἐκ τῶν κειμένων οὐδεμία τοιαύτη τῶν προειρημένων συζυγιῶν, δῆλον· ἀντιστρεφομένων μέντοι τῶν ἀποφατικῶν εἰς τὰς καταφατικάς, τὰ συναχθησόμενα διὰ τῶν κειμένων γίνονται καὶ συζυγίαι συλλογιστικαί. ἴδιον δὲ τοῦτο ἐπὶ τῶν ἐνδεχομένων· ἐπεὶ καὶ ἐπὶ τούτων μόνων ταῖς καταφάσεσιν αἱ ἀποφατικαὶ λεγόμεναι συναληθεύουσι. σημειωτέον δὲ ὅτι παρέλιπε τὴν ἐκ δύο καθόλου ἀποφατικῶν ἐνδεχομένων συζυγίαν δεῖξαι συλλογιστικήν, εἰ ἢ ἑτέρα μόνον ἢ ἑκατέρα αὐτῶν εἰς τὴν καταφατικὴν μεταληφθείη. Δεῖ μέντοι εἰδέναι ὅτι μεταλαμβανομένων τῶν ἀποφατικῶν εἰς τὰς καταφατικάς, οἱ γινόμενοι συλλογισμοὶ οὐκέτι φυλάττουσι τὸ ὡς ἐπὶ τὸ πλεῖστον λεγόμενον ἐνδεχόμενον. εἰ γὰρ τῶν ἀρχῶν ἐλήφθησαν αἱ ἀποφατικαὶ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχομένου· τὸ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἀποφατικὸν ἐνδεχόμενον, τὸ ἐπ᾽ ἔλαττον καταφατικὸν ἀντιστρέφει. ὥσθ᾽ ὅταν ἡ μετάληψις τῶν ἀποφατικῶν τῶν καθόλου ἐν ταῖς συζυγίαις εἰς τὰς ἐνδεχομένας καταφατικὰς γένηται, τὸ ἐπ᾽ ἔλαττον ἐνδεχόμενον ἢ τὸ ἀόριστον ληφθήσεται· τούτου δὲ κειμένου συλλογισμοὶ μὲν ἔσονται, οὐ μὴν χρήσιμον τὸ ἔχοντες ὡς αὐτὸς προεῖπε. διὸ ἐροῦμεν τῶν τοιούτων τὰς συζυγίας, ὡς μὲν πρὸς τὸ ὡς ἐπὶ τὸ πλεῖστον λεγόμενον ἐνδεχόμενον, καθ᾽ ὃ γίνονται οἵ τε κατὰ τὰς τέχνας καὶ κατὰ τὰς βουλὰς καὶ πράξεις καὶ προαιρέσεις συλλογισμοί, ἀχρήστους καὶ ἀσυλλογίστους εἶναι· ἁπλῶς μέντοι ὡς πρὸς τὰς συμπλοκὰς συλλογιστικάς. ἴσως δὲ καὶ αὐτὸς τοῦτο ὑφορώμενος εἶπε τὸ ἢ οὐ γίνεται συλλογισμός· ὡς γὰρ πρὸς τὸ χρήσιμον ἀφορῶντι οὐ γίνεται· ἢ ἀμφότεροι εἰς τὰς προτάσεις ἐμβλέπει· ἢ γίνεται μὲν ἀλλ᾽ οὐ τέλειος, τῷ μὴ διὰ τῶν κειμένων γίνεσθαι, ἀλλὰ διὰ μεταλήψεως καὶ ἀντιστροφῆς ἢ καὶ τῶν ἀντιστροφῶν. +

Ἂν δ᾽ ἡ μὲν καθόλου τῶν προτάσεων ἡ δ᾽ ἐν μέρει ληφθῇ. 66: fa. 2

Εἰπὼν περὶ τῶν συζυγιῶν τῶν ἐξ ἀμφοτέρων καθόλου τῶν ἐνδεχομένων προτάσεων, μετελήλυθεν ἐπὶ τὰς τὴν ἑτέραν ἐχούσας μόνην καθόλου· καί φησιν ὅτι ἐὰν ἡ μὲν πρὸς τὸ μεῖζον καθόλου ᾖ, ἡ δὲ ἐλάττων ἐπὶ μέρους, ὡς ἂν ἔχωσι ληφθῶσι κατὰ τὸ καταφατικὸν ἢ ἀποφατικὸν ἔσεσθαι συλλογισμόν· ἀλλὰ τῆς μείζονος καθόλου τε οὔσης καὶ καταφατικῆς ἢ ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἐπὶ μέρους μὲν καταφατικῆς δέ, αὐτόθεν ἐκ τῶν κειμένων καὶ διὰ τῶν κειμένων ἔσεσθαι τὸ συμπέρασμα· καὶ τοῦτο φανερόν φησιν εἶναι ἐκ τοῦ ὁρισμοῦ τοῦ ἐνδέχεσθαι.

ἤ, τινὶ λέγων τοῦ παντὶ ἐνδέχεσθαι· ἐπεὶ τὸ παντὶ μὲν, οὐ μὴν δὴ τῷ λαβεῖν καθ' ὁποτερονοῦν ῥηθήσεται· καὶ οὕτως λέγοι ἂν οἷον αὐτὴ ἡ λέξις τὸ παντὶ ἀντὶ γὰρ ἀλλήλων. τοῦ τε δὲ φανεροῦ ἐκ τοῦ ὁρισμοῦ τοῦ ἐνδέχεσθαι παντί· εἰ γὰρ τὸ α παντὶ τῷ β ἐνδέχεται· οὐδὲν ἐκεῖ τὸ β καθ' οὗ οὐ μὴ ἐνδέχεται τὸ α. τὸ δὲ γ ὑπὸ τὸ β ἐστίν· ὥστε καὶ τὸ α τῷ γ ἐνδέχεται, ἢ τοῦ ὁρισμοῦ αὐτοῦ τοῦ ἐνδεχομένου λεχθέντος. τῷ δὲ ὁρισμῷ τοῦ ἐνδεχομένου, οὐ μὴν οὕτως ἀναγκαίου τεθέντος δὲ ὑπάρχειν, οὐδὲν ἀδύνατον ἕπεται. τοῦτο δέ, τὸ τῶν ἀρχῶν μὴ δὲ συλλογιστικῶν γίνεσθαι τινὰ συμπλοκῶν κειμένου τοῦ α τινὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν· ἐπεὶ γὰρ ἐν τῷ πρώτῳ σχήματι διὰ ἐπιμίξεως γίνονται ἐνδεχόμεναι· ἀντιστραφείσης τῆς βγ οὔσης ἐνδεχομένης ἐν μέρει καταφατικῆς· ἢ ἐν τῷ γ, β ἐπιμίξεως προσληφθείσης τῷ συμπεράσματι ἐν τῇ ἐπιμίξει ἐνδεχομένῳ, τῆς βγ οὔσης καὶ αὐτῆς ἐνδεχομένης καταφατικῆς ἐν μέρει· ἢ ἐν β διὸ καταφατικῇ προσληφθείσης τῷ συμπεράσματι τῆς τὸ α παντὶ τῷ β ἐνδέχεται, ἀλλ' οὐδὲν ὑποθέμενοι τὸ ἀντικείμενον τοῦ τὸ α τινὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν τὴν ἐξ ἀδυνάτου ἀπαγωγὴν χρησόμεθα, οὐδὲ οὕτως οὐδὲν ἀδύνατον ἀπαντᾷ. εἰλήφθω γὰρ τὸ ἀντικείμενον τοῦ τὸ α τινὶ τῷ γ ἐνδέχεσθαι, ὅπερ ἐστὶ τὸ μηδενὶ ἐξ ἀνάγκης, καὶ προσειλήφθω τὸ α παντὶ τῷ β ἐνδέχεσθαι, συνάγεται ἐν β τῷ σχήματι, τὸ β τῷ γ ἐνδέχεσθαι μηδενί· ὃ οὐκ ἔστιν ἀδύνατον· κειμένου τοῦ τὸ β τινὶ τῷ γ ἐνδέχεσθαι. τὸ γὰρ ἐνδεχόμενον τινί, δύναται καὶ μηδενὶ αὐτῷ ὑπάρχειν· δύναται καὶ ἐνδέχεσθαι αὐτῷ μηδενί. βελτίων δὲ ἡ πρώτη ἐξήγησις τῆς λέξεως, ἡ γὰρ δεῖξις αὐτῇ, μᾶλλον αὐτὸ τὸ μὴ συνάγεσθαι τὸ κείμενον δείκνυσι· διὰ τὸ μηδὲν ἀδύνατον ἠκολουθηκέναι. ὁμοίως δὲ ἡ μείζων καθόλου ἀποφατικὴ ἐνδεχομένη. ἡ δὲ ἐλάττων ἐπὶ μέρους καταφατική, κἀν τῶν κειμένων συνάγεται ἐπὶ μέρους ἀποφατικὸν τὸ συμπέρασμα ἐνδεχόμενον· ὁ γὰρ ὁρισμὸς τοῦ ἐνδέχεσθαι μηδενὶ δὲ γνώριμος. καὶ γὰρ ἐπὶ ταύτης τῆς συζυγίας ποιεῖ τὸ συμπέρασμα, ἂν μὲν τῆς μείζονος καθόλου οὔσης ἀποφατικῆς ἢ καταφατικῆς, ἡ ἐλάττων ἡ ἐπὶ μέρους στερητικὴ ἐνδεχομένη ληφθῇ, γίνεται μὲν ὁ συλλογισμὸς ἀλλ' οὐκ ἐκ τῶν κειμένων. ἀλλὰ μεταληφθείσης τῆς ἐπὶ μέρους ἀποφατικοῦ εἰς τὸ ἐπὶ μέρους καταφατικὸν τῷ ἀντιστρέφειν τὰ ἐνδεχόμενα· ὅταν μὲν τοιαῦται ἡ μείζων ἢ καθόλου. ἀλλ' αὕτη μὲν ἐπὶ μέρους ἐνδεχομένη. ἡ δὲ ἐλάττων καθόλου ἐνδεχομένη,

οὐδὲ ἀφ' ἧς ἔσεσθαι συλλογισμόν· οὔτ' αὖ ὁμοιοσχήμονες ληφθεῖσαι αἱ προτάσεις, οὔτ' ἀμφότεραι καθόλου τὸ ποιὸν ὅμοιαι· οὔτ' αὖ ὁμοιοσχήμονες καὶ διάφοροι κατὰ τὸ ποιόν, ἀλλ' οὐδ' ἂν ἀμφότεραι ἀδιόριστοι ἢ ἐπὶ μέρους ληφθῶσιν, οὐδ' οὕτως ἔσται συλλογισμός. τὸ δέ, ἀσυλλόγιστοι πᾶσαι αἱ τοιαῦται γίνονται, ἐὰν ἡ μείζων ἐπὶ μέρους ἐστὶν ἐνδεχομένη, αἰτίαν ἀποδίδωσιν· ὅτι καὶ δὴ τοῦ α τῷ β τινὶ ἐνδέχεσθαι ὑπάρχειν, οὐδὲν κωλύει τὸ β ὑπάρχειν τὰ ἄνω καὶ ἐπὶ πλειόνων λέγεσθαι ἢ τὸ α· οἷον τὸ γραμματικὸν ἀκουόμενον ἐνδέχεσθαι τινὶ κινουμένῳ· τὸ γὰρ κινούμενον ἐπὶ πλειόνων κατηγορεῖται ἢ τὸ γραμματικόν. ἂν δὴ τούτων ληφθῇ τὸ ὑπάρχον τὸ κινούμενον· καθ' οὗ ὑπάρχειν ἀνάγκη τὸ α τοῦ γραμματικοῦ, τὸ β τὸ κινούμενον οἷον, ἵππος, τῷ ἵππῳ οὔτε παντὶ τὸ α ἐνδέχεται· οὔτε ἐνδέχεται μηδενί· ὅτι γὰρ ἐνδέχεται μηδενί, τοῦτο καὶ παντὶ ἐνδέχεσθαι· τὸ δὲ γραμματικόν, πῶς ἂν ἐνδέχοιτο παντὶ ἵππῳ· οὐδενὶ γὰρ αὐτῷ ἐξ ἀνάγκης· ἀλλ' οὐδὲ τινὶ ἵππῳ ἐνδέχεται γραμματικόν· ἀλλ' οὐδὲ ἐνδέχεται τινὶ μή· ὃ γὰρ ἐνδέχεται τινὶ μή, τοῦτο ἐνδέχεται καὶ τινί· διὰ τὴν τοῦ ἐνδεχομένου ἀντιστροφήν· ὃ καὶ αὐτὸς ἐδήλωσε προσθεὶς ἐπὶ τῶν ἀντιστρεφουσῶν, ἀλλὰ καὶ τὸ ἐνδέχεσθαι προστιθείς· ἀεὶ δὲ μὲν τὸ συμπέρασμα ἢ καθόλου ἀναγκαῖον καταφατικὸν ἐνδεχόμενον, ἢ καθόλου ἀποφατικόν· ἢ ἐπὶ μέρους θάτερον· οὐδὲ δὲ τούτων δεικνύναι ἐπὶ τῶν ἐνδεχομένων οὔσης τῆς μείζονος, ἐπὶ μέρους ἐνδεχομένης τῆς δὲ ἐλάττονος καθόλου ἐνδεχομένης, ἐν τῷ πρώτῳ σχήματι, οὐδ' ἂν ὅλως γένοιτο συλλογισμὸς τοιαύτης οὔσης τῆς μείζονος, ὡς ἐπὶ τῶν ὅρων ἐδείχθη:: *ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φανερόν· οὕτως γὰρ ἐχουσῶν τῶν προτάσεων, τὸ α τῷ ἐσχάτῳ καὶ οὐδενὶ ἐνδέχεσθαι καὶ παντὶ ὑπάρχειν ἀναγκαῖον.*

Εἰπὼν ἀσυλλογίστους ἔσεσθαι πάσας τὰς ἐξ ἐνδεχομένων ἐν πρώτῳ σχήματι συζυγίας ἐν αἷς ἡ μείζων ἐστὶν ἐπὶ μέρους· καὶ προστίθησι τὴν αἰτίαν· ὅτι γὰρ ἐνδέχεται τὸν μέσον ὅρον ὑπάρχειν τῷ ἄκρου, οὐδὲν ἧττον δείκνυσιν ἀσυλλόγιστον τὴν συζυγίαν, καὶ διὰ τῆς παραθέσεως τῶν ὅρων ἐναργεστέραν καὶ πληκτικωτέραν, τῶν τοιούτων δεῖξιν καὶ τὸν τοιοῦτον ἔλεγχον ποιούμενος· δείξας δὲ διὰ τῶν παρατεθειμένων ὅρων καὶ παντὶ ἐξ ἀνάγκης τὸ πρῶτον τῷ ἄκρῳ τῷ ἐσχάτῳ· καὶ ἐξ ἀνάγκης μηδενί, πάντα ἂν εἴη τὰ ἐνδεχόμενα· ὡς προσοίκοι τὰ ὑπάρχοντα καὶ τὰ ἀναγκαῖα ἀναιρήσεως· ἢ τὸ παντί, ἢ τὸ τινί· ἢ τὸ μηδενί· ἢ τὸ τινὶ μή· ἑκάτερον γὰρ

τῶν καθόλου ἀναγκαία ἢ τὸ καταφατικὸν ἢ τὸ ἀποφατικόν, πάντως ἀναιρεῖται
ἐνδεχόμενα συμπεράσματα. τοῦ μὲν οὖν παντὶ ἐξ ἀνάγκης ὑπάρχειν, ὅροι
λαμβάνονται· ζῷον· λευκόν· κύκνος. ζῷον γὰρ τινὶ λευκῷ ἐνδέχεσθαι· λευκὸν παντὶ
αὐτῷ ἐνδέχεσθαι. καὶ τὸ ζῷον παντὶ αὐτῷ ἐξ ἀνάγκης. ἐὰν δὲ οὖν ἀληθέστεροι ὅροι, λευκόν.
περιπατοῦν· κύκνος. τὸ γὰρ λευκὸν ἐνδέχεται τινὶ περιπατοῦντι ὑπάρχειν καὶ
μὴ ὑπάρχειν. καὶ τὸ λευκὸν ἐξ ἀνάγκης παντὶ κύκνῳ. τοῦ δὲ ἐξ ἀνάγκης μηδενὶ
ὅροι παράκεινται. ζῷον· λευκόν· ἱμάτιον. τὸ γὰρ ζῷον τινὶ λευκῷ ἐνδέχεται
ὑπάρχειν καὶ μὴ ὑπάρχειν. καὶ τὸ λευκὸν ἐνδέχεται καὶ ὑπάρχειν καὶ μὴ ὑπάρ-
χειν παντὶ ἱματίῳ. ἢ μηδενὶ ἢ τινί. καὶ τὸ ζῷον ἐξ ἀνάγκης μηδενὶ ἱματίῳ.
ἐὰν δὲ οὖν πάλιν ἀληθέστεροι οἱ ὅροι, λευκόν· περιπατοῦν· κόραξ. λευκὸν
γὰρ ἐξ ἀνάγκης οὐδενὶ κόρακι, συμπέρασμα τῶν προτάσεων καθόλου
ἀφωρισμένου τρόπου, πάντως λαμβάνεσθαι διωρισμένων:

Φανερὸν δὲ ὅτι τοῦ ἐνδεχομένου τὸν τρόπον ἐχόντων τῶν ὅρων, οὐδεὶς γίνεται
ἐξ ἀνάγκης διὰ τῆς παραθέσεως τῶν ὅρων συλλογισμός.

ἐν ταῖς προκειμέναις συζυγίαις, τὸ συμπέρασμα ἢ παντὶ ἐξ ἀνάγκης ἢ
μηδενί, φησὶν ὅτι οὐ μόνον οὐκ ἐνδεχόμενόν τι συνάγεται, ἀλλ' οὐδὲ ὅτι
οὐχ ὑπάρχον ἢ ἀναγκαῖον. τὸ μὲν γὰρ παντὶ ἐξ ἀνάγκης, ἀναιρετικὸν μὲν ἦν μὲν δὴ
δειχθὲν τοῦ, μηδενὶ ἐξ ἀνάγκης· καὶ τοῦ μηδενὶ ὑπάρχειν. τὸ δέ, μηδενὶ ἐξ ἀνάγκης
τοῦ, τὸ παντὶ ἐξ ἀνάγκης καὶ τοῦ, παντὶ ὑπάρχειν. τούτοις γὰρ προσχρώμενοι,
ἀδιέξαμεν τὰς ἀσυλλογίστους συμπλοκὰς ἐν ταῖς ἀναγκαίαις καὶ ἐν ταῖς
ὑπαρχούσαις προτάσεσιν. εἰ τοίνυν ὡς προείρηται, ὅταν ἀναγκαῖον
ἢ ὑπάρχον ἡ συμπέρασμα, ἢ τὴν ἑτέραν τῶν προτάσεων ἢ ἀμφοτέρας
τοιαύτας εἶναι. ἀμφότεραι δὲ ἐν ταῖς προκειμέναις συζυγίαις ἐνδεχόμεναι.
τὸ διὰ τοῦτο δείκνυσιν ὅτι μήτε ἀναγκαῖον μήτε ὑπάρχον γινόμενον τὸ συμπέρασμα.
ἀπὸ δὲ μηδὲν ἐνδεχόμενον συνάγεσθαι δεδεῖχθαι, ἑξῆς δείκνυσιν, ὅτι μηδὲ ἐνδε-
χόμενόν τι οἷόν τε συναχθῆναι· συναγομένου τι ἐν τῇ τοιαύτῃ συμπλοκῇ,
τὸ τοῦ, παντὶ ἐξ ἀνάγκης· καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ,
τὸ οὐδενὶ ἐνδέχεσθαι ὑπάρχειν. τό τε γὰρ ἐξ ἀνάγκης παντί, ὅμοιον τοῦ τε ἐνδεχομένου
παντὸς ἐστὶν ἀναιρετικόν· καὶ τοῦ, μηδενὶ ὑπάρχειν· καὶ τοῦ τινὶ μὴ ὑπάρχειν.
ἔτι τοῦ τε ἐξ ἀνάγκης μηδενί· καὶ τοῦ, ἐξ ἀνάγκης τινὶ μή. πάλιν δὲ οὖν τό, μηδενὶ ἐξ ἀνάγκης

ὡς τοῦ ἐνδεχομένου παντὶ τὸ ἐστὶν ἀναιρετικόν, οὕτω καὶ τοῦ, παντί· ἤ τινι ὑπάρχειν.
τὸ οὐδ᾽ ἐξ ἀνάγκης παντί, ἤ τινι· τοῦ δὲ ἀναιρεῖσθαι τὸ ἐνδεχόμενον, ὑπομνηστικὸν
φέρει· ὅτι τὸ ἐνδεχόμενον ὡρίσατο μετὰ τοῦ μὴ ὂν ἀναγκαῖον· ὃ γὰρ παντὶ ἐξ ἀνάγκης
τὸ οὐδενὶ ἐξ ἀνάγκης, τοῦτο οὔτε παντὶ ἤ τινι ἐνδέχεται, οὔτε οὐδενὶ ἢ οὐ παντί.
Εἰπὼν δὲ ταῦτα, ὑπομιμνήσκει ἡμᾶς τῶν δεδειγμένων· ἔστι δὲ ταῦτα,
ὅτι ἐν τῷ πρώτῳ σχήματι ἐὰν ὦσιν αἱ προτάσεις ἀμφότεραι καθόλου, συλλο-
γισμὸς γίνεται, ὁποῖαι ἂν ὦσιν αἱ προτάσεις καὶ τέλειος· πλὴν ἐὰν μὲν ὦσιν
ἀμφότεραι κατηγορικαί, τέλειος· ὁμοίως δὲ κἂν ἡ μείζων ἀποφατικὴ μόνη.
ἀτελὴς δὲ ἐὰν ὦσι διὰ τῆς τοῦ ἐνδεχομένου ἀντιστροφῆς, ἢ τῆς κατὰ τὸ ἀποφατικὸν
τὸ ἢ ἀμφοτέρας ἐλάττονος ἀποφατικῆς ὡς ἔδειξε· ὑπομιμνήσκει δὲ ἡμᾶς, καὶ τοῦ,
δεῖν τὸ ἐνδεχόμενον λαμβάνειν ἐν ταῖς προτάσεσι, τὸ μὴ ἀναγκαῖον· τὸ γὰρ
κατὰ τοῦ ἀναγκαίου κατηγορούμενον, ὁμωνύμως ἐνδεχόμενον οὐκ ἀντιστρέφει· φησὶ δὲ
πολλάκις τὸ τοιοῦτο διαλανθάνειν· τὸ γὰρ μηδενὶ ἐξ ἀνάγκης ὑπάρχον, λέγομεν
ἐνδέχεσθαι μηδενί· ἀφ᾽ οὗ οὐκ ἔστι λαβεῖν ὅτι καὶ παντὶ ἐνδέχεται· ἀλλὰ καὶ αὐ-
τὸς ἐν τῇ τῶν προειρημένων ὅρων ἐκθέσει· τὸ ζῷον ἔλαβεν ἐνδέχεσθαι τινὶ
λευκῷ· καίτοι ἐξ ἀνάγκης τινὶ αὐτῷ ὑπάρχειν· καὶ ἴσως τούτου χάριν προ-
σέθηκε τοῦτο, ὡς περὶ ἀλλαχοῦ πάλιν λέγει· ληπτέον δὲ βέλτιον τοὺς ὅρους.
ἔδειξε δὲ λεγομένους ἐν πρώτῳ σχήματι, ἐξ ἐνδεχομένων ἀμφοτέρων προ-
τάσεων· ὅτι μὲν ἀμφοτέρων οὐσῶν καθόλου τῶν προτάσεων, τελείους μὲν
δύο· τούτων τῶν δύο καταφατικῶν, καὶ τὸν ἐκ τῆς μείζονος μόνης ἀποφατικῆς
ἑτέρας προτάσεως ἐπὶ μέρους οὔσης ἂν ἢ ἐλάττων ἐπὶ μέρους ᾖ· ἀλλὰ τέ-
λειοι μὲν καὶ τούτων δύο· ἐν οἷς ἢ ἀμφότεραι καταφατικαί, ἢ ἡ ἐλάττων κατα-
φατικὴ μόνη· ἀτελεῖς δέ, ἂν ἡ ἐλάττων ἀποφατικὴ μόνη, ἢ καὶ ἀμφό-
τεραι:· +

τ

+ περὶ τῶν ἐξ ἐνδεχομένης καὶ ὑπαρχούσης μιγνυμένων συλλογισμῶν ἐν πρώτῳ σχήματι: —

>> ἐὰν δ' ἡ μὲν ὑπάρχειν ἡ δ' ἐνδέχεσθαι λαμβάνηται τῶν προτάσεων.

Ἦν μὲν ἀκόλουθον περὶ τοῦ δευτέρου καὶ τρίτου σχήματος πρῶτον εἰπεῖν. εἰθ' οὕτως
περὶ τῶν μίξεων. ἀλλ' ἐπειδὴ δι' ἀντιστροφῶν τῶν καθόλου δείκνυνται οἱ ἐν ἐκείνοις
συλλογισμοί· οὐδέπω δὲ εἴρηκε περὶ τῆς καθόλου ἐνδεχομένας προτάσεως
τοιαύτης ἀντιστροφῆς, πρῶτον λέγει περὶ τῶν μίξεων τῶν ἐν πρώτῳ σχήματι
ἐξ ἐνδεχομένης τε καὶ ὑπαρχούσης, ἢ ἐνδεχομένης καὶ ἀναγκαίας.
ἐπειδὴ οὐδὲν δεῖται τὰ ἐν τούτῳ τῷ σχήματι δεικνύμενα ἀντιστροφῆς.
ἔτι καὶ δι' ἐξ ὅλου ἐν δευτέρῳ σχήματι, ἐκ δύο ἐνδεχομένων οὐδὲν συνάγεται.
ἀλλὰ πρῶτον ἐστὶ περὶ τῶν ἐξ ὑπαρχούσης τε καὶ ἐνδεχομένης ἐν πρώτῳ
σχήματι μίξεων ἁπάντων· πεποίηται δὲ τὴν δεῖξιν πρῶτον ἐξ ὑπαρχούσης
τε καὶ ἐνδεχομένης. Θεόφραστος μὲν οὖν καὶ Εὔδημος οἱ ἑταῖροι αὐτοῦ· καὶ ἐπὶ τῆς
ἐξ ἐνδεχομένης καὶ ὑπαρχούσης μίξεως φασὶν ἔσεσθαι τὸ συμπέρασμα ἐνδεχόμενον,
ὁποτέρα ἂν τῶν προτάσεων ἐνδεχομένη ληφθῇ· χεῖρον γὰρ πάλιν τὸ ἐνδεχόμενον
τοῦ ὑπάρχοντος. ὁ δὲ Ἀριστοτέλης, οὐχ οὕτως· ἀλλὰ τῆς μείζονος ἐνδεχομένης, τῆς δ'
ὑπαρχούσης δὲ τῆς ἐλάττονος, καὶ τὸ συμπέρασμα ἐνδεχόμενον ἔσεσθαι
τὸ κατὰ τὸν διορισμόν· ὅ ἐστιν οὐ μόνον τὸ ἀναγκαῖον τοῦ μὴ δεῖν εἶναι. οὐχὶ
ἀδύνατον ἀπεῖναι· ἢ τέλειος ἐστὶν ἡ τοιαύτη συζυγία συλλογισμός· τουτέστιν
αὐτόθεν δηλωτικὸς τοῦ προκειμένου· διὰ γὰρ τοῦ κατὰ παντὸς ἢ μηδενὸς αὐτῶν
ἐστι διὰ τοῦ κατὰ παντός· οἱ δὲ διὰ τούτων ἔχοντες γνώριμον τὸ συμπέρασμα,
τέλειοι. ἂν δὴ ἐλάττων γένηται ἐνδεχομένη τῆς μείζονος ὑπαρχούσης,
ἀτελεῖς τε φησὶν ἔσεσθαι πάντας τοὺς τοιούτους συλλογισμούς· ἢ προσέτι τοὺς
ἀποφατικοὺς συνάγοντας οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον συνάγειν· ἀλ-
λὰ τὸ κατὰ ψιλὴν ἀπόφασιν τοῦ ἀναγκαίου λεγόμενον· ἤγουν, οὐδενὶ ἐξ ἀνάγκης·
~~ἤγουν οὐδενὶ ἐξ ἀνάγκης~~ ἤγουν, οὐ παντὶ ἐξ ἀνάγκης συναχθήσεσθαι· καθ' ὧν
τὸ αὐτὸ μὲν ἀληθεύεται μὲν τὸ ἐνδεχόμενον· οὐ μὴν ἀνάπαλιν· οὐ τὸ κατὰ τὸν διορισμὸν ἀπὸ

θεόφρα(στος)
εὔδημος
ἀριστο(τέλης)

δεδώκαμεν· οὐδέπω γὰρ τὸ ὑπάρχον ἀναγκαῖόν ἐστι· τῷ γὰρ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρ-
χειν σημαίνειν, οὐ καθαιροῦντα τὸ ὑπάρχειν· ὃ δὲ λέγει, προϊὼν φανερὸν ποι-
ήσει. οἱ μέντοι περὶ Θεόφραστον καὶ ταύτας ἐνδεχομένας λέγουσι, ἀνάπαλιν ἐν- θεοφράστου
δεχόμενον φασὶ συμπέρασμα καὶ ἐν ταῖς τοιαύταις γίνεσθαι συμπλοκαῖς.
οὐ γινομένης δὲ τελείοις αὐτοῖς ἡ ἐλάττων ἐστὶν ἐνδεχομένη καὶ οὐχ οἷόν τε ἐστὶν ἐκ
τούτων ταῖς καθόλου τοῦ κατὰ παντὸς χρησάμενος δεῖξαι τὸ συμπέρασμα· εἰ γὰρ ἀνάγκη τὸ α
παντὶ τῷ β ὑπάρχον· τὸ δὲ β τῷ γ παντὶ ἐνδεχόμενον, οὐδέπω ὑπάρχει.
οὐ γὰρ ὡς τὸ α καὶ κατὰ παντὸς τοῦ β· ἡ μηδέν ἐστι λαμβάνειν τοῦ β, καθ' οὗ τὸ α οὐ ῥη-
θήσεται· ἡ ἐνδεχομένη διὰ τοῦ τῷ γ ἀπεκτείνειν· οὐ γάρ ἐστι τὸ γ ἐκ τοῦ β
ἐνδέχεται ὑπάρξαι αὐτῷ τῷ β· ἡ μὴ ἤδη ὑπάρχει· διὸ δεόμενοι πρὸς τὴν
δεῖξιν ἔξωθέν τινος, οὐ τέλειοι· δείκνυνται γὰρ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.
τῷ καὶ προσθεῖναι, πρῶτον δείκνυσι τὰς ἐχούσας τὴν μείζονα ἐνδεχομένην, τελει-
τέους τάς, καὶ τὸ συμπέρασμα ἐχούσας τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου:·

ἐνδέχεσθαι γὰρ τὸ α παντὶ τῷ β· τὸ δὲ β παντὶ τῷ γ καθόλου ὑπάρχει·

ὧν καὶ τὸ παντὸς προσχρώμενος καὶ τῷ τοῦ τοιοῦ ὁρισμοῦ, δείκνυσιν ἐνδεχόμενον τέ-
λειον γινόμενον τὸ συμπέρασμα καὶ τέλειον τὸν συλλογισμόν· ἐπεὶ γὰρ τὸ α παντὶ
τῷ β ἐνδέχεται, οὐδέν ἐστι λαβεῖν τοῦ β ᾧ τὸ α οὐ μὴ ἐνδέξεται· τὸ δὲ τοῦ β
τὸ γ ἐστίν· εἴ γε τὸ β παντὶ τῷ γ ὑπάρχει· καὶ τῷ γ ἄρα παντὶ ἐνδέξεται τὸ α·
κἂν ἡ μείζων δὲ στερητικὴ ἐνδεχομένη τεθῇ· ἡ δὲ ἐλάττων ὑπάρχουσα καθό-
λου καταφατική, ὁμοίως ἡ δεῖξις τοῦ ἐνδεχόμενον ἀποφατικοῦ καθόλου τὸ συ-
μπέρασμα ἔσεσθαι· διὰ γὰρ τοῦ ὁρισμοῦ τοῦ ἐνδέχεσθαι μηδενί:·

ὅταν δὲ ἀνάγκης ὡς ἐχόντων, ἔσονται συλλογισμοί·

Δ
ἀλλὰ τῆς μείζονος οὔσης ἐνδεχομένης, ἐνδεχόμενον τὸ συμπέρασμα καὶ τέλει-
ος ὁ συλλογισμὸς ἐπὶ τῶν καθόλου ἀμφοτέρων τῶν προτάσεων· ἡ γὰρ αὐτὴ
δεῖξις ἡ ἐπὶ τῶν ἐπὶ μέρους, τοῦ τε καταφατικοῦ καὶ τοῦ ἀποφατικοῦ συμπερασ-
ματος, μάλιστα ἐπὶ τῶν συζυγιῶν ἐν αἷς ἡ μὲν μείζων ὑπάρχουσα λαμβάνεται·
ἡ δὲ ἐλάττων ἐνδεχομένη· τὸ γὰρ ἐναντίως ἔχειν, τὴν ὑπαλλαγὴν τῶν
προτάσεων σημαίνει, ὅσοι οὖν οὕτως ἔχουσαι συζυγίαι συλλογιστικαί
εἰσι, διὰ τοῦ ἀδυνάτου φησὶ δειχθήσεσθαι· αἱ δὲ διὰ τοῦ ἀδυνάτου δεικνύμεναι,
οὐ τέλειοι· διὸ προσθήκη τὸ, ἅμα δὲ ἔσται δῆλον ὅτι καὶ ἀτελεῖς, τέλειοι







ἀλλ' οἱ ἐκ τῶν κειμένων καὶ μηδενὸς ἔξωθεν προσδεόμενοι· ἡ δὲ διὰ τοῦ ἀδυνάτου γινομένη δεῖξις, οὐ διὰ τῶν εἰλημμένων καὶ κειμένων γίνεται προτάσεων:

πρῶτον δὲ λεκτέον ὅτι εἰ τοῦ α ὄντος ἀνάγκη τὸ β εἶναι, καὶ δυνατοῦ ὄντος τοῦ α δυνατὸν ἔσται καὶ τὸ β ἐξ ἀνάγκης.

μέλλων δὲ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ προσχρώμενος δεικνύναι συλλογιστικὴν οὖσαν συζυγίαν τὴν ἐξ ὑπαρχούσης τῆς μείζονος καὶ ἐνδεχομένης τῆς ἐλάττονος. ἐν δὲ τῇ δείξει τῇ εἰς ἀδύνατον ἐπὶ τῶν προκειμένων, οὐ μόνον τὸ ἀντικείμενον τοῦ οὗ βούλεται δεῖξαι συμπεράσματος, ὑποτίθεται καὶ λαμβάνει, ἀλλὰ καὶ τὴν ἐνδεχομένην πρότασιν εἰς ὑπάρχουσαν μεταλαμβάνει. ὃ οὐκ ἦν ἀδύνατον· ὃ γὰρ ἐνδέχεται, τοῦτο καὶ ὑπάρχειν οὐκ ἀδύνατον ὑποτεθὲν εἶναι· ὡς ὁ ἀποδεδειγμένος αὐτοῦ ὁρισμὸς δηλοῖ. ψεῦδος μέντοι. ἵνα οὖν τὸ συναγόμενον ἀδύνατον ἐκ τοῦ λαβεῖν τὸ ἀντικείμενον οὗ βούλεται δεῖξαι· ἐν τῇ κειμένῃ συζυγίᾳ. καὶ οὐ τοῦ μεταλαβεῖν τὸ ἐνδεχόμενον εἰς ὑπάρχον ὃ ψεῦδος μέν ἐστιν, οὐ μὴν ἀδύνατον, μὴ ἢ τὸ δοκεῖ τὸ συμπέρασμα γενέσθαι παρὰ τὴν τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον μετάληψιν. ἀλλὰ παρὰ τὸ ὑποτεθὲν ἀδύνατον· ὅ ἐστιν ἀντικείμενον οὗ βούλεται δεῖξαι κειμένου συμπεράσματος. πρῶτον δείκνυσιν ὅτι καὶ οἷόν τε δυνατῷ τι ἀδύνατον ἀκολουθεῖν. ἀλλ' εἶναι τινὰ ἀδύνατον εἶναι, ᾧ τὸ ἀδύνατον ἀκολουθεῖ. ὡς ἐπὶ πάσης ἀναγκαίας ἀκολουθίας. ἔστι δὲ ἀναγκαία ἀκολουθία, οὐχ ἡ πρὸς καιρόν· ἀλλὰ ἐν ᾗ ἀεὶ τὸ εἰλημμένον ἕπεσθαι ἐστὶ τῷ εἰλημμένῳ ὡς ἡγουμένῳ· εἰ γὰρ ἀληθὲς συνημμένον, τὸ, εἰ ἀλέξανδρός ἐστιν, ἀλέξανδρος διαλέγεται. ἢ εἰ ἀλέξανδρός ἐστι, τὸ σῶμα αὐτοῦ ἐστί. καὶ ὅτι ἀληθὲς καὶ πρότασις, τούτων ἑκατέρων. τούτου γὰρ δειχθέντος, τὸ γινόμενον συμπέρασμα ἐκ τῶν κειμένων ἐπὶ τῇ ἐκτεθείσῃ συζυγίᾳ ἀδύνατον ὄν. οὐ παρὰ τὸ τὴν ἐνδεχομένην εἰς ὑπάρχουσαν μεταληφθῆναι, γίνεται· τοῦτο γὰρ ψεῦδος μέν, οὐ μὴν ἀδύνατον. ἀλλὰ παρὰ τὸ τὸ ἀντικείμενον ληφθῆναι τοῦ ζητουμένου, ὃ ἀδύνατον. ἅμα δὲ διὰ τοῦ νῦν δεικνυμένου, καὶ τὴν δεῖξιν τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ὅτι ἐστὶν ὑγιής, καὶ κατασκευάζειν δοκεῖ. μὴ γὰρ ὄντος ὁμολογουμένου τοῦ τῷ ἀδυνάτῳ ἀδύνατον ἕπεσθαι, οὐδ' ἂν ἡ εἰς ἀδύνατον ἀπαγωγὴ ἰσχὺν ἔχειν φαίνοιτο. τὸ μὴ πάντως ἀναιρεῖσθαι τὴν ὑπόθεσιν, ἀδυνάτου τινὸς συμπε-

χθέντος· ὡς ἀδύνατον καὶ αὐτήν· ἢ δυνατὰ ταῦτα καὶ τὰ ἀδύνατα τῷ προσχρώμενος ἀλλὰ
τὸ ψεῦδος τοῦ συμπεράσματος, ὃ ἠκολούθησε τῇ ὑποθέσει ἀναιρεῖ τὴν ὑπό-
θεσιν ὡς ψευδῆ· τὸ γὰρ καὶ δύνασθαι ἐξ ἀληθῶν ψεῦδος τι συμπεραίνεσθαι· ἢ οὕτως
οὐ μᾶλλον παρὰ τὴν ὑπόθεσιν ἢ τὴν τοῦ ἐνδεχομένου ἐς τὸ ὑπάρχον μετάληψιν,
γένοιτο ἂν τὸ τοῦ συμπεράσματος ἀδύνατον, τὸ δυνατὸν γὰρ ἀκολουθεῖ· ἐνδέχοιτο
τὰ ἀδύνατα ἕπεσθαι δυνατῷ, δείκνυσιν οὕτως:

ε΄ ἐπὶ τῶν οὕτως ἐχόντων, τὸ μὲν ἐφ᾽ ᾧ τὸ α, δυνατόν· τὸ δὲ ἐφ᾽ ᾧ τὸ β, ἀδύνατον:

Οὕτως ἐχόντων ὡς προειρημένον, ὅτε τοῦ α, ὄντος δυνατοῦ καὶ τὸ β εἶναι· οὕτως δὲ τοῦ τῆς
τῆς ἀκολουθίας ἐξ ἀνάγκης ὑποκειμένου τοῦ β τῷ α, ὑποκείσθω τὸ α δυνατὸν εἶναι·
τὸ δὲ β ἀδύνατον· τὸ δὴ α ἐπεὶ δυνατόν ἐστι· καὶ γένοιτο ὅτε δυνατὸν ἐστὶ γενέσθαι.
ὁμοίως καὶ τὸ β ἐὰν ἀδύνατον ᾖ, ὅτε ἀδύνατον ἐστὶ γενέσθαι· οὐκ ἂν γένοιτο. ἅμα δὲ
ἀλλὰ εἰ τὸ μὲν δυνατὸν τὸ δὲ ἀδύνατον· ὅτε τὸ α ἐστὶ τὸ β, καθὸ μὲν ἐστὶν ἀδύνατον.
οὐκ ἂν εἴη· καθὸ δὲ ἀναγκαίου τοῦ α ὄντος, εἶναι αὐτό· ὅπερ ἄτοπον· ὥστε οὐκ ἂν εἴη.
τὸ οὐκ ἂν εἴη, τὸ β. ὅπερ ἀδύνατον· δυνατοῦ ὄντος τοῦ α τοῦ ἡγουμένου, δυνατόν ἐστι
καὶ τὸ ἑπόμενον ἐξ ἀνάγκης αὐτῷ· τοῦτο δὲ ἦν τὸ β:

ἀδύνατον δὲ τὸ α δυνατὸν καὶ τὸ β ἀδύνατον· ἐνδέχοιτο γὰρ τὸ α δύνασθαι·

Ὑποθέμενος τὸ μὲν α δυνατὸν εἶναι· τὸ δὲ β ἀδύνατον· κειμένου τοῦ τῷ α ἕπεσθαι
τὸ β. λαμβάνει καθόλου, ὅτι τὸ μὲν α δυνατὸν ὅτε δυνατὸν γένοιτο ἄν· τὸ δὲ β ἀδύνατον,
τὸ δὲ ἀδύνατον ὅτε ἀδύνατον, οὐκ ἂν γένοιτο, προστάττει τοῦ α καὶ β ἀκολουθίᾳ
ἡ δείκνυσι τὸ ἄτοπον· εἰ γὰρ ὅτε τὸ α δυνατόν, τότε τὸ β ἀδύνατον· τοῦ δὲ γὰρ σημαί-
νει ἅμα δὲ ἐνδέχοιτο γενέσθαι τὸ α ἄνευ τοῦ β, τὸ γὰρ δυνατὸν γενέσθαι,
καὶ γένοιτο ἄν ποτε. τὸ δὲ ἀδύνατον, οὐκ ἂν γένοιτο, ὅπερ ἦν τὸ β· ὥστε τοῦ α ὄντος.
εἰ γὰρ γέγονε καὶ ἔστιν, οὐκ ἔσται τὸ β· ἀλλὰ τοῦ δὲ τοῦ α ὄντος εἶναι τὸ β· δείκνυσι τοῦτο
αὐτὸ καὶ κοινὸν τὰ δυνατὰ ὅτι τῷ α, ἀδύνατον ἕπεσθαι τὸ β· καὶ ἐκ τοῦ ὁρισμοῦ
τοῦ δυνατοῦ· εἰ γὰρ δυνατὸν ἐστὶν οὗ τεθέντος εἶναι, οὐδὲν ἀδύνατον συμβαίνει
διὰ τοῦτο· ὑποτεθέντος δὲ τοῦ α εἶναι, συμβαίνει διὰ τὴν ὑπόθεσιν ἀδύνατον
τὸ· τὸ β εἶναι ἢ μὴ εἶναι· εἶναι μέν, ἐπειδὴ ἕπεσθαι αὐτὸ τῷ α: μὴ εἶναι
δέ, τὰ ἀδύνατα αὐτὸ εἶναι· οὐκ ἄρα ἦν ἀδύνατον τῷ ἀδυνάτῳ ἕπεσθαι, ἢ
οὐ δυνατὸν ἦν· ἢ οὐχ ὡς ἐλήφθη τὸ α ἀκολουθεῖν δυνατὸν καὶ αὐτῷ, ἀδύνατον τὸ β.
ἀριστοτέλης μὲν οὖν ὅτι καὶ οὐ γὰρ ἐστὶ δυνατῷ ἀδύνατον ἕπεσθαι, δείκνυσι διὰ
τοῦ δεῖν μὲν

ἐν τῷ ἀληθεῖ συνημμένῳ, ἐξ ἀνάγκης ἕπεσθαι τὸ λῆγον τῷ ἡγουμένῳ· τὸ δὲ ἐξ ἀνάγ-
κης ἑπόμενον ἀδύνατον ἕπεσθαι· ἢ τὸ δυνατὸν δὲ ἀδύνατον ἀκολουθήσει τῷ ἡγουμένῳ
αὐτοῦ. ὥστε καὶ δυνατὸν ἀδύνατον ἔσται γενέσθαι, ἢ γενομένῳ αὐτῷ ἀκολουθήσει· ἀκολουθοῦν
δὲ αὐτῷ τότε, καὶ ἔσται. ἔσται ἄρα τὸ ἀδύνατον γενέσθαι· τοῦτο δὲ ἀδύνατον.
Χρύσιππος δὲ λέγων μηδὲν κωλύειν καὶ δυνατῷ ἀδύνατον ἕπεσθαι, πρὸς μὲν
τὴν ὑπ' Ἀριστοτέλους εἰρημένην δεῖξιν, οὐδὲν λέγει· πειρᾶται δὲ διά τινων παραδει-
γμάτων τινῶν οὐχ ὑγιῶς συγκειμένων, δεικνύναι τοῦτο μὴ οὕτως ἔχον· φησὶ γὰρ
ἐν τῷ συνημμένῳ τῷ, εἰ τέθνηκε Δίων, τέθνηκεν οὗτος, δεικνυμένου τοῦ Δίωνος,
ἀληθεῖ ὄντι, τὸ μὲν ἡγούμενον τὸ τέθνηκε Δίων, δυνατὸν εἶναι τῷ δύνασθαί ποτε
ἀληθὲς γενέσθαι τὸ τεθνηκέναι Δίωνα· τὸ δὲ τέθνηκεν οὗτος, ἀδύνατον. ἀποθα-
νόντος γὰρ Δίωνος, φθείρεσθαι τὸ ἀξίωμα τὸ οὗτος τέθνηκε, μηκέτι ὄντος τοῦ τὴν
δεῖξιν ἀναδεχομένου· ἐπὶ γὰρ ζῶντος καὶ κατὰ ζῶντος, ἡ δεῖξις. εἰ οὖν μὴ τεθνη-
κότος ἔτι τοῦ οὗτος οἷόν τε, μήτε πάλιν ὑφίσταται ὁ Δίων, ὡς δύνασθαι ἐπ' αὐτοῦ
ῥηθῆναι τὸ, τέθνηκεν οὗτος, ἀδύνατον τὸ τέθνηκεν οὗτος. ἦν γὰρ οὐκ ἀδύνατον
εἰ ὕστερόν ποτε ἐδύνατο μετὰ τὸν θάνατον τοῦ Δίωνος, οὗ τὸ πρότερον ἐν τῷ
συνημμένῳ ὅτε ἔζη ὁ Δίων κατηγορεῖτο τὸ, τέθνηκεν οὗτος, κατηγορη-
θῆναι πάλιν τὸ οὗτος. ἐπεὶ δὲ μὴ οἷόν τε τοῦτο, ἀδύνατον ἂν εἴη τὸ τέθνηκεν
οὗτος, κατηγορηθῆναι πάλιν τοῦ οὗτος. ἔτι ὅμοιον τούτῳ παρατίθεται, καὶ τὸ
εἰ νύξ ἐστιν, οὐκ ἔστιν αὕτη ἡμέρα, δεικνυμένης τῆς ἡμέρας. καὶ γὰρ ἐν τούτῳ
τῷ συνημμένῳ ἀληθεῖ ὄντι, ὡς οἴεται, δυνατοῦ ὄντος τοῦ ἡγουμένου, ἀδύ-
νατον τὸ ἑπόμενον. ὅτι δὲ μὴ ἐστὶ τὸ ἀδύνατον τοῦ λεγομένου ἐν τῷ συνημμέ-
νῳ δεικνύειν, διαβολή· οὐ γάρ ἐστιν ἀληθὲς συνημμένον τὸ, εἰ τέθνηκε Δίων, τέθνη-
κεν οὗτος. ἐπεὶ γὰρ ἐπὶ πλέον τὸ τέθνηκε Δίων τοῦ, τέθνηκεν οὗτος, λέγεται, καὶ ἔστιν
ἐφ' οὗ τὸ μὲν Δίων, λέγεται τὸ δὲ οὗτος οὐ λέγεται, οὐκ ἂν ἕποιτο τῷ ἡγουμένῳ
τῷ εἰ τέθνηκε Δίων, τὸ τέθνηκεν οὗτος· οὐ γὰρ ἡ καὶ ἀκολουθία· ἀλλ' ἡ δύναται
τὸ ἡγούμενον εἶναί ποτε, μὴ ὄντος τοῦ ἑπομένου. ὥσπερ γὰρ εἰ ἦν ὁμώνυμος
ὁ Δίων, οὐκ ἂν ἦν ἀληθὲς τὸ εἰ τέθνηκε Δίων, τέθνηκεν οὗτος· τῷ δύνασθαι
καὶ ἐπ' ἄλλου τινὸς τὸ τέθνηκε Δίων λέγεσθαι, καὶ μὴ ἐπὶ τοῦ δεικνυμένου Δίωνος·
τὸ ὄνομα ἐπὶ πλέον ἦν τῆς δείξεως· καὶ μὴ οἷόν τε ἐπὶ πάντων ἐφ' ὧν
τὸ ὄνομα, καὶ τὴν δεῖξιν, οὐκ ἂν ἀληθὲς ἔσται τὸ, εἰ τέθνηκε Δίων, τέθνηκεν οὗτος.

δυνήσεται γὰρ τὸ τεθνηκέναι Δίων, ἐπὶ τοῦ τοῦ λέγεσθαι ἐφ᾽ οὗ οὐκ ἀληθὲς τὸ τεθνηκέναι
οὗτος· ἐπὶ πλέον δὲ ἅτε τὸ Δίων· ἀληθεύει καὶ τεθνάναι τοῦ λέγεσθαι· τὸ δὲ οὗτος, ἐπὶ
ζῶντος μόνον· οὐ γὰρ ἡ τῆς ὡς ἀπὸ ἀνακολουθία, εἰ τὸ ἡγούμενον δυνατόν ποτε
εἶναι, δυνατὸν καὶ τὸ ἕπεσθαι αὐτῷ λαμβανομένου· τὸ μὲν γὰρ ἑπόμενον, εἶναι μὴ
ὄντος τοῦ ἡγουμένου ἐν ἀληθεῖ συνημμένῳ· οὐ μὴν ἄτοπον· οὐ γὰρ ἕπεσθαι δεῖ
τῇ τοῦ ἡγουμένου θέσει τὸ ἑπόμενον· διὸ δυνατὸν εἶναι τὸ ἑπόμενον μὴ ὄντος
τοῦ ἡγουμένου· τὸ δὲ ἡγούμενον, ἀδύνατον ἐστὶν εἶναι μὴ ὄντος τοῦ ἑπομένου
ἐν ἀληθεῖ συνημμένῳ· οὐ γὰρ διὰ τὸ ἀφθάρτου εἶναι μὴ ἀκολουθεῖ τῷ ἡγουμένῳ
τὸ λῆγον· διὰ τοῦτο γὰρ γίνεται τὸ συνημμένον· διόπερ ἀκολουθεῖν λέγεται·
ἀλλ᾽ οὐ διὰ τὸν τοῦ μὴ ἀκολουθεῖν τρόπον· ἀλλ᾽ ὅταν τὸ φθείρεσθαι αὐτὸ οὐκ ἀλλ-
ἀλλ᾽ ἢ τὸ ἡγούμενον γενόμενον· ὅτε τὸ ταφθαρέντα τῷ, τὸ ἡγεῖσθαι αὐτοῦ τοῦτο
ταθὲν γεγονέναι· πῶς δυνατὸν ἐπὶ τὸ ἄνω· οὐ γὰρ οὕτως ἐπὶ πλέον ὁ Δίων τοῦ,
οὗτος· ὁ μὲν γὰρ τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας παντὶ τριγώνῳ λαβ-
ληφθείη τὸ σκαληνόν· ἀδύνατον γὰρ παντὶ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχειν
τὰς τρεῖς γωνίας, εἰ μὴ καὶ τὸ σκαληνὸν ἔχει· ὅτι, ἀδύνατον λέγων εἶναι τὸ τεθνη-
οὗτος· δυνατοῦ ὄντος τοῦ τεθνηκέναι Δίωνα, οὐκ ἀκόλουθον ποιεῖ τὸν Δίωνα τοῦ οὗτος,
οὐ γὰρ δυνατὸν ἐκδῶναι τὸ τεθνηκέναι Δίωνα· οὐκ ἀκόλουθον ποιεῖ τὸν Δίωνα τοῦ
οὗτος, οὐ γὰρ δυνατὸν ἐκδῶναι τὸ τεθνηκέναι Δίωνα, περιλαμβάνοντος καὶ τὸ τεθνη-
οὗτος ἀδύνατον ἀκόλουθον τοῦ οὗτος· εἰ ἦν ἀδύνατον τὸ τεθνηκέναι οὗτος.
Εἰ δὲ ἐπὶ πῶς δυνατὸν εἰ τὸ ἑπόμενον τῷ τῷ ἡγουμένῳ εἶναι· οὐ περὶ τὸν ἐν τῷ ἀληθεῖ
συνημμένον, εἰ τοῦ ἡγουμένου ὄντος ἀναφθαρῇ τὸ ἕπεσθαι αὐτῷ λαμβα-
νόμενον· ἐπὶ μὲν οὖν ἐπὶ πλέον εἰ τὸ τεθνηκέναι Δίωνα, τοῦ τεθνηκέναι οὗτος.
τὸ μὴ ἄλλως αὐτῷ ἕπεσθαι, οὐκ ἀληθὲς τὸ συνημμένον ὡς δέδεικται· ἀλλ᾽ ἀμφοῖν
τὸ Δίων καὶ τὸ οὗτος, ἀληθὲς μὲν ἔσται τὸ συνημμένον· οὐ μὴν ἐκδῶναι τὸ ἀδύ-
νατον ἀκολουθήσει· ἀλλ᾽ ἔσται ὁμοίως τῷ ἑπομένῳ καὶ τὸ ἡγούμενον, καὶ δυνατὸν τὸν
τὸ ἀδύνατον· ἄτοπον γὰρ τὸ Δίων ὄνομα, ἐστὶ τοῦ ἰδίως ποιοῦ· ὁ δ᾽ ἰδίως ποιός, ζῶν
ἐστίν· ὁ Δίων δὲ λέγων, τὸν ζῶντα ἂν λέγοι· διὸ περὶ τὸ ὄνομα τὰ ἀμφιβολ-
λεσθαι· ὥσπερ γὰρ τὸ οὗτος, οὕτως καὶ τὸ ὄνομα δεικτικὸν τὸ ὀνομαζόμενον· διὸ
τοῦτο, καὶ αὐτῷ εἰ τὸ τεθνηκέναι Δίωνα τὸ τεθνηκέναι οὗτος· εἰ καὶ ἂν περιεχόμενον δυνατὸν
αὐτῷ εἰ τὸ τεθνηκέναι Δίων εἰ τὸ Δίων ὄνομα σημαῖον ζῶντος ἐστίν.

οὕτως δέ, ἀληθὲς μὲν ἐστὶ τὸ συνημμένον· οὐ μὴν ἀεὶ τὸ ἡγούμενον δυνατόν. τὸ γὰρ τεθνάναι τὸν ζῶντα, ὁμοίως τὸ τεθνάναι τοῦτον, ἀδύνατον. [illegible] τὸ τεθνηκέναι Δίωνα ἀληθὲς εἶναι δύνασθαι· διότι πρὸς ἀναφορὰν λέγεται τοῦ ζῶντος. οὐ γὰρ ἔτι ζῶντος Δίωνος τεθνηκ(έναι) λέγεται ὁ λέγων δυνατὸν εἶναι τὸ τεθνηκέναι Δίωνα· ἀλλ' ὅτε οὐκέτι Δίων, οὕτως ἐστὶ καὶ τὸ τεθνηκέναι οὗτος δυνατόν· οὐ γὰρ ὅτε ἐστὶν οὗτος τέθνηκα σημαίνει· ἀλλ' ὅτε οὐκέτι οὗτος. πλήρης δὲ καὶ ἡ σημασία τῆς πρὸς ἀναφορὰν χρήσεως τοῦ, οὗτος δεδήλωται τὸν νεκρόν, λέγομεν τεθνηκέναι οὗτος· ἢ λέγει δεικνὺς νεκρὸν βλέπων· οὗτος ἐστὶν ὁ πρὸ τοῦ δεῖνα ἀδελ-φός. οὐ μόνον δὲ καὶ ἐπὶ τῶν παρεληλυθότων ἀναφορὰν τῇ δείξει χρώμεθα, ἀλλὰ καὶ ἐπὶ τῶν μελλόντων. ἐπὶ γοῦν τῆς οἰκοδομουμένης οἰκίας ἢ ὑφαινομένης χλανίδος, λέγομεν αὐτὴ τοῦτό ἐστι· καὶ γὰρ τῶν ἐπὶ τῶν ἐσομένων οἰκίαν ἢ χλανίδα καὶ ἀναφοράν. ἀλλὰ καὶ ἐπί τινος σφόδρα νοσοῦντος ἐπιθανατίως, λέγομεν οὗτος ἀποθνήσκει. ὃ λέγει ὅτι ὁ ἀποθνήσκων, οὗτος ἀπέθανεν. οὗτος δὲ ἦν ὁ ἀποθνήσκων, οὗτος ἄρ' ἀνάγκη τέθνηκε. καθόλου δὲ εἰ μὲν ἁπλῶς ἀληθὲς ἀξίωμα λέγοιεν καὶ ἀδιορίστως τὸ εἰ τέθνηκε Δίων τέθνηκεν οὗτος, οὐκ ἀληθές ἐστι· ἁπλῶς γὰρ ἀνάγκη τῷ ἡγουμένῳ τὸ λῆγον. εἰ δὲ ἁπλῶς ἐξ ἀναγκαίας ἀκολουθίας τοῦτο γὰρ τὸ ἁπλῶς ἀναγκαῖον· εἰ δὲ μὴ ἁπλῶς ἀλλὰ μετὰ διορισμοῦ τοῦ, ὅτε ζῇ ὁ ζῶν, ἔσται μὲν ἀληθὲς τὸ ἀξίωμα. ὁμοίως μέντοι τῷ ἑπομένῳ ἢ τὸ ἡγούμενον, ἀδύνατον. τὸ γὰρ τεθνάναι Δίωνα ὅτε ζῇ, ἀδύνατον καθόλου δὲ εἰ διὰ τοῦ τὸ ὑποκείμενον τινὶ ἕπεσθαι. διότι οὐ δυνατὸν ἕπεσθαι. τῷ γὰρ ἡμέρας οὔσης, φῶς εἶναι, καὶ τὸ ὑποκείμενον ἡμέραν εἶναι ἕπεται τὸ φῶς εἶναι, ᾧ δ' οὐ τι μὴ ἕπεται, τούτῳ δηλονότι οὐδὲ τὸ ὑποκείμενον εἶναι, ἀκολουθήσει τοῦτο. τεθνάναι τε Δίωνι, οὐχ ἕπεται τὸ, τέθνηκεν οὗτος. οὐδὲ τὸ ὑποκείμενον ἄρα τῷ τεθνάναι, ἀκολουθήσει. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἀνυξ ἐστίν, οὐκ ἔστιν αὐτὴ ἡμέρα. ᾧ δὴ ἐπικεχείρηκεν αὐτῆς ἐστὶν ᾗ καὶ ἀριστοτέλης κέχρηται. δείξας γὰρ ὅτι τῷ ὑπάρχοντι τὸ α οὐχ ἕπεται τὸ β, ἔδειξεν ὅτι μηδὲ τὸ ὑποκείμενον αὐτῷ ὑπάρχειν ἀκολουθήσει. λοιπὸν τὸ γοῦν δὲ ἐστὶν ἐπικεχείρηκε δεῖξαι, μηδὲ ἀδύνατον ὂν τὸ οὗτος τέθνηκεν. εἰ γὰρ τὸ ἀδύνατον ἀξίωμα, ἀεὶ ψεῦδος. ὡς προείρηται ἀναγκαῖον, ἀεὶ ἀληθές. ὃ μὴ δὲ ἀεὶ ψεῦδος, τοῦτο οὐκ ἀδύνατον. οὐκ ἔστι δὲ καὶ ἀεὶ ψεῦδος τό, οὗτος

τέθνηκεν· ἀλλὰ μόνον ὅτι ζῇ δηλῶν· ἀποθανόντος γὰρ αὐτοῦ, οὐδ' ἔστιν ἔτι, ὥστε
μὴ ἔστιν, οὐδὲ τοῦ ψεῦδος εἴη· οὐκοῦν ἀεὶ ἀδύνατον τοῦτο, οὗτος τέθνηκεν. εἰ δὲ τὸ τε-
θνηκὸς οὗτος ἂν μὲν ὡς σημαινόμενον λαμβάνοιτο, τὸ οὐκ ἔστιν οὗτος, ὅ ἐστι τὸν
τῷ οὐκ ἔστιν ὁ ὤν, ἀδύνατον μὲν ἂν εἴη τὸ τεθνηκὸς οὗτος· οὐ μὴν ἕπεται τῷ
ἀτεθνηκέναι Δίωνα· οὐ γὰρ ἕπεται τῷ τεθνηκέναι Δίωνα, τὸ μὴ εἶναι τὸν ὄντα· ὥσπερ
οὐδὲ τῷ νὺξ ἐστί, μὴ εἶναι ταύτην ἡμέραν· τὸ γὰρ μὴ εἶναι ταύτην ἡμέραν, ἴσον
ἐστὶ τῷ μὴ εἶναι ἡμέραν τὴν οὖσαν ἡμέραν· ὃ οὐχ ἕπεται τῷ νύκτα εἶναι· ἀλλὰ
τῷ μὲν νὺξ ἐστίν, ἕπεται τὸ οὐκ ἔστιν ἡμέρα· τὸ δὲ οὐκ ἔστιν αὕτη ἡμέρα,
ἕπεται αὐτῷ νὺξ ἐστὶν οὔσης ταύτης ἡμέρας, ὃ οὐδὲν ἔλαττον τοῦ ὑπομ...
ἐστὶν ἀδύνατον· ὁμοίως δὲ καὶ τὸ τεθνηκὸς οὗτος, ἕπεται αὐτῷ τὸ τέθνηκεν ὁ ζῶν
Δίων· ὃ καὶ ὁμοίως ἐστὶν ἀδύνατον τῷ τεθνηκὸς οὗτος· ἀδύνατον γὰρ τὸ τεθνά-
ναι Δίωνα τὸν ζῶντα· εἰ δὲ τὸ τεθνηκὸς οὗτος, λαμβάνοιτο ἀντὶ τοῦ κεχω-
ρίσθαι τούτου ἢ ψυχὴν ἢ τὸ σῶμα· καὶ τοῦτο ὡς οὐκ ἀδύνατον ἂν εἴη, τὸ, τέθνηκεν οὗτος.
ὃ γὰρ δυνατόν ποτε ἀληθὲς γενέσθαι κατηγόρημα, τοῦτο οὐκ ἔστιν ἀδύνατον.
ἀληθὲς δὲ δυνατόν ποτε γενέσθαι καὶ τοῦτο, καὶ μετὰ τὸν θάνατον τοῦ Δίωνος,
τὸ, τούτου κεχωρίσθαι ἢ ψυχὴν ἢ τὸ σῶμα· Δίωνος μὲν οὐ Δίωνος· ἀρέσκει γὰρ αὐτοῖς
τό, καὶ μετὰ τὴν ἐκπύρωσιν, πάλιν πάντα ταὐτὰ ἐν τῷ κόσμῳ γίνεσθαι κατ' ἀριθμόν,
ὡς καὶ τὸν ἰδίως ποιόν, πάλιν τὸν αὐτὸν τῷ πρόσθεν εἶναί τε καὶ γίνεσθαι ἐν ἐκείνῳ
τῷ κόσμῳ, ὡς ἐν τῷ περὶ κόσμου Χρύσιππος λέγει· εἰ δὲ τοῦτο, καὶ ὁ Δίων πάλιν
ἂν αὐτὸς εἴη· ὥστε ἀληθὲς ἂν γένοιτο ἐπ' αὐτοῦ τότε, τό, οὗτος τέθνηκεν· ἐχωρίσθη
γὰρ τούτου ἢ ψυχὴ ἢ τὸ σῶμα· ἢ πάλιν συνετάχθη. εἰ δὲ τοῦτο, οὐκ ἀδύνατον
καὶ τοῦτο ἐστὶ, οὗτος τέθνηκεν· ὥσπερ γὰρ οὐκ ἀδύνατόν φασιν ἀξίωμα, ἐπὶ
τῶν συντεθειμένων δακτυλίων καὶ δεικνυμένων, τὸ ἐφθάρθαι τοῦτο, καίτοι ψεῦδος
ὂν τότε· ὅτι διέστησαν τῶν δακτυλίων, δύναται, ὁ περὶ τῆς συνθέσεως φθορᾶς
τε πάλιν συντεθέντων, τὸ ἐφθάρθαι τοῦτο δεικνυμένων ἀληθὲς εἶναι· ἐφθάρη γὰρ
πρότερον ὅτε διέστησαν οἱ δακτύλιοι, οὕτως ἀληθὲς ἔσται καὶ ἐπὶ τοῦ πάλιν γενο-
μένου Δίωνος, τὸ τέθνηκεν οὗτος· διότι πρότερον αὐτοῦ ἐχωρίσθη ἡ ψυχὴ ἢ
τὸ σῶμα ὡς ἄχρι τῆς τῶν δακτυλίων συνθέσεως· ὥσπερ γὰρ ἐπὶ τῶν δακτυλίων τὸ κατ' ἀ-
ριθμὸν ἐν ἀλλήλοις μόνον, ἢ δύο τῷ ἀριθμῷ μόνον τὸ ὕστερον δεικνύμενον
τοῦ πρότερον δεικνυμένου, οὕτως καὶ ἐπὶ τοῦ Δίωνος· ἄλλο ὁ αὐτὸς ὕστερος τῷ πρόσθεν

ἀδιάλειπτοι γὰρ αὐτοὶ τῶν συναπτόντων· τοῖς αὐτοῖς καὶ τῷ ἀριθμῷ εἶναι τοῖς δ᾽ ἴσα μὲν
τε καὶ πάλιν σωματικὸς θνητός· ἀπὸ δὲ τοῦ Δίωνος μὴ ἔχειν τὴν αὐτὴν ψυχὴν τὴν
σῶμα καὶ τῷ ἀριθμῷ ἓν εἶναι τῷ σώματι θέμενα, οὐδ᾽ αὐτὸ τὸ πρὸς τὸν λόγον ἐστίν·
εἰς τὸ οὖν ὑποκείμενον τὸ ἰδίως ποιόν· τὸ αὐτὸ ἓν εἶναι τὸ ὕστερον τῷ πρόσθεν.
τοῖς γὰρ μὴ λέγουσιν τὸ αὐτὸ γενέσθαι τὸ ἰδίως ποιόν· ἴσως ἄπορον τὸ,
πῶς τὸ ἓν αὐτῷ καὶ τῷ ἀριθμῷ συνιόντων ψυχῆς τε καὶ σώματος τὸ αὐτὸ ὂν
ὄντα κινεῖσθαι· ὁ γὰρ αὐτός, καὶ τὴν αὐτὴν τὴν τῶν δ᾽ ἐξ ἀναδέχεται· οὐ γὰρ δὴ
ὁ αὐτὸς ὕστερος τῷ πρόσθεν ἰδίων· οὐκ ἀπλῶς τοῦτο δὲ τό, οὔτε καὶ τηρηθή-
σεται· ἀλλὰ τοῦτο ἀληθὲς ἔσται ἐπ᾽ αὐτοῦ τό, τέθνηκεν οὗτος· καὶ τό, τοῦτο
κεχώρισται ἡ ψυχὴ καὶ τὸ σῶμα· ἀδύνατον δὲ ποτὲ ἀληθὲς γενέσθαι τό,
τέθνηκεν οὗτος, οὐ καὶ ἀδύνατον· διὰ τοῦτο γάρ φησι δυνατὸν εἶναι καὶ τὸ τέθνηκε
Δίων· ὅτι ποτὲ ἐστὶν ἀληθές. καὶ λέγουσι δὲ καὶ τοῖς ἰδίως ποιοῖς, τοῖς ὕστερον
γινομένοις, πρὸς τοῖς ἔμπροσθεν παραλλαγὰς μόνον κινεῖσθαι κατά τινα
τῶν ἔξωθεν συμβαινόντων· οἷαι παραλλαγαὶ καὶ ἐπὶ τοῦ αὐτοῦ μένοντός τε
ζῶντος τοῦ Δίωνος, οὐκ ἔλαττον οὖν αὐτόν· οὐ γὰρ ἄλλος γίνεται, ἃ πρότερον
ἔχων ἦν τῆς ὄψεως φανείς, ὕστερον μὴ κατέχοι· τοιαύτας δὲ φασὶ τὰς
ἐν τοῖς ἰδίως ποιοῖς· τοῖς δ᾽ ἄλλως καὶ ἔμπροσθεν παρὰ τοῖς ἐν ἄλλῳ γίνεσθαι· δι᾽
ἀδύνατον τὸ οὗτος τέθνηκε, μὴ δὲ φθαρτὸν ἀξίωμα, ὁμολογεῖ τὸ δ᾽
τε παρ᾽ αὐτοῖς τὸ μὴ εἶναι συνημμένον ἀληθές, τὸ εἰ τέθνηκε Δίων, τέθνηκεν
οὗτος. οὐ γὰρ ὅτε τό, τέθνηκε Δίων ἀληθές, τότε καὶ τὸ τέθνηκεν οὗτος,
τότε μὴ ἐφθαρμένον. ὅμοιον τούτῳ, καὶ τὸ εἰ νύξ ἐστιν, οὐκ ἔστιν αὕτη ἡμέρα.
δυνατὸν γὰρ ἐπὶ τούτων ὥσπερ τὸ νύκτα εἶναι, οὕτως καὶ τὸ μὴ εἶναι ταύτην ἡμέραν.
μεταβάλλοντα γάρ, οὐκ ἔσται· ἀμέλει γὰρ ὁ λέγων οὐκ ἔστιν αὕτη ἡμέρα.
τοῦ τε λέγοντος ἔστιν ἡμέρα, ὅτε ἔστιν οὐκ ἔστιν, οὐκ ἀληθὲς τὸ συνημμένον.
οὐ γὰρ ὑπάρχει τῷ νύκτα εἶναι, τὸ μὴ εἶναι ταύτην ἡμέραν ὅτε ἔστιν· ἀλλὰ
τὸ μὴ εἶναι ἡμέραν· ἀδιάλειπτο ἐκεῖνο οὗ τὸ ἡ δεικνυμένη, οὐκ ἔστι τότε
τὸ συνημμένον ἀληθές· καὶ ὁμοίως τὸ ἡγούμενον. τὸ δὲ ἑπόμενον ἀληθές·
τε τὸ ἀλλ᾽ ὁ δὲ ὅτε προφέρηται, καὶ ἐπὶ ταύτης αὐτῆς διέξεως λέγοιτο· ἀδύνατ
δὲ δεῖ τὰ ὡς ἀκολουθίας, ὅτε δυνατὸν μὲν ὄντος τοῦ ἡγουμένου ἐν τῇ ἀκολουθ-
ἀκολουθία, δεῖ καὶ τὸ ἑπόμενον αὐτῷ δυνατὸν εἶναι ὡς δέδεικται. ἀδυνα-

διὸ οὔτε πάλιν τοῦ ἑπομένου ἀδυνάτου, ἀδύνατον δηλονότι τὸ ἡγούμενον εἶναι· οὐκ ἔτι δὲ οὔτε δυνατοῦ τοῦ ἑπομένου, ἀνάγκη καὶ τὸ ἡγούμενον εἶναι δυνατόν· οὐ γὰρ τῇ θέσει τοῦ ἑπομένου συγκατατίθεσθαι δεῖ τὸ ἡγούμενον, ἀλλὰ ἔμπαλιν· οὔτε ἀδυνάτου τοῦ ἡγουμένου, ἀνάγκη καὶ τὸ ἑπόμενον ἀδύνατον εἶναι· τῷ μὴ συναναιρεῖσθαι τῇ τοῦ ἡγουμένου ἀναιρέσει καὶ τὸ ἑπόμενον, ἀλλὰ τοὐναντίον· διὰ τοῦτο καὶ αὐτὸς εἶπε· ἢ δυνατοῦ ὄντος τοῦ α δυνατὸν ἔσται καὶ τὸ β· τὸ γὰρ εἰ ὄρνεον ἐστί, ζῷόν ἐστι, ἀληθὲς συνημμένον· τοῦ μὲν ἡγουμένου ἀδυνάτου ὄντος, δυνατοῦ δὲ τοῦ ἑπομένου:

Δεῖ δὲ λαμβάνειν μὴ μόνον ἐν τῇ γενέσει τὸ δυνατὸν καὶ ἀδύνατον, ἀλλὰ καὶ ἐν τῷ ἀληθεύεσθαι, καὶ ἐν τῷ ὑπάρχειν: +

Εἰπὼν ἤδη δείξας ἐν τοῖς ἀναλυτικοῖς ὅτι δυνατοῦ ὄντος τοῦ ἡγουμένου δυνατόν ἐστι καὶ τὸ ἑπόμενον, προστίθησιν ὅτι κἂν ὑπάρχον ᾖ τὸ ἡγούμενον, ὑπάρχον ἐστὶ καὶ τὸ ἑπόμενον, κἂν ἀναγκαῖον, ἀναγκαῖον ὁμοίως· τοῦτο δὲ ἐδήλωσε διὰ τοῦ εἰπεῖν δεῖν λαμβάνειν τὰ εἰρημένα μὴ ὡς μόνον εἰρημένα ἐπὶ τοῦ δυνατοῦ τῇ γενέσει· ἔστι δὲ τὸ ἐν γενέσει δυνατόν, τὸ ἐνδεχόμενον, ὃ μήπω μέν ἐστι, δυνατὸν γενέσθαι· οὗ τὸν ὅρον ἀπέδωκεν ἐφ' οὗ αὐτῷ ἡ δεῖξις ἦν τῷ ἀναλόγῳ γέγονε· λαβὼν γὰρ τὸ μὲν α δυνατόν, τὸ δὲ β ἀδύνατον, εἶπεν· ἔσω τὸ μὲν δυνατὸν ὅτε δυνατόν, γένοιτο ἄν· διὰ γὰρ τοῦ γένοιτο ἂν τὸ ἐν γενέσει δυνατὸν ἐδήλωσεν· οὐ μόνον οὖν τῷ ἐν γενέσει δυνατῷ, τουτέστι τῷ γενέσθαι δυνατῷ, τὸ γενέσθαι δυνατὸν ἕπεται· οὐ γὰρ ἕπεται τῷ γενέσθαι δυνατῷ, τὸ γενέσθαι ἀδύνατον· ἀλλὰ κἂν τὸ δυνατὸν ὡς ὑπάρχον λαμβάνοιτο ἐπὶ τοῦ ἡγουμένου, ἕπεται καὶ τούτῳ τὸ δυνατόν, οὐκ ἔσται ἑπόμενον αὐτῷ τὸ ἀδύνατον ὑπάρχειν, ἀλλὰ τὸ δυνατὸν ὑπάρχειν, τὸ ὡς ὑπάρχον. ἀλλὰ κἂν κατὰ τὸ ἀληθεύεσθαι λαμβάνηται τὸ ἡγούμενον δυνατόν, δεῖ καὶ τὸ ἑπόμενον ἀληθὲς εἶναι· ἀληθεῖ γὰρ ἀληθὲς ἕπεται· εἰ καὶ οὖν τὸ ἐν τῷ ἀληθεύεσθαι δυνατόν, καὶ τὸ ἀναγκαῖον λαμβανόμενον· ἐπεὶ τὸ ἀναγκαῖον ἀδύνατον μὴ εἶναι ἀληθεύειν· καὶ τὸ οὕτως δὲ δυνατῷ φησὶ τὸ ἑπόμενον ἔσεσθαι ἀναγκαῖον τὸ αὐτὸ ἀληθὲς καὶ ὁμοίως τῷ ἡγουμένῳ δυνατόν. τὸ δὲ καὶ ἀδύνατον, δυνατὸν μέντοι ἐπὶ τῆς ἀπὸ τοῦ ἑπομένου πάλιν ἀναλύσεως εἴρηται· εἰ γὰρ ἀδύνατον τὸ ἑπόμενον, ἀδύνατον καὶ τὸ ἡγούμενον· καθ' ὃν ἂν τρόπον τὸ ἀδύνατον ληφθῇ ὡσαύτως κειμένου καὶ τοῦ ἡγουμένου ἀδυνάτου· εἴ τε γὰρ γενέσθαι ἀδύνατον

ἀκολουθεῖ καὶ τὸ ἀδύνατον. τὸ ἡγούμενον. ἀλλὰ τὸ ὑπάρχειν ἀδύνατον· ὁμοίως δὲ καὶ τὸ
ἡγούμενον· ἀλλὰ τὸ ἀδύνατον ἀληθεύεσθαί ποτε, ὁμοίως καὶ τὸ ἡγούμενον· ἔτι ἐπεὶ
γὰρ ὡς προειρήκαμεν ἡ ἀκολουθία ἔχει, τὸ μὲν γὰρ δυνατόν, ἀπὸ τοῦ ἡγου-
μένου τὴν ἀκολουθίαν ἔχει κατὰ πάντα τὰ τοῦ δυνατοῦ σημαινόμενα. τὸ δὲ
ἀδύνατον ἀπὸ τοῦ ἑπομένου. ἀδυνάτου μὲν γὰρ ὄντος τοῦ ἡγουμένου, οὐκ ἐ-
κώλυσε τὸ ἑπόμενον δυνατὸν εἶναι· ὡς ἐν τῷ εἰ ἵππος ὁ ταῦρος, ζῷόν ἐστι.
εἰ δὲ ἀδύνατον τὸ ἑπόμενον, δεῖ καὶ τὸ ἡγούμενον ἀδύνατον εἶναι. καθὸ ἂν ση-
μαινόμενον, τὸ ἀδύνατον ληφθῇ. λέγεται γὰρ τὸ ἀδύνατον καὶ ἐπὶ τοῦ ψευ-
δοῦς· εἰ ψεῦδος τὸ ἑπόμενον, ψεῦδος καὶ τὸ ἡγούμενον· οὐ μὴν εἰ τὸ ἡγούμενον
ψεῦδος, καὶ τὸ ἑπόμενον· ὥσπερ γὰρ δυνατὸν τὸ ἀληθές, οὕτως καὶ τὸ ψεῦδος,
δυνατόν ἐστι τὸ ἀδύνατον τοῖς δυνατοῖς προστεθῆναι. ὑπὲρ τοῦ δεῖξαι ὅτι καθὸ
ἂν σημαινόμενον τοῦ δυνατοῦ τὸ ἡγούμενον δυνατὸν ληφθῇ, κατὰ τοῦτο
καὶ δυνατῷ ἀντικείμενον τὸ ἀδύνατον· οὐχ ὅτι οὖν ἐστι, δυνατῷ ἀντικείμενον
ἀδύνατον εἶναι ὡς προειρήκαμεν. παράδειγμα καὶ τοῦ μὲν ἐντελεχείᾳ δυνατοῦ,
τὸ ἀεὶ τὰ θνητὰ διαμένειν, τὰ θνητὰ μὲν ἄλλοτε ἐπὶ ζώντων ἐκ διαδόχων ἄλλοτε τό. τοῦ δέ,
καὶ τὸ ὑπάρχειν, εἰ ἡμέρα ἐστί, φῶς ἐστιν. ἄλλοτε τοῦ οὔσης ἡμέρας. ὁμοί-
ως γὰρ τῷ ἡγουμένῳ καὶ τὸ ἑπόμενον ὑπάρχον. τοῦ δὲ ἀναγκαίου, ἀεὶ θεῖος ὁ
κόσμος ἐστί. τὸ δέ, καὶ ὁσαχῶς ἄλλως λέγεται τὸ δυνατόν. ἐν ἅπασι γὰρ ὅμοι-
ως· ἑξῆς δυνατὸν μὲν λέγεται καὶ ἐπὶ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον καὶ τοῦ ἀορίστου.
καὶ τοῦ ἐπ᾽ ἔλαττον. ὁμοίως ὑπὸ τὸ ἐντελεχείᾳ δυνατόν, ἢ καὶ ἐπὶ τοῦ ἀναγκαίου.
ἐὰν πρότερον τὸ δυνατὸν ὡς ἀληθὲς ληφθῇ· εἰ δὲ τό τε ἀναγκαῖον λαμβά-
νομεν τὸ ἀληθὲς λέγοι· ἢ γὰρ τοῦ τὸ δυνατὸν δυνατὸν λέγειν καὶ περὶ τῶν δυνα-
τοῦ, τὰ ὅτι ὁ Διόδωρος λέγεται· ἢ ὅ ἐστιν· ἢ ἔσται. τὸ γὰρ ἦν οὐ· ἢ ἀρχόμενον πάντως
δυνατὸν μόνον ἐκεῖνος ἐτίθετο. τὸ γὰρ ἅμα συγκρινθῆναι δυνατόν
καὶ τοῦτο εἶναι συγκρινθῶ· ἢ εἰ πάντως μηδέποτε ἔσεσθαι. ἀδύνατον γενοίμην,
οὐ δυνατὸν εἶναι. καὶ τὸ παιδίον γενέσθαι γραμματικόν. δυνατὸν ἀεὶ ὅσοι τε.
οὐδὲ καταστῆναι καὶ ὃ κυρίως ὠνόμασεν ἐρωτῆσαι λόγος ὑπὸ Διοδώρου. ὁμοίως
δὲ περὶ τοῦ κατὰ Φίλωνα. ὥσπερ τοῦτο, τὸ καὶ τὸ ψιλὴν λεγόμενον τὴν ἐπιτη-
δειότητα τοῦ ὑποκειμένου κἂν ὑπό τινων ἔξωθεν ἀνάγκης ἢ γενέσθαι
κεκωλυμένον· οὕτως τὸ ἄχυρον τὸ ἐν τῇ ἐρήμῳ, ἢ τὸ ἐν τῷ βυθῷ, δυνατὸν ἀλλ-

κωλυθῆναι οὐκ ἐκεῖ δὲ ἡ τοιαῦτα κωλυόμενοι ὑπάρχειν τὸ ὑπάρχον αὐτὸ ἐξ ἀνάγκης, ὡς ἔστι μεταξὺ τοῦ ὑπάρχειν καὶ τοῦ ἐξ ἀνάγκης λεγόμενον δυνατόν· γὰρ καὶ τὸ οἷόν τε γενέσθαι ἀκόλουθον οὐκ ἀνάγκη γενέσθαι. τὸ γὰρ ἄχυρον τὸ μὲν μηδὲν αὐτὸ ἅπτεσθαι μηδὲ ἄλλως ὑπό τινος κωλυόμενον, δυνατὸν καυθῆναι· καὶ μηδὲ ἐπὶ τὸ καυθῆναι ὅτε μὴ κεκώλυται ὃ οὐκ ἔστι δυνατὸν τὸ ὑπό τινος κωλύεσθαι τὸ καυθῆναι αὐτοῦ. τὸ δὲ ἐὸν αὐτῷ τοῦ μὴ καυθῆναι· διὸ ἐκ δυνάμεως ὑποτεθὲν τὸ κινεῖσθαι, οὐδὲν ἀδύνατον ἕπεται. εἰ δὲ τὸ αὐτὸ ἅπτεσθαι οὐχ ὑποθοῖτο τὸ κινεῖσθαι, ἀδύνατον ἀκολουθεῖ αὐτῷ, τὸ πάσχειν τὸ ἀπαθές· ἅπτεται γὰρ τοῦ ἀπαθοῦς ἀνάγκη ὑποκεῖσθαι:

Ἔτι τὸ ὅταν τοῦ α ὄντος τὸ β ἀνάγκη, οὐχ ὡς αἰτίου τινὸς ὄντος τοῦ α τὸ β ἔσται δεῖ ὑπολαμβάνειν· οὐ γάρ ἐστιν οὐδὲν ἐξ ἀνάγκης, αἰτίου τινὸς ὄντος ἑνός, ἀλλὰ δυοῖν ἐλαχίστοιν: +

Δείξας πῶς δυνατὸν ἀκολουθεῖν ἀναγκαῖον, ὡς τὸ πρότασιν καὶ τὸ δυνατὸν ὑπάρχειν ὡς τῷ ὑποκειμένῳ ἀκολουθεῖν· οὗ χάριν καὶ τὴν δεῖξιν ἐποιήσατο, καὶ ἀκολουθεῖ δυνατὸν μετὰ τὸ λεγόμενον τοιοῦτον. δεῖ μὴ μόνον ὡς ἐπὶ τῶν ἁπλῶν ἀκολουθήσεων εἰρημένον λαμβάνειν τοῦτο, ἀλλὰ καὶ ἐπὶ τῶν κατὰ συλλογισμὸν γινομένων· καὶ γὰρ αὐτοῖς ἀκολουθεῖ τὸ συμπέρασμα ταῖς προτάσεσιν. εἰ γὰρ αἱ προτάσεις τὸ συμπέρασμα, ὥστε καὶ δυνατῶν οὐσῶν, δυνατὸν ἕσται καὶ τὸ αὐτῶν συναγόμενον τοῦ δυνατοῦ λαμβανόντων. ἀνθ' ἑνὸς αὖ τὸ μὲν τῶν προτάσεων ληφθὲν τὸ α· αὐτὸ δὲ τοῦ συμπεράσματος τὸ β, ἵνα αὖ ἡ προειρημένη δεῖξις ἁρμόζουσα ἔσται ταῖς τοιαύταις ἀκολουθίαις. τὸ δέ, οὐ γάρ ἐστιν οὐδὲν ἐξ ἀνάγκης, αἰτίου τινὸς ὄντος, δεῖ καὶ αὐτὸ ἀκούσαι ὅτι συλλογιστικῶς· οὕτως γάρ, οὐκ ἔστιν ἐξ ἀνάγκης. τὸ δέ, ὡς προσθετέον τὸ α ταῖς προτάσεσι· τὸ δὲ β τὸ συμπέρασμα. ἵνα ἐστὶ τό, καὶ ἐκεῖ τὸ μὲν α ἀντὶ τῶν προτάσεων λαμβάνοι, τὸ δὲ β συμπέρασμα: •

Τούτου δὲ δειχθέντος, φανερὸν ὅτι ψεύδους ὑποτεθέντος καὶ μὴ ἀδυνάτου, καὶ τὸ συμβαῖνον διὰ τὴν ὑπόθεσιν, ψεῦδος ἔσται, καὶ οὐκ ἀδύνατον.

Ἐπὶ τοῦ χάριν ἡ δεῖξις ταῦτα δυνατὰ τὸ δυνατὸν ἀκολουθεῖν τοῦτο φανερὸν ποιεῖ. ἐπεὶ γὰρ ὁποῖον ἂν ᾖ τὸ ἡγούμενον, πρὸς τὸ ὑπάρχειν τοιοῦτον ἀνάγκη καὶ τὸ ἑπόμενον αὐτῷ ταῖς ἀναγκαίαις ἀκολουθίαις· δηλονότι μὴ τοῦτό ἐστι ψεῦδος καὶ τὸ ἀδύνατον. ἀλλ' ἔστιν αὐτῶν διαφορά· οὐ γὰρ ὅτι ψεῦδός ἐστι, τοῦτο ἤδη καὶ ἀδύνατον. ἔστι γὰρ ψεῦδος δυνατόν· ὃ γάρ, τὸ ἐνδεχόμενον ἀναγκαῖον δέ πω δέον,

ὑποκείμενος εἶναι. ψεῦδος μὲν τί φησιν. οὐ μὴν ἀδύνατον. ψεῦδος δ' οὖν τὸ τοῦ
κειμένου δυνατοῦ δέ. ψεῦδος ἐστὶ καθόλου καὶ τὸ ἑπόμενον οὐ μὴν ἀδύνατον. ἐχώ-
ρει μὲν γὰρ ἀληθὲς εἶναι τὸ συμπέρασμα. ψευδῶν οὐσῶν τῶν προτάσεων ὡς τὸ δεύ-
τερον δέδειχε. ἀλλ' εἰ καὶ ψεῦδος εἴη, οὕτως ἐστὶ ψεῦδος ὡς μὴ δυνάμενος εἶναι. εἰ γὰρ
εἴη καὶ ἀδύνατον ἐπὶ προτάσεσιν ἢ προτάσει, ψευδεῖ μὲν μὴ ἀδυνάτῳ δέ, ἕποιτο
ἂν πάλιν δυνατῷ τὸ ἀδύνατον. ὃ δὲ ἐν συλλογισμῷ τινι ὑποτεθείσης μιᾶς προτάσεως
ψευδοῦς μὲν οὐκ ἀδυνάτου δέ, ἀδύνατον τὸ ἑπόμενον εἴη, οὐ παρὰ τὸ ψεῦδος
μὲν οὐ μὴν ἀδύνατον εἶναι αὐτοῦ τὸ ἀκολουθῆσαν ἀδύνατον. ἀλλὰ παρὰ τὸ θάτερον
τῶν ὅρων ἠκολουθηκέναι, ἀδύνατον εἶναι καὶ αὐτό. οὐ γάρ ἐστί τινι μὲν ὡς αἰτία συλλο-
γισμοῦ καὶ ἀκολουθίας, ἐπὶ τῆς λέξεως ὡς εἶπε· τὸ δέ, εἰ γὰρ ἀδύνατον. ἅμα τὸ
αὐτὸ ἔσται δυνατὸν καὶ ἀδύνατον, εἶπε, διὰ τὸ ἂν ᾖ τοῦ κειμένου δυνατοῦ ὄντος
τὸ ἑπόμενον ἀδύνατον γίνεσθαι αὐτῷ, καθὸ τοῦ μὲν ἕπεται τῷ κειμένῳ δυνα-
τῷ ὄντι, ὅτι ἐνδεχόμενόν ἐστι, καὶ αὐτὸ εἶναι ὀφείλει δυνατόν. καθὸ τοῦ δὲ ὑπόκειται
ἀδύνατον εἶναι. ἀδύνατον. τὸ γὰρ ἁπλῶς ἀδύνατον καὶ πάντη ἐστὶν ἀδύνατον ὅτε
αὐτοῦ τὸ κείμενον δυνατόν ἐστιν :· +

διωρισμένων δὲ τούτων, ὑπαρχέτω τὸ α παντὶ τῷ β.

Ἐπειδὴ καὶ προδιωμολόγηται μένος περὶ τῆς ἀκολουθίας τοῦ συμπεράσματος
παρὰ ταῖς προτάσεσιν ἃ μέλλει προσχρῆσθαι, ἐπάνεισιν ἐπὶ τὰ προκείμε-
να, λέγει περὶ τῶν συζυγιῶν τῶν μικτῶν ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης ἐν πρώ-
τῳ σχήματι. τῆς μείζονος οὔσης ὑπαρχούσης, τῆς δὲ ἐλάττονος οὔσης ἐνδεχο-
μένης. ἡ δὲ δεῖξις αὐτῷ τοῦ συλλογιστικὰς εἶναι τὰς τοιαύτας συζυγίας, ἐν αἷς
ἡ μείζων ἐστὶν ὑπάρχουσα. διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς γίνεται. διό
ἐπεὶ μὴ εἶναι τελείους τοὺς τοιούτους ἐξ ὧν γινομένους συλλογισμούς, τελεί-
ους λαμβάνει δὲ τὸ μὲν α τῷ β παντὶ ὑπάρχειν. τὸ δὲ β τῷ γ ἐνδέχεσθαι παντί,
καί φησι τὸ α τῷ γ παντὶ ἐνδέχεσθαι. εἰ γὰρ μὴ τοῦτο, τὸ ἀντικείμενον αὐτῷ καὶ
δὲ τῷ ἐνδέχεσθαι παντί, τὸ οὐ μὴν ἐνδέχεσθαι παντί. ὅ τινι ἐστὶ τῷ ἐξ ἀνάγκης τινὶ μὴ
ὑπάρχειν. κείσθω δὴ τοῦτο, καὶ μεταλαμβάνεται τῷ β γ τῷ ἐνδεχομένῳ καθόλου καταφατικῷ
ἡ τῆς ὑπαρχούσης καθόλου καταφατικῆς, ὃ ψεῦδος μέν ἐστιν, οὐ μὴν ἀδύνατον.
τὸ κεῖσθαι τὸ β τῷ γ ἐνδέχεσθαι παντί. τὸ δὲ ἐνδεχόμενον ὑπάρχειν τινὶ μὴ
ἀδύνατον εἶναι καὶ ὑπάρχειν λαβεῖν. εἰ δὴ τὸ μὲν τὸ α τῷ γ ἐξ ἀνάγκης τινὶ οὐχ ὑπάρχει·



καὶ τὸ β τῷ γ παντὶ ὑπάρχειν, συναχθήσεται διὰ τοῦ πρώτου σχήματος τὸ α μὴ ἐνδέχεσθαι παντὶ
ὑπάρχειν τῷ β· ὅ ἀδύνατον· ἐκεῖνο γὰρ αὐτῷ παντὶ ὑπάρχειν ἐτέθη· ἐδόθη τὸ μὲν
α μὴ ἐνδέχεσθαι τῷ γ, ἐνδεχόμενον· λέγω γὰρ τὸ, παντί· τοῦτο γὰρ τὸ ἀντικείμενον
τῷ ἐνδέχεσθαι παντί. τὸ δὲ α οὐ παντὶ τῷ β ἐνδέχεται ἅπαν, ὡς εἴρηται τὸ οὐ παντὶ
ὑπάρχειν τοῦτο γὰρ ἐνδέχεται συναγόμενον· ἐν τρίτῳ σχήματι ἐν ταῖς μίξεσι
ταῖς ἐξ ἀναγκαίας καὶ ὑπαρχούσης· ὅταν ἡ μὲν ἐλάττων ᾖ καθόλου κατα-
φατικὴ ὑπάρχουσα· ἡ δὲ μείζων, ἀποφατικὴ ἀναγκαία ἐπὶ μέρους, ἐπὶ μέρους
γὰρ ἀποφατικὸν ὑπάρχον τὸ συμπέρασμα· ἀλλὰ καὶ τὸ, ἀλλ' ὑποκείσθω παντὶ ἐνδέχεσθαι
ὑπάρχειν ἅπαν, ἀντὶ τοῦ ὑποκείσθω παντὶ ὑπάρχειν· ὑπάρχουσα γὰρ ἡ
καθόλου καταφατικὴ ἡ α β· ἐξ οὗ δηλονότι καὶ ἐπὶ τοῦ συμπεράσματος τὸ οὐ παντὶ
τῷ β ἐνδέχεσθαι ἅπαν· ὡς εἴρηται τὸ οὐ παντὶ ὑπάρχειν τὸ α τῷ β· οὕτως δὴ γίνεται
τὸ συναγόμενον, ἀδύνατον· εἰ καὶ μὴ οὕτω τὸ α παντὶ τῷ β ὑπάρχειν, συναι-
ρεῖ τὸ τινὶ μὴ ὑπάρχειν· ἀδύνατον γὰρ τὸ παντὶ ὑπάρχον τινὶ μὴ ὑπάρχειν· οὐ
καὶ τοῦτο ἀδύνατον, ὃ αὐτὸς ἐν ἀρχῇ διὰ τῶν λέξεων λαμβάνειν· οὐ γὰρ ἀδύνατον
κειμένου τοῦ τὸ α τῷ β ἐνδέχεσθαι παντί, ὅ ἐστι, καὶ τὸ ἐνδέχεσθαι μὴ παντί·
ὁμοίως αὐτὸς ἀρτίως εἰρημένῃ· ἐπεὶ τὸ αὐτὸ οἷόν τε καὶ παντὶ ἐνδέχεσθαι καὶ μη-
δενί· ἀλλ' ὡς εἴπομεν τῷ ἐνδέχεσθαι ἐπαμφοτέρων ἀντὶ τοῦ ὑπάρχοντος
ἐχρήσατο· ἐπειδὴ καὶ τὸ τοιοῦτον κατηγορεῖται· ἀδύνατον δὲ τὸ συναγόμενον
ἑτέρων ἢ δεῖξαι ... τῆς προκειμένης προτάσεως ... ἐπὶ τὸ ὑποτεθὲν αὐτὸ
κείμενον τῷ συμπεράσματι· ἡ τῆς μείζονος ληφθείσης ψευδοῦς μὲν οὐ μὴν ἀδυ-
νάτου, τοῖς δὲ δεικνυμένοις προσχρῆται· ἢ φησὶ τὸ ἀδύνατον ἠκολουθηκέναι
μὴ τῷ ψευδεῖ· αὐτὴ γὰρ ἦν ψευδὴς μέν, δυνατὴ δέ, δυνατῷ δὲ τὸ ἀκολουθοῦν,
δυνατόν· ἀλλ' οὐκ ἀδύνατον ὡς ἐδείχθη· τῇ ἑτέρᾳ ἄρα τῇ ὑποθέσει, ἀδύνατος
ἄρα ἐκείνη· ἐπεὶ δὲ τῶν κειμένων ἀδύνατον εἶναι· οὐκ ἔστι δὲ ἡ ἑτέρα ἀδύ-
νατος· τὸ ἀντικείμενον ἄρα τῇ ὑποθέσει ἀληθές· ἔστι δὲ τοῦτο, τὸ α τῷ γ ἐνδέχεσθαι
παντί· τῷ γὰρ οὐ μὴν ἐνδέχεσθαι παντί, ἀντιφατικῶς ἀντίκειται· τὸ ἐνδέχεσθαι
παντί:· ἔστι χωρὶς δὲ καὶ διὰ τοῦ πρώτου σχήματος δεῖξαι τὸ ἀδύνατον· θέντα τὸ γ
λαβεῖν καὶ δεικνυμένου τοῦ ... ὅτι ἀδύνατον τὸ ὑπο... τῷ β ὑπάρχειν·
τεθεῖσα ἐπὶ τῆς κειμένης προτάσεως τῆς τὸ α τῷ β παντὶ ὑπάρχειν· τὸ β
τῷ γ παντὶ ἐνδέχεσθαι· τὸ α οὐ μὴν ἐνδέχεσθαι παντὶ τῷ γ· τοῦτο γὰρ ὑποτεθέν, τοῦ
τοῦ συμπεράσματος



ὅτι οὖν τοῦτο ἀδύνατόν ἐστιν, φησὶ καὶ διὰ τοῦ πρώτου σχήματος δεῖξαι· νῦν γὰρ ἐδείχθη
διὰ τοῦ τρίτου· δείκνυσι δὲ ἢ τοῦτο λαμβάνων ἀμφοτέρας τὰς προτάσεις ἅμα πάλιν.
τὴν μὲν ὑπάρχουσαν· λαμβάνει γὰρ τὸ μὲν α τῷ β ἐνδέχεσθαι παντί, ἣν δὲ ὑπάρ-
χουσαν αὐτὴν καθόλου καταφατικήν· τὸ δὲ β παντὶ τῷ γ ὑπάρχειν· ὡς δὲ ἐνδε-
χόμενον παντί· οὕτως δὴ ληφθεισῶν τῶν προτάσεων, οὐδὲν μὲν ἀδύνατον ἔσται
κείμενον· οὔτε γὰρ τὸ ὑπάρχον ἐνδέχεσθαι ὑπάρχειν ἀδύνατον, οὔτε γὰρ τὸ ἐν-
δεχόμενον, ὑπάρχειν· τὸ μέντοι συμπέρασμα ἀδύνατον τὸ ὑποτεθὲν ἀκολουθεῖ
τοῖς κειμένοις ὅπερ ἔξωθεν [illegible], τὸ τὸ α μὴ ἐνδέχεσθαι παντὶ τῷ γ· συν-
άγεται γὰρ αὕτη ἡ κειμένη συζυγία οὖσα ἐκ καθόλου καταφατικῆς ἐνδεχομένης
τῆς μείζονος, καὶ καθόλου καταφατικῆς ὑπαρχούσης τῆς ἐλάττονος, καὶ καθό-
λου καταφατικὸν ἐνδεχόμενον συμπέρασμα· ὡς ἐδείχθη πρὸ ὀλίγου· τῆς γὰρ μείζονος
οὔσης ἐνδεχομένης, ὑπαρχούσης δὲ τῆς ἐλάττονος, ἐνδεχόμενον ἐδείχθη
γινόμενον συμπέρασμα· ἀδύνατον δέ, ὃ ἐνδέχεται παντί, τοῦτο μὴ ἐνδέχε-
σθαι παντί, ἀντίφασις γάρ· τὸ ἄρα ἀντικείμενον τοῦ ὑποτεθέντος ἔσται συμπέρασμα·
ὅ ἐστι τὸ ἐνδέχεσθαι τὸ α παντὶ τῷ γ· μετέλαβε δὲ τὴν μείζονα ὑπάρχουσαν
οὖσαν, εἰς τὴν ἐνδεχομένην, οὐχ ὡς μὴ γινομένου τοῦ συμπεράσματος ἀδυνά-
του, εἰ καὶ ὑπάρχουσαι ἦσαν ἄμφω· παντὶ μὲν γάρ, ὑπάρχειν συνάγεται τὸ α τῷ γ.
ἀμφοτέρων οὐσῶν ὑπαρχουσῶν, οὐδὲ τοῦτο ἀληθὲς ἀδύνατον ἐδείκνυτο τὸ
ὑποτεθὲν συμπέρασμα· τὸ τὸ α μὴ ἐνδέχεσθαι παντὶ τῷ γ· ἀλλὰ βουληθεὶς
ἀντίφασιν δεῖξαι ποιοῦν τὸ ὑποκείμενον τῷ συναγομένῳ· ὅπερ πρόδηλον
ἐστὶ καὶ ἀναμφιλέκτως ἀδύνατον· ἔτι τε τοῦτό ἐστι καὶ τὸ ὀφειλόμενον δειχθῆναι,
τὴν τοῦ ὑποτεθέντος ὡς ἀδυνάτου ὑπόθεσιν· τὸ γὰρ ἐνδέχεσθαι παντί, τῷ
μὴ ἐνδέχεσθαι παντὶ ἀντιφατικῶς ἀντίκειται· συνάγεται δὲ τὸ ἐνδέχεσθαι
παντί, τῆς μείζονος τῆς αβ· ἐνδεχομένης καταφατικῆς τεθείσης· διὰ
δὲ τὸ ἐνδέχεσθαι καὶ χρῆσθαι πάλιν ἐπὶ τῆς αβ προτάσεως ἀντὶ τοῦ ὑπάρ-
χειν· καὶ ἐπὶ τοῦ συμπεράσματος ὡς καὶ πρὸ ὀλίγου· οὐ μὴν ἡ τοιαύτη δεῖξις
κατὰ τὴν εἰς ἀδύνατον ἀπαγωγὴν γέγονεν· οὐ γὰρ τῷ ὑποτεθέντι ὅλως ὑποκεί-
μενον· τῷ δειχθῆναι προκειμένῳ προσληφθεῖσα πρότασις τῆς τῶν κειμένων καὶ
συνήγαγεν ἀδύνατον· οὔτε ἦν αἱρέσει ἀναιρούμενον τὸ ὑποτεθέν, καὶ κατασκε-
υάζεται τὸ ἀντικείμενον αὐτοῦ· ἀλλὰ δύο προτάσεις ληφθεῖσαι, ἡ μὲν μία

ἀληθὴς ἡ εἰλημμένη. ἡ δὲ μεταληφθεῖσα εἰς ψεῦδος μὲν, οὐ μὴν ἀδύνατον, οὐκ ἐπὶ τοῦ
ταῖς τῆς προτάσεως· οὐ μὴν ἔτ' ἀδύνατον τοῦτο, διὰ τὸ τὸ αὐτὸ κείμενον τοῦ ὑπο-
τεθέντος εἶναι τὸ ἀδύνατον γὰρ τοῦτο· ὥστε ἄλλο τι καὶ τῶν ληφθέντων συνάγεται.
τὸ μὴ πάντας γίνεσθαι αἴτιοι οὕτω λαμβανομένοις· τὸ ἀδύνατον, παρὰ τὴν ὑ-
πόθεσιν· ὡς ἐν ἄλλοις ἐζητήσαμεν ἐπὶ πλέον:· Δεῖ δὲ λαμβάνειν τὸ παντὶ
ὑπάρχειν μὴ κατὰ χρόνον ὁρίσαντας οἷον νῦν ἢ ἐν τῷδε τῷ χρόνῳ.

Δεῖ ἐν τῇ προκειμένῃ μίξει τὸ παντὶ ὑπάρχειν τοῦ πρώτου ἄκρου τῷ μέσῳ λαμ-
βάνειν, μὴ κατὰ χρόνον ὡρισμένον ὑπάρχον· τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι·
ἐπεὶ τῶν ὑπαρχουσῶν προτάσεων καθόλου, κατὰ χρόνον ὁρίζονται ὅσαι μὲν
ἀδύνατον λαμβάνεσθαι ὑπάρχουσαι καθόλου· ἀλλὰ πρὸς καιρόν· ὡς εἰ τὸ
ζῷον παντὶ κινουμένῳ ὑπάρχειν τεθείη· ἢ τὸν ἄνθρωπον παντὶ κινουμένῳ. τὸ δ' αἴτιον·
ὅτι ἐπὶ πλέον ὑπάρχει ὁ μέσος αὐταῖς ταῖς ὑπαρχούσαις· ἐν τῷ
δύνασθαι ἢ ἀλλοιοῦσθαι ὁ κατηγορούμενος αὐτοῦ καθόλου, μὴ δύναται ὑπάρ-
χειν, πρὸς χρόνον ὁρίζεται ὑπάρχουσαν· ὅταν γὰρ οὐ ἐνδέχεται ὑπάρχειν αὐ-
τὸν ἄλλῳ οὔτε ᾗ μὴ ὑπὸ τὸν μείζονα τῇ κατηγορουμένῳ αὐτοῦ ληφθῇ ὑπάρχειν,
οὐκ ἀδύνατον ἡ καθόλου ὑπάρχουσα ἀληθὴς εἶναι, εἰ ἔλαττον ἢ μείζων πρότασις.
εἰ γὰρ τὸ ζῷον ὑποτεθῶμεν παντὶ κινουμένῳ· τῷ κινουμένῳ δύνασθαι καὶ
μὴ ζῴοις ὑπάρχειν, ὅταν ὑπάρχῃ καὶ ἀνάγκῃ τινί, οὐκ ἔσται τότε ἀληθὴς ὑπάρ-
χουσα καθόλου ἡ τὸ ζῷον παντὶ κινουμένῳ ὑπάρχειν λέγουσα· γίνεται οὖν
πρὸς χρόνον ὡρισμένον ὑπάρχουσα· ἔστι γὰρ μηδενὶ ἄλλῳ ὑπάρχειν τὸ κι-
νεῖσθαι, δυνατὸν ἔσται τὸ ζῷον παντὶ κινουμένῳ ὑπάρχειν ὑποτίθεσθαι.
ἀλλ' ἐπὶ μὲν αὐτῆς συμπλοκῆς τοιαύτη πρότασις ἡ μείζων κεῖσθαι· ἀδύνατον ἐκείνην
εἶναι συλλογιστικήν· ἐπειδὴ πρὸς δὲ τὴν ἐλάττονα καὶ τὸ φανερὸν εἶναι ἡ ἐνδεχο-
μένη, ἢ ὑπάρχουσα ἢ ἀναγκαία. καὶ ἐν τούτοις οἷς οὐχ οἷόν τε τὸν μείζονα
ἄκρον ὑπάρχειν ὁ μέσος ἐνδέχεται ὑπάρχειν ληφθῇ. οὐκ ἔσται συλλογιστική
ἡ συζυγία. τῷ ὅτι ὑπάρχειν τούτῳ μέσος ᾧ ἐνδέχεται ὑπάρχειν ἀληπτέον,
καὶ κατηγορεῖσθαι καθόλου ὑπάρχουσαν τὴν μείζονα. ἀληθεῖς μὲν οὖν ἀμφότεραι
ἅμα ἐνδέχεται εἶναι, ἥ τε ὑπάρχουσα καὶ ἡ ἐνδεχομένη· οὐ μὴν ἡ συλλο-
γιστικὴ αὐτῶν ἡ συμπλοκή· οὐδὲ γὰρ ἄλλως δύναται συλλογιστικὴ ἡ καὶ
τοιούτων προτάσεων συμπλοκὴ εἶναι, ἢ διὰ μόνης τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.




Cuius pd ~~non~~ sit determinate sm tps

ἂν ἢ μεταλαμβάνηται τὸ ἐνδεχόμενον εἰς ὑπάρχειν. οὐκέτι δὲ οὐδὲ ἀληθὲς
ἀμφότερον εἶναι, ἀλλ᾽ ὁ μέσος τῷ ἐσχάτῳ τῷ ἐπὶ πλέον τοῦ μείζονος ἄκρου
παντὶ ληφθῇ. οὐ γὰρ ἔτι οὔτε τὴν μείζονα, καθόλου καταφατικὴν ὑπάρ-
χουσαν εἶναι, ἀλλ᾽ ἐπὶ μέρους γίνεσθαι. ὡς τοῦ χρήσιμος πρὸς συλλογισμὸν
ἡ τοιαύτη καθόλου ὑπάρχουσα. ἧς ἡ μεταβολὴ εἰς τὴν ἐνδεχομένην λαμβανομένη
ὁρίζει τὸ ἀληθές. ἕως γὰρ ἂν ἡ ἐνδεχομένη μένῃ. μέχρι τότε αὕτη ἀληθής.
γινομένης δὲ ἐκείνης ὑπαρχούσης, οὐκέτι αὕτη ἀληθής. ὅταν γὰρ τὸ κινεῖσθαι
ἐνδεχόμενον ὑπάρχῃ λίθῳ. καὶ ὑπάρχῃ, τότε οὐκέτι τὸ ζῷον παντὶ κινου-
μένῳ ὑπάρχειν δύναται λαμβάνεσθαι. ἀλλ᾽ ἀνάγκη καὶ ἀπόφασιν ἀληθῆ τότε.
ἡ, τὸ ζῷον οὐ παντὶ κινουμένῳ. ἥτις ἐστὶν ἐπὶ μέρους ἀποφατική. διὸ οὔτε ὑπάρ-
χειν δύναται ληφθῆναι τὸ ζῷον τῷ λίθῳ, οὔτε ἐνδέχεσθαι ὑπάρχειν. ἐξ ἀνάγκης
γὰρ αὐτῷ οὐδενὶ ὑπάρχειν. οὐ γὰρ οἷόν τε ἐπὶ μέρους οὔσης τῆς μείζονος
προτάσεως, ἐν πρώτῳ σχήματι συλλογισμὸν γίνεσθαι. ὃ γίνεται περὶ αὐτὴν
τότε. δέον φησὶ τῶν ὑπαρχουσῶν τοιαύτην λαμβάνεσθαι ἧς οὐ χωρίζεται
τὸ ἀληθὲς ὑπὸ τῆς προσκειμένης αὐτῇ ἐνδεχομένης. ἀλλὰ τοιαύτην εἶναι
καθόλου καταφατικὴν ὑπάρχουσαν, ἧς τῆς ἐνδεχομένης καθόλου,
μεταλαμβανομένης εἰς τὴν ὑπάρχουσαν. οὐδὲν γὰρ διαφέρει προσθεῖναι
τὸν διορισμὸν τῇ ὑπαρχούσῃ ὡς καὶ τὸν χρόνον ὁρίζειν αὐτῷ, ἢ ἐνδεχο-
μένῳ τῷ τοιαύτῳ αὐτῆς ὑποτάξαι, ἥτις ἂν μεταβάλῃ αὐτὴν εἰς τὸ ὑπάρχον μεταβαλ-
λούσῃ. οὐ γὰρ τῷ ἀεὶ ὑπαρχούσῃ λέγει. αὕτη γὰρ ἀναγκαία ἂν εἴη. ἀλλὰ
τῷ μὲν ἐνδεχομένῳ ὑπάρχουσαν καθόλου καταφατικὴν ἀληθῆ, καὶ ὅτε
ἡ ἐνδεχομένη καταφατικὴ καθόλου εἰλημμένη μετὰ ταύτης εἰς τὴν ὑπάρχου-
σαν μεταβάλληται. οὕτως γὰρ καὶ ἡ δι᾽ ἀδυνάτου δεῖξις σώζεται ἐπὶ τῆς συζυγίας
ᾗ χρώμενος δεικνύει τὸν αὐτὸν συλλογισμόν. λέγοι δ᾽ ἂν ὅτι μὴ δεῖν τὴν ὑπάρ-
χουσαν καθόλου τοιαύτην λαμβάνεσθαι, ὡς δύνασθαι αὐτῆς καὶ τὸν χρόνον
τὸ ἀληθὲς ὁρίζεσθαι ὑπὸ τῆς προσκειμένης ἐνδεχομένης προτάσεως.
ἢ μᾶλλον ὅτι μὴ δεῖν τῷ προσκειμένῳ αὐτῇ ἐνδεχομένῳ τοιαύτῳ εἶναι:
ὡς ὁρίζειν τῆς ὑπαρχούσης τῆς πρὸ αὐτῆς εἰλημμένης τὸ ἀληθὲς καὶ τὸν χρό-
ὁ δὲ λέγων μὴ δεῖν καὶ τὸν χρόνον ὡρίσθαι τῆς ὑπαρχούσης τὸ ἀληθές, οὐ παρὰ
τὴν ὕλην δόξαι ἂν ποιεῖν τὸν συλλογισμὸν ἢ ἀσυλλόγιστον τῆς συμπλοκῆς,

ὡς αὐτὸς ἐξηγεῖται, ἀλλὰ παρὰ τὸ σχῆμα ἴσως μᾶλλον. καὶ τὸ κατὰ χρόνον γὰρ ὁρισθ-
σαι, μετὰ τὸ πλῆθος τὰς ποιὰς ἐν τῷ πρώτῳ σχήματι τὴν μείζονα, ἀποφατικὴν τῆς
μέρους τοῦ τοῦ ἐνδεχομένου, ἀσυλλόγιστος ἡ συμπλοκή. τοῦ γὰρ ἀσυλλογίστου
γίνεται τὴν συζυγίαν ἐπεὶ ἡ μείζων πρότασις οὖσα καθόλου καταφατική,
ὑπάρχουσα ὡρισμένη κατὰ χρόνον, σημεῖον φέρει τὸ τοιαύτης οὔσης τῆς συ-
ζυγίας ἐν πρώτῳ σχήματι, ὡς ἀναγκαίως καθόλου καταφατικῶν ὑπαρχούσης
ὡρισμένῳ ἐν χρόνῳ ὑπαρχούσης τῆς ἐλάττονος προτάσεως οὔσης ἐνδεχομένης,
τὸ τοῦ παντὶ ἢ μηδενὶ ἐξ ἀνάγκης ὅρους λαμβάνεσθαι ὁμοίως ἀληθῶν
οὐσῶν ἀμφοτέρων. δείκνυσι γὰρ ὅτι ἀσυλλόγιστοι αἱ οὕτως ἔχουσαι τῇ τῶν
ὅρων παραθέσει, διὰ δὲ ἑξῆς ἢ μηδενὶ ἐξ ἀνάγκης ἢ παντὶ ἐξ ἀνάγκης. τοῦ μὲν
μηδενί, ἄνθρωπος παντὶ κινουμένῳ. τὸ κινεῖσθαι ἐνδέχεσθαι ἵππῳ παντί.
ἄνθρωπος ἐξ ἀνάγκης μηδενὶ ἵππῳ. τὸ γὰρ κινεῖσθαι τὸ ἐπὶ πλέον ἐστὶ τοῦ ἀνθρώπου.
ἂν ληφθῇ ἐνδέχεσθαι παντὶ ἵππῳ, ὁρίζων κατὰ χρόνον τὴν ὑπάρχουσαν.
ὅτε γὰρ τὸ κινεῖσθαι ὑπάρχει παντὶ ἵππῳ, τότε οὐχ οἷόν τέ ἐστι παντὶ κινου-
μένῳ τὸν ἄνθρωπον ὑπάρχειν. τοῦ δὲ παντί, ζῷον παντὶ κινουμένῳ. τὸ κινεῖσθαι
παντὶ ἐνδέχεται ἀνθρώπῳ. ἡ ζῷον παντὶ ἐξ ἀνάγκης ἀνθρώπῳ. ἔστι δὲ τὸ δεικνύμενον
τὸ ποιοῦν ἀσυλλόγιστον τὴν συζυγίαν, οὐ τὸ παντὶ ἐξ ἀνάγκης δείκνυσθαι τι
ἐν αὐτῇ προηγουμένως. ἀληθὲς γὰρ ἐνδέχεσθαι παντί, καὶ ἐπὶ τῆς ἐξ ἀνάγκης
παντί. ἀνάγκη μὴ εἶναι τοῦ καὶ κατὰ τὸν διορισμὸν ἐνδεχομένου. ἀλλὰ τὸ τοῦ ἐξ ἀ-
νάγκης μηδενὶ ὅρους εὑρίσκεσθαι ἐν αὐτῇ. ὃ γίνεται τῷ ὑπερτέρον εἶναι τοῦ μέσου
τὸν κατηγορούμενον, τὴν πρὸς τὸ ἐλάττω ἐνδεχομένων τοιαύτην λαμβά-
νεσθαι ὡς καὶ κατὰ χρόνον αὐτῆς τὸ ἀληθὲς ὁρίζειν. μὴ γὰρ ὑπερτέρον τοῦ
μέσου μηδὲ τοιαύτης λαμβανομένης τῆς ἐνδεχομένης, τοῦ μηδενὶ οὐχ οἷόν τε
λαβεῖν ὅρους. οἷον τὸ περιπατεῖν παντὶ ὑπάρχει τῷ γραμματικῷ. τὸ περι-
πατεῖν παντὶ ἀνθρώπῳ ἐνδέχεται. οὐ γὰρ γίνεται κατὰ χρόνον ὁριζομένη ἡ,
τὸ περιπατεῖν παντὶ γραμματικῷ ἡ θέσις. οὐ γὰρ ἀναιρεῖται ὑπαρχούσης τῆς σω-
ζομένης αὐτῇ καθόλου καταφατικῆς ἐνδεχομένης. ἀληθὲς λαμβά-
νοντο. καὶ ἐπὶ τῶν ὅρων δὲ ἐφ' ὧν τὸ ἐξ ἀνάγκης παντὶ συνάγεται, οὐχ ὅτι ὑπερ-
τείνει ὁ μείζων τὸν μείζονα. οὐδὲ διὰ τοῦτο τὸ ἐξ ἀνάγκης συνάγεται. οὐ γὰρ ἐλή-
φθη τοιαύτη ἡ ἐνδεχομένη, ὡς ὁρίζειν κατὰ χρόνον τὸ ἀληθὲς τῆς ὑπαρχούσης

ὡρισμένη






†

γὰρ τῷ ζῴῳ ἐλήφθη, ὡς τὸ ἐπὶ μέρους ποιοῦν τὴν μείζονα· καὶ ὁρίζειν τῷ
χρόνον αὐτήν. ἀλλ᾽ ὅτι ἐλήφθη ὁ ἔσχατος ὅρος ὁ περιεχόμενος ὑπὸ τοῦ πρώτου.
τὸ ἐν ἀνθρώπῳ οὕτως ὑπάρχει ὁ αὐτὸς πρὸς τὸ ζῷον· διὰ τῆς γὰρ πάλιν λαμβα-
νομένης τῆς ἐνδεχομένης, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα. ἀλλ᾽ οὐκ ἐπὶ
τοῦ διορισμοῦ ἐνδεχόμενον. εἰ μέντοι μὴ τὴν κατὰ χρόνον ὁρίζοιτο ὑπὸ τῆς
ἐνδεχομένης ἡ ὑπάρχουσα, μήτε διὰ τοῦτο ὁ ἔσχατος ὅρος λαμβάνοιτο ὡς




εἶναι ὑπὸ τὸν πρῶτον, ἐνδεχόμενον οὐδὲ γίνεσθαι τὸ συμπέρασμα. ἔστω γὰρ
τὸ κινεῖσθαι παντὶ ζῴῳ ὑπάρχον. ζῷον ἐνδέχεσθαι παντὶ κινουμένῳ.
τὸ κινεῖσθαι ἐνδέχεται παντὶ κινουμένῳ. ἐπεὶ καὶ πλέον δὲ καὶ ἐπὶ τοῖς ἄλ-
λοις τῶν ὅρων παραθέσεσι δείξεις ἐπ᾽ ἀληθῶν τῆς προτάσεως· καὶ τοῦ παντὶ
ἐξ ἀνάγκης καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης τὸν πρῶτον ὅρον τῷ ἐσχάτῳ ὑπάρχειν,
μεταλλοῦντος ὡς ἀσυλλόγιστον εἶναι τὴν συζυγίαν, ἐπὶ τῶν κατὰ ἀνάγκην ὡς ἤδη ἐν ἄλλοις εἴρη-
ται μοι:: *φανερὸν οὖν ὅτι τὸ καθόλου ληπτέον ἁπλῶς, καὶ οὐ χρόνῳ διορί-*
Τὸ καθόλου καὶ καθαρῶς ὑπάρχον περὶ γὰρ τοῦ τοῦτον λόγον πε- *ζοντας·*
ποίηται. ἐὰν δ᾽ ἔχῃ γὰρ μὴ ἀληθῆ ἁπλῶς λαμβανομένη ἀληθής, ἀλλ᾽ ὁ-
ριζομένη χρόνῳ, ἀσυλλόγιστον τὴν συζυγίαν. τῷ καὶ μηδενὶ ἐξ ἀνάγκης καὶ
παντὶ ἐξ ἀνάγκης δύνασθαι τινὰ συναχθῆναι ἐπ᾽ αὐτῆς. ἀλλ᾽ ἐπειδὴ τὴν
ἄλλ(ως) ὑποτείνων πρὸς τῷ δύνασθαι τοῦ δεῖξαι καὶ τῷ τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρ-
χον μετάληψιν. ὅτι οὐδὲ τὸ συμπέρασμα ἀδύνατον γίνεται. ἀλλὰ καὶ αὐτό,
ψεῦδος μέν, οὐ μὴν ἀδύνατον. ὡς τὸ διὰ τοῦτο καὶ τὸ συμπέρασμα, παρὰ
τὴν μετάληψιν δὴ ἡ τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν, ἀλλ᾽ οὐ παρὰ
τὴν ὑπόθεσιν τὴν ἐξ ἀνάγκης, τινὶ τὸ α τῷ γ λέγουσαν μὴ ὑπάρχειν. τὸ δὴ
λεγόμενον, ἢν τοιοῦτο. ὡς μὲν καὶ μὴ ἡ πρότασις, τὸ α παντὶ τῷ β παντὶ ὑπάρ-
χειν· τὸ δὲ ἐν τῷ β τῷ σχήματι. διοῦν εἰς ἀδύνατον ἀπαγωγή, τὸ α τινὶ
τῷ β μὴ ὑπάρχειν. ὅτι δὴ τοῦτο ψεῦδος μὲν οὐ μὴν ἀδύνατον, οὕτως ἐδείκνυτο.
εἰ ἡ ὑπάρχουσα πρότασις ἀλλὰ τῆς ἀναγκαίας, τὸ α τῷ β παντὶ ὑπάρχει,
τὸ ἐνδέχεσθαι τὸ α τῷ β τινὶ μὴ ὑπάρχειν. ἀλλ᾽ ἡ ἀληθὲς τὸ ἐνδεχόμενον εἰς
τὸ ὑπάρχον μεταλαμβάνειν, ψεῦδος μὲν οὐ μὴν ἀδύνατον ἐστι τὸ α τῷ β
τινὶ μὴ ὑπάρχειν. ἀλλ᾽ ὅτε μὲν ὑπάρχον παντί, λαμβάνεται τινὶ μὴ ὑπάρχειν,
χ(ρήσιμον) ψεῦδος. ὅτι δὲ ἐνδεχόμενον μὴ ὑπάρχειν οὐκ ἀδύνατον πρὸς ὃ λέγομεν.

ὅτι ἡ παντὶ τὸ ἐνδεχόμενον ἐπὶ μέρους ἀποφατικόν· μεταλαμβανόντων δὲ τὸ ἐπὶ
μέρους ἀποφατικὸν ὑπάρχον, οὐκ ἀδύνατον. εἰ γὰρ τὸ παντὶ ὑπάρχον ἐνδέ-
χεσθαί τινι μὴ ὑπάρχειν αὐτῷ, ἀληθές· ἀλλ' ὅτι τινὶ παντὶ ὑπάρχει, τότε ἀδύνατος
ἡ μετάληψις. καὶ μένοντος γὰρ τοῦ τὸ α τῷ β παντὶ ὑπάρχειν, ἀδύνατος ἡ με-
τάληψις. διὸ δὲ αὐτὸ μὲν ἂν τὸ τοιοῦτον. ἔστι δὲ διὰ τοῦ συλλογισμοῦ· καὶ τοῦ γὰρ
τοιοῦτον εἶναι, ὡς μὴ κατὰ χρόνον ὁρίζεσθαι τὸ τοιοῦτον. μηδὲ ἐν τῇ τινὶ ἐνδε-
χομένῃ εἰς τὴν ὑπάρχουσαν μεταληφθῆναι, ἀναιρεῖσθαι. ἀδύνατον δέ ἐστι τὸ
ὑπάρχειν παντὶ μένον μεταληφθέντος τοῦ ἐνδεχομένου ἐπὶ μέρους ἀποφατικοῦ
εἰς τὸ ὑπάρχον πρὸς τοῦτο ἔλεγε τὸ πάλιν· ὅτι καὶ ἡ τοῦ τὸ β τῷ γ ἐνδέχεσθαι
παντὶ μετάληψις εἰς τὸ παντὶ ὑπάρχειν τὸ β τῷ γ· μηδενὶ ὑπάρχοντος
ἀδύνατος. εἰ γὰρ ὅτε τὸ β μηδενὶ ὑπάρχει τῷ γ, τότε αὐτὸ ἐνδέχεται ὑπάρ-
χειν· ἐπειδὴ ὅτ' ὑπάρχει αὐτῷ οὐκ ἔστιν ἐν τῇ προτάσει ἐνδεχόμενον. ὅτε
δὲ ἐνδέχεται ὑπάρχειν αὐτῷ παντί, τότε μεταληφθῆναι εἰς τὴν ὑπάρχουσαν·
ὅτε μηδενὶ ὑπάρχει αὐτῷ, τότε ἂν ἀναλαμβανόμενον παντὶ ὑπάρχειν αὐτῷ,
ὃ ἦν ἀδύνατον, ἀδύνατος ἂν εἴη καὶ ἡ τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον μετάληψις.
λύσιν δὲ αὐτοῦ τούτῳ, ὅτι καὶ τῶν ἐνδεχομένων εἰς τὴν ὑπάρχουσαν μεταλαμβα-
νομένων, οὐ τηροῦντες ἐκείνην ἐξ οὔσης ὑπαρχούσης ἀποφατικῆς, ἐνδεχομένην τῷ
αὐτῷ, τὴν μετάληψιν αὐτῆς ποιεῖσθαι εἰς τὴν ὑπάρχουσαν. ἀδύνατος γὰρ
ἡ τοιαύτη μετάληψις. εἰ γὰρ τὸ β τῷ γ ἐνδέχεται παντί, ὃ καὶ οὐδενὶ αὐτῷ ὑ-
πάρχειν, ἅμα αὐτὸ καὶ εἰς τὸ παντὶ ὑπάρχειν μεταλαμβάνεται. τοῦτο γὰρ ἀ-
δύνατον· τὸ μηδενὶ ὑπάρχον, ὅτε μηδενὶ ὑπάρχει, παντὶ ὑπάρχειν λαμβάνειν.
ὡς γὰρ δύναται ὑπάρχον ἀληθὲς ἢ ἐνδεχόμενον γενέσθαι, οὕτως αὐτῷ
ὑποτίθεται προλαμβανομένου τὸ μέλλον αὐτῆς. οὐ δύναται δὲ μενούσης τῆς
καθόλου ἀποφατικῆς ὑπαρχούσης, ἡ ἐνδέχεται παντί, εἰς τὸ παντὶ ὑ-
πάρχειν μεταπεσεῖν ποτέ. ἀλλ' ἔστιν ἡ τοιαύτη εἰς τὸ ὑπάρχον μετάληψις
ἀναιρετικὴ τῆς αὐτῆς κειμένης ὑπαρχούσης ἀποφάσεως. οὐ γὰρ διὰ τοῦτο
ψευδὲς ἢ ὑποθετικὸς λέγεται, ὅτι καὶ ὅτε μηδενὶ ὑπάρχει, τότε ὑποτίθεται
παντὶ ὑπάρχειν. ἀλλ' ἐπεὶ τὸ μηδενὶ ὑπάρχειν, τοιοῦτόν ἐστιν ἐνδεχόμενον
μὴ ὑπάρχειν. τοῦτο γὰρ δηλωτικόν ἐστι τὸ παντί· ἐνδέχεσθαι μὴ ὑπάρχειν,
ὃ μηδενὶ ὑπάρχει· ὅτι οὐδὲ μεταπίπτοι ἂν τὸ μηδενὶ ὑπάρχειν εἰς τὸ παντὶ ὑπάρχειν.

ἢ δὴ καὶ αὐτὸ μεταπέπτωκεν ὑποτίθεται. οἷον, ὃ αὔριον ἔσται, τοῦτο σήμερον ἀδύνατον. τουτέστι σήμερον αὐτό, πεπαῦσθαι τοῦ μηδενὶ ὑπάρχειν. ὅταν προλαμβάνηται ψεῦδος γίνεται, οὐ καὶ ἀδύνατον τὸ γὰρ μηδέπω ὑπάρχειν, ἢ ἤδη ὑπάρχειν λαμβάνεται. οὐ γὰρ ἅμα καὶ ἐνδεχόμενον ἐστὶν αὐτὴν τὴν πρᾶξιν, καὶ ὑπάρχον λαμβάνεται αὐτῷ. οὕτως δὲ ἐνταῦθα, ὅτε τὸ β μηδενὶ τῷ γ ὑπάρχει, τὸ τε παντὶ ὑπάρχειν λαμβανόμενον ἐστί· καὶ ἀρχόμενον γινόμενον ἐστὶ τοῦ μὴ ὑπάρχοντος μεταλήψει εἰς τὸ ὑπάρχον, διὰ μέσου τοῦ ἐνδέχεσθαι. τὸ δὲ μεταλαμβανόμενον πῶς ἂν ἔτι τὸ φυλάσσοιτο, καὶ ὅτι μὲν ἡ μετάληψις οὐκ ἀδύνατος, δῆλον τοιαύτης δὴ τῆς ὑποθέσεως καὶ τῆς μεταλήψεως γινομένης, τὸ συναγόμενον τό, τὸ α τινὶ τῷ β μὴ ὑπάρχειν παντὶ ὑπάρχοντος ἀδύνατον· οὐ γὰρ ἐν τῇ μεταλήψει τῆς ἐνδεχομένης προτάσεως τῆς β γ εἰς τὴν ὑπάρχουσαν, εἰ τὸ α ἐκίνει τῷ β παντὶ ὑπάρχειν. οὕτως γὰρ ἂν ὅμοιον ἐγίνετο, νῦν δὲ καθ' αὑτὸ οὕτως. τὸ α τῷ β παντὶ ὑπάρχον, ὡς μὴ κατὰ χρόνον ὡρισμένον ὑπάρχειν. μηδὲ μεταπίπτειν. ὥστε τῇ μεταπτώσει καὶ διὰ τῶν μεταπτωτικῶν ὅλων τὸ ἀδύνατον πεφυκέναι ἐν τῇ τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον μεταβολῇ. ὥστε καὶ ὅταν ἀληθῶς μεταπέσῃ καὶ ὑπάρχον τὸ ἐνδεχόμενον γένηται, καὶ τότε ἔσται τὸ μὲν α τῷ β παντὶ ὑπάρχον· συναγόμενον δὲ τινὶ μὴ ὑπάρχειν. τοιοῦτο τὸ ἀδύνατον ἐστί, δηλονότι καὶ νῦν· ὅμοιον γὰρ καὶ τοῦτο, ἐπεὶ καὶ πλέον δὲ περὶ τούτων βέλτιον:·

πάλιν ἔστω στερητικὴ ἡ πρὸς τὸ α καθόλου τὸ α β.

Δείκνυσι καὶ τὴν ἐξ ὑπαρχούσης καθόλου ἀποφατικῆς τῆς μείζονος· καὶ ἐνδεχομένης καθόλου καταφατικῆς τῆς ἐλάττονος συζυγίαν ἐν πρώτῳ σχήματι, συλλογιστικὴν διὰ τῆς εἰς ἀδύνατον πάλιν ἀπαγωγῆς. εἰ γὰρ τὸ α τῷ β μηδενὶ ὑπάρχει. τὸ δὲ β τῷ γ παντὶ ἐνδέχεται. τὸ α τῷ γ ἐνδέχεται μηδενί. εἰ γὰρ μὴ τὸ ἀντικείμενον. οὐκ ἐνδέχεται μηδενὶ τὸ α τῷ γ. ὃ μεταλαμβάνεται εἰς τὸ ἐξ ἀνάγκης τινί. τοῦτο γὰρ αὐτῷ σημαίνει τό, μὴ γὰρ ἐνδέχεσθαι. ἀλλὰ καὶ τὸ β τῷ γ παντὶ ὑπαρχέτω. μεταλήφθω γὰρ πάλιν τὸ ἐνδεχόμενον, εἰς τὸ ὑπάρχον. ἐν τρίτῳ σχήματι πάλιν γίνεται. καὶ τὸ α τινὶ τῷ β ὑπάρχον. ἐν γὰρ τρίτῳ σχήματι ἐξ ἐπὶ μέρους καταφατικῆς ἀναγκαίας τῆς μείζονος· καὶ ὑπαρχούσης καθόλου καταφατικῆς τῆς ἐλάττονος, ἐπὶ μέρους καταφατικὸν ὑπάρχον εἰ δὲ χρὴ συνάγεσθαι· ἀλλ' ὑπέκειτο μηδ' ἀδύνατον

τό, τὸ α τινὶ τῷ β ὑπάρχειν· ἐπεὶ τὸ γὰρ μηδενὶ ὑπάρχειν, τὸ δὴ ἀδύνατον τοῦτο
πάλιν, οὐ παρὰ τὸ μεταλαμβάνειν ἢ μὴ τὴν καθόλου ἐνδεχομένην κα-
ταφατικὴν ἀντὶ τῆς καθόλου καταφατικῆς ὑπαρχούσης συνήχθη· τοῦτο γὰρ
ἀνοηθὲν ψεῦδος, ἀλλ' οὐ καὶ ἀδύνατον· τὸ δ' ἀδύνατον, ἀδύνατα τὰ συναχθέντα ὑπὸ μόνου.
παρὰ τὴν ὑπόθεσιν· ἀληθὲς ἄρα τὸ ἀντικείμενον αὐτῇ, τὸ οὐκ ἐνδέχεσθαι μηδενὶ
συναχθήσεται, τοῦτο δ' ἔστι, τὸ ἐνδέχεσθαι μηδενί: +

οὐ γίνεται ὁ συλλογισμός, ὅσον οὐκ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου·
ἀλλὰ τοῦ μηδενὶ ἐξ ἀνάγκης·

Λέγει τοιοῦτόν ἐστιν· οὔ φησι τὸ συμπέρασμα τὸ ἐκ τῆς συζυγίας τῆς ἐξ ἀποφατικῆς
ὑπαρχούσης καθόλου τῆς μείζονος, καὶ καταφατικῆς ἐνδεχομένης καθόλου τῆς ἐλάττονος
πρὸς τὴν ῥηθεῖσαν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τὸ ἐνδέχεσθαι μηδενὶ τὸ α τῷ γ.
τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου γίνεσθαι, ἀλλὰ τοῦ μηδενὶ τὸ α τῷ γ
ἐξ ἀνάγκης ὑπάρχειν· οὐκ ἔστι δὲ ταὐτὸ τῷ ἐξ ἀνάγκης μηδενί, τὸ μηδενὶ ἐξ ἀνάγκης
ὅ φησι συνάγεσθαι· ἄλλο γὰρ τοῦτο τοῦ μηδενὶ ἐξ ἀνάγκης· οἷον οὐδενὶ ζώῳ
τὸ περιπατεῖν ἐξ ἀνάγκης· οὐ γὰρ ταὐτὸν τοῦτο τῷ ἐξ ἀνάγκης οὐδὲν ζῷον
περιπατεῖ· τινὰ γὰρ περιπατεῖν ἐνδεχόμενα περιπατεῖ· τινὰ δὲ καὶ ἐξ ἀνάγκης
οὐ περιπατεῖ· ἐφ' ὧν πάντων, ἀληθὲς τὸ οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχειν τὸ περι-
πατεῖν· ἄξιον δὲ τοῦτο τοῦτο συνάγεσθαι· φησὶ γάρ, ὅτι κεῖται μὲν ὑποκείμενον
τὸ α τῷ γ ἐξ ἀνάγκης τινὶ ὑπάρχειν· ἐπεὶ δὲ τοῦτο μετελήφθη τὸ οὐκ ἐν-
δέχεσθαι μηδενὶ τὸ α τῷ γ· ἔστι δὲ ἀντικείμενον τῷ ἐξ ἀνάγκης τινὶ τὸ α τῷ γ.
τὸ οὐδενὶ ἐξ ἀνάγκης· ἴσον οὖν ταὐτὸν τῷ οὐκ ἐξ ἀνάγκης τινί· ὥστε διὰ τό,
τὸ ἀντικείμενον ἐν τῆς εἰς ἀδύνατον ἀπαγωγῆς συνάγεσθαι τοῦ φανέντος
ἀδυνάτου, τοῦτο ἂν εἴη συναγόμενον τὸ οὐδενὶ ἐξ ἀνάγκης· ὃ οὐκ ἔστιν ἴσον τῷ
ἐνδέχεσθαι μηδενὶ τὸ α τῷ γ· ὅτι μηδὲ τὸ ἐξ ἀνάγκης τινί, ἴσον ἐστὶ τῷ οὐκ ἐν-
δέχεσθαι μηδενί· ὡς οὖν μετελήφθη· τὸ μὲν γὰρ οὐκ ἐνδέχεσθαι μηδενί, ἀλη-
θὲς καὶ κατὰ τοῦ ἐξ ἀνάγκης τινὶ μή· ἀληθὲς γὰρ τὸ οὐκ ἐνδέχεσθαι μηδενὶ ζώῳ τὸ
περιπατεῖν, οὐχ ὅτι ἐξ ἀνάγκης τινὶ αὐτῷ ὑπάρχει, ἀλλ' ὅτι τινὶ οὐχ ὑπάρχει
ἐξ ἀνάγκης· ὅτι γὰρ τοῦτο ἀληθές, δῆλον ἐκ τοῦ μὴ εἶναι ἀληθὲς τὸ ἐνδέχεσθαι
μηδὲν ζῷον περιπατεῖν· οὐκέτι δὲ καὶ τὸ ἐξ ἀνάγκης τινὶ μή, ἀληθὲς
τὸ ἐξ ἀνάγκης τινί· ἢ τὸ οὐδενὶ ἐξ ἀνάγκης, οὕτω, πρὸς τὸ ἐνδεχομένῳ

μηδενί,

ἀναιρεῖ πάσας τὰς ἐξ ἀναγκαίας τε καὶ καταφατικῆς καὶ ἀποφατικῆς· ἅτε
ἀντιστρέφει ἡ ἐνδέχεσθαι μηδενὶ τῇ παντὶ ἐνδέχεσθαι ἢ ἐνδέχεσθαι μηδενὶ ἐξ
τούτων μὲν καταφατικῶν ἀναγκαίων ἐστὶν ἀναιρετική· οὐκέτι δὲ καὶ τῶν ἀπο-
φατικῶν· ἡ γὰρ οὐδενὶ ἐξ ἀνάγκης, δύναται εἶναι ἀληθής, οὔσης ἀληθοῦς
τῆς τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· ὡς καὶ οὐδὲν ζῷον ἐξ ἀνάγκης περιπατεῖ.
καὶ ἔστι τι ζῷον ἐξ ἀνάγκης, οὐ περιπατοῦν· ὁμοίως δὲ καὶ οὐδὲν ζῷον ἐξ ἀνά-
γκης ἵππος, ἢ λευκόν, ἢ τι τῶν τοιούτων· αὕτη δὲ ἀδήλως ἐστὶ καὶ διὰ τῆς τάξεως, ὅτι οὐ
κἂν ἐνδέχεσθαι μηδενὶ δὲ ἐπὶ τῆς συζυγίας ταύτης εἰς τὴν ἐπὶ μέρους καταφατι-
κὴν ἀναγκαίαν μεταλαμβάνειν, ἀληθὲς μὲν γάρ ἐστι καὶ ἐπὶ τῆς ἐπὶ μέρους ἀπο-
φατικῆς ἀναγκαίας, οὐδὲν ἧττον· ἀλλ' ἡ δεῖξις ἐπὶ ταύτης προχωρεῖ· τῆς,
οὕτως τῶν μεταλαμβανομένων δύναται τὴν συζυγίαν συλλογιστικὴν, ταύτης τὸ ἀντι-
κείμενον καταστήσεται, ὅπερ τὸ οὐδενὶ ἐξ ἀνάγκης· καὶ ἐπεὶ ἡ μεταληφθεῖσα
τῆς οὐ καὶ ἐνδέχεσθαι, μηδενὶ αὐτῆς, οὐκ ἔστιν ταὐτὸ καὶ τῷ αὐτῇ· ἀλλ' ἐπὶ τοιούτων
ὡς εἰ καὶ τῷ ἀρχῷ τῷ ἐνδέχεσθαι μηδενὶ μὴ προσεχρήσατο· ἀλλ' ὑπολαβεῖν οὖ-
ν αὐτὸ εἶναι τῆς προκειμένης συζυγίας τὸ, οὐδενὶ ἐξ ἀνάγκης· εἰ γὰρ μὴ τοῦτο,
τὸ ἀντικείμενον αὐτῷ τινὶ ἐξ ἀνάγκης, ἀλλ' ὑπόκειται ἐν τῷ οὕτω ἀδύνατον ε-
ἶναι· οὐκ ἄρα τοῦτο, τὸ ἀντικείμενον ἄρα αὐτῷ. ἀσαφὲς δὲ τὸ λεγόμενον
ἡ τῶν ὅρων παράθεσις ποιεῖ· δι' ὧν γὰρ τίθησιν ὅρων· οὐ τὸ οὐδενὶ ἐξ ἀνάγκης τὸ α
τῷ γ δεικνύουσιν, ἀλλὰ τὸ ἐξ ἀνάγκης οὐδενί, ὃ οὐ δύναται ἀντίφασιν ποιεῖν πρὸς
τὸ ἐξ ἀνάγκης τινί, ἀμφότεραι γάρ εἰσιν ἀναγκαῖαι καταφατικαί· δεῖ δὲ τῷ
ἀντιφατικῶς ἀντικειμένῳ τῷ ἐξ ἀνάγκης τινί, ἀποφατικὸν τὸ ἀναγκαῖον,
οἱ δὲ ὅροι οἷς παρατίθεται· κόραξ μὲν, ἐφ' οὗ τὸ α· διανοούμενον δὲ, ἐπὶ
τοῦ β· καὶ ἄνθρωπος ἐφ' οὗ τὸ γ· ἐπὶ γὰρ τούτων τῶν ὅρων, κόραξ μὲν οὐδενὶ διανοουμένῳ·
τὸ δὲ διανοούμενον παντὶ ἀνθρώπῳ ἐνδέχεται· καὶ κόραξ ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ·
ἀλλ' οὐχὶ, οὐδενὶ ἐξ ἀνάγκης, ὃ ἐβούλετο δεῖξαι ὡς ἀναγόμενον. ἀπήντησε δὲ
τοῦτο, παρὰ τὸ λαβεῖν τὴν μάζονα, οὐχ ὑπάρχουσαν ἀποφατικήν, ἀλλ' ἀνα-
γκαίαν τὴν α β· κόραξ γὰρ ἐξ ἀνάγκης οὐδενὶ διανοουμένῳ. οὐ καὶ αὐτὸς
ἐγκαταλεγόμενος πάλιν ὅροις ἄλλοις παρατίθεται· δι' ὧν, οὐκέτι τὸ ἀναγκαῖον ἀπο-
φατικὸν δεῖ γίνεσθαι τὸ συμπέρασμα· ἔστι δὲ ἃ παρατίθεται, κινούμενον
ἐφ' οὗ τὸ α· ἐπιστήμη ἐπὶ τοῦ β· ἄνθρωπος ἐπὶ τοῦ γ· τὸ μὲν γὰρ κινούμενον, οὐδενὶ

μα ἐπί τινι μὴ ὑπάρχει· ἐπεὶ μηδὲ παντὶ αὐτῷ ἐνδέχεται· ἢ τὸ μὴ ἐνδέχεσθαι ἐνδέχεται
μηδενὶ αὐτῷ· τουτέστιν οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχει αὐτῷ τὸ μὴ ἐνδέχεσθαι· ἀνάγκη ὑπάρ(χειν)·
ἀλλὰ δὲ μὴ τιθέσθω τῶν πρώτων ὅρων, μήτε ἐφ' οὗ δεύτερον παρέθετο ὑπάρχοντα
ἐξ ἀρχῆς ἀποφαίνεσθαι ἀναγκαῖον, αἰσθανόμενος εἶπε· λειπτέον δὲ βέλτιον τοὺς
ὅρους· ἀλειφθήσονται οὖν ὅροι, ὀργίζεσθαι· γελᾶν· ἄνθρωπος· τὸ ὀργίζεσθαι μηδενὶ
γελῶντι ὑπαρχέτω· τὸ γὰρ ἂν παντὶ αὐτῷ ἐνδέχεται· τὸ ὀργίζεσθαι ἐνδέχεται μη-
δενὶ αὐτῷ ὑπάρχειν· οὕτω μὴ ὑπάρχειν· ἐνδέχεσθαι δὲ ὑπάρχειν· ὑπάρχει
γὰρ πολλοῖς· ἐπεὶ μὲν ἂν τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου· ἀλλὰ τὸ μη-
δενὶ ἐξ ἀνάγκης ὑπάρχειν· ἔτι φανερώτερον ἀπὸ τὸ περιπατεῖν ληφθὲν μηδενὶ
ἠρεμοῦντι, τὸ δὲ ἠρεμεῖν ἐνδεχόμενον παντὶ ζώῳ· τὸ γὰρ περιπατεῖν οὐδενὶ
ἐξ ἀνάγκης ὑπάρχει ζώῳ· τὸ γὰρ περιπατεῖν οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχει ζώῳ· καίτοι
τισὶν ἐξ ἀνάγκης οὐχ ὑπάρχει· ὡς τὸ οὐκ ἀληθὲς τὸ ἐνδέχεσθαι μηδενὶ ὅτι μὴ
ἐπὶ παντί. Ζητητέον ἀκολούθως πῶς ἐπὶ τὸ λεγόμενον ὑπὸ αὐτοῦ· τὸ μὴ κατὰ
τὸν διορισμὸν ἐνδεχομένου γίνεσθαι τὸ συμπέρασμα· ὑποθέτω γὰρ τὸ ἀντι-
κείμενον τῷ ἐνδέχεσθαι μηδενί, ὅ ἐστιν οὐκ ἐνδέχεται μηδενί· ὁ μεταλαμβάνει
εἰς τὸ ἀναγκαίως τινί· ὡς ἴσον ἐκείνῳ δυνάμενον· αἱ δὲ ἀντιφάσεις μὲν τῷ ἐν-
δέχεσθαι μηδενὶ τὸ οὐκ ἐνδέχεται μηδενί· τούτῳ δ' ἴσον τὸ ἐξ ἀνάγκης τινὶ ἀ-
δύνατον δὲ ἐπακολουθεῖ τοῦ ἐξ ἀνάγκης τινὶ ὑποτεθέντος, δῆλον ὡς τὸ ἀντι-
κείμενον τούτῳ ἀληθές· ἴσον δὲ μὲν τούτῳ τὸ οὐκ ἐνδέχεται μηδενί, ὡς ἀντικεί-
τὸ ἐνδέχεσθαι μηδενί· πῶς οὖν οὐ γίνεται τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου
τὸ συμπέρασμα· ἢ γὰρ οὐχ ὑγιῶς μετέβαλε τὸ οὐκ ἐνδέχεται μηδενὶ εἰς τὸ ἀνάγ-
κη τινί· καὶ ὅλη ἡ δεῖξις ψευδής· οὐκέτι γὰρ γίνεται τὸ ἀντικείμενον τοῦ ἐνδεχομένου
λαμβανόμενον· ὅ ἐστιν ὑποτίθεσθαι ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ· καὶ τοῦτ' ἔστι
τὸ ὑποτεθὲν τὸ ἀντικείμενον· ἀδύνατον δὲ τοῦτο, πῶς οὐχὶ τοῦ κατὰ τὸν διορισμὸν
ἐνδεχομένου τὸ συμπέρασμα· πῶς δὲ ἡ ἀντίφασις ἐστὶ τὸ ἐξ ἀνάγκης οὐδενί,
τῷ ἐξ ἀνάγκης τινὶ ὑπάρχειν· ὁ μετελήφθη αὐτῇ ἡ ἀπόφασις ὡς τῆς οὐκ ἐν-
δέχεται μηδενὶ ὡς ἴσον αὐτῇ δυνάμενον, ἰδεῖν ἄξιον· ἡ γὰρ λέγουσα οὐδενὶ ἐξ ἀ(νάγκης)
ἢ ὅσοι ὡς ἐξ ἀ(νάγκης) ἀναιροῦσα τὸ κείμενον λαμβάνεται, ἢ ὡς τὸ ἀναγκαῖον ἀναι-
ροῦσα· ἡ μὲν οὖν ἐξ ἀνάγκης ἀναιροῦσα τὸ κείμενον οὐκ ἀπόφασις· ἀλλ' ἐνα-
ντία καὶ τῆς φάσεως, ἥτις οὐκ ἀντικειμένη τῇ ἐξ ἀνάγκης τινί· οὐ σημαίνει τὴν
ἀντίφασιν.

ἡ δὲ τὸ ἀναγκαῖον ἀναιροῦσα ἀπόφασις μέν ἐστι καὶ αὐτή, κειμένη μέντοι τῇ ἐξ ἀνάγκης
τινὶ λεγούσῃ καταφάσει. πῶς δὲ ἡ τοῦτο λέγουσα οὐ κινεῖται ἐνδεχομένη; ἡ γὰρ
λγ τοῦ ἀναγκαίου ἀπόφασις ἐνδεχομένη. ἡ διὰ τοῦτο οὐκ ἔστιν ἐνδεχομένη
ἡ οὐδενὶ ἐξ ἀνάγκης λέγουσα. ἡ γὰρ ἀναιροῦσα τὸ καταφατικὸν ἀναγκαῖον.
ἐπεὶ καὶ ἡ παντὶ ὑπάρχειν μὴ ἀναγκαίως δέ, ἀληθής· καὶ ἡ τινὶ ἐξ ἀνάγκης μὴ ὑπάρ-
χειν· τὸν γὰρ τρόπον τῆς ὑπάρξεως οὐ τὴν ὕπαρξιν ἀναιρεῖν ἐπαγγέλλεται. ἡ δὲ
κατὰ τὸν διορισμὸν ἐνδεχομένη ἡ ἐνδέχεσθαι μηδενί, οὐκ ἀντίκειται ἤδη ὑπάρχειν
ἐτέθη. ἀλλ' οὐδὲ ἀληθὴς εἶναι δύναται, ἐφ' ὧν ἡ ἐπὶ μέρους ἀποφατικὴ ἀναγ-
καία ἀληθὲς τὸ ἀντιστρέφειν τῇ ἐνδέχεσθαι παντί. ὡς γὰρ ἔφαμεν ἡ κατὰ τὸ ἐνδε-
χόμενον πάσας τὰς ἀναγκαίας ἀναιρεῖ. ἀλλὰ καὶ ἡ μετάληψις τῆς οὐκ ἐνδέχεσθαι
μηδενί, ὡς τὴν ἐξ ἀνάγκης τινὶ ἐστὶν, ὡς δέδεικται ἀληθὴς μὲν ἐν μέρει οὐ μὴν
ἀντικειμένη ἰσοδυναμοῦσιν, τὸ γὰρ οὐκ ἐνδέχεσθαι μηδενὶ ὥσπερ ἀληθές ἐστι
τῆς ἀναγκαίας τινὶ ὑπάρχειν λεγούσης, οὕτως ἀληθές ἐστι καὶ ἐπὶ τῆς ἀναγκαίας
τινὶ ὑπάρχειν λεγούσης, οὕτως ἀληθές ἐστι καὶ κατὰ τῆς ἐξ ἀνάγκης τινὶ μὴ
ὑπάρχειν λεγούσης· ὡς μικρῷ πρόσθεν ἐδείξαμεν. εἰ γὰρ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρ-
χειν λεγούσης, οὐκ ἐνδέχεται οὔτε παντὶ οὔτε οὐδενί· ἀληθοῦς οὖν οὔσης τῆς οὐκ
ἐνδέχεται μηδενί, καὶ κατὰ τῆς ἐξ ἀνάγκης τινὶ μὴ, μεταβάλλει αὐτὴν ὡς ἄτοπον
ἡ δεικνῦσα τὴν ἐξ ἀνάγκης τινί· οὐχ ὡς ἴσην αὐτὴν καὶ ἴσον. ἀλλ' ὅτι ἐπὶ τοῦ αὐτῆς ἐνδε-
χομένου τὸ ἀδύνατον. τῆς δὲ ἀποφατικῆς ληφθείσης, οὐκέτι· τοῦ γὰρ τὸ Α ἐξ ἀνάγ- 3/
κης τινὶ μὴ τῷ Γ ληφθέντος, καὶ προσληφθέντος τοῦ Β παντὶ τῷ Γ ὑπάρχειν, ἀνάγ-
κη τὸ συμπέρασμα ἐν τρίτῳ σχήματι, τὸ Α τινὶ τῷ Β μὴ ὑπάρχειν· ὃ οὐδὲν ἀδύ-
νατον ἦν. ἔκειτο γὰρ μηδενὶ ὑπάρχειν. ἐπεὶ τοίνυν τούτου μὲν ληφθέντος οὐδὲν
ἐδείκνυτο, τοῦ δὲ ἀναγκαίου καταφατικοῦ ἀντιπαραλαμβανομένου,
ἐπεὶ τὸ ἀδύνατον, διὰ τοῦτο τῆς οὐκ ἐνδέχεται μηδενὶ τὴν μετάληψιν ποιησά-
μενος οὐδὲν ἔλαττον οὔσης ἀληθοῦς, ἠκολούθησεν τὸ ἀδύνατον. τῇ δὲ τοῦτο
τῆς οὐκ ἐνδέχεται μηδενὶ μεταλήψει ἀκολουθήσειν, ἴσως τὸ ἰδίως τούτῳ
ἀντικείμενον εἰς ὃ ἡ μετάληψις ἐγένετο, φησὶ συμβήσεσθαι. ἀλλ' οὐ τοῦτο
ἐξ οὗ εἰς τοῦτο ἡ μετάληψις. τὸ δὲ ἐξ ἀνάγκης τινὶ ἀντικεῖσθαι ἰδίως τὸ οὐδενί
ἐξ ἀνάγκης. ἴσον οὖν τὸ οὐκ ἐξ ἀνάγκης τινί· τοῦτο ἄρα διὰ τοῦτο λέγουσα τις ἔ-
σται. οὔτε τὸ ἐνδέχεσθαι οὐδενί· ἐπεὶ τὸ τούτῳ ἀντικείμενον τὸ οὐκ ἐνδέχεται μηδενί.

οὐδὲν μᾶλλον ἡ ἀληθὴς ἢ καὶ τὸ τοῦ ἀναγκαίου τινί, ἢ καὶ τὸ τοῦ ἀναγκαίου τινὶ μή· ὧν τοῦ ἑτέρου δ/
ληφθέντος, οὐδὲν ἀδύνατον συνάγεται. διό, ἣν τὸ ἐνδέχεσθαι μηδενί, ἀμφοτέρων
ἐστὶν ἀναιρετικόν, τοῦ τε ἐξ ἀνάγκης τινὶ καὶ τοῦ ἐξ ἀνάγκης τινὶ μή, καθὸ ἐστὶν
ἀληθὴς ἡ ἀπόφασις, ἡ οὐκ ἐνδέχεσθαι μηδενί· τοῦ δὲ μὴ ὡς δεῖ τὸ ἐν δυνάμει ε/
μεταληφθῆναι τὴν οὐκ ἐνδέχεσθαι μηδενὶ εἰς τὴν ἐξ ἀνάγκης τινί, σημεῖον τό, καὶ
τῆς αὐτῆς ἀναιρέσεως τῷ ἀντικειμένῳ τῷ ἐξ ~~ἀνάγκης~~ ἑξῆς μετειλῆφθαι θέσθαι
λέγειν αὐτόν· ἀλλὰ τὴν ἀντικειμένην ταύτῃ· ὡς ἀληθοῦς οὔσης τῆς τοῦ οὐκ ἐνδέχεσθαι
μηδενὶ ἀντικειμένης· ἡ κοινὴ ἡ ἐνδέχεσθαι μηδενί· ἢ τούτοις χρώμενος αὐτὸς τὰς εἰς
λέγειν μηδὲ ἀπὸ τῆς προειρημένης συζυγίας τῆς ἐκ καθόλου ἀποφατικοῦ τοῦ κατὰ τὸν
διορισμὸν ἐνδεχομένου γίνεσθαι τὸ συμπέρασμα. ἡ γὰρ ὑπ᾽ ἀνάγκην ἡ μετα-
ληψις τῆς οὐκ ἐνδέχεσθαι παντί, εἰς τὴν ἐξ ἀνάγκης τινὶ οὔ. ἐγένετο τῆς γὰρ ἐς τοῦ ζ/
μεταληφθείσης ἀδύνατον δείκνυται. ἂν γὰρ εἰς τὴν ἐξ ἀνάγκης τινὶ μεταληφθῇ
ἡ οὐκ ἐνδέχεσθαι παντί, οὐδὲν ἀδύνατον συμβαίνει ὡς προὐδείκνυτο. ἀλλ᾽
εἰς τὸ ἀναγκαίως τινὶ μή· ὃ δὲ τοῦ τοιούτου ἀντικείμενον τῷ ἐξ ἀνάγκης τινὶ μὴ
ὑπάρχειν ἀληθὲς καὶ τὸ ἀντικείμενον αὐτῷ, οὐδενὶ ἐξ ἀνάγκης μὴ ὑπάρχειν.
τὸ ἐνὸν τῷ οὐκ ἐξ ἀνάγκης τινὶ ὑπάρχει. ὃ δὲ μόνον τῇ φωνῇ διαφέρει τοῦ ἐνδέχεσθαι
παντί, ἐκ δὲ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου τὸ συμπέρασμα. ὃ δὲ δύναται εὑρε-
θῆναι ἐπί τινος ὕλης ἐξ ἀνάγκης μέν τινι ὑπάρχον, μὴ ἐξ ἀνάγκης δέ τινι οὐχ ὑπάρχον,
ἐκ δὲ ὑποκειμένου τὸ μὲν οὐδενὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχειν ἀληθές· τὸ δὲ ἐνδέχεσθαι
παντί, οὐκ ἔτι. εἰ γὰρ τό, ἐνδέχεσθαι παντί, ἐνδέχεσθαι καὶ μηδενί· τὸ δὲ ἐξ ἀνάγκης τινὶ οὐ-
χ ὑπάρχον, ἐνδέχεσθαι μηδενὶ λέγειν, ψεῦδος. οὕτως τε, οὐδὲ ὑπ᾽ ἀνάγκης ἂν
τῆς συμπλοκῆς τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ζῷα τοιαῦτα. ἡ μὲν οὖν λέγουσα
πρότασις οὐδὲν ζῷον ἐξ ἀνάγκης οὐκ ἔστιν ἀναπνευστικόν, οὐκ ἔστιν ἀληθὴς τοιαύτη,
ἀληθὲς γὰρ αὐτῇ τῷ, τὶ μὲν ἐξ ἀνάγκης ζῷον ἀναπνευστικὸν εἶναι· τὶ δὲ ἐξ ἀνάγκης
μὴ εἶναι ἀναπνευστικόν, καὶ ἔστιν αὕτη ἀντικειμένη κυρίως ἀντικειμένη τῇ ἐνδέχεσθαι μηδενί.
τοιαύτη δὲ ἡ οὐκ ἐνδέχεσθαι μηδενί· ἡ γὰρ ἀντικειμένη τῆς τινὶ ἐξ ἀνάγκης ὑπάρχει.
τῇ κατὰ τῆς τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχειν. ὁμοίως ἡ τοιαύτη ἀληθὴς ἡ οὐκ ἐν-
δέχεσθαι μηδενὶ ζῴῳ τὸ ἀναπνευστικόν· ἀλλ᾽ ὁμοίως καὶ ἡ τῆς ἐνδέχεσθαι παντὶ ἀπό-
φασις ἡ οὐκ ἐνδέχεσθαι παντί. ὥστε τῆς κειμένης ὕλης ἀληθὴς ὁλοκλήρως. ἀληθὲς γὰρ
γὰρ ὁμοίως τὸ οὐκ ἐνδέχεσθαι μηδενί· εἰκότως ἄρα παρ᾽ αὐτῶν ἀληθεύεται καὶ τὰ ἀμφό.

ἡ γὰρ ἢ κατὰ τοῦ ἐξ ἀνάγκης τινί, ἢ κατὰ τοῦ ἐξ ἀνάγκης τινὶ μή· ἐπισκεπτέον δὲ μὴ δύναται εἶναι τοιαύτη ἡ λέγουσα οὐδένα λογικὸν ἐξ ἀνάγκης νοσοῦντα· ἢ οὐδὲ νοσεῖν ἔχον ἐξ ἀνάγκης νοσοῦντα. ἄτοπον γὰρ δόξαι τινὶ τὸ θεὸν λογικὸν εἶναι, τούτῳ μὴ ἐξ ἀνάγκης ὑπάρχειν τὸ νοσεῖν· οὐδενὶ δὲ ἐξ ἀνάγκης λογικῷ τὸ μὴ νοσεῖν. δόξει τοιαύτη εἶναι· ἢ τὸ οὐδενὶ ἐξ ἀνάγκης σωματοφυσικῷ οὐ κινεῖσθαι κατὰ φοράν. ἄτοπον γὰρ ἡ ἡ κινουμένη φορᾷ φορά, τῷ ἀεὶ κινουμένῳ φορὰν κινεῖσθαι ἐξ ἀνάγκης ὑπάρχει ἡ φορά· οὐδενὶ δὲ ἔσται σώματι ἐξ ἀνάγκης ὡς οὐχ ὑπάρχειν ἡ φορά. ἀλλ' εἰ ἀληθὲς τοῦτο, καὶ ἐν ἑκάστῃ τῇ συμπλοκῇ ἂν δέοι οὐχ ἡ κατὰ τὸν διορισμὸν ἐνδεχομένη συναγομένη· ἀλλ' ἡ προειρημένη ἀντικειμένη τῇ ἐξ ἀνάγκης τινὶ οὔ. εἰ δὲ ὡς μεταλήψει ἡ ἀπόφασις τῆς ἐνδεχομένης· ἄτοπον εἶναι τὸ εἶναι ἐνδεχομένην τὰς κατὰ τὸν διορισμὸν λέγει ὡς περὶ Θεόφραστον λέγουσιν. οὐκ ἀληθὲς ἂν εἴη, τὰς ἐνδεχομένας καταφατικὰς ταῖς ἀποφατικαῖς ἀντιστρέφειν ἀλλήλαις· ἔσται οὖν καὶ ἐν τῇ μέσῃ ζῷον, καταφατικὴ ὑπάρχουσα. ὁμοίως τῇ ἐν τῇ μέσῃ ζῷον καταφατική, ἔχουσα τὸ συμπέρασμα, οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου· ἡ τις γὰρ ἂν εἴη τῆς δευτέρας ἢ μὴ τῇ ἀληθεῖ συγκειμένη, ἰδίως καὶ οἰκείως ἀντικειμένη, αὕτη συναγομένη δείκνυται, τῇ διὰ τοῦ ἀδυνάτου ἀπαγωγῇ, μηδὲν ἄλλο τι θέλει ἢ τὸ ἀντικείμενον τοῦ ὑποτεθέντος. ὡς τὸ ἀδύνατον ἠκολούθησεν:· κειμένου οὖν τοῦ Α οὐδενὶ τῷ Β ὑπάρχειν, τοῦ δὲ Β παντὶ τῷ Γ ἐνδέχεσθαι· ἢ οὐκ ἔσται τὸ συμπέρασμα καθόλου· οὐ γὰρ ἀναγκαῖον μηδενὶ ὑπάρχειν αὐτόν· ἀλλ' οὐκ ἐξ ἀνάγκης τινί :—

Βουληθεὶς δεῖξαι ὅτι τῶν ὅρων ὁ τεθεὶς ἐπὶ τῆς κειμένης συζυγίας συμπέρασμα οὔτε ἐξ ἀνάγκης οὐδενί, ἀλλὰ τὸ οὐδενὶ ἐξ ἀνάγκης· ἐπεὶ ὅτι τῶν πρώτων ὧν παρέθετο ὅρων, ἦν συναγόμενον τὸ ἐξ ἀνάγκης οὐδενί· καὶ γὰρ ἡ μέση ζῷον πρὸ τοῦ ... ὑπάρχειν ἐξ ἀνάγκης ἀποφατικὴ ἀλλ' οὐχ ὑπάρχουσα. ἄλλους πάλιν ὅρους παρατίθησι, δείκνυσι παρὰ τοὺς προκειμένους· οἱ δὲ ὅροι κινούμενον· ἐπιστήμη· ἄνθρωπος. τὸ κινούμενον οὐ δύνασθαι οὐδεμιᾷ ἐπιστήμῃ· ἡ ἐπιστήμη ἐνδέχεται ἀνθρώπῳ παντί. συμπέρασμα τὸ κινεῖσθαι οὐδενὶ ἐξ ἀνάγκης ἀνθρώπῳ· ὃ δέ τι ἄλλος ἐστὶ τοῦ ἐξ ἀνάγκης μηδενὶ ἀνθρώπῳ τὸ κινεῖσθαι· καὶ πῶς ἄλλος ἐξηγούμενος φησίν· οὐ γὰρ ἀνάγκη μηδένα κινεῖσθαι ἄνθρωπον, ἀλλ' οὐκ ἀνάγκη τινά. ὃ δὴ λέγει τοιοῦτόν ἐστι· δι' ὃ οὐκ ἀνάγκη μηδένα κινεῖσθαι, ἀλλ' ἢ τὸ ἀναγκαῖον ἀποφάσκειν τὸ συμπέρασμα· τουτέστι δεῖξαι μὴ ὂν τὸ ἐξ ἀνάγκης μηδενί.

δείξῃ διὰ τὸ οὐ δυνατὸν ἢ ὅτι τὸ συμπέρασμα· τοῦτο γάρ ἐστι τὸ ἀδύνατον, ὡς ἔλεγεν.
οὐ τὸ δὲ καὶ ἀλλὰ τὸ δὲ τὸ συμπέρασμα· τουτέστιν οὐ τὸ ἀδύνατον μηδενί, ἀλλὰ τὸ δυνατὸν
μηδενί. ἀντὶ δὲ τοῦ δυνατὸν εἶναι μηδενί, εἶπε μὴ ἀδύνατον εἶναι τινί. ὡς εἰ τὸ ἐνδέχεσθαι
δυνάμενον τῷ οὐδενὶ ἐξετάσαι. ὃ δηλοῦται ὑπὸ τῆς τὸ μὴ ἐνδέχεσθαι ἐξετάσαι αὐτῷ. ἀναιρεῖται
ὄν τοῦ ἐξ ἀνάγκης. ὃ δηλοῦται ὑπὸ τῆς τὸ μὴ ἐνδέχεσθαι ἐξετάσαι αὐτῷ. ὑπάρχειν αὐτῷ τὸ μὴ
ἐνδέχεσθαι. ἐπειδὴ δὲ μετὰ τοῦ τὸ δὲ β παντὶ τῷ γ ἐνδέχεσθαι, οὐ τὸ ἀδύνατον μηδενὶ ἐνδέχεσθαι
ἀδύνατον, ἀσαφεστέραν τὴν δεῖξιν ἐποίησεν. δοκεῖ γὰρ ὅτι ἐνταῦθα τῇ λέξει οὐ περὶ τοῦ συ-
μπεράσματος ταῦτα λέγειν. ἀλλὰ περὶ τῆς β γ προτάσεως ἧς ἐμνημόνευκε:

Ἐὰν δὲ τὸ στερητικὸν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον, ἐνδέχεσθαι σημαῖνον.
δείξας τὸ συναγόμενον οὔσης τῆς μείζονος καθόλου ἀποφατικῆς
ὑπαρχούσης, τῆς δὲ ἐλάττονος ἐνδεχομένης καταφατικῆς, νῦν λέγει περὶ
συζυγίας ἐν ᾗ ἡ μὲν μείζων καθόλου καταφατικὴ ὑπάρχουσα ἐστίν, ἡ δὲ ἐλάτ-
των ἐνδεχομένη ἀποφατική. φησὶν δὴ ὅτι κειμένου οὔσης τῆς ἐλάττονος ἐνδεχομένης
ἀποφατικῆς, οὐδὲν συναχθήσεται. μεταληφθείσης δὲ αὐτῆς εἰς τὸ καταφατικόν,
ἐπεὶ τὸ ἐνδέχεσθαι μηδενὶ καὶ παντὶ ἐνδέχεσθαι ἀντιστρέφει γὰρ ἀλλήλοις, ἔσται
συλλογισμὸς ὥσπερ καὶ ἐν τοῖς πρὸ τούτου προαποδέδεικται. ἐν οἷς καὶ μὴ τῶν κειμένων οὐδὲν
συνήγετο. μεταληφθέντος δὲ τοῦ ἐνδεχομένου ἀποφατικοῦ εἰς τὸ ἐνδεχόμενον
καταφατικὸν ἐγίνετο. ἔσται γὰρ συμπέρασμα καὶ καθόλου καταφατικοῦ ἐνδεχομένου
οὔσης συζυγίας ἐκ καθόλου καταφατικῆς ὑπαρχούσης τῆς μείζονος, καὶ καθόλου
καταφατικῆς ἐνδεχομένης τῆς ἐλάττονος. καθὼς δέδεικται πρόσθεν. δεικνύει δὲ
τοῦ ἀπαγωγῆς ἂν διὰ ἀντιστροφῆς τὸ β τῷ γ, καὶ ληφθῇ τὸ β παντὶ τῷ γ. οὐ μόνον τὴν
ἀντιστροφὴν εἰρημένην τῆς ἀποφατικῆς ἐνδεχομένης εἰς τὴν ἀποφατικήν, ἀλλὰ
τὴν μετάληψιν τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν, δι' ἧς ἐγίνετο εἰς ἀδύνατον
ἀπαγωγή. τοιοῦτον γάρ τι, καὶ ληφθῇ τὸ β παντὶ τῷ γ. ἀλλὰ καὶ τῆς μείζονος οὔσης
καθόλου ἀποφατικῆς ὑπαρχούσης, ἡ ἐλάττων ἦν καθόλου ἀποφατικὴ ἐνδε-
χομένη, ἐν μὲν τῷ κειμένῳ οὐδὲν συναχθήσεται. μεταληφθείσης δὲ τῆς ἐνδεχομένης
ἀποφατικῆς εἰς τὴν καταφατικήν, ὅ αὐτὸς ἔσται συλλογισμὸς ὃς ἐγίνετο καὶ ὅτε τῶν
ἀρχῶν ἐνδεχομένη ἄμφω, ἡ ἐλάττων καθόλου καταφατικὴ τῆς μείζονος οὔσης καθόλου
ἀποφατικῆς ὑπαρχούσης. ὃ αὐτὸς ἐστὶ καὶ σοῦ προσέθηκεν ἴσως, εἰς δήλωσιν τοῦ
τὸ συμπέρασμα, μηδὲ ἐπὶ ταύτης τῆς συζυγίας τοῦ τὸν διορισμὸν ἔσεσθαι ἐνδεχομένου.

13

ὡς ἐπὶ τοῦ ἐνδεχομένου ἐπὶ τῆς ἀνάγκης γινόμενον: +

ἐὰν δ' ἡ μὲν ὑπάρχειν τὸ α τῷ β, ἡ δὲ τὸ β τῷ γ ἢ μὴ ἐνδέχεσθαι ἐξ ἀνάγκης μὴ ὑπάρχειν:

Μεταλαμβάνειν οὖν ἐλάττονα πρότασιν ἐξ ὑπαρχούσης ἀποφατικῆς, φησί, μηδένα ἔσεσθαι συλλογισμόν· μήτε ἐνδεχομένης καταφατικῆς τῆς μείζονος οὔσης· μήτε ἐνδεχομένης ἀποφατικῆς· τέλους τοιούτως ἔχοντος ὡς καὶ πάλιν ὡς ἔθος αὐτῷ. τῇ τῶν ὅρων παραθέσει δείξας· τὸ παντὶ ἐξ ἀνάγκης ἢ μηδενί. τοῦ μὲν οὖν ἐξ ἀνάγκης ὑπάρχειν τὸ α τῷ γ ὅρους παρατίθεται· κείσθω τὸ α λευκόν· ἐπὶ τοῦ β ζῷον· κείσθω τὸ γ χιόνα. τὸ γὰρ λευκὸν καὶ παντὶ ζῴῳ ἐνδέχεται καὶ μηδενί· καὶ τὸ ζῷον χιόνι οὐχ ὑπάρχει· καὶ τὸ λευκὸν χιόνι ἐξ ἀνάγκης. τοῦ δὲ μηδενί· λευκόν· ζῷον· πίτταν. πάλιν γὰρ τὸ μὲν λευκὸν ζῴῳ ἐνδέχεται παντὶ καὶ μηδενί· ζῷον δὲ πίττῃ οὐχ ὑπάρχει· καὶ τὸ λευκὸν ἐξ ἀνάγκης οὐδεμιᾷ πίττῃ. ἀληθέστερον δὲ εἰ αἱ προτάσεις καὶ τὰ συμπεράσματα οὐ ζητοῖεν ἀνέχοιεν, ἀλλ' ἀμείβοιμεν ὅροις, κείσθω μὲν τοῦ παντὶ ὑπάρχειν· κινεῖσθαι· λευκόν· περιπατοῦν. τὸ γὰρ κινεῖσθαι ἐνδέχεται καὶ παντὶ λευκῷ καὶ οὐδενί· καὶ τὸ λευκὸν μηδενὶ ὑπάρχει τῷ περιπατοῦντι· καὶ τὸ κινεῖσθαι ἐξ ἀνάγκης παντὶ περιπατοῦντι. τοῦ δὲ μηδενί, κινεῖσθαι· λευκόν· ἑστώς. πάλιν γὰρ τὸ μὲν κινεῖσθαι ἐνδέχεται καὶ παντὶ λευκῷ καὶ μηδενί· καὶ τὸ λευκὸν μηδενὶ ἑστῶτι ὑπάρχει· τὸ δὲ κινεῖσθαι ἐξ ἀνάγκης οὐδενὶ ἑστῶτι. οὐδὲν δὲ κωλύει ὑπὲρ σαφηνείας διὰ τῆς οἰκείας τοῖς ὅροις μεταλαμβάνειν αὐτοῦ προειρημένοις. ὅτι κἂν πλέον δὲ βέλτιον τοῖς ὅροις. καὶ οὐ γίνεται κείσθω τούτων τῶν ὅρων ἁπλῶς ἀναγκαῖα τὰ συμπεράσματα, ἀλλὰ μετὰ διορισμοῦ. τὸ γὰρ κινεῖσθαι ἐξ ἀνάγκης παντὶ περιπατοῦντι καθὸ περιπατεῖ· καὶ πάλιν οὐδενὶ ἑστῶτι καθ' ὃ ἕστηκε. ἀλλ' ὅμως ἀσυλλόγιστος ἡ συζυγία:

φανερὸν οὖν ὅτι καθόλου τῶν ὅρων.

Ὥσπερ δὲ ἐν τοῖς ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης μὲν συζυγίαις ἐν πρώτῳ σχήματι, ἀμφοτέρων οὐσῶν καθόλου τῶν προτάσεων γίνεσθαι συλλογισμὸν ὑπομνήσας ἡμᾶς, ἑξῆς μετὰ ταῦτα ἄρχεται τὸ λέγειν περὶ τῶν τὴν μὲν ἑτέραν ἐχουσῶν καθόλου, τὴν δὲ ἑτέραν ἐπὶ μέρους τῶν προτάσεων. διασημαίνεται γὰρ τὰς προτάσεις λέγεται. ἐξ αὐτῶν δὲ ἀπὸ τῆς ἐλάττονος ἐνδεχομένης οὔσης οὐχ ὡς δι' αὐτῶν τῆς δείξεως μετὰ ἀντιστροφῆς· πᾶσαι γὰρ αὗται συμπληροῦνται δὲ ἀμφοῖν τελειοῦνται διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἀλλ' ὅτε καταφατική, χωρὶς ἀντιστροφῆς δείκνυται. ὅτε γὰρ ἀποφατικὴ τεθῇ, δεῖ πρῶτον αὐτὴν εἰς τὴν ἀποφατικὴν ἀντιστραφῆναι. τῆς μὲν οὖν μείζονος

καθόλου οὔσης ἐνδεχομένης· εἴτε καταφατικῆς εἴτε ἀποφατικῆς τῆς ἐλάττονος
ἐπὶ μέρους καταφατικῆς ὑπαρχούσης, ἔσται φησὶ συλλογισμὸς τέλειος.
τοῦ ἐνδέχεσθαι τὸ α τῷ ἐσχάτῳ τινί· ἢ ἐνδέχεσθαι τινὶ μή. τελείους δὲ ὅτι διὰ
τοῦ κατὰ παντὸς πάλιν καὶ τοῦ κατὰ μηδενός, καὶ ἡ τούτων συναγωγὴ φανερά.
τοῦ οὐδενὸς ἔξωθεν πρὸς τὸ δειχθῆναι γινομένου δέοντος. ἐὰν δὲ μετατεθῶσιν οἱ
κατὰ τὰς προτάσεις ὅροι καὶ γένηται ἡ μὲν μείζων ὑπάρχουσα καθόλου· ἡ δὲ ἐλάτ-
των, ἐπὶ μέρους ἐνδεχομένη· καταφατικαὶ δὲ ἀμφότεραι ἢ ἀμφότεραι ἀπο-
φατικαί· ἢ ἡ μέν, καταφατικὴ ἡ δέ, ἀποφατική. ἢ ὁποτέραι, ἔσται φησὶ συλ-
λογισμὸν πλὴν ἀτελῆ. καὶ προστίθησι τὴν αἰτίαν τοῦ, πάντας ἀτελεῖς γίνεσθαι.
λέγων πλὴν οἱ μέν, διὰ τοῦ ἀδυνάτου δειχθήσονται· οἱ δέ, διὰ ἀντιστροφῆς. ὃ ἴσον
ἐστὶ τῷ ὅτι πάντες μὲν διὰ τοῦ ἀδυνάτου δειχθήσονται· οἱ δὲ τὴν ἐλάττονα
ἐνδεχομένην ἀποφατικὴν ἐπὶ μέρους ἔχοντες, καὶ διὰ ἀντιστροφῆς. μεταληφθεί-
σης γὰρ τῆς ἀποφατικῆς ἐνδεχομένης εἰς τὴν καταφατικὴν ἐνδεχομένην, ἄνευ
οὗτοι τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δέονται. τὰς ἐν αἷς συζυγίαις ἐστὶν ἡ μείζων
ὑπάρχουσα, τούτους δείκνυσθαι συλλογιστικοὺς διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.
ὁ τρόπος τῆς δείξεως τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὁ αὐτὸς ὅσπερ καὶ ὅτε ἦσαν
ἀμφότεραι καθόλου τῆς μείζονος, ὑπαρχούσης οὔσης. εἰ γὰρ τὸ α παντὶ τῷ β
ὑπάρχει. τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται, καὶ τὸ α τινὶ τῷ γ ἐνδέξεται. εἰ γὰρ μή,
τὸ ἀντικείμενον. ἀντίκειται δὲ τῷ ἐνδέχεται τινὶ τὸ οὐκ ἐνδέχεται τινί. ὃ ἴσον ἐστὶ
τῷ ἐξ ἀνάγκης οὐδενί. τὸ δὴ α τῷ γ ἐξ ἀνάγκης οὐδενί. εἰλήφθω καὶ τὸ β τινὶ τῷ γ ὑπάρχειν.
καὶ γὰρ ἐν ἐκείνοις μετελαμβάνετο τὸ ἐνδεχόμενον εἰς τὸ ὑπάρχον, ὃ ψεῦδος
μέν, οὐ μὴν ἀδύνατον. γίνεται δὴ ἐν τρίτῳ σχήματι ἀναγκαία ἡ μείζων καθόλου ἀποφατική·
ἐπὶ μέρους δὲ καταφατικὴ ἐλάττων, ὑπάρχουσα. συμπέρασμα ἐπὶ μέρους
ἀποφατικὸν ἀναγκαῖον. τὸ α ἄρα τινὶ τῷ β ἐξ ἀνάγκης οὐχ ὑπάρχει. ὅπερ ἀδύνατον.
ὑπέκειτο γὰρ παντὶ ὑπάρχειν, κἂν μὴ ἀναγκαῖον γένηται τὸ συμπέρασμα,
ἀλλ' ὑπάρχον ἐπὶ μέρους ἀποφατικόν, καὶ οὕτως ἀδύνατον τὸ συναγόμενον.
ἀδύνατον γάρ, τό, παντὶ ὑπάρχον, τινὶ μὴ ὑπάρχειν. ὁμοίως ἡ δεῖξις κἂν ᾖ τὸ α
μηδενὶ τῷ β ὑπάρχον· τὸ δὲ β ἐνδεχόμενον τινὶ τῷ γ. τὸ γὰρ α τινὶ τῷ γ ἐνδέχεται
μὴ ὑπάρχειν. εἰ γὰρ μὴ τοῦτο, τὸ ἀντικείμενον τὸ οὐκ ἐνδέχεται τινὶ μὴ ὑπάρχειν.
ὃ ἴσον ἐστὶ τῷ ἐξ ἀνάγκης παντί. ἀλλὰ καὶ τὸ β τινὶ τῷ γ ὑπάρχει. τὸ α ἄρα τινὶ τῷ β
ἐξ ἀνάγκης ὑπάρξει.

+

τοῦ γὰρ ἐν τῷ πρώτῳ σχήματι καθόλου ἐπὶ συζυγίας τὸ συμπέρασμα γνώριμον ἐδείχθη· τοῦ δὲ ἀδυνάτου, τὸ ἐνδέχεσθαι τὸ α μηδενὶ ὑπάρχειν τῷ β. ὁμοίως δὲ καὶ ἐπὶ ταύτης τῆς συμπλοκῆς, καὶ γὰρ μὴν ἀναγκαῖον ἢ τὸ συμπέρασμα ὑπάρχον δέ· καὶ οὕτως ἀδύνατον γίνεται. δῆλον δὲ καὶ τὸ τῶν ἀντιστροφῶν περιέσονται, ἂν ἡ ἐλάττων πρότασις, καθόλου ἀποφατικὴ ἐνδεχομένη ληφθῇ. τὸ δ' ὡς ἔσται δὲ συλλογισμὸς διὰ τῆς ἀντιστροφῆς εἰρημένον· ἀντὶ τοῦ, ἔσται ὁ συλλογισμὸς διὰ τῆς ἀντιστροφῆς. οὐ γὰρ περὶ ἄλλου τινός ἐστιν ἢ περὶ οὗ προείρηκε, λέγει· ἐν ταῖς συζυγίαις· ἡ μὲν μείζων, καθόλου ὑπάρχουσά ἐστιν· ἡ δὲ ἐλάττων, ἐπὶ μέρους ἀποφατικὴ ἐνδεχομένη· περὶ τούτων γὰρ λέγει. ὅτι τῆς ἐνδεχομένης ἀποφατικῆς ἀντιστραφείσης εἰς τὴν ἐπὶ μέρους καταφατικὴν ἐνδεχομένην:

ε' ὅταν δὲ τὸ μὲν ὑπάρχειν τινὶ λαμβάνηται·

Τῆς δὲ ἐλάττονος προτάσεως οὔσης ἐπὶ μέρους ἀποφατικῆς ὑπαρχούσης ληφθῇ, οὔ φησιν ἔσεσθαι συλλογισμόν· ὁμοίως· καὶ γὰρ οὔσης ἀποφατικῆς τῆς ἐλάττονος ἐν πρώτῳ σχήματι, οὐδεὶς γίνεται συλλογισμός· μείζονος γὰρ ἢ ὑπαρχούσης ἀποφατικῆς· οὐ γὰρ ὡς ἡ ἐνδεχομένη καὶ εἰς τὴν καταφατικὴν μεταληφθῆναι δύναται. δείξας δὲ διὰ τῶν ὅρων, καὶ τοῦ παντὸς καὶ τοῦ μηδενὶ γινόμενον τὸ συμπέρασμα, προστίθησιν ὅτι διὰ γὰρ τοῦ ἀορίστου λείπεται τὴν ἀπόδειξιν τοῦ τὸ δεῖξαι, ὅτι ἂν ληφθῇ καθόλου τῶν ὅρων τῆς ἐλάττονος ἐπὶ μέρους ἀποφατικῆς ζ' ὑπάρχουσαν τοιαύτην εἶναι· ὡς καὶ καθόλου ἀναγκαία καὶ ἀληθής. οὐ μὴν μέρη μόνον· τὸ γὰρ ζῷον οὐδενὶ μετέχοντι· καὶ οὐδεμιᾷ πίστει· ἐπεὶ τὸ δὲ τινὶ μὴ ὅπερ οὖν τὸ τινὶ μὴ ἀληθεύεται καὶ ὅταν μηδενί· καὶ ὅταν τινὶ μὲν μὴ ὑπάρχῃ· τινὶ δὲ ὑπάρχῃ διὰ τὸ ἀόριστον τῆς ἐπὶ μέρους ἀποφατικῆς προσχρώμενος φησὶ καὶ λαμβάνοντας ἂν ταύτης τὴν καθόλου ἀποφατικήν, ἐπεὶ καὶ ἀνάγκης οὔσης ἀληθοῦς, καὶ αὕτη ἀληθής ἐστι· χρῆσθαι γινώσκειν τῷ τοιούτῳ ἀσυλλογίστου συζυγίαν, ὡς καὶ πρότερον ἐπὶ πλειόνων ἐδείχθη· τοῖς γὰρ αὐτοῖς ὅροις καὶ πρὸ ὀλίγου κέχρηται, ὅτι καὶ ἀδύνατον ἀσυλλόγιστον συζυγίαν. οὗτοι, τῆς μείζονος καθόλου καταφατικῆς ἐνδεχομένης, καὶ τῆς ἐλάττονος καθόλου ἀποφατικῆς ὑπαρχούσης· τοῦτο δὲ οὕτως ἀπεδείχθη δείκνυσθαι, ἐπειδὴ οὔσης τῆς ἐλάττονος ἐπὶ μέρους ἀποφατικῆς ἀληθοῦς καὶ καθόλου καὶ μὴ διὰ τὸ καθόλου ἐγίνετο τὸ β τινὶ τῷ γ ὑπάρχον. οὔσης δὲ τοιαύτης τῆς ἐπὶ μέρους καταφατικῆς ὑπάρ-

χούσης δὲ τῆς μείζονος ἐνδεχομένης καθόλου ἢ καταφατικῆς ἢ ἀποφατικῆς, τέλειοι γίνονται συλλογισμοί· ὁμοίως τοῦ ἐνδέχεσθαι τὸ α τινὶ τῷ β ὑπάρχειν· ὁ δὲ τοῦ ἐνδέχεσθαι τινὶ μὴ ὑπάρχειν· ἐν δὲ ταῖς ὑμῶν συλλογιστικῶς, ἀδύνατον λαβεῖν ὅρους ἐπὶ τῆς τοιαύτης, τοῦ παντὶ ἐξ ἀνάγκης ἢ τοῦ μηδενί: · +

ἐὰν δὲ τὸ καθόλου τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον: +

Εἰπὼν περὶ τῶν συζυγιῶν τῶν ἐν τοῖς μέρεσι ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης ἐν πρώτῳ σχήματι ἐν αἷς ἡ σπανὴ συλλογιστικαί εἰσι, νῦν λέγει καὶ περὶ τῶν ἀσυλλογίστων· καὶ φησὶν ὅτι ἐὰν δὲ ἡ μὲν ἐλάττων πρότασις καθόλου γένηται, ἡ δὲ μείζων κατὰ μέρος, ὅπως ἂν ληφθεῖσα, εἴτε ὑπάρχον εἴτε ἐνδέχεσθαι, καὶ τὸ καταφατικὸν εἴτε καὶ ἀποφατικόν, οὐδὲ ἔσται συλλογισμός· ὁμοίως δὲ καὶ ἂν ὦσιν ἐπὶ μέρους ἀμφότεραι· οὐ μόνον ἂν ἡ μὲν ἐνδεχομένη, ἡ δὲ ὑπάρχουσα· τοῦτο γὰρ τὸ ἐναλλάξ· ἀλλὰ κἂν ἀμφότεραι ἐνδεχόμεναι ἢ ἀμφότεραι ὑπάρχουσαι· τοῦτο δὲ προστεθεικώς, ἐπάγει αὐτοὶ οἱ ὅροι πρὸς τὸ ἀνάγκης καὶ πρὸς τὸ οὕτω ληφθῆναι, χρήσιμοι· πάλιν γὰρ τοὺς αὐτοὺς οὕτως ἔχοντας λέγει καὶ ἐπὶ τῶν ὅρων παραθέσθαι· ἡ ἀπόδειξις χρήσιμος τῶν ἀσυλλογίστων συζυγιῶν· δείκνυσι καὶ ἐξ ἀνάγκης παντὶ συνάπτεσθαι πολλάκις τὸ μένον· καὶ ἐξ ἀνάγκης μηδενί· ἐξ ἀνάγκης μὲν παντί, ἐπὶ ζῴου· λευκοῦ· ἀνθρώπου· τὸ γὰρ ζῷον λευκῷ ὑπαρχέτω· ἢ μὴ ὑπαρχέτω· ἢ ἐνδεχέσθω τινί· ἢ τινὶ ἐνδεχέσθω μὴ ὑπάρχειν· τὸ δὲ λευκὸν παντὶ ἀνθρώπῳ ὑπαρχέτω· ἢ ἐνδεχέσθω ὑπάρχειν· ἢ τινὶ ὑπαρχέτω· ἢ ἐνδεχέσθω τινὶ μὴ ὑπάρχειν· δύναται γὰρ οἱ ὅροι ὅπως ἂν τις βούληται ἔχοντες ληφθῆναι πρὸς ἀλλήλους· καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ζῷον· λευκόν· ἱμάτιον· πάλιν γὰρ αἱ μὲν προτάσεις οὕτως ἕξουσιν ὡς καὶ αἱ πρὸ αὐτῶν· τὸ γὰρ ζῷον ἐξ ἀνάγκης οὐδενὶ ἱματίῳ· ἡ δὲ ἀπόδειξις δὲ ἡ αὐτὴ ἣ καὶ ἐπὶ τῶν πρότερον, οὐκ ἐκ τῶν ἀλλοτρίων δηλωτικοῦ ἢ τοῦ ἐπὶ τῆς ὕλης τὸν ἔλεγχον τοῦ ἀσυλλογίστου εἶναι τῆς συμπλοκῆς ἢ τοῦ κατὰ τῆς ὕλης τὸν ἔλεγχον τοῦ ἀσυλλογίστου εἶναι τῆς συμπλοκῆς γίνεσθαι ὃ προεῖπον, ἐξ ἧς αὐτὸ ποιεῖ. λέγει γὰρ ὅροι δὲ κοινοί: ·

φανερὸν οὖν ὅτι τοῦ μὲν πρὸς τὸ μεῖζον ἄκρον καθόλου τεθέντος ἀεὶ γίνεται συλλογισμός·

Π. ρου παντὸς ἀνθ τῇ λέξει, τὸ ἂν ὦσιν ἀμφότεραι καταφατικαί· ἢ δὲ ἡ ἐλάττων ἐπὶ μέρους ἐνδεχομένη· ἢ ἐπὶ ὑπαρχούσης αὐτῆς τῆς ἐλάττονος· δηλονότι κατὰ μέρος ἀποφατικῆς ληφθείσης, ἀσυλλόγιστος ἡ συζυγία: · +

## Μίξις ἀναγκαίας καὶ ἐνδεχομένης:·

»Ὅταν δὲ ἡ μὲν ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν· ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων. ὁ μὲν συλλογισμὸς ἔσται.

Ἐπὶ τὴν ἐξ ἐνδεχομένης καὶ ἀναγκαίας μετῆλθε μίξιν τῶν ἐν πρώτῳ σχήματι· καὶ φησὶ κινεῖ τίνες συζυγίαι ἐν πρώτῳ σχήματι ἐκ τῶν τοιούτων προτάσεων· συλλογιστικαί· καὶ τίνες ἀσυλλόγιστοι. φησὶ δὴ ὅτι συλλογιστικαὶ μέν εἰσιν ὁμοίως καὶ ἐν τῇ τοιαύτῃ μίξει, αἱ ἔχουσαι τὸ ἀναγκαῖον οὕτως κείμενον ὡς ἐν ἐκείναις ἐκεῖ τὸ ὑπάρχον· ἀλλὰ καὶ τέλειοι, ἐν αἷς συζυγίαις πάλιν ἡ μὲν μείζων ἐστὶν ἐνδεχομένη· ἡ δὲ ἐλάττων ἀναγκαία. ἔτι δὲ καὶ τὸ συμπέρασμα ὥσπερ ἐν ἐκείναις ἀμφοτέρων μὲν οὐσῶν καταφατικῶν τε καὶ καθόλου, ἢ τῆς ἑτέρας μόνης τῆς καθόλου, τὸ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἔσται, ἀλλ' οὐ τοῦ ὑπάρχειν. ἂν δὲ ἡ ἑτέρα ἀποφατικὴ ᾖ, τῆς μὲν ἀναγκαίας καταφατικῆς οὔσης· τὸ συμπέρασμα φησὶν ἔσεσθαι τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν, ἀλλ' οὐ τοῦ μὴ ὑπάρχειν. ὅταν δὲ τὸ ἀποφατικὸν ἀναγκαῖον ᾖ, ἄν τε ἀμφότεραι καθόλου ὦσιν, ἄν τε ἡ ἑτέρα. καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν καὶ τοῦ μὴ ὑπάρχειν, ἔσεσθαί φησι τὸ συμπέρασμα. τὸ δὲ ὅταν μὲν ᾖ τὸ καταφατικὸν ἀναγκαῖον προκείμενον, σημαντικόν ἐστι τῆς συμπλοκῆς τῆς τὴν μείζονα ἐχούσης ἐνδεχομένην ἀποφατικήν. προειρήκει γὰρ περὶ τῶν ἐν αἷς ἀμφότεραι καταφατικαί. εἰπὼν δὲ καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν ἔσεσθαι τὸ συμπέρασμα, καὶ τοῦ μὴ ὑπάρχειν, ἐν αἷς ἡ μείζων καθόλου ἀποφατικὴ ἀναγκαία, πῶς ἐνδέχεσθαι μὴ ὑπάρχειν ἐξηγήσατο· οὐ γὰρ ὡς ἄλλο μὲν σημαίνοντος τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν· οὐ τοῦ κατὰ τὸν διορισμόν, ἀλλὰ τοῦ κατηγορουμένου καὶ τοῦ μὴ ὑπάρχοντος. τοῦτο γὰρ ἐδήλωσεν εἰπών· τὸ δὲ ἐνδέχεσθαι μὴ ὑπάρχειν ἐν τῷ συμπεράσματι, τὸν αὐτὸν τρόπον ληπτέον ὅνπερ καὶ ἐν τοῖς πρότερον. λέγει δὲ ἐν τοῖς πρότερον, ἐν οἷς ἡ μείζων, ὑπάρχουσα ἀποφατική· ἔδειξε γὰρ καὶ ἐν ἐκείνοις τὸ ἐνδέχεσθαι μηδενὶ ἢ τινὶ μή, ἴσον δυνάμενον τῷ λαμβάνεσθαι, τὸ μὲν, τῷ οὐδενὶ ἐξ ἀνάγκης· τὸ δὲ, τῷ οὐ παντὶ ἐξ ἀνάγκης. τῆς γὰρ ἐλάττονος ἐνδεχομένης οὔσης ἐπιμένει, ἀντὶ τοῦ ἀδιάστατον ἀπαγαγεῖν τὸ ὑποτίθεσθαι μὲν ἐξ ἀνάγκης παντί.

τῆς γὰρ ἐνδέχεσθαι τινὶ μή, ἀπόφασίς ἡ οὐκ ἐνδέχεσθαι τινὶ μὴ ὑπάρχειν· ἣ ἴσως μετα-
λαμβάνεται ὡς ἴση τῷ ἐξ ἀνάγκης παντί. εἰ γὰρ ὡς ἴση τῷ ἐξ ἀνάγκης μηδενὶ μεταλαμβάνοιτο, οὐ δύ-
ναται ἀδύνατον ἀπαντᾶν· ἡ γὰρ εὑρεθείσης ἀδυνάτου, ἡ ἀπόφασις ἂν αὐτῆς δεικνύοιτο.
ἡ τίς ἐστιν ἡ οὐ παντὶ ἐξ ἀνάγκης, ἥτις ἃ μὲν ἴσον δύναται τῇ ἐνδέχεσθαι τινὶ μή.
τὸ γὰρ ἐξ ἀνάγκης παντὶ ἄν, καὶ ἂν ἡ αὐτὴ τῇ οὐκ ἐνδέχεσθαι τινὶ μή· διὸ τὸ οὐκ ἐνδέχε-
σθαι τινὶ μὴ ἀληθές ἐστιν οὐ μόνον κατὰ τοῦ ἐξ ἀνάγκης παντί· ἀλλὰ καὶ κατὰ τῆς ἐξ ἀνάγκης
οὐδενί· οὐκέτ' οὖν ἴση ἐστὶν ἡ οὐ παντὶ ἐξ ἀνάγκης, τῇ ἐνδέχεσθαι τινὶ μή· κατὰ τὴν ἀ-
πόφασιν αὐτῆς μεταλαμβάνεσθαι, οὐκ ἂν εἴη ἰσοδυναμοῦσα αὐτῇ, ἀλλ' ἔστιν ἀντὶ τῶν ἑαυτῇ.
ὑπ' αὐτῶν καθ' ὧν ἀληθεύεται· οὐ γὰρ μόνον κατὰ τοῦ παντὶ ἐξ ἀνάγκης, ἀλλὰ καὶ κατὰ
τοῦ ἐξ ἀνάγκης οὐδενί, ἀληθής ἐστιν· ὅτι μὲν ἡ καταφατικὴ ἀληθὴς ἐπ' αὐτῆς· ἡ οὐκ ἐν-
δέχεσθαι τινὶ μὴ ὑπάρχειν λέγουσα. ὥστε καὶ ἡ κατάφασις αὐτῆς ἡ ἐνδέχεσθαι τινὶ
μή, οὐ κατὰ τῆς οὐ παντὶ ἐξ ἀνάγκης μόνον ἀληθής, ἀλλὰ καὶ κατὰ τῆς οὐκ ἐ-
ξ ἀνάγκης τινί. ὥστε ἡ μέν, οὐ παντὶ ἐξ ἀνάγκης, τὸ καθόλου καταφατικὸν ἀνα-
ιρεῖ· ἀληθεύεται δὲ καὶ κατὰ τῆς οὐδενὶ ἐξ ἀνάγκης· ὅτι καὶ ψευδὴς ἐπ' αὐτῆς ἡ παντὶ
ἐξ ἀνάγκης, ἐφ' ἧς οὐκέτι ἀληθὴς ἡ οὐκ ἐνδέχεσθαι τινὶ μή· τὸ γὰρ ἀληθὲς ἐ-
π' αὐτῆς ἡ ἐνδέχεσθαι τινί, ἀναιρεῖ δὲ καὶ ἡ οὐκ ἐξ ἀνάγκης τινί, τὸ ἐπὶ μέρους
ἀναγκαῖον, ἀμφότερα δὲ ἅμα, πᾶν τὸ ἀναγκαῖον· ὃ καὶ ἡ ἐνδέχεσθαι τινὶ μή.
διὸ καὶ ἀμφότεραι ἅμα ἐστὶν ἴση· τὸ οὐδενὶ ἐξ ἀνάγκης καὶ οὐ παντὶ ἐξ ἀνάγκης
ἀληθῆ καὶ κατὰ τῶν ὑπαρχόντων μὲν οὐκ ἐξ ἀνάγκης δέ. ἃ μὴ δὲ καὶ ἃ δέδεικ-
ται ἡμῖν, πολλαπλαῖ αἰτίαι αὐτοῦ προτάσεις ἐπεὶ μὴ ἐνδε— χόμεναι· ἡ γὰρ
ζητούμενον τοῦτο· ἔδει γὰρ ἢ ἀναγκαίας, ἢ ὑπαρχούσας ἢ ἐνδεχομένας. λέγει
γὰρ ὅτι ὑπάρχουσαι ἅπαν ἢ τὸ μὴ ὑπάρχειν· τινὶ δὲ διαφέρει τὸ οὐδενὶ ἐξ ἀνάγκης
τοῦ ἐξ ἀνάγκης οὐδενί, ἐδηλώθη ἅπαν· τοῦ δὲ ἐξ ἀνάγκης μὴ ὑπάρχειν, οὐκ ἔσται
συλλογισμός· ἕτερον γάρ ἐστι τὸ μὴ ὑπάρχειν ἐξ ἀνάγκης ὃ ἐδείχθη συναγόμενον.
τὸ ἐν τῇ μίξει τῇ ἐξ ὑπαρχούσης ἀποφατικῆς τῆς μείζονος καὶ ἐνδεχομένης
καταφατικῆς τῆς ἐλάττονος, καὶ τὸ ἐξ ἀνάγκης μὴ ὑπάρχειν. ἡ μέν, γὰρ ὑπάρχουσα
ἐστὶν ἡ δὲ ἀναγκαία: ὅτι μὲν οὖν καὶ τῶν καταφατικῶν ὄντων.

Τί ἐν τῆς μίξεως τῆς ἐξ ἀναγκαίας καὶ ἐνδεχομένης οὐ γίνεται τὸ συμπέρασμα
ἀναγκαῖον, δείκνυσι πρῶτον ἐπὶ τῶν καταφατικῶν ἀμφοτέρων· τῆς δὲ μείζονος
ἀναγκαίας· ὑπαρχέτω γὰρ τὸ μὲν α παντὶ τῷ β ἐξ ἀνάγκης· τὸ δὲ β παντὶ τῷ γ
ἐνδεχέσθω,

ὁ μὲν δὴ συλλογισμὸς ἀτελής. ἦσαν γὰρ ὡς ἔφαμεν οἱ τέλειοι, ἐν οἷς ἡ μείζων
ἐνδεχομένη· ἐν οἷς δὲ ἡ μείζων ἐστὶν ἀναγκαία, καὶ οὐ τοιοῦτοι δεικνύμενοι διὰ τῆς
εἰς ἀδύνατον ἀπαγωγῆς· ὥσπερ ἐδείκνυτο, καὶ ἐν οἷς ἡ μείζων ὑπάρχουσα
ἦν. διὸ οὐδὲ οὗτοι τέλειοι. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης· τὸ δὲ Β παντὶ
τῷ Γ ἐνδέχεται· τὸ Α παντὶ τῷ Γ ἐνδέξεται. εἰ γὰρ μὴ, τὸ ἀντικείμενον οὐ παντὶ
ἐνδέξεται· ὃ μεταληφθὲν καὶ ἐν ἑκάσταις ταῖς συζυγίαις, εἰς τὸ ἐξ ἀνάγκης
τινὶ μή· ᾧ κειμένῳ ἂν προσληφθῇ τὸ Β παντὶ τῷ Γ ὑπάρχειν, μεταλη-
φθείσης πάλιν τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν, ἔσται ἐν τρίτῳ σχήματι
ἀποφατικὸν ὑπάρχον ἐπὶ μέρους τὸ συμπέρασμα· τὸ γὰρ Α τινὶ τῷ Β οὐχ
ὑπάρξει· ὃ ἀδύνατον· ὑπέκειτο γὰρ παντὶ τὸ Α ἐξ ἀνάγκης ὑπάρχειν. ἀδύνατον
ἄρα ἂν ὑποληφθὲν ἢ τοῦ τῇ ὑποθέσει· ἡ οὐ μὴν ἐνδέχεται παντί. ἀληθὴς ἄρα ἡ κατά-
φασις, ἡ ἐνδέχεται παντί· τοῦτο ἄρα ἐνδέχεσθαι τὸ συμπέρασμα. οὐ γὰρ
δὴ παντὶ ἐξ ἀνάγκης ἔσται τὸ Α τῷ Γ. ἐνδεχομένης οὔσης τῆς ἐλάττονος. ἢ καὶ
ἐν τούτῳ τῷ μέρει πάλιν ἀποδεικνύμενον, οὐ τὸ ἐνδέχεται παντί. ἀλλὰ
τὸ ἰδίως ἀντικείμενον τῷ, οὐ μὴν ἐνδέχεται τινὶ μή, ὅπερ ἐστὶ τὸ, οὐδενὶ ἐξ ἀνάγκης
οὐχ ὑπάρξει. εἰς τοῦτο γὰρ ἡ μετάληψις ἐγένετο τῆς, οὐ μὴν ἐνδέχεται παντί.
ἥτις ἂν μὴ ἴσως ἐστὶ τῇ οὐ μὴν ἐνδέχεται παντί, ἀληθὴς ἀναγκαίως κατὰ τοῦ ἐξ ἀνάγκης
τινὶ ὑπάρχοντος· καὶ κατὰ τοῦ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχοντος. εἰς δὲ τὸ ἐξ ἀνάγκης
ὑπάρχειν τινὶ γενομένης τῆς μεταλήψεως τῆς οὐ μὴν ἐνδέχεται παντί, ἐν ταύτῃ
τῇ συμπλοκῇ οὐδὲν ἀδύνατον συνάγεσθαι. εἴρηται δὲ ἡ μὲν περὶ τούτου ἐν
τοῖς πρώτοις. τὸ δὲ, οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχειν, ἀντικείμενον πάλιν ἀναιρετικὸν
τοῦ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν· ὥσπερ τοῦτο, οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχειν, ἀναι-
ροῦν τὸ, τινὶ ἐξ ἀνάγκης ὑπάρχειν. ἀντικεῖται γὰρ ἡ, οὐδενὶ ἐξ ἀνάγκης οὐχ ὑ-
πάρχει, ἀληθὴς καὶ ἐπὶ τῶν ἐξ ἀνάγκης τινὶ ὑπαρχόντων, ὁποία ἐστὶν ἡ λέ-
γουσα· οὐδενὶ σώματι ἐξ ἀνάγκης τὸ κινεῖσθαι οὐχ ὑπάρχει· ἔστι γὰρ ᾧ ἐξ ἀνάγκης
ὑπάρχει· ὡς τῷ κυκλοφορητικῷ. εἴρηται δὲ ἡ μὲν περὶ τούτου ἐν τοῖς πρώτοις.
δυνατὸν μέντοι καὶ μὴ μεταλαμβανομένου τοῦ ἐνδέχεσθαι εἰς τὸ ὑπάρχειν,
ἀλλ᾽ ἐπιτηρουμένου αὐτοῦ, τὸ Β τῷ Γ ἐνδέχεσθαι παντί, δείκνυσθαι τὸ ἀδύνατον.
εἰ γὰρ ἡ τὸ Α τῷ Γ ἐξ ἀνάγκης τινὶ μή, τὸ δὲ Β τῷ Γ παντὶ ἐνδέχεται, συνάγεται
ἐν τρίτῳ σχήματι τὸ Α τῷ Β ἐνδέχεσθαι τινὶ μή· ὃ ἀδύνατον· παντὶ γὰρ

αὐτῷ ἐξ ἀνάγκης ὑπάρχει. ἀλλ' ἐπειδὴ μηδέπω περὶ τῆς ἐν τῷ τρίτῳ σχήματι μίξεως τῆς,
ἐξ ἐνδεχομένης καὶ ἀναγκαίας ὑπαρχούσης δέδεικται τὸ συνάγεσθαι· ἢ τίνα δεῖ
συμπεράσματα καὶ συλλογιστικαὶ ἐν αὐταῖς, διὰ τοῦτο τὴν μετάληψιν τῆς ἐνδεχομένης
εἰς τὴν ὑπάρχουσαν χρῆσθαι· εἴρηται γὰρ ἤδη περὶ τῶν μίξεων τῆς ἀναγκαίας τε
καὶ ὑπαρχούσης κατὰ πάντα τὰ σχήματα. δεῖ μέντοι εἰδέναι ὅτι τὸ ὅσον ἐπὶ τῆς δὲ
ἀδύνατον ἀπαγωγῆς τῆς γινομένης διὰ τοῦ πρώτου σχήματος· ἐπὶ τῆς μίξεως
τῆς ἐχούσης τὴν μείζονα καθόλου ἀναγκαίαν ἢ καταφατικὴν, ἢ ἀποφατικήν.
τὴν δὲ ἐλάττονα ἐνδεχομένην, ἢ ἀναγκαῖον ἢ ὑπάρχον ἢ ἐνδεχόμενον
συμπέρασμα γινόμενον. δείκνυσθαι δύναται· καταφατικῆς μὲν οὔσης τῆς
ἀναγκαίας, καταφατικά· ἀποφατικῆς δὲ ἀποφατικά. αὐτὸς δὲ εἴρηκε
τοῦ δὲ ἐξ ἀνάγκης μὴ ὑπάρχειν οὐκ ἔσται συλλογισμός. ἐζήτηται δὲ περὶ τούτων ἐπὶ
πλέον ἡμῖν ἐν τῷ περὶ μίξεων γεγραμμένῳ βιβλίῳ:· πάλιν εἰ μὲν τὸ α ἐνδέ-
Δ ἀναγκαῖον ὅτι τῆς μείζονος καθόλου καταφατικῆς ἐνδεχομένης οὔσης χεσθαι·
τῆς δὲ ἐλάττονος καθόλου ἀναγκαίας καταφατικῆς, ἀναγκαῖον συνάγ-
εται· ἄρα καὶ ὅτι τὸ ἄλλο ὅσον ἐπὶ τῆς τοιαύτης συζυγίας συλλογισμὸς ὑπο-
μιμνήσκει. διὰ γὰρ τοῦ καὶ τὰ πάντα δείκνυται τὸ καὶ τὸ ἐνδιορισμὸν ἐνδεχό-
μενον συναγόμενον:· ἐὰν δὲ ἡ μὲν στερητικὴ ᾖ πρότασις·
Τ οὔτ' ἐστὶν ἀνάγκη ἑτέρα ἢ μόνον καταφατική. δείκνυσι δὲ τίνες οὕτως ἐχουσῶν
τῶν προτάσεων, συζυγίαι συλλογιστικαί· καὶ ὅτι μηδὲ μία ἀναγκαῖον συνάγει.
λαμβάνει δὲ πρῶτον τὴν μείζονα καθόλου ἀποφατικὴν ἀναγκαίαν· τὸ γὰρ
α μηδενὶ ἐνδέχεσθαι τῷ β. ὃ ἐξ ἀνάγκης μηδενὶ ὑπάρχειν αὐτῷ σημαίνει.
τὴν δὲ ἐλάττονα τὴν βγ, καθόλου καταφατικὴν ἐνδεχομένην. ἐπὶ δὴ
ταύτης τῆς συζυγίας φησὶν, ἀναγκαῖον εἶναι τὸ α τῷ γ μηδενὶ ὑπάρχειν.
οὐ τοῦτο λέγων ὅτι ἐξ ἀνάγκης μηδενί. οὐ γὰρ τὸ ἀναγκαῖον ἐν τῷ συμπεράσματι
τίθησιν, ἀλλὰ τοῦτο, τὸ συμπέρασμα τοῦτο ἔσεσθαι, δηλονότι τὸ ἐξ ἀνάγκης
παρέθετο. συλλογιστικαὶ δὲ αἱ συζυγίαι αὗται, αἱ ἐξ ἀνάγκης συνά-
γουσι· τοιαῦται δέ εἰσιν ἐπὶ πάσης ὕλης κεῖνται τὸ αὐτό. ὅτι γὰρ ὑπάρχον
ἀποφατικὸν ἔλαβε συμπέρασμα, δῆλον ἐκ τοῦ τὸ ἀντικείμενον αὐτοῦ
τὸ ὑποτεθέμενον ὑπάρχειν τούτου, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεῖξαι τοῦτο
γινόμενον τὸ συμπέρασμα, ὑπάρχον καταφατικὸν ὑποτίθεσθαι. ἀλλ' οὐ

καὶ ἐνδεχόμενον

ὅ ἐστι τῷ ἀντικειμένῳ ἀντικείμενον· ἐπεὶ γὰρ ἐκεῖσθαι ὑπάρχον τὸ δὲ ἢ παντὶ ἢ τινί.
εὐπρεπῶς οὖν καὶ δεῖ ὑποθέσθαι ὅτι καὶ τὸ πρὸ αὐτῶν ὑποτεθὲν τὸ ἀδύ-
νατον ἐπακολουθεῖ· ἀπὸ δὲ τῆς ἀντιφατικῆς ἀντικειμένης τῇ μηδενὶ ὑπάρ-
χειν λεγούσῃ· ἡ τὸ τινὶ ὑπάρχειν τεθεῖσα ἐστί· λαβὼν δὴ ὁ ὑποθέμενος τὸ ἀντι-
κείμενον τοῦ συμπεράσματος, τὸ, τὸ α τινὶ τῷ γ ὑπάρχειν· προσλαμβάνει
τὴν ἀντιστρέφουσαν τῇ α β ἀναγκαίαν· ὡς γὰρ τὸ α οὐδενὶ τῷ β ἐξ ἀνάγκης.
καὶ τὸ β δὴ οὐδενὶ τῷ α ἐξ ἀνάγκης· ἀλλὰ καὶ τὸ α καὶ τινὶ τῷ γ ὑπάρχειν
ἢ παντί, συνάγεται ἐν πρώτῳ σχήματι ἐξ ἀναγκαίας ἀποφατικῆς καθόλου
τῆς μείζονος· καὶ ὑπαρχούσης καταφατικῆς τῆς ἐλάττονος· ἢ ἐπὶ μέρους
ἢ καθόλου ἀναγκαῖον ἀποφατικὸν τὸ συμπέρασμα· γίνεται δὴ τὸ β τινὶ
τινὶ τῷ γ ἐξ ἀνάγκης μὴ ὑπάρχον· ἢ οὐδενὶ ὅπερ ἀδύνατον· ἔκειτο γὰρ
τὸ β παντὶ τῷ γ ἐνδέχεσθαι· τὸ ἄρα ἀντικείμενον τοῦ ὑποτεθέντος
ἐστὶν ἀληθὲς ἑπόμενον τῇ προκειμένῃ συζυγίᾳ· τὸ, τὸ α μηδενὶ τῷ γ ὑπάρχειν.
ὃ δὲ τοῦ μηδενὶ ὑπάρχειν καὶ τοῦ ἐνδέχεσθαι μηδενί· ἐπεὶ τὸ ἐνδέχεσθαι,
κατὰ τοῦ ὑπάρχοντος κατηγορεῖται· τὸ μὲν γὰρ ὑπάρχον, ἐνδεχόμενον
ἀληθὲς εἰπεῖν· τὸ δ' ἐνδεχόμενον, οὐ πάντως ὑπάρχον· δεῖ δὲ ἀδύνατον εἶναι ἀληθῆ
ὄντος τοῦ, ἐν τοῖς ἐξ ἀναγκαίας τῆς μείζονος· καὶ ὑπαρχούσης τῆς ἐλάττονος
μὴ ἐξ ὧν ἐν τῷ πρώτῳ σχήματι, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα ἢ δέδεικται
ἡ προειρημένη τέχνη· τὸ δὲ ὑπάρχον ἀεὶ γινόμενον τὸ συμπέρασμα, οὐδὲν
ἀδύνατον συνάγεσθαι· τὸ γὰρ β τινὶ τῷ γ μὴ ὑπάρχειν ἢ μηδενὶ ὑπάρχειν
συναχθήσεται· κείμενον ἐνδέχεσθαι παντὶ αὐτῷ, τοῦτο δὲ οὐκ ἀδύνατον· μήποτε
οὖν ἀληθὲς βούλεται τὸ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, καὶ ἐν τῇ τοιαύτῃ μίξει
συνάγεσθαι· κειμένου γὰρ τοῦ, τὸ α τῷ β ἐξ ἀνάγκης μηδενί· καὶ τὸ β τῷ γ παντὶ ἐνδέ-
χεσθαι· συναχθήσεται τὸ α τῷ γ ἐνδέχεσθαι μηδενί· ἀλλὰ γὰρ μή· τὸ ἀντικείμενον
οὐκ ἐνδέχεσθαι μηδενί τουτέστιν ἐξ ἀνάγκης τινί· καὶ οὔσης ὡς μείζονος ἀναγκαίας
καταφατικῆς· οὔσης δὲ καὶ τῆς β α ἀναγκαίας ἀποφατικῆς καθόλου καὶ τῇ ἀντιστροφῇ
τῆς α β, γίνεται καὶ διὰ τὸ ἀναγκαῖον, ἀναγκαῖον τὸ συμπέρασμα· τὸ β τῷ γ τινὶ
ἐξ ἀνάγκης μὴ ὑπάρχειν· ὅπερ ἀδύνατον· παντὶ γὰρ ἐνδέχεται αὐτῷ. ἀδύνατον ἄρα
καὶ τὸ, τὸ α ἐξ ἀνάγκης τινὶ τῷ γ· τὸ ἄρα ἀντικείμενον τὸ, ἐνδέχεται μηδενί. ἢ οὐδὲ
οὕτως ἐνδεχόμενον ἔσται τὸ συμπέρασμα· συναχθήσεται γὰρ τὸ, τῷ ἐξ ἀνα-

τινὶ ἀντικείμενον· ὅ ἐστιν οὐδενὶ ἐξ ἀνάγκης, ὅπερ ὅτι ἄτοπον ἐστὶ τῆς ἐνδεχομένης,
φανερὸν δέδεικται τόδε, ὡς τοῦ παντὶ τῷ Γ τὸ Β ἐνδέχεται ὑπάρχειν· ὃ ὑπέκειτο
ἐξ ἀρχῆς· ἴσον ἐστὶ τῷ· ὥστε συμβήσεται τὸ Β τῷ Γ μὴ παντὶ ἐνδέχεσθαι ὑπάρχειν.
ὡς ἡ ὅπερ οὐκ ἔλαβε τῷ μὴ παντὶ ὑπάρχειν τοῦ τὸ παρὰ ἀντικείμενον τὸ δεικνύμενον συνανα-
γκάσθαι· βουλόμενος γὰρ δεῖξαι ὅτι μηδενὶ ὑπάρχει, τούτῳ ἐχρήσατο· ὃ δ᾽ ἦν τὸ
μὴ ὑπάρχον καθόλου ἀποφατικὸν διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς ὡς αὐτὸς
ἐβουλήθη δεῖξαι τὸ συμπέρασμα γινόμενον ἐπὶ τῇ προκειμένῃ συμπλοκῇ,
διὰ τοῦ β´ τοῦ σχήματος· ἀπὸ γὰρ μὴ ἀληθὲς τὸ, τὸ Α μηδενὶ τῷ Γ, ἀληθὲς ἔσται
τὸ τινί· ὃ δὴ προσληφθὲν τῇ ἐνδεχομένῃ ἐστὶ τῷ ὑπάρχον, ... ληφθέντος
τὸ Β τῷ Γ παντί, συναχθήσεται τὸ Α τινὶ τῷ Β ὑπάρχειν· ὃ ἀδύνατον· ἔκειτο
γὰρ ἐξ ἀνάγκης μηδενὶ ὑπάρχειν:· πάλιν ἐὰν ἡ μὲν ἡ κατηγορικὴ πρότασις
ἀναγκαία, ἡ τὸ μὲν Α ἐνδέχεσθαι μηδενὶ τῷ Β ὑπάρχειν:·

Λαμβάνει πάλιν συζυγίαν ἐν ᾗ ἡ μὲν μείζων ἐνδεχομένη καθόλου ἀποφατική
ἐστιν· ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἀναγκαία· καὶ δείκνυσιν ὅτι τὸ
συμπέρασμα ἐνδεχόμενον οὐκ ἀναγκαῖον· καὶ ὅτι ὁ συλλογισμὸς τέλειος· διὰ
γὰρ τοῦ κατὰ μηδενὸς τὸ Α τοῦ Β ἐνδεχομένως, δείκνυται τὸ συμπέρασμα·
δεικνὺς δὲ ὅτι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα,
φησὶν εἴτε γὰρ πρότασις οὕτως ἐλήφθη ἡ ἀπὸ τοῦ μείζονος ἄκρου· τουτέστιν εἴτε γὰρ
μείζων πρότασις, ἐνδεχομένη ἐλήφθη· ἐρρήθη δὲ ἡ μὲν ὅτι τῆς μείζονος ἐνδε-
χομένης, τέλειοι οἱ συλλογισμοί· καὶ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου,
ἐνδέξεται γὰρ καὶ τῷ Γ τὸ Α· ἐπεὶ τὸ Β ἐστὶν ᾧ παντὶ ἐνδέχεται· τὸ δέ, καὶ ὡς τὸ
ἀδύνατον οὐκ ἔστιν ἀναγκαῖον, διὸ οὐ τέλειος ἐστίν· ἀπὸ ὧν ὅτι ἀντικειμένων φανερὸν
ἐστὶν ἐπὶ ταύτης τῆς συζυγίας ὅτι ἐνδεχόμενον καθόλου ἀποφατικὸν γίνεται
τὸ συμπέρασμα· ἐπεὶ γὰρ ἀλλ᾽ οὐ τοῦ μὴ ὑπάρχειν· ἀλλὰ τοῦ ἐνδέχεσθαι
μὴ ὑπάρχειν, προστίθησιν ὅτι οὐ γὰρ διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς ἐστὶ δεῖξαι
τοῦ ὑπάρχειν γινόμενον τὸ συμπέρασμα· ὡς ἀπὸ τῆς πρὸ αὐτῆς συζυγίας
ἐποιησάμεθα· εἰ γὰρ ὡς ἐπὶ ἐκείνης, καὶ ἐπὶ ταύτης λαβόντες τὸ Α τῷ Γ μηδενὶ
ὑπάρχειν, τὸ ἀντικείμενον αὐτοῦ, τὸ τινὶ ὑπάρχειν· ἢ καὶ τὸ, παντὶ ὑποθοί-
μεθα θέλοντες δεῖξαι τοῦ μηδενὶ ὑπάρχειν γινόμενον τὸ συμπέρασμα, ἀλλ᾽
οὐ τοῦ ἐνδέχεσθαι μηδενί· ἀτεκμάρτως ταύτῃ προσλαμβοίμεν τὸ Α τῷ Β ἐνδέχεσθαι
μηδενί.

ἀσυλλόγιστος ἢ οὐ συνάγεται. οὔτε ἐν δευτέρῳ σχήματι ἐκ καταφατικῆς ὑπάρ-
χούσης ἐπὶ μέρους καὶ καθόλου ἀποφατικῆς ἐνδεχομένης. τῷ τὸ ἐνδεχόμενον
ἢ τὴν ἀναγκαίαν καταφατικήν. οὐ πρόδηλος δὲ ἡ δεῖξις. ἀσαφῆ δὲ τὴν δεῖξιν διὰ συντο-
μίαν πεποίηκε. λαβὼν γὰρ αὐτὴν τὴν ἐνδεχομένου ἀποφατικὴν τὴν καθόλου,
ὑπάρχον· ἀποφατικὸν καθόλου τὸ συμπέρασμα, καὶ ὅτι δείκνυται τοῦτο
συναγόμενον, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς βουλόμενος δεῖξαι, οὐκ ἔτι
ἔλαβε τὸ ἀντικείμενον αὐτοῦ καὶ ὑποθέσθαι. τοῦτο δὲ ἔστι τὸ ἐπὶ μέρους ὑπάρ-
χον καταφατικόν. τὸ, τὸ α τῷ γ τινὶ ὑπάρχειν, ὅμως δὲ τοῦ, τὸ α τῷ β ἐνδέχεσθαι
μηδενί, οὐδὲν συνάγεται. ἀλλ' ὡς γνώριμον ὂν τοῖς τοῦ φανεροῦ τοῖς μὴ καταληφθῆναι
τε ὑποτεθῆναι τοῦ καθόλου ἀποφατικοῦ ὑπάρχοντος. ὅτι τὸ ἐπὶ μέρους
καταφατικὸν ὑπάρχον, παρὰ ἃς τῆς μόνον προσέλαβε τὸ, καθ' οὗ ἐκεῖνο οὐδὲν
συνάγεται.      φέρεται μέντοι ἐν τοῖς ἀντιγράφοις. εἰ γὰρ ὑπόκειται τὸ α
τῷ γ τινὶ μὴ ὑπάρχειν. καὶ εἰ αὕτη ἡ γραφή, δεῖ αὖ πάλιν παραμένον,
ὅτι τὸ α τῷ γ μηδενὶ ὑπάρχειν. οὐ τὸ ἀντικείμενον τοῦ, τὸ α τινὶ τῷ γ ὑπάρ-
χειν. μετὰ τοῦ, τὸ α τῷ β ἐνδέχεσθαι μηδενί, οὐδὲν συνάγεται. ἀλλ' οὐδὲ τὴν πρὸς
λαμβανομένην τῇ ὑποθέσει τῇ τὸ α τινὶ τῷ γ ὑπάρχειν λαμβανούσῃ, τὴν τὸ β
παντὶ τῷ γ ὑπάρχειν, οὐδὲν ἀδύνατον συναχθήσεται. συναχθήσεται μὲν τὸ
ἐν τρίτῳ σχήματι τὸ α τινὶ τῷ β ὑπάρχειν ὃ οὐκ ἔστιν ἀδύνατον. ὃ ἐνδέχεται
μηδενὶ τὸ α. τούτῳ τινὶ ὑπάρχειν αὐτὸ τοῦτο. ὅτι ἐνδεχομένου τὸ συμπέρασμα
ἀνέστι δεῖξαι. καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ μὴ ἀληθὲς τὸ, τὸ α ἐνδέ-
χεσθαι μηδενὶ τῷ γ, ἀληθὲς ἔσται τὸ οὐκ ἐνδέχεσθαι μηδενί. τοῦτ' ἔστι τὸ ἐξ ἀνάγ-
κης τινί. κείσθω δὲ καὶ τὸ β τῷ γ ἐξ ἀνάγκης παντί. ἐξ ὧν ἐν τρίτῳ σχήματι συνάγεται
τὸ α τῷ β ἐξ ἀνάγκης τινί. τοῦτο δὲ ἀδύνατον· ἔκειτο γὰρ αὐτῷ μηδενὶ ἐνδέ-
χεσθαι, ὥστε καὶ παντί. ἀδύνατον ἄρα τὸ α τινὶ τῷ γ ἐξ ἀνάγκης. ἀληθὲς ἄρα
τὸ ἐνδέχεσθαι μηδενί. ἔσται γὰρ συμπέρασμα καὶ τοῦτο κατὰ τὸν διορισμὸν ἐνδε-
χομένου. ἀλλ' οὐ τοῦ οὐδενὶ ἐξ ἀνάγκης ὡς ἐπὶ τῶν ἄλλων. ἀφ' ὧν καὶ μετάληψις
τοῦ οὐκ ἐνδέχεσθαι μηδενὶ εἰς τὸ τινὶ ἐξ ἀνάγκης γίνεται. ἐπὶ γὰρ τῆς προκειμένης
μίξεως καὶ τὸ οὐκ ἐνδέχεσθαι μηδενὶ μεταληφθὲν πάλιν εἰς τὸ ἐξ ἀνάγκης τινὶ μὴ
καθ' οὗ καὶ αὐτοῦ ἀληθοῦς ὄντος τοῦ οὐκ ἐνδέχεσθαι μηδενί, ὁμοίως ἀδύνατον συνάγεται
τὸ α τινὶ τῷ β ἐξ ἀνάγκης μὴ ὑπάρχειν, ὃ παντὶ ἐνδέχεσθαι ἔκειτο. ὥστε

ἢ καθ᾽ ἑκάτερον τούτων καθ᾽ ὧν ἀληθεύεται· τὸ οὖν μὲν ἐνδέχεται μηδενὶ ὑπάρχειν τε ἀδιαφόρως τὸ ἐπ᾽ ἴσης· δηλονότι τὸ τούτῳ ἰδίως ἀντικείμενον ἤγουν ἀντιδιαιρούμενον. τοῦ τὸ δὲ ἀεὶ τὸ ἐνδέχεσθαι μηδενί:· +

ἂν δ᾽ ἡ πρὸς τῷ ἐλάττονι ἄκρῳ τεθῇ τὸ στερητικόν· +

Ἂν μὲν ἡ μείζων ᾖ καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική, ἐν τῇ ἐξ ἀναγκαίας καὶ ἐνδεχομένης μίξει· οὐκ ἂν στερητικὴ οὖσα ἡ ἐλάττων ἡ ἐνδεχομένη, συλλογιστικήν φησιν ἔσεσθαι συζυγίαν ἀντιστραφείσης τοῦ ἐνδεχομένου ἀποφατικοῦ εἰς τὸ καταφατικόν· ὅταν δὲ ἡ ἐλάττων οὖσα ἀποφατικὴ ἀναγκαία ᾖ, τῆς μείζονος οὔσης καταφατικῆς ἐνδεχομένης, οὔ φησιν ἔσεσθαι συλλογισμόν. τὸ δ᾽ αἴτιον ὅτι καὶ τὸ ἡ μὲν ἀδιάφορον οὖσα ἐν πρώτῳ σχήματι, ἀποφατικῆς οὔσης τῆς ἐλάττονος, γίνεσθαι συλλογισμόν. ὅταν μὲν οὖν ἐνδεχομένη ληφθῇ ἀποφατική, ἐστὶ καταφατικὴν οἷά τε ἐστὶ μεταληφθῆναι· ἂν δὲ ἀναγκαία ληφθῇ, μένουσα ἀποφατική, οὐ ποιεῖ συλλογισμόν· ἀλλ᾽ οὐδ᾽ ἐὰν ἀμφότεραι αἱ προτάσεις ἀποφατικαὶ ληφθῶσιν, ἀναγκαία δὲ ἡ ἐλάττων. ἐλέγχει δὲ τὰς ἀσυλλογίστους τῶν συζυγιῶν τὰς ἐχούσας τὴν ἐλάττονα ἀναγκαίαν ἀποφατικήν, τῇ τῶν ὅρων παραθέσει, δείξας οὕτως ἐχόντων, καὶ τὸ παντὶ ἐξ ἀνάγκης καὶ τὸ μηδενὶ συναγόμενον συνάγεσθαι. τοῦ μὲν οὖν παντὶ ὅροι· λευκόν· ζῷον· χιών. τὸ γὰρ λευκὸν ἐνδέχεται παντὶ ζῴῳ καὶ ἐνδέχεται μηδενί· τὸ δὲ ζῷον ἐξ ἀνάγκης οὐδεμιᾷ χιόνι· ἔστι τὸ λευκὸν πάσῃ χιόνι ἐξ ἀνάγκης. τοῦ δὲ μὴ ὑπάρχειν· λευκόν· ζῷον· πίττα. ὁμοίως γὰρ ἔχουσι τῶν προτάσεων· οὐδεμιᾷ πίττῃ λευκὸν ἐξ ἀνάγκης. ἴσως δὲ ἀληθέστερον ἀντὶ τοῦ ζῴου λαβεῖν ἵππον· ἐπεὶ μὴ ἀληθὲς τὸ λευκὸν ἐνδέχεσθαι μηδενὶ ζῴῳ. τὸν αὐτὸν δὲ τρόπον φησὶν ἔσεσθαι καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν· ὡς πρότερα ἀμφότερα καθόλου ᾖ, ἢ καὶ ἡ μὲν καθόλου ἡ τῶν προτάσεων, ἡ δὲ ἐπὶ μέρους. ἐν γὰρ ταῖς συλλογιστικαῖς συζυγίαις ἐν τῇ προκειμένῃ μίξει, μὴ οὔσης ἀμφοτέρων καθόλου· ἂν μὲν ἡ μείζων ᾖ καθόλου ἀποφατικὴ ἀναγκαία, ἡ δὲ ἐλάττων ἐπὶ μέρους ἐνδεχομένη καταφατική, ἐπὶ μέρους ἀποφατικόν φησιν ἔσεσθαι τὸ συμπέρασμα· οὐ μὴν ἐνδεχόμενον, ἀλλὰ ὑπάρχον. ὁ δ᾽ ἔλεγχος οὕτως· τὸ α τῷ β ἐξ ἀνάγκης μηδενί· τὸ β τῷ γ ἐνδέχεται τινί· τὸ δὴ α τινὶ τῷ γ οὐχ ὑπάρχει· εἰ γὰρ μή, τὸ ἀντικείμενον· παντὶ ὑπάρχει τὸ α τῷ γ· τῷ δὲ β τὸ α ἐκ τοῦ ἐξ ἀνάγκης μηδενί· γίνεται ἐν β σχήματι συζυγία·

τῆς ἐξ ἀνάγκης ἀποφατικῆς τῆς μείζονος, ἢ καθόλου καταφατικῆς ὑπαρχούσης
τῆς ἐλάττονος, συνακτικὴ μέν ἐστιν· οὐ μὴν ἔτι ἐδείχθη καθόλου ἀποφατικὸν ἀναγκαῖον γινό-
μενον τὸ συμπέρασμα. ἀντιστραφείσης γὰρ τῆς ἀναγκαίας γίνεται τὸ β τῷ α
ἐξ ἀνάγκης οὐδενί· ὑπόκειται δὲ τὸ α τῷ γ παντὶ ὑπάρχειν· γίνεται τὸ β ἐξ ἀνάγκης
οὐδενὶ τῷ γ· ὅπερ ἀδύνατον· ἔκειτο γὰρ ἐνδέχεσθαι παντί· ἀδύνατον ἄρα τὸ ὑπο-
τεθὲν συμπέρασμα ἀντὶ τοῦ ἀκολουθοῦντος· ὧδε τὸ α παντὶ τῷ γ. τὸ ἄρα ἀντι-
κείμενον ἀληθές· τὸ τὸ α μὴ παντὶ τῷ γ ὑπάρχειν· ὑπάρχον δὴ τὸ συμπέρασμα.
ἀλλ' ἂν μὲν δείξεις αὐτῇ ἐπισυγχωρουμένου τοῦ ἐξ ἀναγκαίας τῆς μείζονος,
τε ὑπαρχούσης τῆς ἐλάττονος, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα. ἐνέστι
δὲ ἢ χωρὶς τούτου, ἐνδεχόμενον κατὰ μέρος ἀποφατικὸν δεῖξαι τὸ συμπέ-
ρασμα· ἐν τῇ προκειμένῃ συζυγίᾳ γινόμενον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς
ἀναμφιλέκτως· εἰ γὰρ μὴ ἀληθὲς τό, τὸ α ἐνδέχεσθαι τινὶ τῷ γ μὴ ὑπάρχειν,
ἀληθὲς ἔσται τὸ ἐξ ἀνάγκης παντί· κεῖται δὲ τὸ α τῷ β ἐξ ἀνάγκης οὐδενί·
ἔξω τοίνυν ἐν δευτέρῳ σχήματι τὸ β τῷ γ ἐξ ἀνάγκης οὐδενί· ὅπερ ἀ-
δύνατον· ἐνδέχεται γὰρ παντί· ἀληθὲς ἄρα τό, τὸ α ἐνδέχεσθαι τινὶ τῷ γ μὴ
ὑπάρχειν. ἂν μέντοι φησὶν ἐν τῷ ἀποφατικῷ συλλογισμῷ μὴ ᾖ ἡ μείζων
ἀναγκαία ἀποφατική· ἀλλ' ἡ ἐλάττων ἢ ἐπὶ μέρους ἀναγκαία κατα-
φατική· ὡς εἶναι τὴν μείζονα καθόλου ἀποφατικὴν ἐνδεχομένην. ἢ
πάλιν ἐν τῷ καταφατικῷ συλλογισμῷ ᾖ ἡ μείζων ἢ καθόλου καταφατική
ἀναγκαία, οὔσης τῆς ἐλάττονος ἐπὶ μέρους ἐνδεχομένης, οὔ φησιν ἔσεσθαι
τὸ συμπέρασμα ἔτι τοῦ ὑπάρχοντος, ἀλλὰ δηλονότι τοῦ καὶ τοῦ διορισμοῦ
ἐνδεχομένου. τοῦτο γὰρ προσυπακούειν δεῖ. οὔσης γὰρ τῆς μείζονος ἐνδεχομένης
ἀποφατικῆς· τῆς δὲ ἐλάττονος κατὰ μέρος ἀναγκαίας καταφατικῆς, κατὰ
μέρος ἀποφατικὸν ἐνδεχόμενον δύναται γινόμενον τὸ συμπέρασμα καὶ διὰ
τοῦ καὶ τὸ μηδενὸς τῷ γ μὲν ὑπὸ τὸ β εἶναι· τὸ δὲ α ἐνδέχεσθαι μηδενὶ τῷ β
ὥστε καὶ τινὶ τῷ γ ἐνδέχεσθαι μὴ ὑπάρχειν. οὕτως γὰρ ἔχει· ὅταν καθόλου κατα-
φατικὴ ἀναγκαία ἡ ἐλάττων ᾖ κατὰ τό. ἐφ' ἧς συζυγίας εἰς δεῖξιν τοῦ ἐνδεχό-
μενον γίνεσθαι τὸ συμπέρασμα. προσέχειν δεῖ τὸ μὴ δύνασθαι ὑπάρχον
δειχθῆναι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. οὐδὲ γὰρ ἐπὶ τῶν τῆς οἰονεὶ διὰ
τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ὑπάρχον ἀποφατικὸν κατὰ μέρος δειχθῆναι

τὸ συμπέρασμα· ἢ γὰρ ἐν δευτέρῳ σχήματι ἔσται ὁ συλλογισμὸς ἢ συμπλεκτικῶς,
ἢ ἐν τρίτῳ, μηδ' ἂν συνάγοιτο δι' ἀδυνάτου· ὡς καὶ ὅτε ἦν ἡ ἐλάττων ἀναγκαία
καθόλου καταφατικὴ τῆς μείζονος οὔσης ἀποφατικῆς ἐνδεχομένης, ὡς
ἐδείξαμεν. ἄξιον δ' ὡς πρόσθεν ἢ δι' ἃ εἶπεν ἐπιζητῆσαι, διὰ τί τῆς μεί-
ζονος ἀναγκαίας λαμβανομένης καθόλου ἀποφατικῆς, οὐκ ἔσται τὸ συμ-
πέρασμα ἀναγκαῖον ἀποφατικόν· αὕτη γὰρ τῆς α β οὔσης ἀναγκαίας
καθόλου ἀποφατικῆς· τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς ἐνδεχομένης,
ἀναγκαῖον καθόλου φαμὲν ἀποφατικὸν συνάγεσθαι, διὰ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς οὕτως ἔχον δειχθήσεται· εἰ γὰρ μὴ τὸ α τῷ γ ἐξ ἀνάγκης μηδενὶ ὑπάρξει,
ἐνδέχεται οὔ τινί· ἀλλὰ καὶ τὸ β τῷ γ ἐνδέχεται παντί· τὸ ἄρα α τῷ β ἐνδέχε-
ται τινί, ὅπερ ἀδύνατον· ἐξ ἀνάγκης γὰρ αὐτῷ ἔκειτο μηδενὶ ὑπάρχειν. ἀλλὰ
καὶ ἐπὶ μέρους καταφατικὸν ἐνδεχόμενον ἡ τὸ β γ, καὶ οὕτως ἔσται τὸ
ἐπὶ μέρους ἀποφατικὸν ἀναγκαῖον ἔσται τὸ συμπέρασμα· τὸ γὰρ α τινὶ
μὴ τῷ γ ἐξ ἀνάγκης· εἰ γὰρ μὴ παντὶ ἐνδέχεται· ἀλλὰ καὶ τὸ β τῷ γ τινὶ ἐνδέχεται·
τὸ ἄρα α τῷ β τινὶ ἐνδέξεται, ὅπερ ἀδύνατον· ἔκειτο γὰρ αὐτῷ ἐξ ἀνάγκης μη-
δενί· ἀληθὲς ἄρα τὸ α τῷ γ ἐξ ἀνάγκης μηδενὶ ὑπάρχειν. ἀλλ' ἡ β γ
ἐνδεχομένη καθόλου· ἢ τινί οὔ, ἂν αὐτὴ ἐπὶ μέρους λαμβάνοιτο ἐνδεχο-
μένη· ἀλλὰ περὶ μὲν τούτων, ὡς ἐπονήθη, ἐξήτηται ἡμῖν ἐν τῷ περὶ τῶν μι-
ξέων βιβλίῳ. πάλιν δ' εἰ ἂν ἀμφότεραι μὲν ὦσι καταφατικαί· ἡ δὲ μείζων
καθόλου τε καὶ ἀναγκαία, ἡ δὲ ἐλάττων ἐπὶ μέρους ἐνδεχομένη· τοῦτο γὰρ
ἐστὶ τό, ἢ τὸ καθόλου αὐτῷ κατηγορικοῦ· τὸ συμπέρασμα καὶ δὴ ἐνδεχόμενον
ἐπὶ μέρους καταφατικὸν ἔσεσθαί φησιν· ὡς πρὸ καὶ ὅτε ἦν τῆς μείζονος οὔσης
καθόλου καταφατικῆς ἀναγκαίας ἢ καὶ καθόλου ἐνδεχομένης· διὰ γὰρ τῆς
εἰς ἀδύνατον ἀπαγωγῆς ἐδείχθη συμπέρασμα γινόμενον ἐνδεχόμενον
καθόλου καταφατικόν· οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τῆς προκειμένης συζυγίας δεῖ
πλέον τοῦτο· κείσθω γὰρ ὑποκειμένοις· τὸ α τῷ γ ἐνδέχεσθαι τινὶ ὑπάρχειν·
εἰ γὰρ μὴ τὸ ἀντικείμενον, οὐκ ἐνδέχεται τινὶ ὑπάρχειν· τουτέστιν ἐξ ἀνάγκης μη-
δενί· ἀλλὰ καὶ τὸ β τῷ γ ἐνδέχεται τινί, ὃ μετειλήφθω, εἰς τὸ τινὶ ὑπάρχειν.
τὸ ἄρα α τινὶ τῷ β οὐχ ὑπάρξει· ἢ ἐνδέξεται τινὶ μὴ ὑπάρχειν, ἐν τρίτῳ
σχήματι· οὐδὲν γὰρ διαφέρει· ὁπότερα γὰρ ἂν ληφθῇ ἐνδεχομένως καὶ μετα-

ληφθῇ

ἐστὶ καὶ ὑπαρχούσης, πρόδηλον ὅτι ὁ λόγος· ἀδύνατον δὲ τὸ α τῷ β ἢ μὴ ὑπάρχειν
τινί· ἢ ἐνδέχεσθαι τινὶ αὐτῷ μὴ ὑπάρχειν· ὃ προαδύνατον· ὑπέκειτο γὰρ
αὐτῷ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν· τὸ ἄρα ἀντικείμενον τοῦ ὑποτεθέντος, ὅσον τὸ α
δύνατον ἢ καθόλου θησόμενον, ἐστίν· ἔστω δὲ τὸ ἐνδέχεσθαι τὸ α τινὶ τῷ γ· ὅ ἐστιν ἀδύνατον
τῷ μὴ ἐνδέχεσθαι τινί, τὸ ἐξ ἀνάγκης μηδενὶ εἰς ὃ μετελήφθη· ἔστω δὲ ἄρα
τὸ ζητούμενον ἰδίως τὸ οὐκ ἐξ ἀνάγκης μηδενί· ὃ ἀντίκειται τῷ ὑποτεθέντι·
ἂν μὲν τῷ μηδὲ τὸ ἐνδέχεσθαι τινὶ ληφθῇ συνάγεσθαι· ἀλλὰ τὸ τινὶ ὑπάρχειν·
ἐκ τούτου ὑποτεθέντος τὸ ἀντικείμενον τῷ μηδενὶ ὑπάρχειν προσληφθέντος
τοῦ, τὸ β τῷ γ ἐνδέχεσθαι τινί, συναχθήσεται τό, τὸ α τῷ β τινὶ μὴ ὑπάρχειν·
ἢ ἐνδέχεσθαι τινὶ μὴ ὑπάρχειν· ἃ προαδύνατα· ἔκειτο ἐξ ἀνάγκης αὐτῷ παντὶ
ὑπάρχειν· ὡς τῆς ἀναιρουμένης τῆς ὑποθέσεως, ζητούμενον, τὸ α τινὶ
τῷ γ ὑπάρχειν· λέγεται δὲ μὴ γίνεσθαι τοῦ ὑπάρχειν συμπέρασμα ἐν τῇ προ-
κειμένῃ συμπλοκῇ· ἐν δὲ μὴ κείμενη μείζων ἡ καθόλου· ἀλλ' ἡ ἐλάττων·
ὡς ἂν ληφθῇ ἡ ἐλάττων ἢ καταφατικὴ ἢ ἀποφατικὴ ἐνδεχομένη·
τῆς μείζονος οὔσης καθ' ὑπάρχουσαν ἀναγκαίας, οὐδεὶς ἔσται συλλογισμός·
ἐκ τούτου τῇ τῶν ὅρων παραθέσει δείκνυσιν· τοῦ μὲν γὰρ παντὶ ὑπάρχειν
ἐξ ἀνάγκης, ὅροι· ζῷον· λευκόν· κύκνος· τὸ γὰρ ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης
ὑπάρχει· ὡς κύκνῳ· ἀλλ' οὐ τινὶ λευκῷ οὐχ ὑπάρχει ὡς χιόνι· τὸ δὲ
λευκὸν παντὶ κύκνῳ ἐνδέχεται· ἀλλὰ καὶ ἐνδέχεται μηδενί· καὶ τὸ ζῷον
παντὶ κύκνῳ ἐξ ἀνάγκης· τοῦ δὲ μηδενί, ζῷον· λευκόν· ἱμάτιον·
πάλιν γὰρ ὁμοίως ἀληθῶν οὐσῶν τῶν προτάσεων ἀμφοτέρων, τὸ ζῷον
οὐδενὶ ἱματίῳ, ἐξ ἀνάγκης· ἀλλ' οὐδ' ἂν τὸ μὲν καθόλου, ἀναγκαῖον ᾖ·
τουτέστιν ἡ ἐλάττων πρότασις· καθόλου γὰρ καὶ αὐτή· τὸ δὲ ἐν μέρει, ἐνδεχόμενον·
οὐδ' οὕτως ἔσται συλλογισμός· εἰ μὲν γὰρ ἡ στερητικὴ ἡ ἐλάττων· καθόλου
τε καὶ ἀναγκαία· ὅροι τοῦ μὲν ὑπάρχειν, ζῷον· λευκόν· κόραξ· ζῷον
γὰρ ἐνδέχεται τινὶ λευκῷ· καὶ ἐνδέχεται τινὶ μή· τὸ δὲ λευκὸν ἐξ ἀνάγκης οὐδενὶ
κόρακι· καὶ ζῷον ἐξ ἀνάγκης κόρακι παντί· τοῦ δὲ μηδενί, ζῷον· λευκόν· πίττα·
ὁμοίως γὰρ ἐχουσῶν τῶν προτάσεων, ζῷον οὐδεμία πίττα· ἂν δὲ ἡ ἐ-
λάττων, καθόλου καταφατικὴ ἀναγκαία, ὅροι τοῦ μὲν ὑπάρχειν, ζῷον·
λευκόν· κύκνος· πάλιν γὰρ ζῷον ἐνδέχεται τινὶ λευκῷ· καὶ ἐνδέχεται τινὶ μή·

λευκὸν δὲ ἐξ ἀνάγκης παντὶ κύκνῳ· καὶ ζῷον ἐξ ἀνάγκης παντὶ κύκνῳ· τοῦ δὲ μὴ ὑπάρχειν, ζῷον, λευκόν, χιών. ὁμοίως γὰρ ἐχουσῶν τῶν προτάσεων, τὸ ζῷον ἐξ ἀνάγκης οὐδεμιᾷ χιόνι. ἀλλ' οὐδ' ἐὰν ἀμφότεραι ἢ ἀδιόριστοι ἢ ἐπὶ μέρους ὦσιν, οὐδ' οὕτως ἔσται συλλογισμός· ὡς ἂν ἔχωσι κατὰ τὸ ποιόν· ὅροι κοινοὶ πάντων τῶν ὁπωσοῦν λαμβανομένων· τοῦ μὲν ὑπάρχειν ἀναγκαίως(?)· ζῷον, λευκόν, ἄνθρωπος· ζῷον γὰρ καὶ τινὶ λευκῷ ἐξ ἀνάγκης ὡς κύκνῳ· καὶ ἐξ ἀνάγκης τινὶ μή, ὡς κόρακι· καὶ ἐνδέχεται τινὶ καὶ τινὶ μή, ὡς ἀνθρώπῳ· ἐνδέχεται γὰρ τὸ λευκὸν αὐτὸν εἶναι· καὶ ἐνδέχεται τὸ λευκὸν μὴ εἶναι αὐτόν· ἀλλ' οὐ τοῦτο, καὶ τὸ λευκὸν ἂν ἐνδέχοιτο ζῷον καὶ εἶναι καὶ μὴ εἶναι· καὶ τὸ λευκὸν τινὶ ἀνθρώπῳ ἐξ ἀνάγκης μὲν οὔ· ὡς ἂν εἰ(?) ὅτι ἐξ ἀνάγκης δὲ ὡς ἔτυχε(?)· ἐνδέχεται δὲ τινί· καὶ ἐνδέχεται τινὶ μή· ὡς ἐπὶ τὸ πλεῖστον· καὶ τὸ ζῷον ἐξ ἀνάγκης παντὶ ἀνθρώπῳ· τοῦ δὲ μὴ ὑπάρχειν, ζῷον, λευκόν, ἄψυχον· πάλιν γὰρ ὁμοίως λαμβανομένων τῶν προτάσεων, τὸ ζῷον ἐξ ἀνάγκης οὐδενὶ ἀψύχῳ. παραθέμενος δὲ τῶν ὅλων τούς τε παντὶ καὶ τοὺς μηδενὶ ἐξ ἀνάγκης· ἀφεὶς ἑκατέρας δὲ ἕξεως, μίαν πρὸς τοῦτον(?) λαβὼν ἔδειξεν· ἐπειδὴ τῶν πασῶν δυναμένας τὰς μεταλήψεις γίνεσθαι ἀδιορίστως. τὸ ἐστί καὶ τὸ ἀναγκαῖον· καὶ τὰς κατὰ τὸ ἐνδέχεσθαι, ἡμῖν καταλιπών· τὸ καὶ ἐπὶ τῶν ἄλλων προτάσεων συνορᾶν τὸ ὅμοιον:· καὶ γὰρ τὸ ζῷον τινὶ λευκῷ· καὶ τὸ λευκὸν τινὶ ἀψύχῳ· καὶ ἀναγκαῖον ὑπάρχειν καὶ οὐ μὴν ἐνδέχεται ὑπάρχειν·

Ἐπὶ δὴ ταῖς συζυγίαις εἴτε καθόλου εἴτε ἐπὶ μέρους, τῆς μὲν ἀναγκαίας, τῆς δὲ ἐνδεχομένης, ὅτι ἔστιν οὖν καὶ ἐπὶ πασῶν τῶν ἐναντίων(?) τῶν προτάσεων τῇ εἰλημμένῃ ὕλῃ χρώμενος δυνατὸν ἀσυλλογίστους αὐτάς, ἔδειξεν· ἐκ καταστάσεως(?) δὲ ἐξ αὐτῶν τῶν ἐν μέρει προτάσεων τῆς εἰλημμένης ὕλης καὶ καταφατικὴν ἀναγκαίαν· καὶ ἀναγκαίαν ἀποφατικὴν λαμβάνεσθαι δυναμένην· καὶ πάλιν ἐνδεχομένην καὶ καταφατικὴν καὶ ἀποφατικήν. ὡς ἐὰν παραλαμβάνων τὴν μὲν, ἀναγκαία· ἡ δέ, ἐνδεχομένη, ἀληθές τε ληφθήσονται· καὶ ἐλεγχθήσεται ἐπὶ πάντων τὸ ἀσυλλόγιστον τῶν συμπλοκῶν(?):·

Δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι ὁμοίως τῶν ὅρων ἔν τε τῷ ὑπάρχειν καὶ ἐν τῷ ἐξ ἀνάγκης(?):·

Ὥσπερ ἐν τοῖς ἐξ ὑπαρχουσῶν γινομένοις συζυγίαις ἀμφοτέρων τῶν προτάσεων. τὸ πάλιν ἐν τοῖς ἐξ ἀναγκαίων ἀεὶ ὁμοίως ἐχούσαις συζυγίαις· ἦσαν συλλογιστικαί· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν μίξεων ἐδείχθη τῶν ἐξ ὑπαρχούσης τε καὶ ἐνδεχομένης τε ἀναγκαίας· αἱ γὰρ ὁμοίως ἐχούσαι κείμενον τὸ ὑπάρχον, καὶ τὸ ἀναγκαῖον,

συλλογιστικαὶ ἀμφοτέραις· ἢ πάλιν ἀσυλλόγιστοι αἱ ὅμοιαι· διαφορὰ δὲ αὐτῶν
ὡς λέγεται νῦν, ὅτι ἐν μὲν ταῖς τὸ ὑπάρχον ἐχούσαις μετὰ τῆς ἐνδεχομένης, τῆς
μείζονος στερητικῆς οὔσης ὑπαρχούσης, τοῦ ἐνδεχομένου ἦν ὁ συλλογισμός· ἐν δὲ
ταῖς τὸ ἀναγκαῖον μετὰ τῆς ἐνδεχομένης, στερητικῆς οὔσης μείζονος τῆς ἀναγκαίας,
τοῦ ὑπάρχοντος καὶ τοῦ οὕτως ἐνδεχομένου· ἀλλ' οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐν-
ἀπο δεχομένου τὸ συμπέρασμα:· Τοῦτο δὲ πῶς ἂν λέγοιτο ὑγιῶς, ἐδέδεικτο γὰρ
τὸ ἐν ταῖς ὑπαρχούσαις καθόλου ἀποφατικαῖς, οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου
γινόμενον τὸ συμπέρασμα· ἀλλὰ τοῦ μηδενὶ ἐξ ἀνάγκης ἢ μὴ παντὶ ἐξ ἀνάγκης:·
λ Ὅτι ἐκεῖνο μὲν ἐνδεχόμενον πῶς ἦν ἔχει· ἢ δὲ μὴ τὸ κατὰ τὸν διορισμὸν ἀντικει-
μένου τοῦ γάρ τοι οὐδενὶ ἐξ ἀνάγκης· ἐπὶ δὲ τῆς ἀναγκαίας ἀποφατικῆς, ἐν ᾗ περὶ ἐνδε-
χεσθαι ὑπάρχον γινόμενον· ἐπεὶ καὶ τῷ ὑπάρχειν ἕπεται τὸ ὑπάρχον γίνεσθαι τὸ συμπέ-
ρασμα· οὐ τὸ αὐτὸ καὶ ἄμεινον ὑποθέμενος· διὰ τὸ ἀδύνατον ἀπήγαγεν· ὃ οὖν καὶ γί-
νεται ἐπὶ τῆς ὑπαρχούσης καθόλου ἀποφατικῆς τῆς μείζονος· ἢ ἐνδεχομένης
καθόλου καταφατικῆς τῆς ἐλάττονος τῇ ὁμοίᾳ ἀπαγωγῇ χρωμένων τῶν,
ἐπὶ τούτου ληφθέντος τὸ α τῷ γ μηδενὶ ὑπάρχειν, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς
καὶ τὸ δεύτερον γενόμενον σχῆμα, μηδὲ ἐνδέχεσθαι ἀδύνατον· τὸ γὰρ ἀντικείμενον
τούτου, τὸ α μηδενὶ τῷ γ ληφθέν· τὸ, τὸ α τινὶ τῷ γ μετὰ τούτου, ὡς οὐδενὶ τῷ β, συνά-
γεται ἐν β σχήματι τὸ β τινὶ τῷ γ μὴ ὑπάρχειν, ὃ οὐκ ἔστιν ἀδύνατον· ἐνεδέχετο
αὐτῷ παντὶ ὑπάρχειν· καὶ διὰ τοῦ β τοῦ δευτέρου σχήματος εἰς ἀδύνατον ἀπαγω-
γὴ γένηται, οὐδὲ οὕτως ἀδύνατόν τι δείκνυται· γίνεται γὰρ συναγόμενον τὸ α τῷ β
ἐνδέχεσθαι τινί· ἢ καὶ τὸ μηδενὶ ὑπάρχειν· οὐκ ἔστιν ἀδύνατον· εἰ, ἀντιμεταληφθῇ
τὸ ἐνδεχόμενον εἰς τὸ ὑπάρχον· ὃ ψεῦδος μέν ἐστιν, οὐ μὴν ἀδύνατον· ἀδύ-
νατον τὸ συναγόμενον γίνεται· τὸ γὰρ α τινὶ τῷ β συνάγεται· ἦν δὲ τὸ δὲ μηδενί.
ἀναγκαίας δὲ καθόλου ἀποφατικῆς τῆς μείζονος λαμβανομένης, ἐὰν δὲ
κοινὸν τὸ β τινὶ τῷ γ ἐξ ἀνάγκης μὴ ὑπάρχον· ὃ ἦν ἀδύνατον· τοῦτο δέ ἐστιν
βαίνει, διὰ τὸ καὶ αὐτῆς μείζονος οὔσης ἀναγκαίας ἐν τῇ ἐξ ἀναγκαίας τε καὶ
ὑπαρχούσης μίξει· ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα· ἐδείχθη δὲ ὑπάρ-
γίνεσθαι τὸ συμπέρασμα καὶ ἐπὶ τῆς τοιαύτης μίξεως, οὐδὲ ἀναγκαίας οὔσης ἀπο-
φατικῆς διὰ τοῦ δευτέρου σχήματος ἀδύνατόν τι συναχθήσεται· ὡς οὐδὲ ὑπαρ-
χούσης· τὸ γὰρ β τινὶ τῷ γ οὐχ ὑπάρξει· ἢ οὐδενὶ ὑπάρξει· ἐπεὶ τὸ δὲ ἐνδέχεται

πάντι· ὃ οὐκ ἀΐδιον· διὰ μέν τοι τοῦ β̅ τοῦ σχήματος γίνεται ὧδε· τῇ ὑποθέσει τὸ α̅
τῷ γ̅ τινὶ ὑπάρχειν λαμβανούσῃ· ἀπροσλήφθη ἡ β γ̅· καθόλου οὖσα ἀπο-
φατικὴ ἐνδεχομένη· ὡς ἐκ δὲ τῆς μεταληφθείσης εἰς τὴν ὑπάρχουσαν ἀμφοτέρων
ἀΐδιον τὸ συναχθήσεται· τὸ γὰρ α̅ τῷ β οὐχ ὑπάρξει ἀνάγκῃ μόνον ἢ παντὶ αὐτῷ καὶ
ὑπάρχειν ὡς ἐν τῇ πρώτῃ μίξει· ἢ παντὶ αὐτῷ ἐξ ἀνάγκης μὴ ὑπάρχειν ὡς ἐν τῇ
δευτέρᾳ μίξει· αὐτῆς τὸ α̅ τινὶ τῷ γ̅· ἢ τὸ β παντὶ τῷ γ̅ ἐνδέχεται· ὅσα γὰρ ἐν τῷ γ̅
σχήματι τὸ α̅ τῷ β ἐνδέχεται μὴ ὑπάρχειν· ὃ ἐκ τοῦ μὲν τῆς μίξεως τῆς ἐξ ὑπαρ-
χούσης καὶ ἐνδεχομένης· οὐδὲν συναχθήσεται ἀΐδιον· ὧδε δὲ τῆς ἐξ ἀναγκαί-
ας ἐνδεχομένης, ἀΐδιον· τοῦ γὰρ α̅ τῷ β ἐξ ἀνάγκης οὐδενὶ ὑπάρχοντος,
ἀΐδιόν τι, τὸ α̅ ἐνδέχεται τινὶ τῷ β̅ :· Ἐπιζητήσει δέ τις ἐν λόγοις ἐν τούτῳ· α̅ πό
πῶς ἐν τῇ μίξει τῇ ἐξ ὑπαρχούσης μείζονος καθόλου ἀποφατικῆς καὶ ἐνδε-
χομένης τῆς ἐλάττονος καθόλου καταφατικῆς ἐν α̅ σχήματι, οὐ παρὰ τὴν με-
τάληψιν τῆς ἐνδεχομένης καθόλου καταφατικῆς εἰς τὴν ὑπάρχουσαν, γίνε-
ται τὸ συμπέρασμα (βαῖνον) ἀΐδιον· ἀλλὰ ἐνδεχομένης μὲν τηρουμένης αὐτῆς καὶ συντε-
θειμένης τῇ ὑποθέσει· οὐδὲν ἀΐδιον συνάγεται· εἰ δὲ μεταληφθείη εἰς τὴν ὑ-
πάρχουσαν μετὰ τῆς αὐτῆς ὑποθέσεως, ἀΐδιον γίνεται τὸ συμπέρασμα (ναόμενον)·
οἷον μὲν γὰρ τῶν, τὸ α̅ τῷ γ̅ τινί· τὸ β παντὶ τῷ γ̅ ἐνδέχεται, οὐκ ἀΐδιον τὸ συνα-
γόμενον· ὅ ἐστι τὸ α̅ ἐνδέχεσθαι τινὶ τῷ β̅· ὡς ἐκ τοῦ μηδενὶ ὑπάρχειν· εἰ δὲ τῶν
τὸ α̅ τῷ γ̅ τινὶ τῷ β̅ τῷ γ̅ παντὶ ὑπάρχειν· συνάγεται τὸ α̅ τῷ β τινὶ ὑπάρχειν·
ὃν ἀΐδιον· μηδενὶ γὰρ ὑπάρχειν ἀνάγκη τὸ αὐτό· γίνεται γὰρ ἡ τοιαύτη καθόλου
ἀποφατική, χρόνῳ ὡρισμένῳ τὸ ἀληθὲς ἔχουσα :· ἀμεταληφθείσης δὲ τῆς λου
ἐνδεχομένης εἰς ὑπάρχουσαν καταφατικὴν μὴ καὶ ἀληθοῦς μένοι· οὐκ ἂν ἀΐδιον
ἦν τὸ συναγόμενον· ἐπεὶ γὰρ ἡ μετάληψις ψευδής ἐστιν ἀΐδιος οὖσα, οὐ παρὰ
τὴν μετάληψιν τοῦτο ἀΐδιον τὸ ἑπόμενον :·

δι᾽ ἃ γοῦν καὶ οἱ πάντες ἀτελεῖς οἱ συλλογισμοί·

Ἀτελεῖς οὐχ ἁπλῶς πάντες· ἀλλ᾽ ἐν οἷς ἡ μείζων ἡ ὑπάρχουσα· ἢ ἀναγκαία τῶν
εἰλημμένων· τοὺς γὰρ τοιούτους διὰ τὴν εἰς ἀΐδιον ἀπαγωγὴν δεικνύντας,
συλλογισμοὺς τελειοῦσθαι δὲ διὰ τῶν προειρημένων σχημάτων· ὅτι ἐκ ἀΐδια
ἀπαγωγὴ γίνεται διά τινος τῶν ἑτέρων σχημάτων :· +

ὅταν μὲν ἀμφότεραι ἐνδεχόμεναι λαμβάνωσιν αἱ προτάσεις, οὐδεὶς ἔσται συλλογισμός·

Μετελήλυθεν ἐπὶ τὸ δεύτερον σχῆμα· ἀποφαίνεται περὶ πασῶν τῶν ἐν τῷ πρώτῳ μίξεων· λέγει δὲ ἐν τούτῳ τῷ σχήματι ἐκ δύο ἐνδεχομένων μὴ γίνεσθαι συλλογισμόν· μήτε καταφατικῶν, ἢ ἀποφατικῶν ληφθεισῶν· μήτε τῆς μὲν καταφατικῆς, τῆς δὲ ἀποφατικῆς· μήτε ἀμφοτέρων καθόλου οὐσῶν· μήτε τῆς ἑτέρας ἐπὶ μέρους· τὸ δ' αἴτιον, ὅτι ἐν β σχήματι ἐδείχθη ἀδύνατον ἐκ δύο καταφατικῶν προτάσεων γίνεσθαι συλλογισμόν· διὸ οὐδὲ ἐξ ἀμφοτέρων ἐνδεχομένων. κἂν γὰρ ἀποφατικαὶ ληφθῶσι, τῷ ἀντιστρέφειν τὰς ἀποφατικὰς ταῖς καταφατικαῖς ἐνδεχομένας, ἴσον δύνανται ταῖς καταφατικαῖς :· Ἐπιζητήσαι δ' ἄν τις διὰ τί ἡ μὲν ἐνδεχομένη ἀποφατικὴ ἴσον δυναμένη τῇ ἐνδεχομένῃ καταφατικῇ ἡ ἀντιστρέφουσα αὐτῇ, ὅταν ληφθῇ, εἰς τὴν καταφατικὴν ἐκείνην μεταλαμβανομένη τὴν ἐκείνης χρείαν παρέχεται· πρὸς τὸ συλλογιστικὴν ἢ ἀσυλλόγιστον ὡς ἐκείνη ποιεῖν τὴν συμπλοκήν· οὐκέτι δὲ ἡ καταφατική, εἰς ἐκείνην μεταλαμβάνεται· οὐδὲ ποιεῖ ἀσυλλογίστους τὰς συμπλοκάς, τὰς δεχομένας αὐτῆς καταφατικὰς εἰς τὸ συλλογιστικόν :· Ἔλυσε τὸ πρῶτον μέν, ὅτι ἄτοπον τῆς καταφατικῆς συλλογιστικὴν ποιούσης συμπλοκήν, μεταλαμβάνειν αὐτὴν ζητεῖν εἰς τὴν μεταληφθεῖσαν, οὐ ποιήσει τὴν συμπλοκὴν ἢ συλλογιστικήν· ἐπὶ δὲ τῆς ἀποφατικῆς, εὔλογος ἡ μετάληψις· ἥτις ἐστὶ διὰ τῆς βοηθείας πρὸς τὸ εἶναι συλλογιστικήν· τοῦτο γὰρ ποιοῦμεν καὶ ἐπὶ τῶν ἀντιστροφῶν τῶν προτάσεων· ἐπεὶ γὰρ τούτων ταῖς ἀντιστροφαῖς χρώμεθα, ἐφ' ὧν δείκνυται διὰ ἀντιστροφῆς τὸ συλλογιστικὸν τῶν συζυγιῶν· οὐκ ἀντιστρέφοντες τὰς τοιαύτας προτάσεις ἀντιστραφείσας, οὐκ ἔσονται συλλογιστικαί :· Ἡ ἐνδεχομένη ἀποφατική, οὔτε ἁπλῶς ἐστὶν ἀποφατική· ἐπεὶ μὴ τῷ τρόπῳ τὸ ἀποφατικὸν πρόσκειται· οὔτε ὡς ἐνδεχομένη· ὃ γὰρ ἀποφάσκει, τὸ αὐτὸ καὶ καταφάσκει δυνάμει· τοῦτο γὰρ σημαίνει τὸ ἐνδέχεσθαι μὴ ὑπάρχειν· τὸ καὶ ἐνδέχεσθαι ὑπάρχειν· οὐδ' ὅλως οὖν ἐστὶν ἀπόφασις, οὐ τῆς καταφάσεως, ἐπεὶ οὕτως λεγομένη ἀποφατικὸν τὸ σχῆμα ἔχει, ὡς δὲ φανερωτέρα καὶ ὁμολογουμένη κατάφασιν· ἐκείνῳ μεταλαμβάνεται :·

Διὰ τοῦτο τοιγαροῦν ἐν δευτέρῳ σχήματι οὐδεὶς γίνεται συλλογισμὸς ἐξ ἐνδεχομένων δύο· καὶ
ὅτι δι' ἀντιστροφῆς μὲν τῆς καθόλου ἀποφατικῆς προτάσεως· οἱ πλεῖστοι τῶν ἐν τῷ
τῷ σχήματι συνάγοντες ἀποδείκνυνται· ἐστερημένος αὐτῶν· διὰ τῆς εἰς ἀδύνατον ἀ-
παγωγῆς δὲ δεικνύναι· δέ ἐστιν ἐνδεχομένη ἀποφατική· οὐ καὶ ἀντιστρέφει αὐτῇ· καὶ
μικτὴ δὲ οὖσα συζυγία· ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης· ἢ ἀναγκαίας
καὶ ἐνδεχομένης· ἂν ἡ ἐνδεχομένη καὶ αὐτὴ ᾖ ἀποφατικὴ μόνη· οὐκ ἔσται συλ-
λογιστικὴ ἡ συζυγία· τὸ γὰρ καταφατικὸν τὸ ἐνδεχόμενον ἀμφοτέρας καταφατικάς·
διὰ τὸ τὴν ἐνδεχομένην ἀποφατικὴν ἀντιστρέφειν τῇ καταφατικῇ· τῆς δὲ ὑπαρ-
χούσης ἢ τῆς ἀναγκαίας ἀποφατικῶν τοιούτων καθόλου συναχθήσεται [illegible]
ἀεί· ἀφαιρεθείσης μέρους εἶναι ἀποφατικαί· καὶ ἡ ὑπάρχουσα ἢ ἀναγκαία·
οὐκ ἔστι συλλογιστικαὶ αἱ συζυγίαι· δεῖ γὰρ ἐν β σχήματι τὴν μείζονα καθόλου εἶναι·
διὰ τούτων μὲν καὶ ὑπαρχουσῶν ἐν μέρει τῶν οὐσῶν μειζόνων· ἀσυλλόγιστοι αἱ συμπλο-
καί· ἀλλὰ καὶ αὐτὴ μὲν ὅσον τὴν ἀντιστροφὴν καθόλου· αἱ δὲ μείζους ἐνδεχόμεναι καθ' ἑκάτερον,
καὶ οὕτως ἀσυλλόγιστοι αἱ συμπλοκαί· αἱ δὲ τούτων οὐσῶν ἐλαττόνων, αἱ μείζους ἂν
ἐνδεχόμεναι καθόλου, συλλογιστικαὶ μὲν αἱ συζυγίαι· δεικνύουσι δὲ [illegible]
διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· οὐ δι' ἀντιστροφῆς· οὔτε γὰρ ἡ καθόλου καταφα-
τικὴ [illegible] ἐκ τῆς ἐλάττονος ἐν πρώτῳ σχήματι ἀποφατικὴ γίνεται· ἀνάγκη ἀντι-
στρέφειν ἡ μείζων· ἀσυλλόγιστος δὲ ἡ οὕτως ἔχουσα συμπλοκή· ἔτι δὲ μὲν ἀν-
τιστροφῆς αὐτῆς οὕτως συλλογιστικῆς· οὐδετέρα δὲ ἀντιστραφήσεται· οὔτε
ἡ ἀποφατικὴ διὰ τὸ ἐπὶ μέρους εἶναι· οὔτε ἡ καταφατική, τὸ ἐνδεχόμενον
τὸ εἶναι καθόλου· συναχθήσεται δὲ καὶ ὅσον ἀμφότεραι ἀποφατικαί.
ἤτοι ὑπάρχουσα καὶ ἡ ἐνδεχομένη· τῆς ἐλάττονος οὔσης ἐνδεχομένης· τὸ
μεταλαμβάνειν κατὰ τὴν ἐνδεχομένην· εἰς καταφατικὴν ἐνδεχομένην
τὴν ἑτέραν· διὸ ἅπαν περὶ τῶν ἐνδεχομένων συζυγιῶν τῶν ἐν τῷ πρώτῳ σχή-
ματι, ἐξῆς περὶ τῶν μίξεων ἅπερ τῶν ἐν τῷ πρώτῳ σχήματι ἐξ ὑπαρχούσης
τε καὶ ἐνδεχομένης· καὶ ἀναγκαίας τε καὶ ἐνδεχομένης· πρὸ τοῦ, περὶ τῶν ἐν τῷ
β καὶ γ σχήματι ἅπαν ἐξ ἐνδεχομένων συζυγιῶν· ὅτι οὐδεὶς ἐν δευτέρῳ σχήματι
γίνεται συλλογισμός· ἐξ ἐνδεχομένων τῶν δύο προτάσεων· καὶ δὲ μικτῶν γί-
νεται· ἐδεήθη προειπεῖν περὶ τῶν ἐν τῷ πρώτῳ σχήματι μίξεων εἰδέναι· οἱ γὰρ ἐν β
σχήματι γινόμενοι ἐκ τῶν μικτῶν προτάσεων καὶ τούτων εἰς τὸ πρῶτον σχῆμα
ἀνάγονται.



δείκνυται συλλογιστικῶς, ὡς προείρηται· διὸ πρῶτον ἔδει περὶ ἐκείνων τινὰς
τὰ νῦν πως εἰκόνας προσθεῖναι∴ δεῖ δὲ καὶ ἐν τούτοις λαμβάνειν τὸ ἐν τοῖς συμ-
περάσμασιν ἐνδεχόμενον, ὡς προείρηται πρότερον

Ὡς ἐν τῷ πρώτῳ σχήματι μίξεων τῆς μείζονος ὑπαρχούσης ἀποφατικῆς οὔσης
ἢ ἀναγκαίας, οὐκ ἐγίνετο τοῦ καθόλου διορισμὸν ἐνδεχομένου τὸ συμπέρασμα,
οὕτως φησὶν οὐδὲ ἐν τῷ δευτέρῳ ἔσεσθαι σχήματι· ἀλλὰ γὰρ ἐν τούτῳ ἐν ταῖς συλλογιστικαῖς
συμπλοκαῖς ταῖς ἐκ μίξεως ὑπαρχούσης καὶ ἐνδεχομένης ἢ ἀναγκαίας
τῆς ἐνδεχομένης οὔσης μείζονος, καθόλου ἀποφατικῆς ἐστιν ἡ ὑπάρχουσα δὲ ἢ ἀναγκαία∴
πρῶτον οὖν δεικτέον ὅτι οὐκ ἀντιστρέφει τὸ ἐν τῷ ἐνδέχεσθαι στερητικόν.

Ὅτι περὶ τῶν κατὰ τὰς προτάσεις ἀντιστροφῶν ἐποιεῖτο τὸν λόγον, δεικνὺς τίνες ἀντι-
στρέφουσι· καὶ ἀντιστρέφειν μὲν ἡ αὐτὴ τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην
ἔφη· ὑπάρχειν ἔδειξε δὲ τὴν ἀντιστροφὴν ἀποδώσειν ὕστερον· νῦν οὖν δείκνυσιν ὅτι ἡ
... πρὸς ἀπαιτεῖ τὰ ... ἐν δευτέρῳ ἢ τρίτῳ σχήματι συζυγίας συλλογιστικὰς
ἀντιστροφῆς προσδεῖσθαι, μηδεμιᾶς οὖν δεικνυμένης ὅτι ἐξ ἐνδεχομένων ἐν β σχή-
ματι οὐδεὶς γίνεται συλλογισμός· ᾗ προσχρῆσθαι τῷ μὴ ἀντιστρέφειν τὴν
καθόλου ἀποφατικὴν ἐνδεχομένην αὐτῇ, πρῶτον τοῦτο δείκνυσι· περὶ ποίας
δὲ ἀντιστροφῆς λέγει, ἐδήλωσε παραθέμενος τοὺς ὅρους· περὶ γὰρ τῆς κατὰ
τὴν ὑπαλλαγὴν τῶν ὅρων, οὐ περὶ τῆς εἰς κατάφασιν μεταλήψεως· ἀνάγκη
γὰρ ἀντιστρέφειν καὶ ταύτῃ. Θεόφραστος μέντοι καὶ Εὔδημος ὡς εἴπομεν κατ' ἀρχὰς ἐν
μονικοῖς δεδειγμένοις, ἀντιστρέφειν φασὶ καὶ τὴν καθόλου ἀποφατικὴν αὐτῇ, ὡς ἐπεὶ ἀν-
τιστρέφει ἡ ὑπάρχουσα καθόλου ἀποφατικὴ καὶ ἡ ἀναγκαία. ὅτι δὲ ἀντιστρέ-
φει, δεικνύουσιν οὕτως· εἰ τὸ α τῷ β ἐνδέχεται μηδενί, ἐπεὶ ἐνδέχεται τὸ α
τῷ β μηδενί, ὅτε ἐνδέχεται μηδενί, τότε ἐνδέχεται ἀπεζεῦχθαι τὸ α πάντων
τῶν τοῦ β· εἰ δὲ τοῦτο, ἔσται καὶ τὸ β τοῦ α ἀπεζευγμένον· εἰ δὲ τοῦτο, καὶ τὸ β ἐνδέχε-
ται τῷ α μηδενί· ἔοικε δὲ Ἀριστοτέλης βέλτιον αὐτῶν λέγειν μὴ φάσκων ἀντιστρέφειν
τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην ἑαυτῇ τὴν κατὰ τὸν διορισμόν· οὐ γὰρ ὅτι
τινὸς ἀπέζευκται, ἤδη καὶ ἐνδεχομένως ἀπέζευκται αὐτοῦ· ὥστε οὐ καὶ ὅταν ᾖ
τὸ δεδειγμένον ὅτι ὅτε ἐνδέχεται τὸ α τοῦ β ἀποζεῦχθαι, τότε καὶ τὸ β τοῦ α ἀπέζευ-
κται, καὶ πρὸς τούτῳ ὅτι καὶ ἐνδεχομένως ἀπέζευκται· εἰ δὲ μὴ τοῦτο δείκνυται,
οὐδὲ δείκνυται ἡ ἐνδεχομένη ἀντιστρέφουσα· ἐπεὶ ἀπέζευκται μὲν καὶ τὸ α ξ

θεόφραστος
εὔδημος






τινὸς ἦν κεχωρισμένον· ἀλλ' οὐ καὶ ἐνδεχομένας· ὃ γὰρ δὴ οὐ καὶ ἀντιστρέφει. δεικνὺς δὲ τὴν διὰ
δυνατὸν ἀπαγωγὴν προσχρώμενος ἀριστοτέλης· εἰ γὰρ δυνατὸν, καὶ ἔσθαι ἀντιστρέ
φουσα· καὶ εἰ τὸ α ἐνδέχεται μηδενὶ τῷ β, καὶ τὸ β ἐνδεχέσθω μηδενὶ τῷ α· ἀλλὰ ἐπεὶ
κατὰ τὴν μὲν ὅτι καὶ αἱ ἀποφατικαὶ καὶ αἱ ἐνδεχόμεναι πρὸς τὰς καταφατικὰς ἐνδεχο
μένας ἀντιστρέφουσιν· καὶ εἰ τὸ β ἐνδεχέσθω τῷ α μηδενί· δῆλον οὖν ὡς καὶ
παντὶ αὐτῷ ἐνδέχεται· τοῦτο δὲ ψεῦδος· οὐ γὰρ εἰ τὸ α τῷ β ἐνδέχεται παντί,
διότι καὶ τὸ ἐνδέχεσθαι μηδενί, ἀνάγκη καὶ τὸ β τῷ α ἐνδέχεσθαι παντί· γίνε
ται γὰρ οὕτως ἡ καθόλου καταφατικὴ ἐνδεχομένη ἑαυτῇ ἀντιστρέφουσα· ὅπερ
οὐκ ἔστιν ἀληθὲς οὐδὲ ἐπ' ἐκείνοις· ἰδοὺ γὰρ τὸ μὲν λευκὸν ἐνδέχεται παντὶ ἀνθρώ
πῳ καὶ μηδενί· οὐκέτι μὲν τὸ δὲ ἄνθρωπον ἐνδέχεται παντὶ λευκῷ· τισὶ γὰρ λευκοῖς
ἐξ ἀνάγκης οὐχ ὑπάρχει· ὡς κύκνῳ· χιόνι· μυρίοις ἄλλοις· εἰ δὲ ψεῦδος τὸ ἐν
δέχεσθαι τὸν ἄνθρωπον παντὶ λευκῷ, ψεῦδος καὶ τὸ ἐνδέχεσθαι μηδενί· ὥστε οὐκ εἰ τὸ α
τῷ β ἐνδέχεται μηδενί, καὶ τὸ β τῷ α ἐνδέχεται μηδενί· οὐ γὰρ τὸ μηδενὶ ὑπάρχον
ἤδη καὶ ἐνδεχομένως οὐχ ὑπάρχει· ἀκολούθως δὲ λέγοντες τὴν καθόλου ἀποφατικὴν
ἀντιστρέφειν τοῖς ὅροις, οὐκέτι λέγομεν τὴν καταφατικὴν ἐνδεχομένην τῇ ἐν
δεχομένῃ ἀποφατικῇ ἀντιστρέφειν, οὐ γὰρ ὄντε τὸ μηκέτι μόνον ἐνδεχο
μένην γίνεσθαι καὶ τοῖς ὅροις κατὰ τὸν διορισμόν· τὸ δὲ, εἰ δὲ οὐδὲν κωλύει,
ἑρμηνεύει τοῦτο, οὐδὲν γὰρ κωλύει· οὐ γὰρ ἄλλη τις δεῖξις ἐστὶν ὡς ἂν τῆς λέξεως
φαίνεται· ἀλλὰ τῆς προειρημένης κατασκευῆς ὅτι οὕτως ἔχει· ἢ πρότερον μὲν
ἔδειξε διὰ τοῦ μὴ λαμβάνεσθαι τὰς ἐνδεχομένας ἀποφατικὰς εἰς τὰς
καταφατικάς· τὰς δὲ καταφατικὰς ἐνδεχομένας εἰς τὰς καθόλου καὶ ἔσθαι
μὴ ἀντιστρέφειν ἑαυταῖς· νῦν δὲ ἐπ' αὐτῶν τῶν ἀποφατικῶν ἐνδεχομένων
καθόλου τὴν δεῖξιν ποιεῖται· ὅρους παρατιθέμενος· καὶ διὰ τούτων ἐλέγχων
καὶ δεικνὺς ὅτι μὴ ἀντιστρέφουσιν· ὥστε ἡ δεῖξις, ἄλλη καὶ οὐκ αὐτὴ τῆς πρώτης ἐστὶν
ἀπόδειξις:· ἐπεὶ ἀντιστρέφουσιν αἱ ἐν τῷ ἐνδέχεσθαι καταφάσεις ταῖς
ἀποφάσεσι καὶ αἱ ἐναντίαι καὶ αἱ ἀντικείμεναι.

Λέγων ἀντιθέσεις μὲν τὰς καθόλου· τῷ παντὶ ἐνδέχεσθαι· τῷ ἐνδέχεσθαι μηδενί,
ἀντικειμένας δὲ τὰς καθόλου ταῖς ἐπὶ μέρους· τῷ, παντὶ ἐνδέχεσθαι οὐ παντί.
καὶ τῷ ἐνδέχεσθαι μηδενὶ τῷ ἐνδέχεσθαι τινί· οὐχ ὡς ἀληθῶς τούτων ἐναντίων οὐσῶν
ἀλλήλαις ἢ ἀντικειμένων· πῶς γὰρ ἐστὶ συναληθεύονται· ἀλλ' ὡς τῇ λέξει ὅμοι

ἀριστοτέλ(ης)



τούτων ἔχουσιν πρὸς ἀλλήλας, ὡς ἔχουσιν αἱ καὶ τῶν ὑπαρχουσῶν ἢ καὶ τῶν ἀναγκαίων ἀντιφάσεις. ἀντίφασις γὰρ τῆς μὲν παντὶ ἐξ ἀνάγκης ὑπάρχειν λέγεται, τὴν ἐξ ἀνάγκης οὐδενί, ἢ δὲ παντὶ ὑπάρχειν, τὸ οὐδενί. τοιαῦτα δὲ καὶ κατὰ τὴν τῆς λέξεως ἀκολουθίαν, καὶ ἡ ἐνδέχεσθαι παντί, τῇ ἐνδέχεσθαι μηδενί. πάλιν αὖ τε καὶ τῇ μὲν παντὶ ὑπάρχειν λεγούσῃ, ἡ οὐ παντὶ ὑπάρχειν· καὶ τῇ ἐξ ἀνάγκης παντί, ἡ ἐξ ἀνάγκης οὐ παντί. δῆλον δὴ ὁμοίως ἔχειν καὶ ἡ παντὶ ἐνδέχεσθαι τῇ οὐ παντὶ ἐνδέχεσθαι οὐ παντί. διὸ ἀπαιτεῖ ταύτας, ἐν ἀντιφάσει καὶ ἀντικειμένας. λέγοι δ' ἂν οὐ τὰς καθόλου αἷς ἀντικεῖσθαι δηλοῦσιν αἱ ἐπὶ μέρους, συναληθεύειν αὐτάς. οὐ γὰρ ἀληθὲς τὸ ἐνδέχεσθαι παντί, ἢ ἀληθὲς καὶ τὸ ἐνδέχεσθαι μηδενί. ἀλλὰ λέγοι αὐτὰς τὰς καθόλου ἀντικεῖσθαι δηλούσας· αὐτὰς δὲ ἃς ἂν αἱ ἐπὶ μέρους, ἥτε καταφατικὴ καὶ ἡ ἀποφατική, ἀντιστρέφειν ἀλλήλαις, τὰς μὲν καθόλου, ἀλλήλαις· ὃ ἀπαιτεῖ ἐν τῷ περὶ ἑρμηνείας:

›› ἄπορον γὰρ περὶ τῶν ἐναντίων· διὸ τῶν
›› μὲν οὐχ οἷόν τε ἅμα ἀληθὲς εἶναι, ἐπὶ ὡς εἰπεῖν. τὰς δὲ ἀντικειμένας αὐτῆς,

ἐνδέχεσθαι καὶ τοῦ αὐτοῦ. δύο τοίνυν καὶ ἀντικειμένας εἰρημέναι. τὰς ἐπὶ μέρους ἀλλήλαις· ὅτι καὶ ἐπὶ τοῦ αὐτοῦ λαμβάνονται ὑποκειμένου, ὡς διωρισμένον τὸ ὑποκείμενον ἔχουσαι ἢ τοῦτο, οὐχ ἴδιον ταῖς ἀντικειμέναις. ἢ, τὰς καθόλου ἐνδεχομένας ἀντιστρέφειν λέγει ταῖς ἐπὶ μέρους ἐνδεχομέναις. τὰς δηλούσας αὐτὰς ἀντικεῖσθαι. οὐκέτι μέντοι καὶ τὰς ἐπὶ μέρους ἐνδεχομένας. τὰς καθόλου. ὅτι δὲ μὴ ἀντιστρέφουσι καὶ διὰ τούτων ὅροις αἱ καθόλου ἀποφατικαὶ ἐνδεχόμεναι αἱ κατὰ τὸν διορισμὸν σαφῶς ἔδειξεν ἐπὶ τῆς ὕλης. τὸ γὰρ λευκὸν ἐνδέχεσθαι μηδενὶ ἀνθρώπῳ. ὁμοίως δὲ καὶ τὸ περιπατεῖν· ἀλλὰ καὶ τὸ κοιμᾶσθαι. οὐκέτι δὲ ἐνδέχεσθαι τὸν ἄνθρωπον λευκῷ μηδενί. ἢ περιπατοῦντι ἢ κοιμωμένῳ μηδενί, ὅτι μὲν τὸ παντί. τινὶ γὰρ ἀναγκαίως οὐχ ὑπάρχει κοιμωμένοις ἢ λευκοῖς. ἔτι δὲ φανερώτερον· τὸ μὲν φέρεσθαι καὶ τὸ κινεῖσθαι καταφοραῖς, ἐνδέχεται μηδενὶ ἀνθρώπῳ. ὅτι καὶ παντί. οὐκέτι μέντοι καὶ τὸν ἄνθρωπον ἐνδέχεται μηδενὶ κινουμένῳ καταφορᾷ. ὅτε μηδὲ παντί. οὐ γὰρ δὴ τὸ κινεῖσθαι καταφορητικῶς ἐξ ἀνάγκης γὰρ οὐχ ὑπάρχει τοῦ τοιούτου. καὶ ἔτι καὶ ζητήσει πρὸς τί τῶν ἐνδεχομένων τῶν ἀποφατικῶν πρὸς τὰς καταφατικὰς ἀντιστροφήν· μήποτε οὐχ αἱ ἐνδεχόμεναι ἀλλήλαις ἀντιστρέφουσιν· ἀλλὰ αἱ ἐνδεχόμεναι ταῖς ὑπαρχούσαις. αἱ γὰρ κυρίως ἐνδεχόμεναι, αἱ δὲ τὸ μηδὲν δηλοῦσαι ἀληθεύουσι τῆς ἐνδεχομένης καταφατικῆς.

ἀληθές ἐστι τὸ μηδέπω ὑπάρχειν τὸ α ἐνδέχεσθαι ἅπαντι τῷ· τὸ ὅσον ἐνδέχεσθαι μηδενί. ὡς δὲ τοῦ νῦν μὴ ὑπάρχοντος λεγομένου ἀντιστρέφειν ἂν πρὸς τὸ ἐνδέχεσθαι παντί. οὐ τοῦτο ἀληθές· διότι μηδὲ τὸ λεγόμενον δι' αὐτῆς. ὃ αὐτὸς ἔλεγεν ἐπὶ δὲ τῆς ἐνδεχομένης ἀποφατικῆς· ἡ γὰρ τοιαύτη οὖσα ἀληθής, ἀντιστρέφει ἐπὶ τοῦ ὑπάρχοντος τῆς καταφάσεως. οὐ γὰρ δὴ ὃ ὑπάρχειν μέλλει, τοῦτο καὶ μὴ ὑπάρχειν μέλλει· ἤδη γὰρ οὐχ ὑπάρχει. ἢ, ἐπειδὴ ὅτε μάλιστα νῦν μὴ ὑπάρχει τοῦτο, τὸ ὅτε ἤδη κατάφασιν ἐνδέχεσθαι λέγεται. ἀλλ' οὐχ ἧττον ἐνδέχεται μὴ ὑπάρχειν· ἡ γὰρ μὴ γενομένου τοῦ ἐνδέχεσθαι ὑπάρχειν λεγομένου παραμένοι ἂν αὐτὸ τὸ ἐνδέχεσθαι μὴ ὑπάρχειν τε ὅτε ἐνδέχεται αὐτὸ ἢ ὑπάρξαι. ἐφ' οὗ γὰρ ἀληθὲς τὸ ἐνδέχεται αὔριον περιπατῆσαι, ἐπὶ δὲ τούτου ἀληθὲς καὶ τὸ ἐνδέχεται μὴ περιπατῆσαι αὔριον. ἐπὶ τοῦ ἐνδεχομένου ἀστεῖον μόνον, διὰ ἀμφοτέρας ἀστεῖον λαμβάνειν· ἡ γὰρ ἀληθὲς τὸ ὑπάρχειν τὸ ἀντικείμενον τοῦ ἐνδεχομένου, ἀλλ' οὐ πρὸς τοῦτο καὶ τοιαύτην ἀντιστρέφειν:

ἀλλὰ μὴν οὐδὲ εἰς τὸ ἀδύνατον ἀγαγόντι δειχθήσεται ἀντιστρέφον:

Δόξειεν ἂν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δύνασθαι δείκνυσθαι ἡ καθόλου ἀποφατικὴ ἐνδεχομένη ἀντιστρέφουσα. τῇ αὐτοῦ δεῖξει ᾗ οἱ ἑταῖροι αὐτοῦ κέχρηνται. εἰ γὰρ τὸ α τῷ β ἐνδέχεται μηδενί, καὶ τὸ β τῷ α ἐνδέχεται μηδενί. εἰ γὰρ ψευδὸς τοῦτο, τὸ ἀντικείμενον ἀληθές. ἀντίκειται δὲ τῷ ἐνδέχεται μηδενί, τὸ οὐκ ἐνδέχεται μηδενί. ὅ ἐστιν ἴσον δύνασθαι τῷ ἐξ ἀνάγκης τινί. τὸ ἄρα β τῷ α ἐξ ἀνάγκης τινὶ ὑπάρχει. ἀλλ' ἐπεὶ ἡ ἐπὶ μέρους ἀναγκαία καταφατικὴ ἀντιστρέφει, καὶ τὸ α τῷ β ἐξ ἀνάγκης τινὶ ὑπάρξει, ὅπερ ἀδύνατον. ὑπέκειτο γὰρ τὸ α τῷ β ἐνδέχεσθαι μηδενί. καὶ γὰρ τὸ ἐνδεχόμενον τῷ αὐτοῦ διορισμοῦ, ἀδύνατον, ἀδύνατος ἡ ὑπόθεσις ἡ τοῦ ὑπολειφθέντος. τῷ δὲ τὸ β τῷ α ἐξ ἀνάγκης τινὶ ὑπάρχει· μεταληφθὲν εἰς τὸ οὐκ ἐνδέχεται μηδενί. τὸ ἀντικείμενον ἄρα ἀληθές, τὸ τὸ β ἐνδέχεσθαι μηδενὶ τῷ α. ταύτην δὲ τὴν δεῖξιν διαβάλλει ὁ Ἀριστοτέλης ὡς μὴ ὑγιῶς γινομένην. εἰς δὲ τὴν δεῖξιν αὐτὴν λέγειν μόνον αὐτός. οὐ προσάπτει πρῶτον ὁ ... τοῦ ... ἢ τῶν τοιούτων. ἀλλ' εὐθὺς ἐπὶ τὸ δεικνύναι ἔρχεται, διότι οὐκ ὀρθῶς ἡ τοιαύτη γίνεται δεῖξις, διὸ καὶ ἀσαφέστερόν πως φαίνεται τὸ εἰρημένον. λέγει γάρ· οὐ γὰρ εἰ μὴ ἐνδέχεται μηδενὶ τὸ β τῷ α, ἀνάγκη τινὶ ὑπάρχειν· ἃ δι' ἣν αἰτίαν δὲ διὰ τοῦτο. ἀλλ' ὅτι εὐθὺς ἐπὶ τὸ δεικνύναι ἔρχεται· τὴν μετάληψιν τῆς οὐκ ἐνδέχεται μηδενὶ ἢ τὴν ἀντικειμένην

τῆς ἐνδέχεσθαι μηδενί· ὡς οὐχ ὑγιῶς γινομένης τῆς ἐξ ἀνάγκης τινί. οὐ γὰρ πάντως
ἀληθὲς ἢ οὐ μὴν ἐνδέχεσθαι μηδενὶ τὸ β τῷ α· ἢ δηλονότι διὰ τοῦτο ἀληθὲς ἢ ὅτι ἐξ ἀνάγκης
τὸ β τινὶ τῷ α ὑπάρχει. καὶ γὰρ εἰ ἐξ ἀνάγκης τὸ β τινὶ τῷ α μὴ ὑπάρχειν· ἀληθὴς
ἡ λέγουσα· οὐ μὴν ἐνδέχεσθαι μηδενὶ τὸ β τῷ α ὑπάρχειν. τοῦ τοιούτου, ὅτι τὸ
ἐνδέχεσθαι παντὶ ἀντιστρέφει τῷ ἐνδέχεσθαι μηδενί· ἰδίᾳ δὲ ἑκάστῳ αὐτῶν ἀντί-
κειται. τῷ μὲν ἐνδέχεσθαι παντί, τὸ ἐξ ἀνάγκης τινὶ μή. τῷ δὲ ἐνδέχεσθαι μηδενί.
τὸ ἐξ ἀνάγκης τινί μή. ἐπεὶ δὴ καὶ ἀμφότερα, ἑκατέρου ἐκείνων ἀναιρετικά.
ἅ τε ἐκεῖνα μὲν ἀλλήλοις ἀντακολουθεῖ, καὶ ἀντιστρέφει. τούτων δὲ ἑκάτερον,
ἑκατέρου ἐκείνων ἀναιρετικόν ἐστι. τῷ δὲ τοῦ ἑτέρου ἀναιρεῖσθαι, ἐκείνων, ἀναι-
ρεῖται καὶ θάτερον. ὥστε ἀναιρετικὰ τοῦ ἐνδέχεσθαι μηδενί, τό τε ἐξ ἀνάγκης τινὶ
καὶ τὸ ἐξ ἀνάγκης τινὶ μή. τὸ μὲν ἐξ ἀνάγκης τινὶ καθ' αὑτό. τὸ δ' ἐξ ἀνάγκης τινὶ μή, κατὰ τὸ συ-
μβεβηκός. ὅτι ἐστὶν ἀναιρετικὸν τοῦ ἐνδέχεσθαι παντί. ᾧ ἀναιρουμένῳ συνα-
ναιρεῖται καὶ τὸ μηδενὶ ἐνδέχεσθαι. ἀλλὰ τοῦ τινὶ καὶ τοῦ ἐνδέχεσθαι μηδενὶ ἀπόφασις
ἡ οὐ μὴν ἐνδέχεσθαι μηδενί, ἀληθὴς ἔσται ὅτε οὐ μόνον ὅτε ἀληθής ἐστιν ἡ ἐξ ἀνάγκης
τινὶ λέγουσα. ἀλλὰ καὶ ὅτε ἡ ἐξ ἀνάγκης τινὶ μή. ἀμφότεραι γάρ εἰσιν ἀναιρετικαὶ
καὶ τῆς ἀντικειμένης αὐτῇ, τῆς ἐνδέχεσθαι μηδενί. ἐπεὶ δὴ ταύτης οὔσης ἀληθοῦς
τῆς ἐξ ἀνάγκης τινὶ μή, δύναται ἀληθὴς εἶναι τὸ ἐνδέχεσθαι μηδενί. ὥστε ὁ ὑπο-
θέμενος τὸ οὐ μὴν ἐνδέχεσθαι μηδενί, οὐ πάντως ὑποτίθεται αὐτῷ, διότι
ἐξ ἀνάγκης τινί. ἀλλὰ καὶ ἐξ ἀνάγκης τινὶ μή. ἂν δὴ ὑποκειμένης τῆς οὐ μὴν ἐνδέ-
χεσθαι μηδενὶ τὸ β τῷ α, μεταλαμβάνῃ τις ἀντὶ τὸ ἐξ ἀνάγκης τινὶ μὴ τὸ β τῷ α. οὐδὲν
ἔλαττον ἑπομένην αὐτῷ τῆς ἐξ ἀνάγκης τινὶ τὸ β τῷ α. οὐδὲ γὰρ ἀδύνατον ἀκολου-
θῆσαι. οὐ γὰρ εἰ τὸ β τῷ α, ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχει, ἤδη καὶ τὸ α τῷ β ἐξ ἀνάγκης
τινὶ οὐχ ὑπάρξει. οὐ γὰρ ἀντιστρέφει ἡ ἐπὶ μέρους ἀποφατικὴ ἀναγκαία.
τοῦτο δὲ ὅτι τοιοῦτον ἐδείχθη διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς. ὥσπερ γὰρ εἰ τοῦ
ζώου διαιρουμένου εἰς λογικὸν καὶ ἄλογον. καὶ ὄντων τῶν ζῴων καὶ λογικῶν καὶ ἀλό-
γων, λαβών τις τὸ εἶναι ζῷον, λέγει πάντως ἄλογον αὐτὸ εἶναι, ἄτοπον δρᾷ καὶ οὐ
καὶ ἀληθές. τὸ ἐνδέχεσθαι λογικὸν αὐτὸ εἶναι, ἄτοπον δρᾷ καὶ οὐκ ἀληθές. οὐδὲ
ἢ τὸν τοῦτο ἢ ἐκεῖνο τὸ ζῷον τεθέντα ἑπομένου, οὕτω καὶ ἀντιλαβὼν τὸ οὐ μὴν
ἐνδέχεσθαι μηδενί. μόνον τὸ ἐξ ἀνάγκης τινὶ λέγοι ἑπόμενον αὐτῷ. ἄτοπον αὐτὸ ποιεῖ.
ἐνδέχεται γὰρ ἀληθὲς εἶναι καὶ τὸ ἐξ ἀνάγκης τινὶ μή. καὶ γάρ ἐστι καὶ κατὰ τοῦτο μὴ ἀντι-

στραφὲν ἡ ἐνδεχομένη ἀποφατική· τοῦ γὰρ λευκοῦ ἐνδέχεσθαι μηδενὶ
κύκνῳ, οὐκ ἀληθὲς τὸ τὸν κύκνον ἐνδέχεσθαι μηδενὶ λευκῷ· ἀλλ᾽ ἀληθὲς τὸ μὲν ἐν-
δέχεσθαι μηδενὶ λευκῷ τὸν κύκνον οὐκ ἀληθές, τινὶ λευκῷ αὐτὸν ἐξ ἀνάγκης ὑπάρχειν.
οὐκ ἔτι γὰρ αὐτῷ οὐδὲ λευκὸν παντὶ κύκνῳ ἐνδεχόμενον· ἀλλὰ τινὶ αὐτῷ ἐξ ἀνάγκης ὑπάρ-
χειν. ἀλλ᾽ ἀνάπαλιν τὸ τινὶ λευκῷ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· διὸ οὐδὲ κοινός ἐστιν ὁ λόγος
ἀντὶ τοιγαροῦν τῆς ἀντιστροφῆς, τοῦ οὖν ἐνδέχεσθαι μηδενὶ εἰς τὸ κατὰ μέρος κα-
ταφατικὸν ἀναστρέφειν· οὐ διὰ τοῦ ἀληθοῦς ὄντος τοῦ ἀποφατικοῦ· ἀλλὰ διὰ τὸ
κατὰ μέρος ἀποφατικὸν ἀναστρέφειν:· τὸ γὰρ ἐξ ἀνάγκης τινὶ τῷ α μὴ ὑπάρ-
χον· οὐκ ἀληθὲς ἀπ[...] παντὶ ἐνδέχεσθαι μὴ ὑπάρχειν: +
ἀντὶ τοῦ ἐνδέχεσθαι μηδενί· λαμβάνει δὲ ὅτι τὸ οὐδενὶ ἐνδέχεσθαι μηδενί, ἐπεὶ
ἔστω ἐξ ἀνάγκης τινὶ μή, δείκνυσιν οὕτως· ἐπὶ γὰρ τοῦ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχοντος,
τὸ ἐξ ἀνάγκης τινὶ ὑπάρχοντος, ἀληθές ἐστι τὸ μή, ἐνδέχεσθαι μηδενὶ αὐτῷ ὑπάρχειν.
οἷον τὸ β τῷ α ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχει, οὐκ ἔστιν ἀληθὲς ἐπ᾽ αὐτοῦ τό, τὸ β ἐνδέ-
χεσθαι τῷ α μηδενί· τὸ γὰρ παντὶ ἐνδέχεσθαι μὴ ὑπάρχειν, ἔλεγεν ὡς ἴσον δύ-
ναται τῷ ἐνδέχεσθαι μηδενί· ὃ καὶ ἀσαφεστέραν τὴν λέξιν ποιεῖ· εἰ δὲ μὴ τοῦτο ἀληθὲς
ἐπ᾽ αὐτοῦ, δηλονότι ἡ ἀπόφασις αὐτοῦ ἡ λέγουσα τὸ β τῷ α οὐκ ἐνδέχεσθαι μη-
δενί· τοῦτο δὲ οὕτως ἔχον δείκνυσιν, καὶ διὰ τοῦ τὸ καταφατικὸν πάλιν τὸ ἐνδέ-
χεσθαι παντὶ τῷ α τὸ β, ψεῦδος ἂν εἴη· οὐ μόνον ἂν τῷ α τὸ β ἐξ ἀνάγκης τινὶ μὴ
ὑπάρχῃ, ἀλλὰ καὶ ἂν ἐξ ἀνάγκης τινὶ αὐτῷ ὑπάρχῃ· εἰ γὰρ ἦν τῷ α τὸ β ἐξ ἀνάγκης
τινὶ ὑπάρχον, ψεῦδος τὸ ἐνδέχεσθαι παντὶ τῷ α τὸ β· οὐ γὰρ ἡ τοῦ τὸ ἐνδέχε-
σθαι ἐξ ἀνάγκης ὑπάρχει· ὁμοίως δὲ ἔχει καὶ ἡ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν, πρὸς τὸ ἐνδέ-
χεσθαι παντί, καὶ ἡ ἐξ ἀνάγκης τινὶ μή, πρὸς τὸ ἐνδέχεσθαι μηδενί, οὐδὲ τούτων
οὖν ἀληθής, ἡ ἐνδέχεσθαι μηδενί, ἀληθοῦς οὔσης τῆς ἐξ ἀνάγκης τινὶ μή· οὐ γὰρ ἡ τοῦ
τὸ ἐνδέχεσθαι μὴ ὑπάρχειν, ᾧ ἐξ ἀνάγκης μὴ ὑπάρχει· ἀληθὴς ἄρα ἐστὶν ἡ ἀπό-
φασις αὐτῆς, ἐπ᾽ αὐτῆς· ἡ οὐκ ἐνδέχεσθαι μηδενί· ὥστε οὐκ ἐπὶ τῆς ἐξ ἀνάγκης τινὶ
μόνης, ἀληθὴς ἡ οὐκ ἐνδέχεσθαι μηδενί· ἀλλὰ καὶ ἐπὶ τῆς ἐξ ἀνάγκης τινὶ μή· ἀμ-
φότεραι γάρ, ἥ τε ἐξ ἀνάγκης τινί, καὶ ἡ ἐξ ἀνάγκης τινὶ μή, ἀναιρετικαί εἰσιν ἑκατέρ(ας)
ἐνδεχομένης καθόλου· τῆς τε ἐνδέχεσθαι παντί, καὶ τῆς ἐνδέχεσθαι μηδενί· διὸ
καὶ ἡ ἑκατέρου τούτων ἀπόφασις, ἀληθής, ὁποτέρου οὖν ἐκείνων ἀληθοῦς
ὄντος:· ὁμοίως ἀξιοῖ ἐπὶ τοῦ ἐνδέχεσθαι τὸ γ τῷ δ παντὶ ὑπάρχειν,

+

ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν αὐτό, ψεῦδος ἂν συμβαίνοι: +

Λαβὼν ὅτι τὸ ἐξεῖναι τινὶ μή, οὐχ ἕπεται τὸ ἐνδέχεσθαι παντί· ἀλλὰ δηλονότι ἡ ἀπόφασις αὐτοῦ ἡ οὐκ ἐνδέχεσθαι παντί· φανερὸν ποιεῖ διὰ τούτου, ὅτι μὴ πάντως ἡ τοῦ μὴ ἐνδέχεσθαι παντί, ἀληθὴς ἐστὶν ὡς ἡ τῆς ἐξ ἀνάγκης τινὶ μή· γίνεται γὰρ ἀληθὴς διὰ δύο ταύτας ὡς ἡ τῆς ἐξεῖναι τινί· ὡς τὸ ἴσον ταῖς ἀντικειμέναις τῇ ἐνδέχεσθαι παντί, αἷς δὲ ὡς ἐπὶ μέρους ἀναστρέφεσθαι· ἥ τε καταφατικὴ καὶ ἡ ἀποφατική· ἀγνοῶν τὸ προσκείμενον ἀεί, τὸ ἐνδέχεσθαι παντὶ ὑπάρχειν· τινὶ δὲ αὐτῷ ἐξεῖναι, οὐκ ἔστιν ἀληθὲς μὲν ἐπ' αὐτοῦ ἡ λέγουσα τὸ ἐνδέχεσθαι αὐτὸ παντί· ἐπεὶ τινὶ ἐξεῖναι, οὐ μὴν διὰ τὸ ἐξεῖναι τινὶ οὐχ ὑπάρχειν, οὐκ ἀληθής· ἀλλ' ὅτι καὶ ἐξεῖναι τινὶ ὑπάρχειν· οὐκ ἀληθὴς δὲ ἐλάμβανε τὸ ἐνδέχεσθαι παντὶ μὲν ὑπάρχειν· ἐξεῖναι δὲ αὐτῷ τινί· καὶ διὰ τοῦτο, ψεῦδος εἶναι τὴν λέγουσαν τὸ ἐνδέχεσθαι παντὶ ἐνδέχεσθαι· ἀλλ' ἐπεὶ διὰ τοῦτο λέγει τῶν ἐνδεχομένων ἀποφατικῶν τῶν ἐν τῇ ἀντιστροφῇ λαμβανομένων. τὴν λέγουσαν τὸ β τῷ α ἐνδέχεσθαι μηδενί, ψεῦδος εἶναι· διότι οὐδενὶ μὲν αὐτῷ ὑπάρχει· ἐξεῖναι δὲ τινὶ αὐτῷ οὐχ ὑπάρχειν· ὥσπερ γὰρ τὸ ἐνδεχόμενον καταφατικὸν καθόλου, ψεῦδος γίνεται· κἂν παντὶ μὲν ὑπάρχῃ τινὶ δὲ ἐξεῖναι, οὕτως καὶ τὸ ἐνδεχόμενον ἀποφατικὸν καθόλου, ψεῦδος· κἂν μηδενὶ αὐτῷ ὑπάρχῃ· ἐξ ἀνάγκης δὲ αὐτῷ τινὶ μή· γίνονται δὴ ἀναιρετικαὶ ἡ τῆς ἐνδέχεσθαι παντί· οὐχ ἡ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν λέγουσα μόνη· ἀλλὰ καὶ ἡ ἐξεῖναι τινὶ ὑπάρχειν τιθεῖσα, ὡς εἴρηται· ἀδύνατον ἀναιροῦσιν αὐτό. ἡ τοῦ ἐνδέχεσθαι μηδενί· εἰ καὶ οὐ τοιαύτη ἀντίφασις αὐτῇ, ἀναιρήσουσιν αὐτὸ καὶ αὐτό· οὐχ ἡ ἐξεῖναι τινὶ ὑπάρχειν λέγουσα μόνη· ἀλλὰ καὶ ἡ ἐξεῖναι τινὶ μὴ ὑπάρχειν· ἀλλ' ἐπειδὴ ἔστι μὲν ἐνδέχεσθαι μηδενί, τὸ ἐνδέχεσθαι παντί. ἑκατέρω δὲ ἐνδέχεται καὶ διὸ ἀναιροῦνται, δηλονότι καὶ τὴν ἐνδέχεσθαι μηδενί. ἀμφοτέρας ἀναιρήσουσιν:

: διὰ ἀληθ(οῦς)

+ δῆλον οὖν ὅτι πρὸς τὸ οὕτως ἐνδεχόμενον ἢ μὴ ἐνδεχόμενον, ὡς ἐν ἀρχῇ διωρίσαμεν.

Δείξας ὅτι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, τῆς τε καθόλου καταφατικῆς καὶ τῆς καθόλου ἀποφατικῆς ἀναιρετικαὶ εἰσὶν ἑκάτεραι αὐτῶν, αἱ δύο ἐπὶ μέρους ἀναγκαῖαι· ἥ τε καταφατικὴ καὶ ἡ ἀποφατική, οὗ χάριν ταῦτα ἔδειξε, παρατίθεται· φησὶ γὰρ ὡς τῆς διὰ ἀδυνάτου ἀπαγωγῆς τῆς γινομένης ἐπὶ τῆς ἀντιστροφῆς τῆς ἐνδεχομένης κατὰ τὸν διορισμόν, δεῖ ὑποτίθεσθαι τὸ μὴ ἐνδέχεσθαι

τὸ β τῷ α μηδενί, μεταλαμβανόμενον εἰς τὸ ἔστι τινὶ ἐξ ἀνάγκης τινὶ μή· διὰ τοῦ τὸ γὰρ οὐκ ἦν ἀληθὴς ἡ ἐνδέχεσθαι μηδενί· ἀλλὰ καὶ ἡ ἀπόφασις αὐτῆς ἡ οὐκ ἐνδέχεται μηδενί λέγουσα ὅτι τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ β τῷ α· οὐ γὰρ δὴ ἄλλο τι οὔσης ἀληθοῦς τῆς τὸ α τῷ β ἐνδέχεται μηδενί, δυνατὸν ψευδῆ εἶναι τὴν τὸ β τῷ α ἐνδέχεται μηδενὶ λέγουσαν ὅτι τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ β τῷ α· οὐ γὰρ δὴ ἄλλο τι οὔσης ἀληθοῦς ἢ διότι τινὶ αὐτῷ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· εἰ γὰρ διότι τινὶ ἐξ ἀνάγκης ὑπάρχει, οὐδ' ἂν ἡ τὸ α τῷ β ἐνδέχεσθαι μηδενὶ λέγουσα ἀληθὴς εἶναι δύναται· εἰ γὰρ τὸ β τινὶ τῷ α ἐξ ἀνάγκης, καὶ τὸ α τινὶ τῷ β ἐξ ἀνάγκης διὰ τὸ ἀντιστρέφειν τὴν ἀναγκαίαν ἐπὶ μέρους καταφατικήν· οὐ μεταληφθείσης δὲ διὰ τοῦτο τῆς ἀποφάσεως, ἀλλὰ ἔστιν ἐπὶ μέρους ἀναγκαία ἀποφατική· ἣ γὰρ διὰ τοῦτο ἀληθής, οὐδὲ ἀδύνατον ἀκολουθεῖ· τῷ τὴν ἐπὶ μέρους ἀποφατικὴν ἀναγκαίαν μὴ ἀντιστρέφειν. οὐδὲ διὰ τῆς εἰς ἀδύνατον ἄρα ἀπαγωγῆς δείκνυται ἡ ζητουμένη καθόλου ἀποφατικὴ ἐνδεχομένη ἀντιστρέφουσα· ὅτι δὲ οὐκ ἔστι ταὐτὸν τῇ ἐνδέχεται μηδενί, ἡ ἐξ ἀνάγκης τινί· οὐδὲ ἴση ἐστὶ τῇ ἀποφάσει αὐτῆς τῇ οὐκ ἐνδέχεται μηδενί· οὐδὲ ἴσην τὴν μετάληψιν αὐτῆς ποιεῖ τῇ τῆς οὐκ ἐνδέχεται μηδενὶ ὡς δεῖξω, ὁ βουλόμενος δεῖξαι ἀντιστρέφουσαν τὴν ἀποφατικὴν ἐνδεχομένην δι' αὐτῆς, δῆλον ἐκ τοῦ ἅμα ψευδεῖς αὐτὰς γίνεσθαι ποτέ· ὅτε γὰρ τοῦ ἐξ ἀνάγκης μηδενὶ ὑπάρχοντος, ψευδής ἐστιν ἡ ἐνδέχεται μηδενί· ὅτε μὴ ἢ παντί, ἢ ἡ ἐξ ἀνάγκης τινί. ψευδὴς γὰρ τό τε ἄλογον ἐνδέχεσθαι μηδενὶ ἀνθρώπῳ· ἀλλὰ καὶ τὸ ἐξ ἀνάγκης τινὶ αὐτῷ ὑπάρχειν· οὐκέτι δὲ ἑπόμενον μὲν τούτῳ ὑπὸ τὴν ἀπόφασιν προσῆλθεν ἡ δὲ εἰς ἀδύνατον ἀπαγωγή· ὅτε γὰρ τοῦ ἐξ ἀνάγκης τινί, ὅτε δὲ τινὸς οὔ· ὡς ἐπὶ τοῦ ἐξ ἀνάγκης τινὶ μή· διὰ τοῦτο οὐδὲ μᾶλλον ἐδείχθη ἡ καθόλου ἀποφατικὴ ἐνδεχομένη ἀντιστρέφουσα, ἢ οὐκ ἐδείχθη· ἀλλ' ὅτι μὴ ἐπὶ πάντων καθόλου ἡ ἀπόφασις ἀληθής. οὕτως ἔχειν, οὐκέτι ἐδείχθη· τὸ μὲν γὰρ συλλογιστικὸν ἐπὶ πάντων ὁμοίως ἔχει δεῖ· ἡ δὲ ἔνστασις ἡ πρὸς αὐτοῦ ἱκανή· καὶ ἀπὸ τῶν ἐδείχθη: · +

Τούτου δὲ δειχθέντος κείσθω τὸ α τῷ μὲν β ἐνδέχεσθαι μηδενὶ τῷ δὲ γ παντί: +

Δείξας ὅτι μὴ ἀντιστρέφει ἡ καθόλου ἀποφατικὴ ἐνδεχομένη, δείκνυσιν ἐφεξῆς ὃ προέθηκεν, ὅτι ἐν δευτέρῳ σχήματι ἐκ δύο ἐνδεχομένων προτάσεων, οὐ γίνεται συλλογισμός· καὶ τέθεικε δέ σου ζήτησιν πρῶτον ἐν ᾗ ἡ μὲν μείζ

καθόλου ἐνδεχομένη καταφατική ἐστιν· ἡ δὲ ἐλάττων, καθόλου ἐνδεχομένη καταφατική. ὅτι γὰρ οὐδ᾽ ὅταν καταφατικῶν μηδ᾽ ὣς συνάγεται τὸ λεγόμενον. ὡς ἐστιν ὡρισμένον παρέλιπε. φησὶ δὴ τὸ αὐτὴ καθ᾽ αὐτὴν μὲν ἐν συζυγίαν, ἀσυλλόγιστον εἶναι· μήτε γὰρ διὰ ἀντιστροφῆς δύνασθαι δειχθῆναι· γίνεσθαι μὲν γὰρ ἐν τούτῳ τῷ σχήματι κἂν ταῖς ἑτέραις συζυγίαις, τῆς ἀποφατικῆς ἀντιστρεφομένης, τὸ πρῶτον σχῆμα. δειχθῆναι δὲ τῶν ἐνδεχομένων ἀποφατικῶν, μὴ ἀντιστρέφουσαν ἑαυτῇ: ἀλλὰ μὴ δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὅτι ἐστὶ ... μὴ διὰ ἀντιστροφῆς δυνάμενον ἀλλ᾽ ὧν συζυγιῶν δείκνυσθαι ὅτι ἐστὶ συνακτική. ἐὰν γὰρ ᾖ τὸ α τῷ β ἐνδεχόμενον μηδενί· τῷ δὲ γ ἐνδεχόμενον παντί. ἀπολαβουλόμενός τις δεῖξαι συναγόμενον τὸ β τῷ γ ἐνδέχεσθαι μηδενί, τὸ ἀντικείμενον αὐτοῦ λάβῃ· τοῦτο δ᾽ ἐστί, τό, οὐκ ἐνδέχεται μηδενί, ὃ μετέλαβεν αὐτὸ εἰς τὸ καθόλου καταφατικὸν ἀναγκαῖον, οὐδὲν συμβαίνει ἀδύνατον· τιθέντες γὰρ τοῦ β παντὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν ἐρρήθη αὐτὸ τοῦτο τιθέντες γὰρ ὑποτιθέντες τοῦ β παντὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχειν. οὐ γὰρ ἀδύνατον ὡς ἀντικείμενον τοῦ ἐνδέχεσθαι, τὸ β τῷ γ μηδενί· τὸ ἐνδέχεσθαι παντὶ τὸ β τῷ γ. ληφθὲν ὑποτεθῆναι. τοῦτο γὰρ ἐστιν αὐτῷ, ἀλλ᾽ οὐκ ἀντικείμενον. οὐδὲ ἡ καθόλου δὲ καταφατικὴ ἀναγκαία ἀλλ᾽ ἀντίκειται τῇ ἐνδεχομένῃ καθόλου ἀποφατικῇ, ὡς τοῦτο δὲ εἰς τὸ ἀναγκαῖον καθόλου μεταληφθῇ τὸ ἐνδεχόμενον ὡς ἡμεῖς μετειλήφαμεν, οὐδ᾽ οὕτως τὸ ἀντικείμενον ἔσται λαμβάνων ἢ ὑποτεθείς· ὃ ἐν ταῖς εἰς ἀδύνατον ἀπαγωγαῖς χρήσιμον. ἐστι καὶ μὲν οὖν ἐν πρώτῳ ... τὸ καθόλου καταφατικὸν ἀναγκαῖον λαβὼν ὡς ἀντικείμενον τῷ καθόλου ἀποφατικῷ ἐνδεχομένῳ, δείκνυσθαι μηδὲν ἀδύνατον ἑπόμενον. εἰ γὰρ τῆς ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας τεθείσης, οὐδὲν ἀδύνατον συνάγεται, πολὺ πλέον ὅτι οὐδὲν ἀδύνατον συναχθήσεται, ἐπὶ μέρους, αὐτῆς οὔσης καταφατικῆς ἀναγκαίας. καὶ γὰρ τοῦ ἐπὶ μέρους καταφατικοῦ ἀναγκαίου ὑποτεθέντος· ὅ ἐστιν ἀντικείμενον τῷ ὑποτεθέντι συμπεράσματι, ὁμοίως ὅτι μηδὲν ἀδύνατον συνάγεται δείκνυται. εἰ γὰρ ἀντὶ τοῦ μὲν β ἢ παντὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχειν· ἢ τινί· ἀνθ᾽ ... τὸ α τῷ β ἐνδέχεσθαι μηδενί, γίνεται ἐν πρώτῳ σχήματι συζυγία τὴν μείζονα ἐνδεχομένην ἔχουσα πρὸς τὸ ἀποφατικήν. τὴν δὲ ἐλάττονα ἀναγκαίαν.

ἐν δὲ ταῖς ἐξ οὕτως ἐχούσαις συζυγίαις, ἐνδεχόμενον γίνεται τὸ συμπέρασμα.
ζητηθείσης γὰρ οὕτω τὸ α ἐνδέχεσθαι ἢ μηδενὶ τῷ γ, ἢ τινὶ μή. ἀλλ' εἰ μὲν γὰρ εἴη ἡ βγ
ἀναγκαία καθόλου καταφατική, λαμβάνοιτο ὡς αὐτὸ τὸ ἐναντίον· ἔσται καθόλου
ἀποφατικὸν ἐνδεχόμενον τὸ συμπέρασμα· τὸ τὸ α τῷ γ ἐνδέχεσθαι μηδενί.
ὃ οὐκ ἔστιν ἀδύνατον· εἰ καὶ τὸ γὰρ ἐνδέχεσθαι αὐτῷ παντί. εἰ δὲ ἐπὶ μέρους καταφα-
τικὴ ἡ βγ ἀναγκαία, ἐπὶ μέρους ἀποφατικὸν πάλιν ἐνδεχόμενον τὸ συμπέρασμα.
οὐκ οὕτως δὲ ἀδύνατον τὸ ζητούμενον· εἰ καὶ τὸ γὰρ τὸ α ἐνδέχεσθαι παντὶ τῷ γ.
τὸ δὲ ἐνδεχόμενον παντί, ἐνδέχεται καὶ μηδενὶ ἐκείνῳ· ἢ τινὶ μή. ἀλλὰ μέντοι τὸ
οὐκ ἐνδέχεται παντί ἐκ τῆς ἐξ ἀναγκαίας τινὶ μὴ καταληφθῇ, καθόλου καὶ αὐτὸ οὐκ ἀντι-
τορεῖται, ὁ ἀσυλλόγιστος ἡ συμπλοκή. γίνεται γὰρ ἐκ δύο τῶν ἐν πρώτῳ σχή-
ματι, ἀποφατικὴ ἐπὶ μέρους ἀναγκαία. δύναται καὶ τοῦτο δείκνυσθαι. εἰ γὰρ τὸ β
παντὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν· ὡς τὸ γινόμενον συμπέρασμα ἐπὶ τῇ προ-
κειμένῃ συζυγίᾳ λαμβάνων ἀρνοῦμαι· ὃ δεῖ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δει-
χθῆναι. ὃ ὅλον τέ ἐστι· καὶ εἰ καὶ ἡ τοιαύτη ... λέξις· καὶ ὅτι τοῦ ἀποφα-
τικοῦ καταφατικὸν λαμβάνουσα. ἐδείχθη γὰρ ἐγγράφεσθαι. τεθέντος γὰρ τοῦ β παντὶ
τῷ γ ἐνδέχεσθαι μὴ ὑπάρχειν· τοῦτο γὰρ ἂν εἴη γινόμενον συμπέρασμα· ἢ καὶ
τὸ καταφατικὸν ὡς οὐ δυνάμενον τὸ ἀποφατικὸν ληφθῆναι· τούτου δὴ τεθέντος,
γίνεσθαι συμπεράσματος, οὐδὲν ἀδύνατον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς,
διὰ τοῦτο τὸ ζητούμενον δειχθήσεται· τὸ γὰρ ψεῦδος, ἀλλ' οὐκ ἀδύνατον ἐπι-
λαμβανόμενον τοῦτο, καὶ ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἤδη τεθειμένον ὡς γνώριμον·
εἰ γὰρ ληφθείη τὸ ἀντικείμενον τῷ ἐνδέχεσθαι μηδενί, ὅ ἐστιν ἐξ ἀνάγκης τινί·
γίνεται ζητούμενον· τὸ ἐνδέχεσθαι τινί, καὶ τὸ α τῷ γ· ὃ οὐκ ἔστιν ἀδύνατον·
εἰ γὰρ παντὶ αὐτῷ ἐνδέχεται· εἰ καὶ τὸ γὰρ τοῦτο καὶ ἐνδέχεται μηδενί, διὰ τὴν ἀντι-
στροφὴν τῶν ἐνδεχομένων καταφατικῶν. ἀλλ' εἰ ἐνδέχεται τὸ α τῷ γ μηδενί, δῆλον
ὡς οὐκ ἀδύνατον τὸ α τινὶ τῷ γ ἐνδέχεσθαι μὴ ὑπάρχειν: ὅλως δ' εἴπε-
ρ ἔσται συλλογισμός, δῆλον ὅτι τοῦ ἐνδεχομένου ἂν εἴη: +

Δέδειχεν ὅτι μήτε διὰ τῆς ἀντιστροφῆς, μήτε διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οἷόν τε
δειχθῆναι συλλογιστικὴν οὖσαν τὴν κειμένην συζυγίαν· νῦν τὸ αὐτὸ τοῦτο
δείκνυσιν καὶ ἐκ τῆς οὐσίας· φησὶ γὰρ ὅτι εἰ ὅλως συλλογιστικὴ ἡ κειμένη συζυγία
ἐστί· δῆλον ὡς ἐνδεχόμενον ἔσται τὸ συμπέρασμα, διὰ τὸ ἀμφοτέρας ἐνδε-
χομένας εἶναι τὰς προτάσεις.

δέδεικται γὰρ ὅτι τὰ ἐξ ἀνάγκης τοῖς ἀκολουθοῦσι συλλογιστικῶς· ὁμοίως ἐπὶ τούτοις
οἷς ἀκολουθεῖ, ἐνδέχεσθαι τὰ ἐνδεχόμενα καὶ αὐτὰ τοιαῦτα· τὰ ἀναγκαῖα ἀνάγκῃ,
εἶναι ἀκολουθοῦντα ἀναγκαῖα. ἔλαβε γὰρ τοῦτο, ὅτι εἰ δ' ἐξ ἐνδεχομένων τὰ ἀδύνατα
ἀκολουθοῦν· τοῦ δὴ διὰ τὸ μηδετέραν τῶν προτάσεων ληφθῆναι ἐν τῷ ὑπάρ
χειν, δεῖ προσεκδέξασθαι τὸ ἐξ ἀνάγκης ὑπάρχειν· ἔσται οὖν τὸ συμπέρασμα
ἀσυλλογίστου καὶ ἐπιδεομένη συζυγία, ἐνδεχόμενον ἢ καταφατικὸν ἢ ἀπο
φατικόν. ἀλλ' οὐδέτερον οἷόν τε, ὥστε οὐκ ἔσται συλλογισμός. ὅτι δὲ οὔτε καταφατικὸν
οὔτε ἀποφατικόν, δῆλον· εἰ τοῦ ἂν μὲν λέγομεν καταφατικὸν γίνεσθαι τὸ συ
μπέρασμα, δύνασθαι διὰ ὅρων τινῶν δειχθῆναι, ὅτι οὐκ ἐνδέχεται ὑπάρχειν
συνάγεται· ὅπερ οὐκ ἔστιν ἀπόφασις ἐνδεχομένου· ἡ ἐνδέχεσθαι μὲν ἡ κατα
φασις, ἀλλ' ἐνδεχομένης ἀπόφασις. ἐὰν δὲ λέγωμεν ἀποφατικὸν ἢ γενέσθαι
τὸ συμπέρασμα ἐνδεχόμενον, δύναται πάλιν διὰ τῶν αὐτῶν ὅρων ἀπο
φατικὸν μὲν, ἀλλ' οὐκ ἐνδεχόμενον, ἀλλ' ἀναγκαῖον γινόμενον τὸ συμπέ
ρασμα. τὸ δὲ ἀναγκαῖον ἀποφατικὸν δειχθέν, ἀμφοτέρων ἀναιρετικὸν
ἔσται· τοῦ τε ἐνδεχομένου καταφατικοῦ, καὶ τοῦ ἐνδεχομένου ἀποφατικοῦ.
δείκνυσι δὴ τοῦτο οὕτως ἔχον· ὅρους λαβών· ἐφ' οὗ μὲν τὸ Α λευκόν· ἐπὶ δὲ
τοῦ Β ἄνθρωπον· ἐφ' οὗ δὲ τὸ Γ, ἵππον. τὸ γὰρ λευκὸν ἐνδέχεται ἀνθρώπῳ μὲν μηδενί, ἵπ
πῳ δὲ παντί· καὶ ἄνθρωπος ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ. ἀλλ' ἐξ ἀνάγκης μηδενί, οὔτε ἐνδέχε
ται ὑπάρχειν αὐτῷ. οὔτε ἐνδέχεται μὴ ὑπάρχειν· ὃ δείκνυσιν· ὥσπερ διότι μὴ
δύναται ὑπάρχειν, διὰ τοῦτο ψευδὴς ἡ ἐνδεχομένη κατάφασις ἐπ' αὐτῶν.
ἡ ἐνδέχεται μηδενὶ ἵππῳ ἄνθρωπον λέγουσα. ὅτι ἐξ ἀνάγκης αὐτῷ ὑπάρχει· οὐ γὰρ
ἐνδέχεται μηδενί· ἀλλ' ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ ἄνθρωπος: Ὁμοίως δὲ δειχθή
σεται φησὶν ἀσυλλόγιστος ἡ συζυγία. κἂν ᾖ ἀνάπαλιν ἀλλήλαις τῶν στερητικῶν·
ἐχουσῶν τῶν μὲν μείζονα καθόλου καταφατικὴν ἐνδεχομένην. τὴν δὲ ἐλάτ
τονα καθόλου ἀποφατικὴν ἐνδεχομένην. οὔτε γὰρ δι' ἀντιστροφῆς οὔτε
διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οἷόν τε αὐτὴν δειχθῆναι συλλογιστικῶς.
τὸ δὲ ἔλεγχος, διὰ τῶν αὐτῶν ὅρων. ἀλλὰ κἂν ἀμφότεραι καθόλου κατα
φατικαὶ ληφθῶσιν, διὰ τῶν αὐτῶν ὅρων δειχθήσεται. ὅτι μὴ οἷόν τέ ἐστιν
ἐνδεχόμενον συνάγεσθαι· μήτε καθόλου καταφατικὸν ἢ ἀποφατικόν·
μήτε κατὰ μέρος. τὸ γὰρ ἐξ ἀνάγκης μηδενὶ δειχθέν, πάντων τῶν ἐνδεχομένων

ἀναιρετικόν ἐστιν· ἀλλὰ καὶ ἀμφότεραι αἱ ἀποφατικαί· ἀλλὰ καὶ ἡ μὲν καθόλου ἡ δὲ ἐν μέρει· ἢ ἀμφότεραι ἐν μέρει καταφατικαὶ οὖσαι ἢ ἀποφατικαὶ ἢ ἐνηλλαγμέναι· οἱ αὐτοὶ ὅροι παρατεθέντες ταῖς εἰρημέναις προτάσεσιν ἁρμόσουσιν· καὶ τῷ τὸ συμπέρασμα ποιεῖν ἀναιρετικὸν ἐλέγξουσιν αὐτὰς ἀσυλλογίστους· οὐ χρὴ δὲ ὑπολαμβάνειν ἐν ταῖς εἰρημέναις συμπλοκαῖς, ἐὰν συνάγεσθαι καθόλου ἀποφατικὸν ἀναγκαῖον, μή ποτε οἰηθῶμεν συλλογιστικὰς εἶναι τὰς τοιαύτας συζυγίας· οὐ μὲν ἐνδεχόμενον συναγούσας, ἀλλὰ ἀναγκαῖον ἀποφατικόν· ἔστι γὰρ ἐπὶ πάντων ὅρων δεῖξαι, καὶ τὸ παντὶ ἐξ ἀνάγκης, ὃ παρέλιπεν Ἀριστοτέλης, ὡς αὐτάρκως δείξας μὴ συλλογιστικὰς τὰς εἰρημένας συζυγίας, διὰ τοῦ δεῖν μὴ ἐνδεχόμενον γίνεσθαι τὸ συμπέρασμα καὶ ἐπὶ ἐνδεχομέναις προτάσεσιν· δείκνυσθαι δὲ ἀναγκαῖον ἀποφατικὸν καθόλου γινόμενον· ἔστι δὲ ἀναγκαῖον καθόλου καταφατικὸν γινόμενον ποτέ· τοῦ γὰρ ἐξ ἀνάγκης παντὶ ὑπάρχειν ὅροι δηλωτικοί· οἱ δέ· ἔστω τὸ μὲν α λευκόν· τὸ δὲ β κύκνος· τὸ δὲ γ γραμματικός· τὸ γὰρ λευκὸν παντὶ αὐτῷ ἐνδέχεται· καὶ ἐνδέχεται μηδενὶ γραμματικῷ· καὶ αὐτὸς ἐξ ἀνάγκης παντὶ γραμματικῷ· ὁμοίως καὶ τὸ κινεῖσθαι παντὶ μὲν ζώῳ ἐνδέχεσθαι ληφθῇ· μηδενὶ δὲ αὐτῷ, ἢ ἀνάπαλιν· ἀλλὰ καὶ τοῦ ἐνδέχεσθαι παντί, ὅροι· λευκόν· κινούμενον· κύκνος· τὸ λευκὸν παντὶ κινουμένῳ ἐνδέχεται, καὶ μηδενὶ αὐτῷ· τὸ κινούμενον ἐνδέχεται παντὶ κύκνῳ, τὸ ἐνδέχεσθαι μηδενί· οὐκ ἀπορίᾳ οὖν ὅρων εἴρηκε τὸ ἀναγκαῖον ἀποφατικὸν παραθέμενος μόνον, ἀλλ' ὡς αὐτάρκως διὰ τῆς ἐκείνου παραθέσεως δεδειγμένου τοῦ εἶναι πάσας ἀσυλλογίστους συζυγίας, τὰς ἐν δευτέρῳ σχήματι ἐξ ἐνδεχομένων τῶν δύο προτάσεων:

## Μίξις ἐν δευτέρῳ σχήματι ἐξ ἐνδεχομένης καὶ ὑπαρχούσης:

ἀλλ' ἡ μὲν ὑπάρχειν, ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ· τῆς μὲν κατηγορικῆς ὑπαρχούσης τεθείσης·

Δείξας ὅτι ἐκ δύο ἐνδεχομένων προτάσεων ἐν δευτέρῳ σχήματι οὐδαμῶς γίνεται συλλογισμός, νῦν τὰς μίξεις μετελήλυθε· καὶ πρῶτον λέγει περὶ τῶν ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης δεδειγμένων μεμιγμένων· καί φησιν ὅτι ἂν ἡ μὲν ὑπάρ-

χουσα

Philoponus. ch. 54

ἢ καταφατική· ἡ δὲ ἐνδεχομένη ἀποφατική, οὐδ᾽ ὧδε ἔσται συλλογισμός. ὅπως ἂν ἔχοι ἡ ληφθεῖσα πρότασις. ὡς φανερὸν ἐκ τοῦ δῆλον ὅτι οὔτε, ἀμφότεραι ἐὰν καταφατικαὶ μὴ δείκνυσθαι συλλογιστικῶς. ὅτι δὲ οὔσης τῆς ὑπαρχούσης καταφατικῆς, ἀποφατικῆς τῆς ἐνδεχομένης, οὐδὲ συνάγεται συλλογιστικῶς, ἀπόδειξις φησὶν ἡ αὐτὴ διὰ τῶν αὐτῶν ὅρων. δείκνυται γὰρ ὁ συλλογισμὸς καὶ ἡ αὐτὴ συμπλοκή. διά τε τοῦ μὴ ἀντιστρέφειν τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην. ἀλλὰ μηδὲ τὴν ὑπάρχουσαν καταφατικὴν καθόλου. γίνεται γὰρ ἡ αὐτὴ ἀντιστραφεῖσα, ἢ ἐν πρώτῳ σχήματι, ἡ μείζων πρότασις, ἐπὶ μέρους καταφατική· ἔτι διὰ τοῦ μηδὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, δείκνυσθαι. τοῦ γὰρ ἀντικειμένου ἢ τοῦ ἐνδεχομένου συμπεράσματος, ἢ τοῦ ὑπάρχοντος. ἐάν τις ὑπάρχον λέγῃ δύνασθαι γίνεσθαι τὸ συμπέρασμα ὑπάρχον διὰ τοῦ συνάγεσθαι ἐν τῷ πρώτῳ σχήματι τὸ Α τινὶ τῷ Γ ὑπάρχον· ᾧ ἕπεται τὸ ἐνδέχεσθαι μηδενί· ὅ οὐκ ἐδύνατο. ἀλλὰ καὶ διὰ τῆς τῶν αὐτῶν ὅρων παραθέσεως. τὸ γὰρ λευκόν· τὸ ζῷον, καὶ ἵππος· ληφθέντα, δείκνυσιν, ὅτι μηδὲ ἐνδεχόμενον τὸ καταφατικὸν ἢ ἀποφατικὸν γίνεται τὸ συμπέρασμα. μήτε ὑπάρχον· ἀλλ᾽ ἀναγκαῖον ἀποφατικόν. καὶ τοῦτο δέ, ἢ τοῦ ἐνδέχεσθαι ἢ τοῦ ὑπάρχειν ἀναιρεῖ τὸ συμπέρασμα, ὃ συλλογιστικῶς συνήγετο. αἱ γὰρ προτάσεις αὗται αὗται. ἀλλὰ καὶ τοῦ παντὶ ἐξ ἀνάγκης, καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης, ἔστιν ὅρων εὐπορῆσαι. τοῦ μὲν μηδενὶ ἐξ ἀνάγκης, οἷς αὐτὸς κέχρηται· λευκόν, ἀνθρώπῳ, ἵππῳ. τὸ γὰρ λευκόν, δυνατὸν τῷ μὲν ἑτέρῳ τούτων, ὑπάρχον παντὶ ληφθῆναι. τῷ δὲ ἑτέρῳ ἐνδεχόμενον μηδενί. ὡς προείρηται. καὶ ὁ ἄνθρωπος ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ. τοῦ δὲ παντὶ ἐξ ἀνάγκης, λευκόν· ἄνθρωπος· γραμματικός. τὸ γὰρ λευκόν, ἐνδέχεσθαι μὲν μηδενὶ ἀνθρώπῳ, ὑπάρχειν δὲ παντὶ γραμματικῷ. καὶ ὁ ἄνθρωπος παντὶ γραμματικῷ ἐξ ἀνάγκης. ὁμοίως δὲ καὶ ζῷον καὶ ἄνθρωπος. οἱ ἄκροι ληφθέντων:·

Ἂν δ᾽ ἡ μὲν ἐνδεχομένη καθόλου καταφατικὴ ληφθῇ, ἡ δ᾽ ὑπάρχουσα καθόλου ἀποφατική, ἔσται συλλογισμός, ἀντιστραφείσης τῆς καθόλου ἀποφατικῆς ὑπαρχούσης· οὕτως γὰρ ἔσται τὸ πρῶτον σχῆμα καὶ τὸ συμπέρασμα τὸ οὐκ ἐνδέχεσθαι μηδενί· τοῦτο δὲ πρὸς ὁποτέρῳ αὐτὸ ὑπάρχον σημαίνει τι φη(σί):

Φησὶ γὰρ ὅτι κἂν ἡ ἐλάττων ληφθῇ καθόλου ἀποφατικὴ ὑπάρχουσα, ἡ δὲ μείζων καθόλου καταφατικὴ ἐνδεχομένη, οὐκ αὐτὸς ἔσται συλλογισμὸς ἀντιστραφείσης τῆς ἀποφατικῆς ὑπαρχούσης· οἷον ἔστω τὸ μὲν α τῷ β παντὶ ἐνδεχόμενον· τῷ δὲ γ μηδενὶ ὑπάρχον· ἀντιστραφείσης γὰρ τῆς α γ, γίνεται τὸ γ οὐδενὶ τῷ α ὑπάρχον· τὸ α παντὶ τῷ β ἐνδεχόμενον· τὸ ἄρα γ ἐνδέχεται μηδενὶ τῷ β· ἀλλ᾽ ἐπὶ τοῦ ἐνδέχεσθαι ὁ συλλογισμός· τὸ δὲ ἐνδεχόμενον ἀποφατικὸν οὐκ ἀντιστρέφει· πῶς τοῦ προκειμένου συναγωγὴ ἔσται· ὅτι μὲν γὰρ τὸ γ τῷ β ἐνδέχεται μηδενί, δέδεικται διὰ τῶν κειμένων· οὐκέτι μέντοι ὅτι τὸ β τῷ γ ἐνδέχεται μηδενί, διὰ τὸ μὴ ἀντιστρέφειν τὸ ἐνδεχόμενον ἀποφατικόν· ἀλλὰ μὴν δεῖ ἐν τοῖς συμπεράσμασι κατηγορούμενον τὸ β εἶναι· οὕτως γὰρ ὁ μείζων ὅρος κεῖται.

Τοῦτο τὸ ἐνδεχόμενον, οὐ τὸ κατὰ τὸν διορισμὸν συνάγεται, ἀλλὰ τὸ κατὰ τοῦ ὑπάρχοντος ἀληθευόμενον· ἐδείχθη γὰρ τοιοῦτον συναγόμενον τῆς μείζονος ἀποφατικῆς ὑπαρχούσης ληφθείσης ἐν πρώτῳ σχήματι. ὃ δὲ τοῦτο, καὶ τὸ συμπέρασμα ἀντιστρέφει, ἐν καθόλου ἀποφατικὸν ὑπάρ(χον)· ἄλλως δὲ οὔ· ὅτι δὲ τοιοῦτον γίνεται τὸ συμπέρασμα, ἀλλ᾽ οὐ τοῦτο, καὶ τὸν διορισμὸν ἐνδεχομένως; δηλοποιήσει καὶ διὰ τῶν ἑξῆς. προείρηκε δὲ καὶ ἤδη αὐτὸς ἀρχόμενος τοῦ περὶ τοῦ δευτέρου σχήματος λόγου. διὸ οὐ δεῖ παραδέχη ἐν τούτοις λαμβάνειν τό, ἐν τοῖς συμπεράσμασιν ἐνδεχόμενον ὡς πρ(οείρηται) ἐν τοῖς πρότερον· ἡ ἐνδεχομένη ἀποφατική, ἴση τῇ ἐνδεχομένῃ καταφατικῇ, πρὸς ἣν ἀντιστρέφει· ἀντιστρέφοι δ᾽ ἂν καὶ αὕτη ὁμοίως ταῖς καταφατικαῖς. ταῖς δὲ καθόλου καταφατικαῖς, ἀντιστρέφουσιν αἱ ἐπὶ μέρους καταφατικαί, ἔσται οὖν ἀντιστραφέντος οὕτως τοῦ συμπεράσματος τοῦ γ, τὸ β τῷ γ ἐνδέχεσθαι τινί· ἐπεζήτησαν δ᾽ αὖ τινες, πῶς ἐν ταῖς τοιαύταις συζυγίαις συνάγεται τὸ συλλογιστικῶς. ἐν ἐνίαις γὰρ τῇ τῶν αὐτῶν ὅρων παραθέσει· μήτε ἐνδεχόμενον ἀποφατικόν, μήτε ὑπάρχον δεῖξαι συναγόμενον· οὕτως γὰρ ἔχουσιν τῶν προτάσεων· καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης, καὶ τοῦ παντί· ἐπὶ τῶν ὅρων ἡ συναγωγή. ἰδοὺ γὰρ τὸ λευκὸν οὐδενὶ ἀνθρώπῳ ὑπάρχοντος· τὸ λευκὸν ἐνδέχεται παντὶ ἵππῳ, καὶ ἄνθρωπος ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ· καίτοι ἔδει ἢ ἐνδεχόμενον ἢ ὑπάρχον εἶναι τὸ συμπέρασμα· ἀλλὰ καὶ τοῦ παντὶ ἐξ ἀνάγκης, οἷον τοὺς ὅρους λαβεῖν· πάν(τι)

γὰρ τὸ λευκὸν οὐδενὶ ἀνθρώπῳ· τὸ λευκὸν ἐνδέχεται παντὶ γραμματικῷ· καὶ ἄνθρωπος παντὶ γραμματικῷ ἐξ ἀνάγκης· ὥστε καὶ τοῦ παντὶ καὶ τοῦ μηδενὶ ἢ συναπτομένου τοῦ χρόνου ἀφορίσαι· ἢ λέγοιτο τὸ λευκὸν μηδενὶ ἀνθρώπῳ· ὅτι καθ' ὃ τὸ λευκὸν παντὶ γραμματικῷ ἐνδέχεσθαι· ὅτε γὰρ ἐνδέχεται παντὶ γραμματικῷ ὑπάρχειν ἤδη τὸ λευκόν, τότε ψευδὴς ἡ, τὸ λευκὸν οὐδενὶ ἀνθρώπῳ· ἀλλ' εἰ κοινόν τε καὶ τὸ μηδενὶ ἐξ ἀνάγκης λεχθῇ, διαβάλλει τὴν συμπλοκήν· ἀλλὰ καὶ ἐὰν ἀνάπαλιν τὰς προτάσεις λαμβάνωμεν ὡς τὸ μὲν λευκόν, παντὶ ἀνθρώπῳ ἐνδέχεσθαι· ἵππῳ δὲ μηδενὶ ὑπάρχειν· αἱ μὲν προτάσεις, ἀληθεῖς πάλιν· τὸ δὲ συμπέρασμα, ἐξ ἀνάγκης ἀποφατικόν· ἄνθρωπος γὰρ ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ· οὐ γὰρ δὴ τὴν καθόλου ἀποφατικὴν ὑπάρχουσαν, ἔνεστιν ἀντιλαβέσθαι ὡς ψευδῆ. πᾶσα γὰρ ἀποφατικὴ ὑπάρχουσα καθόλου τοιαύτη· ὥσπερ καὶ ἡ καταφατική· καὶ ὅτι τοῦτο οὕτως ἔχει, δηλοῖ αὐτός· τοιαύτης πανταχοῦ τῆς καθόλου ὑπαρχούσης χρώμενος, ἢ τοιούτῳ ἔοικε μόνῃ τῇ τῆς ὑπαρχούσης ἀποφατικῆς ἀντιστροφῇ προσέχων συλλογιστικὰς εἶναι τὰς τοιαύτας συζυγίας. οὐκέτι καὶ ἐξέτασιν αὐτῶν ἐπὶ τῶν ὅρων ποιησάμενος· αὐτὸς γάρ τε ἀξιώσει τὴν ἀεὶ ὑπάρχουσαν ἢ μᾶλλον καθόλου λαμβάνειν· ἀλλὰ μὴ τὴν ποτέ, οὐδὲ ἄλλο οὕτως ἀξιώσας, ἢ ἀναγκαίαν εἶναι τὴν ὑπάρχουσαν, τὸ γὰρ ἀναγκαῖον τοιοῦτον· προσέτι δὲ οὐδὲ αὐτὸς ἐπὶ τῶν ὅρων λαμβάνων τὴν ὑπάρχουσαν, ἐπὶ τῶν οὕτως ἐχόντων λαμβάνει· ἔτι δὲ χρῆσθαι, τῷ μὴ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου γενέσθαι τὸ συμπέρασμα· ὡς ἔδειξεν ἐπὶ τῶν μίξεων ἐν τῷ πρώτῳ σχήματι, τῆς μείζονος ἀναγκαίας οὔσης καθόλου ἀποφατικῆς, ἐνδεχομένης δὲ τῆς ἐλάττονος· ἔπει γὰρ ὅτι οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, τὸ ἀποφατικὸν συμπέρασμα ἔσται· τοιοῦτον δὲ καὶ τὸ ἐπὶ τῆς τοιαύτης μίξεως γινόμενον· ἃ μόνον τὸ ἀποφατικὸν καὶ μὴ τὸ καταφατικὸν συνάγοιτο· διὰ τὸ ἐπεκτείνων τὸν χρόνον ἀφορίσασθαι τὴν ἀποφατικὴν ὑπάρχουσαν· ὥστε καὶ ἀναγκαῖον ἀποφατικὸν τὸ συναγόμενον ἐστι, δυνατὸν λέγεσθαι τοῦ μὴ ὑπάρχειν ὁ συλλογισμὸς εἶναι· διὰ τό, τὸ μὴ ὑπάρχον τε ἐπὶ τοῦ ἐξ ἀνάγκης μὴ ὑπάρχοντος ἀληθεύεσθαι· τὸ γὰρ μὴ ὑπάρχον ἀληθές, καὶ ἐξ ἀνάγκης μὴ ὑπάρχει· ἀλλὰ καὶ τοῦτο προείρηται· ὅτι μὴ οἷόν τε ἀναγκαῖον γενέσθαι τὸ συμπέρασμα, μηδεμιᾶς τῶν προτάσεων ἀναγκαίας οὔσης

τὸ ἐπεὶ δὲ ἐπὶ τῶν τοιούτων μίξεων· τὸ δὲ ἐξ ἀνάγκης μὴ ὑπάρχειν, οὐκ ἔσται συλ-
λογισμός, ἢ οὐκ ἔσεσθαι ἐπὶ τὸ μικρόν: +

ἀμφοτέρων μὲν στερητικῶν οὐσῶν· τὴν μὲν ἐνδεχομένην, μὴ ὑπάρχειν·

Καὶ ἀμφοτέρων οὖν στερητικῶν τῶν προτάσεων, φησὶν ἔσεσθαι συλλογισμόν,
τῆς ἐνδεχομένης ἀποφατικῆς ἀντιστραφείσης, ἴσα τῷ ἐνδεχομένῳ κατα-
φατικῷ. ἔσται δὲ καὶ ἐπὶ ταύτης τῆς συζυγίας τὸ συμπέρασμα τό, τῷ β τῷ γ ἐνδέ-
χεσθαι μηδενί. οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ὡς ἔδειξε. γίνεται
γὰρ ἐν πρώτῳ σχήματι ἀποφατικὴ ὑπάρχουσα, διὰ τῆς ἀντιστροφῆς,
ὅπερ αὐτὸ διὰ τῆς προσθήκης ἐνεδέξατο· ἀπὸ τούτου, καθάπερ ἐν τοῖς πρότερον.
ἔσται γὰρ πάλιν τὸ πρῶτον σχῆμα, διὰ γὰρ τοῦ τοιούτου τῆς ὑπαρχούσης ἀ-
ποφατικῆς ἀντιστροφὴ ἐδήλωσε, καὶ τὴν ποιότητα τοῦ συμπεράσματος.
ὅτι δὲ ἀμφοτέρων ληφθεισῶν καθόλου καταφατικῶν, καὶ τῆς ὑπαρχούσης
καὶ τῆς ἐνδεχομένης ἐν τούτῳ τῷ σχήματι, οὐδὲ γίνεται συλλογισμὸς τῇ τῶν
ὅρων παραθέσει ἔδειξεν ὡς ἔθος αὐτῷ ποιεῖν. ὅροι γὰρ τοῦ μὲν ὑπάρχειν
ὑγεία. ζῷον. ἄνθρωπος. ὑγεία μὲν γὰρ παντὶ ζῴῳ ἐνδέχεται· καὶ ὑπάρχει τῷ παντὶ
ἀνθρώπῳ. καὶ ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. τοῦ δὲ μὴ ὑπάρχειν, ὑγεία. ἵππος.
ἄνθρωπος. πάλιν γὰρ ἵππος, οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. ὡς δὲ ἐπὶ τῶν καθόλου
συλλογισμῶν εἶχε. τῆς γὰρ ὑπαρχούσης προτάσεως ἀποφατικῆς λαμβα-
νομένης, ἐγίνοντο συλλογιστικαὶ συζυγίαι, οὕτως καὶ ἐπὶ τῶν ἐν μέρει. ἂν γὰρ
ἡ ὑπάρχουσα ἀποφατικὴ καθόλου λαμβάνοιτο, ἡ δὲ ἐνδεχομένη ἐπὶ
μέρους, ἔσονται ἐπὶ μέρους συλλογισμοί, ὁποτέρα ἂν ληφθῇ ὑπάρχουσα.
πλὴν τῆς μὲν μείζονος ληφθείσης, γνώριμον τὸ συναγόμενον. ἂν δὲ ἡ ἐλάττων
ληφθῇ. καὶ τὸ α τῷ μὲν β τινὶ ἐνδέχοιτο. τῷ δὲ γ μηδενὶ ὑπάρχοι, δῆλον
ὡς καὶ τῷ γ οὐδενὶ τὸ α. τὸ δὲ α τινὶ τῷ β ἐνδέχεται. γίνεται δὴ τὸ γ τινὶ τῷ
β ἐνδέχεσθαι μὴ ὑπάρχειν. ὃ, ἀεὶ ἐστὶ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον,
τὸ τῷ β τῷ γ ἐνδέχεσθαι τινὶ μὴ ὑπάρχειν. τὸ γὰρ ἀντιστρέφειν καὶ ἐπὶ μέρους
ἐνδεχομένας. ἀντιμεταθεῖ μὴ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ὡς φθάσας
ἔδειξε. συλλογιστικὴ μὲν ἔσται ἡ συζυγία. οὐ μὴν τοῦ προκειμένου. ὁ γὰρ ἐλά-
ττων κατηγορούμενος, ἐν τῷ συμπεράσματι μέν. τὸ μὴ ἀντιστρέφειν
τὸ ἐπὶ μέρους ἀποφατικόν, ἀνθυπάρχον ἢ ἀναγκαῖον. οὐδὲ αὐτὸ μέντοι

ὑπεξαιρετέως γίνεσθαι συμπεράσματος συλλογιστικοῦ. καὶ τῆς ἐλάττονος καθόλου
ὑπαρχούσης ἀποφατικῆς ληφθείσης, τῆς μείζονος ἐνδεχομένης ἐπὶ
μέρους. οὐδὲ γὰρ τῶν ἀρχῶν συλλογιστικοῦ συμπεράσματος ἐν τῷ δευτέρῳ σχήματι. ἡ ἔ-
χουσα μείζονα ἐν μέρει. ἀλλ' ἡ ὑπάρχουσα καταφατικὴ ἀεί. οὐδ' ἔστι γίνεται
συλλογισμός. ἡ δεῖξις διὰ τῶν αὐτῶν ὅρων. ὑγείας. ζῴου. ἀνθρώπου. ὑγείας. ἵπ-
που. ἀνθρώπου. ἔνεστι γὰρ τῶν καθόλου ἐνδεχομένων, καὶ ἐπὶ μέρους λαμβάν-
ειν τῶν αὐτῶν ὅρων. οὐδ' ἂν εἰς ἀδύνατον ἀπαγωγὴ προσδῇ. ἀλλὰ καὶ
ἀμφότεραι αἱ προτάσεις, ἀποφατικαὶ ληφθῶσι, πάλιν δὲ καθόλου
ἡ ὑπάρχουσα, ἔσται συλλογιστικὴ συζυγία. οὐ διὰ τῶν εἰρημένων. ἀλλὰ καὶ μετα-
ληφθείσης πάλιν τῆς ἐνδεχομένης ἀποφατικῆς ἐπὶ μέρους, ἀεὶ τὸ ἰσ-
διωρισμοῦ εἰς αὐτὴν τὴν ἐπὶ μέρους καταφατικὴν ἐνδεχομένην. οὐδ' ἂν
ἀποφατικὴ ληφθῇ ἡ ὑπάρχουσα ἐπὶ μέρους τῆς ἑτέρας ἐνδεχομένης
οὔσης καθόλου καταφατικῆς ἢ ἀποφατικῆς, ἔσται συλλογισμός. διὰ
τὸ μὴ ἀντιστρέφειν δηλονότι τὴν ἐπὶ μέρους ἀποφατικὴν ὑπάρχουσαν.
οὐ τῶν ἀμφοτέρων δὲ ἐπὶ μέρους, ἢ ἀδιόριστοι ληφθῶσιν, ὁπωσοῦν ἔχουσαι
κατὰ τὸ ποιόν, οὐδ' ἔσται συλλογισμός. καὶ τοῦτο δείκνυσθαι διὰ τῶν
αὐτῶν ὅρων. πάλιν γὰρ ὑγεία. ζῷον. ἄνθρωπος. τοῦ ὑπάρχειν, καὶ ὑγεία. ἵππος.
ἄνθρωπος, τοῦ μὴ ὑπάρχειν. ἀληθεῖς γὰρ καὶ ἐπὶ μέρους λαμβανόμεναι καὶ ἐπὶ
τῶν ὅρων τούτων, αἱ προτάσεις:· +

ἐὰν δ' ἡ μὲν ἐξ ἀνάγκης, ἡ δ' ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων:

τὴν ἐξ ἀναγκαίας καὶ ἐνδεχομένης μίξιν ἐν δευτέρῳ σχήματι μετελήλυθεν. καὶ δείκνυσι
τίνες καὶ ἐν τῇ τοιαύτῃ μίξει συζυγίαι συλλογιστικαί. τῆς μὲν οὖν ἐνδεχομένης
καθόλου καταφατικῆς οὔσης. τῆς δ' ἀναγκαίας ἀποφατικῆς καθόλου
λαμβανομένης, ἔσεσθαί φησι συλλογισμόν. τὸ μέντοι συμπέρασμα ἐνδεχό-
μενον μέν, οὐ μὴν κατὰ τὸν διορισμόν. ἀλλὰ τοῦ μὴ ὑπάρχειν. ὡς ἐδείξαμεν
ἤδη. ὅτι γὰρ τῆς μείζονος ἀναγκαίας ἢ ὑπαρχούσης οὔσης ἀποφατικῆς
ἐν πρώτῳ σχήματι, οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον τὸ συμπέρασμα,
ἐν τοῖς πρόσθεν εἴρηκε. γίνεται γὰρ τὸ πρῶτον σχῆμα ἀντιστραφείσης τῆς ἀναγκαίας
ἀποφατικῆς, ἔχον τὴν μείζονα ἀναγκαίαν ἀποφατικήν. ἐν ταῖς τοιαύταις
ἐν δευτέρῳ σχήματι συζυγίαις. καὶ ὅπως γίνεται παραλείπεται:·

καὶ ἐὰν τὸ α τῷ μὲν β ἐξ ἀνάγκης μηδενὶ ὑπάρχειν, τῷ δὲ γ παντὶ ἐνδέχεσθαι.

Ἀντιστραφείσης οὖν τῆς ἀποφατικῆς ἀναγκαίας·

τὸ β τῷ α ἐξ ἀνάγκης οὐδενί· τὸ δὲ α παντὶ τῷ γ ἐνδέχεται· γίνεται δὴ πρῶτον σχῆμα, συμπέρασμα ἔχον· τὸ β τῷ γ μηδενὶ ἐνδέχεσθαι· οὐ μὴν τὸ τοιοῦτον τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, ὡς ἐδηλώσαμεν ἄνω· ἀλλὰ δηλονότι τὸ οὐχ ὑπάρχειν τὸ β οὐδενὶ τῷ γ· καὶ ὅτι γίνεται καθόλου ἀποφατικὸν τὸ συμπέρασμα τὸ ὑπάρχον, τε οὐ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δείκνυσι. εἰ γὰρ μὴ ἀληθὲς τὸ β τῷ γ μηδενὶ ὑπάρχειν· τὸ ἀντικείμενον αὐτοῦ εἰλήφθω. ἐκκείσθω τὸ β τῷ γ τινὶ ὑπάρχειν· ἀλλὰ μὴν ἔκειτο τὸ α ἐξ ἀνάγκης μηδενὶ τῷ β. τοῦτο γὰρ σημαίνει τό, μηδενὶ ἐνδέχεται· τὸ δὲ β, τινὶ τῷ γ ὑπάρχει· γίνεται οὖν τὸ α τινὶ τῷ γ ἐξ ἀνάγκης μὴ ὑπάρχον, ἔδειξε γὰρ ὅτι ἐν πρώτῳ σχήματι τῆς μείζονος οὔσης ἀναγκαίας, ὑπαρχούσης δὲ τῆς ἐλάττονος, ἀναγκαῖον τὸ συμπέρασμα. τὸ ἄρα α τινὶ τῷ γ ἐξ ἀνάγκης οὐχ ὑπάρχει, ὡς ἔφη· ὅπερ ἀδύνατον· ὑπέκειτο γὰρ τὸ α παντὶ τῷ γ ἐνδέχεσθαι· ἀδύνατος ἄρα ἡ ὑπόθεσις, ἧς τοῦτο τὸ συμπέρασμα ἠκολούθησε· τὸ ἄρα ἀντικείμενον αὐτῆς. ὧν δὲ τὸ β μηδενὶ τῷ γ ὑπάρχειν. δεῖ δὲ εἰδέναι· ὅτι ἡ δεῖξις αὕτη, καὶ τὸ ἀπαντῆσαν ἀδύνατον ἠκολούθησε· διότι εἴτε δῆλον ἀληθὲς ἦν, καὶ ἐν πρώτῳ σχήματι ἐξ ἀναγκαίας τῆς μείζονος καὶ ὑπαρχούσης τῆς ἐλάττονος, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα· ἐπεὶ καὶ τοῖς τοῖς ὑπάρχον λέγουσι γίνεσθαι τὸ συμπέρασμα ἐν ταῖς τοιαύταις μίξεσιν, οὐ προχωρεῖ ἡ τοιαύτη δεῖξις. οὐδὲν γὰρ ἀδύνατον ἕπεται· γίνεται γὰρ συναγόμενον ἐκ τῆς ὑποθέσεως τῆς τὸ β τινὶ τῷ γ ὑπάρχειν λεγούσης καὶ ἐκ τῆς κειμένης τῆς ἀναγκαίας, τῆς τὸ α ἐξ ἀνάγκης οὐδενὶ τῷ β· τὸ α τινὶ τῷ γ μὴ ὑπάρχειν· ὃ οὐδὲν ἀδύνατον ἐστὶ κειμένου τοῦ, τὸ α παντὶ τῷ γ ἐνδέχεσθαι· ἅμα γὰρ ἀληθῆ οὐδὲν κωλύει εἶναι, τό τε παντὶ ἐνδέχεσθαι τὸ α τῷ γ, καὶ τό, τινὶ αὐτῷ μὴ ὑπάρχειν:

τὸν αὐτὸν δὲ τρόπον ἕξει καὶ εἰ πρὸς τὸ γ τεθείη τὸ στερητικόν.

Καὶ νῦν μὲν ἀριστοτέλης τῆς ἐλάττονος ληφθείσης, καθόλου ἀποφατικῆς ἀναγκαίας, ἐνδεχομένης δὲ τῆς μείζονος καθόλου καταφατικῆς, ἔσται τὸ προκείμενον συμπέρασμα· ὅτι ὑπάρχον ἀποφατικὸν γίνεται καὶ τοῦτο τὸ συμπέρασμα. ὥστε καὶ ἀντιστρέφει· ἐὰν γὰρ τὸ α τῷ μὲν β ἐνδέχεται παντί· τῷ δὲ γ ἐξ ἀνάγκης οὐδενί.

τὸ δὲ α τῷ β ἐνδέχεται παντί· τὸ ἄρα γ ἐνδέχεται μηδενὶ τῷ β· τοῦ ἐνδέχεσθαι
καὶ τοῦ τὸ ἐναντίον καὶ τὸ ὑπάρχειν κατηγορουμένου. ἐπεὶ τοίνυν τὸ καθόλου
ἀποφατικὸν ὑπάρχον ἀντιστρέφει· ἢ τὸ β τῷ γ οὐδενὶ ὑπάρχει. τοῦτο γὰρ
ἐδείκνυσαν ἀληθῆναι· ἃ μὲν τοίνυν τοῦ μὲν ὑπάρχειν γίνοιτο τὸ συμπέρασμα,
ἀλλὰ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου. τὸ μὴ ἀντιστρέφειν τὴν καθόλου
ἀποφατικὴν ἐνδεχομένην. οὐκέτι τὸ τὸ β ἐνδέχοιτο τῷ γ μηδενί, ὡς τέως
τοῦ προκειμένου ἡ δεῖξις. ἀλλὰ ἄρα τὸ ἐπὶ μέρους ἐνδεχόμενον σώζοιτο
τῷ τὴν ἐνδεχομένην καθόλου ἀποφατικήν, τὴν ἐπὶ μέρους ἐνδεχομένην
ἀντιστρέφειν καὶ ταύτην ὡς οὔσης καταφατικῆς. καθόλου μὲν τὸ ἐνδεχόμενον
ἀλλ᾽ οὐχ ὑπάρχον γίνεται τὸ συμπέρασμα ἐν τῇ ἐκκειμένῃ καὶ δείξει, τὸ προ
κείμενον σώζεται· δέδεικται καθόλου ἐνδεχόμενον ἀποφατικόν· καθόλου γὰρ
δέδεικται. ἡ τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην ἀντιστρέφειν ἐᾶν.
ὅτι δὲ τῆς ἀναγκαίας καταφατικῆς τεθείσης, τῆς δὲ ἐνδεχομένης ἀπο
φατικῆς, οὐδεὶς γίνεται συλλογισμὸς ἐν τούτῳ τῷ σχήματι, τῇ τῶν ὅρων
παραθέσει δείκνυσι. πρῶτον μὲν γὰρ ἐπὶ ὅρων ἔδειξε τὸ ἐξ ἀνάγκης μηδενὶ
γινόμενον συμπέρασμα ἐπὶ τοιαύτης συζυγίας. λαβὼν λευκόν· ἄνθρωπον· κύκνον.
τὸ γὰρ λευκὸν ἐνδέχεται τῷ μὲν μηδενὶ ἀνθρώπῳ· ἐξ ἀνάγκης δὲ παντὶ κύκνῳ ὑπάρχει.
τὸ ἄνθρωπος ἐξ ἀνάγκης οὐδενὶ κύκνῳ. δείξας δὲ ἀναγκαῖον ἀποφατικὸν συμπέρασμα
ἐπὶ τοῖς κειμένοις ὅροις ἐν τῇ τοιαύτῃ συζυγίᾳ, τοῦ μὲν μὴ γίνεσθαι ἐνδε
χόμενον συμπέρασμα καθόλου τοῦτο σημεῖον φησὶ τό, ἐπὶ ὅρων τινῶν ἀνα
γκαῖον εὑρίσκεσθαι. ἄλλο δ᾽ εἶναι τὸ ἐνδεχόμενον τοῦ ἀναγκαίου. ἑξῆς
δὲ προστίθησιν ὅτι οὐδὲ ἀναγκαῖον εὑρίσκεσθαι· ἀποφατικόν ἐστι
τὸ συμπέρασμα, ἐπὶ τῶν ὅρων ὧν παρέθετο ἔδειξεν. ὥσπερ ἐπὶ πάσης
ὕλης οὕτως ἀπῄτει, ὥσπερ … ἐλέγετο συλλογιστικὴ μὲν ἀναγκαία συζυγία.
σώζεσθαι δὲ μὴ ἐνδεχόμενον. ἀλλὰ ἀναγκαῖον. ὁμοίως μὴν δὲ τοῦ θεῖόν τε
πρῶτον μὲν ἐπὶ τῶν ἤδη δεδειγμένων τεθειμένων, λαμβάνει. καὶ γὰρ
ὅτε ἀναγκαῖον γίνεται τὸ συμπέρασμα ἐν τῷ δευτέρῳ σχήματι. ἢ ἀμφοτέρων
τῶν προτάσεων ἀναγκαίων οὐσῶν, ἢ τῆς ἀποφατικῆς. ταύτης γὰρ οὔσης
ἀναγκαίας καθόλου, γίνεται διὰ ἀντιστροφῆς ἐν πρώτῳ σχήματι ἡ μείζων
ἀναγκαία. οὕτως δὲ ἐχούσης, ἐδείκνυ τότε ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα,

ἢ ἐλάττονι ὑπάρχοντος ἀεί· ἐπεὶ ἐνδεχομένης οὔσης τῆς ἑτέρας, ἐπεὶ
μὲν ὅλως ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα, ἡ ἀποφατικὴ καθόλου
ἡ ἀναγκαία. μὴ ἀναγκαίας δὲ ἐν τῇ ἀναγκαίων μόνων συζυγίᾳ, τῶν ἀναγκαίων ἀπο-
φατικῶν, ἀλλὰ καταφατικῶν, οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον ἀεί. καίτοι
οὐδὲ οὕτως συμβαίνει ἀναγκαῖον γίνεσθαι δὲ τὸ συμπέρασμα ὡς ἀπο-
δείκνυται ἐνδεχομένων. οὐ μὴν ἀλλὰ καὶ αὐτῆς τῶν ὅρων παραθέσεως δηλοῦται
ὅτι μὴ ἀναγκαῖον ἀποφατικὸν τοιοῦτο γίνεσθαι τὸ συμπέρασμα. δεῖ ξ
καὶ τὸ ὕπνον παντὶ ἐξ ἀνάγκης ὑπάρχειν, γινόμενον συμπέρασμα. καὶ ἐφ' οἷς ἐστι
ὕλης τοῦ τοιοῦτου γίνεσθαι λέγειν. ἀλλ' ἔστω τὸ μὲν Γ ὁ ἔσχατος ὅρος ὑπὸ τὸ Β
τὸν μείζονα ἄκρον. τὸ δὲ Α ὁ μέσος ὅρος παντὶ μὲν ἐνδέχεται, ὡς καὶ μη-
δενὶ τῷ μείζονι τῷ Β. τῷ δὲ Γ ἐξ ἀνάγκης ὑπάρχει. ἔσται τὸ Β τῷ Γ παντὶ ὑπάρχον
ἐξ ἀνάγκης. λαμβάνεται δὲ οὕτως ἔχοντα πρὸς ἄλληλα. ἐπὶ μὲν τοῦ Α κίνησιν.
ἐπὶ δὲ τοῦ Β ζῷον. ἐπὶ δὲ τοῦ Γ, ἐγρηγορός. κίνησιν μὲν γὰρ ἐνδέχεται παντὶ
ζῴῳ, ἐνδέχεται τούτῳ, ἐνδέχεται καὶ μηδενί. ἀποφατικὴ γὰρ αὕτη καὶ ἐνδεχο-
μένη. ὡς δὲ τῶν αὐτῶν αὐτῇ τὴν καταφατικὴν ἐνδεχομένην λαμβάνει,
τὸ παντὶ ἐγρηγορότι ἐξ ἀνάγκης. ἀεὶ τὸ ἐγρηγορέναι ἐστὶ τὸ ἐνεργεῖν ἢ κινεῖσθαι
καὶ ταῦτα ἀληθῆ. καὶ τὸ ζῷον ἐξ ἀνάγκης παντὶ ἐγρηγορότι. ἔτι δὲ φανερώτερον
δείκνυσι, ἐὰν τί τοῦ ἐγρηγορότος τὸ βαδίζειν τεθῇ, προδηλότερον γὰρ
ἡ κίνησις ἐξ ἀνάγκης τῷ βαδίζοντι τοῦ ἐγρηγορότος. καὶ ζῷον ὁμοίως παντὶ ἐξ ἀνάγκης
βαδίζοντι. δείξας δὲ καὶ τὸ ἐξ ἀνάγκης παντί, καὶ τὸ ἐξ ἀνάγκης μηδενί, συναγόμενον
ἐν τῇ ἀναγκαίων συζυγίᾳ, φανερὸν φησὶν εἶναι, ὅτι μηδὲ ἀποφατικὸν ὑπάρχον
ἔσται τὸ συμπέρασμα. διότι γὰρ ἐπὶ τῶν ἀναγκαίων ὅρων ἐδείχθη καταφατικὸν
ἀναγκαῖον συναγόμενον, ἀναιρετικὸν γὰρ τοῦ ἀποφατικοῦ ὑπάρχοντος.
οὐ τὸ καταφατικὸν ὑπάρχον καθόλου μόνον. ἀλλ' ἔτι μᾶλλον τὸ καταφατικὸν
ἀναγκαῖον. ἀμφότεραι γοῦν αἱ ἀποφάσεις ἀνῄρηνται. τῇ τοῦ παντὶ ἐξ ἀνάγκης
παραθέσει: · οὐδὲ δὴ τῶν ἀναγκαίων μόνων καταφάσεων: +

Ἀναγκαίων μόνων δηλονότι καὶ ἐξ ἀποφάσεως. λέγει τὴν καθόλου ἀναγκαίαν τὴν ὑ-
πάρχουσαν. ἀεὶ ἡ καθόλου καταφατικὴ ἀναγκαία δειχθεῖσα ἀνεῖλεν.
ἀντικειμένη δὲ καταφάσεως. τῇ μὲν ἀναγκαίᾳ καθόλου ἢ ἐπὶ μέρους ἐνδε-
χομένη. τῇ δ' ὑπαρχούσῃ καθόλου, ἡ ἐπὶ μέρους ὑπάρχουσα ἀποφατική.

οὐδὲ τούτων οὕτως ἐχόντων οἷόν τε λέγειν συνάγεσθαι· ὅτι μὲν γὰρ οὐδετέρα τῶν ἀντιφάσεων ἐκείνων ἔδειξε παρατιθεὶς ἐπὶ τῆς ὕλης τὸ καθόλου καταφατικὸν ἀναγκαῖον ἀμφοτέρων οὐκ ἀναγκαίων ἀναιρετικόν· ὅτι μηδὲ τῶν ἐκείναις ἀντικειμένων καταφάσεων· μηδὲ τῶν ἀντιφατικῶν· μήτε τῶν ἐναντίων, δείκνυσι πάλιν τὸ καθόλου ἀποφατικὸν ἀναγκαῖον· πάσης οὖν καταφάσεως ἀναιρετικόν· ὀφθαλμὸν δὲ δέχεσθαι ἐπὶ τῆς ὕλης καὶ αὐτὸ συναγόμενον· ὥστε τῶν ἀντικειμένων καταφάσεων τῆς καθόλου ἀποφάσεως, οὐ μόνον τῶν ἀντιφατικῶς, ἀλλὰ καὶ τῶν ἐναντίων· τὸ γὰρ ἀναγκαῖον καθόλου ἀποφατικόν, πάντων πάλιν τῶν καταφατικῶν ἐστιν ἀναιρετικόν. ἔδει μὲν οὖν εἴ τινα συλλογισμὸς ἐκ τούτων συνάγεσθαι τῶν εἰρημένων· οὐδ᾽ ἂν δὲ τούτων συνάγεται· οὐδ᾽ ἂν συνάγοιτό τι τούτων συλλογιστικῶς· διὰ ταῦτα, οὐδὲ δὴ τῶν ἀντικειμένων καταφάσεων, ὥστ᾽ εἰ τὸν ἀρνεῖσθαι τῶν φάσεων· ἵνα μὴ καταφάσεις λέγων, ἀλλὰ φάσεις· τουτέστι προτάσεις· ἔθος γὰρ αὐτῷ τὸ τῆς φάσεως ὄνομα, καὶ ἐπὶ τῶν προτάσεων κατηγορεῖν· προτάσεις δὲ τὰς ἀντιφατικῶς ἀντικειμένας· τὰς δὲ δεῖ πρὸς τό τε καθόλου ἀποφατικὸν ἀναγκαῖον· ἤτοι καθόλου καταφατικὸν ἀναγκαῖον· ἀλλ᾽ οὖν ἐπὶ μέρους· ἡ μὲν καταφάσεις· ἡ δὲ ἀποφάσεις ἐνδεχόμεναι· βούλεται γὰρ λέγειν, ὅτι μηδὲ ἐπὶ μέρους τι συναχθήσεται. τὸ τῶν μὲν καταφάσεων πασῶν ἀναιρετικὸν εἶναι τό τε καθόλου ἀποφατικὸν ἀναγκαῖον· τῶν δὲ ἀποφάσεων πασῶν, πάλιν τὸ καθόλου καταφατικόν, ὥστε ἂν μήτε καθόλου τι· μήτε ἐπὶ μέρους συνάγεται, οὐδ᾽ ἂν συνάγοιτό τι ὅλως:· ὁμοίως ἔχει καὶ πάλιν ἂν ἡ μείζων ἀναγκαία καταφατικὴ ληφθῇ· ἡ δὲ ἐλάττων ἐνδεχομένη ἀποφατικὴ καθόλου.

Διὰ γὰρ τῶν αὐτῶν ὅρων ὁ ἔλεγχος· ἂν γὰρ ᾖ ἐπὶ μὲν τοῦ α λευκόν· κύκνος δὲ ἐφ᾽ οὗ τὸ β· ἢ ἄνθρωπος ἐπὶ τοῦ γ· τὸ λευκὸν μὲν παντὶ μὲν κύκνῳ ἐξ ἀνάγκης· ἐνδέχεται δὲ μηδενὶ ἀνθρώπῳ· ἢ κύκνος ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ, οὐκ ἄρα τοῦ παντὶ ἐξ ἀνάγκης δέδεικται, ὥσπερ ἔθετο ὅρους ἀπὸ τοῦ παντί, ὅτε τὴν ἄλλην τὴν ἀναγκαίαν καταφατικὴν ἐλάμβανεν· ἀλλὰ πάλιν ληφθέντας, οὐ γὰρ ἐνδέχεσθαι παντὶ ἐγρηγορότι ἐξ ἀνάγκης, ζῴῳ δὲ ἐνδέχεται μηδενὶ· ἤδη ἔστι τὸ ἐγρηγορέναι παντὶ ζῴῳ, ἐξ ἀνάγκης ἀλλ᾽ ἱκανὸν τὸ ἀποφατικόν

+



ἀναγκαῖον διαβάλλειν τὴν συζυγίαν ὡς ἀσυλλόγιστον. εἰ γὰρ ἀναγκαῖον
ὡς ἔστι τι συνάγεσθαι. ἢ ἐπ' ἀμφοτέραις ἀναγκαίαις. ἢ ἐπὶ τῇ μείζονι
ἀναγκαίᾳ ἀποφατικῇ, ἠπόρησε πῶς οὐκ εἰσὶν αὗται συλλογιστικαὶ
αἱ συζυγίαι, αἱ ἔχουσαι τὴν ἑτέραν καθόλου καταφατικὴν ἀναγκαίαν,
τὴν δὲ ἑτέραν ἐνδεχομένην καθόλου ἀποφατικήν. δοκεῖ γὰρ δύνασθαι
διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς, δείκνυσθαι συμπέρασμα ἐνδεχόμενον
καθόλου ἀποφατικόν. κειμένου γὰρ τοῦ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης.
τὸ ἐνδέχεσθαι μηδενὶ τῷ γ. λέγω ὅτι τὸ β ἐνδέχεται μηδενὶ τῷ γ.
εἰ γὰρ μὴ οὐκ ἐνδέχεται μηδενί. ὁμοίως δειχθήσεται κἂν ἡ μὲν ἐλάτ-
των ἀναγκαία ᾖ, ἡ δὲ μείζων ἐνδεχομένη. συνάγεται γὰρ διὰ τῆς ἐξ ἀ-
δυνάτου ἀπαγωγῆς. ἐν μὲν τῷ πρώτῳ σχήματι, τὸ α τῷ γ ἐνδέχεσθαι
τινὶ μή. ὥσπερ ἔκειτο παντὶ ἐξ ἀνάγκης ὑπάρχειν. ἐν δὲ τῷ τρίτῳ σχήματι, τὸ α τινὶ
τῷ β ἐξ ἀνάγκης, ὅπερ ἔκειτο ἐνδέχεσθαι μηδενί. ἀλλὰ τοῦτο οὕτως ἔχει,
ἤτοι ἡ ἐξ ἀδυνάτου ἀπαγωγὴ διαβληθήσεται, ὡς οὐχ ἱκανὴ δεῖξαι συ-
ζυγίαν συλλογιστικήν. ἢ εἰ ἀδιάβλητος αὕτη ἡ ὕλη, οὐ δεόντως ἂν
διαβάλλεται ὡς ἀσυλλόγιστον ταύτην συζυγίαν. τίς οὖν ἡ λύσις ταύτης τῆς ἀπορί-
ας; ῥητέον ὁμοίως αὐτὸ τῷ περὶ τῶν μίξεων βιβλίῳ. ἀμφοτέρων δὲ στερητικῶν
οὐσῶν. δηλονότι καθόλου. τοῦ γὰρ ἐνδεχομένου τὴν λέξιν πῶς γίνεται συλλογισμός.
ἐπὶ τὸ σημαινόμενον δείκνυσι τοῦ ἐνδεχομένου ἀποφατικοῦ, πάλιν δεῖ
τὸ καταφατικόν. τὸ ἀντιστρέφον αὐτῷ μεταβληθέντος. τῇ γὰρ τῆς ἀναγκαίας
προτάσεως ἀντιστροφῇ, γίνεται τὸ πρῶτον σχῆμα. ἔχον τὴν μὲν μείζονα
καθόλου ἀποφατικὴν ἀναγκαίαν. τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν
ἐνδεχομένην. ἐδείχθη δὲ ὅτι αὕτη συζυγία συλλογιστική. καὶ ὅτι τέλειος τοῦ
κατὰ τὸν διορισμὸν ἐνδεχομένου, οὐδὲ τοῦτο τὸ συμπέρασμα γίνεται δὲ
συλλογιστικὴ ἡ συζυγία πρὸς ὁποτέρῳ οὖν ἄκρῳ, τοῦ ἀναγκαίου ἀποφατικοῦ
τεθέντος. πλὴν ἂν ἡ ἐλάττων ᾖ ἀναγκαία, διὰ δύο ἀντιστροφῶν. καὶ τὸ
συμπέρασμα γὰρ ἀντιστραπτέον δεῖ. ἀντιστρέφει γάρ. ἐπεὶ μὴ ἔστι τοῦ κατὰ
τὸν διορισμὸν ἐνδεχομένου ὡς εἴρηται δεδεῖχθαι. ἀλλ' ἔστι καθόλου
ἀποφατικὸν ὑπάρχον. τὸ δὲ ἀντιστραφὲν συνῆγεν τῶν προτάσεων ἀπ-
ουσῶν τῆς τὴν μείζονα ἐχούσης, ἀναγκαίαν ἀποφατικήν, ἐπ' ἀμφο-

τέραις

ἀντιστραφῆναι· ἀλλ' οὐχ ὁμοίως· ἀλλὰ τὴν μὲν ἐνδεχομένην ἀποφατικήν, εἰς τὴν καταφατικήν· τὴν δὲ καθόλου ἀποφατικὴν ἀναγκαίαν, εἰς τὴν ἀποφατικὴν ἀναγκαίαν τοῖς ὅροις· οὕτως γὰρ γίνεται τὸ πρῶτον σχῆμα. ὅτι μὲν τοι ἡ καθόλου ἀναγκαία ἀποφατικὴ ἀλλ' ἐπὶ τῶν ταγμάτων, δέδεικται· αἱ ἀντιστροφαὶ γίνονται· αἱ γὰρ δύο προτάσεις καθ' ἃ προείρηται, καὶ πρὸς ταύτῃ τὸ συμπέρασμα:

Ἀμφοτέρων δὲ ληφθεισῶν τῶν προτάσεων καταφατικῶν, οὐκ ἔσται συλλογισμός.

Εὐλόγως, ὅτι μηδὲ ὅλως ἐν δευτέρῳ σχήματι καταφατικὸν τὸ συνάγεται. ἀποφατικὸν μὲν οὖν μὴ ἔσεσθαι φησὶ συμπέρασμα, ὅτι μηδὲ κατ' αὐτὰς πρότασις ἐστὶν ἀποφατική· μήτε ὑπάρχουσα, μήτε ἀναγκαία. τούτων γὰρ οὐσῶν ἀποφατικῶν, γίνεται ἀποφατικὸν τὸ συμπέρασμα. τὸ γὰρ ἐνδεχόμενον τὸ ἀποφατικὸν ληφθέν, ἴσον καταφατικῷ δύναται. ἐπεὶ δὲ μὴ γίνεσθαι ἀποφατικὸν συμπέρασμα, φησί· ἀλλὰ μὴν οὐδὲ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν· ὡς καὶ ὄντος τοῦ τοιούτου ἀποφατικοῦ ἢ μόνον τῷ σχήματι τῆς λέξεως. τοῦτο δ' ἐστι ἀντιστρέφει τὰ καταφατικά. ὅτι δὲ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν οὐ γίνεται συμπέρασμα δείκνυσιν· ὅρους παραθέμενος τοῦ μηδενὶ ἐξ ἀνάγκης, οἷς ἤδη καὶ ἐχρήσατο. τὸ γὰρ λευκόν, κύκνῳ μέν τινι ἐξ ἀνάγκης παντί. ἀνθρώπῳ δὲ ἐνδέχεται παντί. κύκνος ἀνθρώπῳ ἐξ ἀνάγκης οὐδενί. παραθέμενος δὲ τοῦ ἐξ ἀνάγκης μηδενὶ ὅρους, δῆλον φησὶ αὐτοῦ τοῦ εἶναι, καὶ ὅτι μηδὲ καταφατικὸν συνάγεται συλλογιστικῶς ἐν ταύτῃ τῇ συζυγίᾳ. πάντες γὰρ καταφατικοὶ ἀναιρετικοὶ ἐστὶ τὲ ἐξ ἀνάγκης μηδενί. ἐπεὶ δὲ ἀποφατικὸν μὲν μὴ συνάγεσθαι, ὅτι μηδὲ ἐλήφθη ἀποφατικὴ πρότασις ἢ ὑπάρχουσα ἢ ἀναγκαία. δέδειξε δὲ ἐπὶ ὅρων καὶ τὸ ἐξ ἀνάγκης μηδενί. ὃ δὴ ἀναιρετικόν ἐστι τῶν ἀντικειμένων αὐτοῖς ἀποφατικῶν καὶ καταφατικῶν, ὅτι μηδὲν συνάγεται ἔδειξε: τὸ δὲ οὐδὲ γὰρ τῶν ἀντικειμένων καταφατικῶν, ἴσον ἐστὶ τῷ οὐδὲ τῶν τοῖς ἀποφατικοῖς ἀντικειμένων καταφατικῶν:

δείκνυσι μέντοι ὅρους παραθέμενος δι' ἐξ ἀνάγκης τοῦ παντὶ ἐξ ἀνάγκης, ὡς ἐν ταύτῃ ἀνῃρῆσθαι τὸ ἀποφατικὸν συνάγεσθαι· ἔστω γὰρ κίνησις, ζῷον, ἄνθρωπος. ζῷον μὲν παντί, ἐνδεχομένως. βαδίζοντι δὲ παντὶ ἐξ ἀνάγκης· γίνεται ζῷον ἐξ ἀνάγκης βαδίζοντι παντί: ἐπιζητήσαι δ' ἄν τις καὶ ἐπὶ ταύτης τῆς συμπλοκῆς

πῶς οὐ δείχθη συλλογιστικὴ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς συναγόμενον συλλογι-
στικῶς τὸ ἐνδέχεσθαι μηδενί. εἰ γὰρ κειμένου τοῦ, τὸ α τῷ μὲν β ἐξ ἀνάγκης
παντί· τῷ δὲ γ ἐνδέχεται παντί. λέγοι τις συνάγεσθαι τὸ β τῷ γ ἐνδέχεσθαι
μηδενί. εἰ γὰρ μὴ τὸ οὐ μὲν ἐνδέχεται μηδενί, τουτέστιν ἐξ ἀνάγκης τινί, ἀλλὰ
ἔστω τὸ α ἐξ ἀνάγκης παντὶ τῷ β. τὸ α ἄρα τινὶ τῷ γ ἐξ ἀνάγκης. ὅ ἀδύνατον. ἔκειτο
γὰρ τὸ α ἐνδέχεσθαι παντὶ τῷ γ, ὥστε καὶ ἐνδέχεσθαι μηδενί:

ὁμοίως δὲ ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν.

Μεταλήλυθεν ἀπὸ τῶν ἐν μέρει· καὶ δείκνυσι καὶ ἐπὶ τούτων, ὅτι τοῦ μὲν στερη-
τικοῦ καθόλου τῆς ἀναγκαίου ὄντος, τοῦ δὲ ἐνδεχομένου ἐπὶ μέρους
ἔσται τοῦ ἐπὶ μέρους συλλογισμός· ἀλλ᾽ ὥσπερ οὐ. δηλονότι ὅτι τοιαύτη συ-
ζυγία ἡ ἐξ ἀναγκαίας καταφατικῆς τῆς μείζονος, καὶ ἐνδεχομένης ἀποφατικῆς
τῆς ἐλάττονος ἐν δευτέρῳ σχήματι, οὐ συλλογιστική, ὥσπερ οὐδὲ
ἡ ἐξ ὑπαρχούσης καταφατικῆς τῆς μείζονος, καὶ ἐνδεχομένης ἀποφατικῆς
τῆς ἐλάττονος. ὥσπερ μέντοι τῆς ἐξ ἀνάγκης καὶ ὑπαρχούσης. καὶ οὕτως λαμβα-
νομένης, συλλογιστική. λέγει δὲ καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν, τοῦ τε
γὰρ ὑπάρχειν τινὶ δεῖ. καὶ τοῦ μὴ ὑπάρχειν ἔσεσθαι τὸ συμπέρασμα. ὅτι
δὲ δεῖ τῆς μείζονος οὔσης ἀποφατικῆς ἀναγκαίας ἐν πρώτῳ σχήματι.
τὸ συμπέρασμα γινόμενον, καὶ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου,
γίνεται δὲ ἀντιστραφείσης τῆς ἀποφατικῆς ἀναγκαίας, ἡ μείζων ἐν
πρώτῳ σχήματι ἀναγκαία. ὅταν δὲ τὸ ἀναγκαῖον καταφατικὸν ᾖ,
οὐδ᾽ ἀναφανῆ ἔσεσθαι συλλογισμὸν ὥσπερ ἐδείχθη· μηδ᾽ ὅτε ἀμφοτέρων
οὐσῶν καθόλου, τῆς δὴ ἀναγκαίας καταφατικῆς. ἐδείχθη γὰρ διά τε τοῦ
ὅπως τῶν ὅρων, τὸ ἐξ ἀνάγκης μηδενὶ συναχθῆναι. ἐπὶ γὰρ λευκοῦ καὶ οὐ
τέλειου τοῦ ἔδειξεν. οὐκ ἐνδέχεται τὸ ἀναγκαῖον συμπέρασμα
γίνεσθαι· μήτε ἀμφοτέρων ἀναγκαίων οὐσῶν, μήτε τῆς στερητικῆς
ἐν δευτέρῳ σχήματι. ἀλλὰ καὶ τοῦ παντὶ ἐξ ἀνάγκης, ὅρους παρατίθεται ἐπὶ
τῆς ἑτέρας συζυγίας, κίνησιν· ζῷον· ἐγρήγορσιν. τὸ γὰρ ζῷον παντὶ
ἐγρηγορότι ἐξ ἀνάγκης. σημειωτέον μέντοι, ὅτι καὶ αὕτη ἡ συζυγία δύναται
δείκνυσθαι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς συλλογιστικῶς συνάγουσα
τὸ ἐνδέχεσθαι τινὶ μή, τὸ β τῷ γ. εἰ γὰρ μὴ τοῦτο, τὸ ἀντικείμενον τὸ

οὐκ ἐνδέχεται τινὶ μή. τουτέστιν ἐξ ἀνάγκης παντί. τὸ ἄρα α τῷ γ ἐξ ἀνάγκης παντί,
ὅπερ ἀδύνατον. ἔκειτο γὰρ τινὶ αὐτῷ ἐνδέχεσθαι καὶ ὑπάρχειν καὶ μὴ
ὑπάρχειν. ἀλλ' οὐδὲ ἐὰν ἀμφότεραι ὦσι καταφατικαί. ἀλλ' ἡ μὲν καθόλου
ἡ δὲ ἀναγκαία. οὐδὲ γὰρ ὅταν ἀμφότεραι καθόλου ὦσιν, οὕτως λαμβανο-
μένων γίνεται. ἀσυλλόγιστον γὰρ ἐπ' ὅρων ἀμφοτέρων οὐσῶν καταφατικῶν,
ἀποφατικὸν ἀναγκαῖον συναγόμενον. ἦσαν γὰρ οἱ παραληφθέντες ὅροι,
λευκόν. ἄνθρωπος. κύκνος. ἔστι μὲν τοι καὶ ταύτην τὴν συζυγίαν δεῖξαι διὰ
τῆς εἰς ἀδύνατον ἀπαγωγῆς συλλογιστικῶς συναγομένην, τὸ ἐνδέχεσθαι
τινὶ μή, εἰ γὰρ μὴ οὐκ ἐνδέχεται τὸ β τῷ γ τινί. μηδενὶ ἐξ ἀνάγκης παντί
καὶ τὴν τὸ α τῷ β ἀναγκαῖον, ἀναγκαῖον συναχθήσεται τὸ α τῷ γ παντί
ἐξ ἀνάγκης. ἔκειτο δὲ τινὶ ἐνδέχεσθαι ὡς ἐνδεχομένως τινὶ μή: • +

Ὅταν δὲ ἀμφότεραι μὲν ὦσι στερητικαί, καθόλου δὲ ἀναγκαία ἡ τὸ μὴ
ὑπάρχειν σημαίνουσα •

Δέδεικται ὅτι ἀμφοτέρων οὐσῶν καταφατικῶν εἴτε ἡ καθόλου· εἴτε
ἀναγκαία. εἴτε ἐνδεχομένη. οὐδεὶς γίνεται συλλογισμός, λέγει
περὶ τῶν ἐξ ἀμφοτέρων. καὶ φησὶν ὅτι ἂν ἡ ἀναγκαία ἀποφατικὴ καθό-
λου ᾖ, συλλογισμὸς ἔσται. τοῦτο γάρ ἐστι: • διὰ τοῦ καθόλου τε καὶ ἀναγκαία
ἡ τὸ μὴ ὑπάρχειν σημαίνουσα: • γίνεται δὲ καὶ ἐν τῇ τοιαύτῃ συζυγίᾳ
ἐκ τῆς ἐπὶ μέρους ἀποφατικῆς ἐνδεχομένης, διὰ τῶν ἐπὶ μέρους κατα-
φατικῶν μεταληφθείσης. καὶ τῆς καθόλου ἀποφατικῆς ἀναγκαίας
ἀντιστραφείσης. ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, ἐφ' ὧν ἡ συζυγία συλλο-
γιστική. οὔσης τῆς ἀναγκαίας ἀποφατικῆς καθόλου. ἐὰν δὲ ἀμφό-
τεραι φησὶν ἀδιόριστοι. ἢ ἐν μέρει ληφθῶσιν ὡς ἂν ἔχωσι ποιότητος,
οὐκ ἔσονται συλλογιστικαί. ἡ δὲ ἀπόδειξις φησὶ διὰ τῶν αὐτῶν ὅρων,
δι' ὧν καὶ ἐν τῷ πρώτῳ σχήματι ἔδειξε. τῶν ἐξ ἀναγκαίας καὶ ἐνδεχομένης·
ἀμφοτέρων οὐσῶν ἐπὶ μέρους ἀσυλλογίστους συζυγίας. οἱ δὲ ὅροι.
τοῦ μὲν παντὶ ἐξ ἀνάγκης, λευκόν, ζῷον. ἄνθρωπος. μέσον δηλονότι τὸ λευκόν
ἐν τούτῳ τῷ σχήματι. ὡς δὲ καὶ ἐν τῷ πρώτῳ, ἀλλ' οὐ κατὰ τὴν αὐτὴν τά-
ξιν. τότε μὲν γὰρ τὸ ζῷον, τινί. λευκὸν δὲ ἐξ ἀνάγκης, καὶ τὸ λευκὸν τινὶ ἀνθρώπῳ
ἐνδεχομένως. νῦν δὲ τὸ λευκὸν καὶ τινὶ ζῴῳ ἐξ ἀνάγκης, καὶ πάλιν

τινὶ ἐξ ἀνάγκης· οὐ· ὡς κόρακι· ἢ κύκνῳ· ἢ ἀνθρώπῳ· ἢ πάλιν ἢ τινὶ ἐνδέχεται
τὸ ἐνδέχεσθαι τινὶ μή, ὡς ἀνθρώπῳ· καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· τὸ δὲ μηδενὶ
λευκὸν ἴσως· καὶ ζῷον· καὶ ἄψυχον· καὶ ἔτι πάλιν τὸ λευκόν· ὃ ἴσως ζῴῳ μὲν
πάλιν καὶ τινὶ ἐξ ἀνάγκης· καὶ τινὶ οὐκ ἐξ ἀνάγκης· ἀψύχῳ δὲ καὶ τινὶ ἐνδέχεται· καὶ τινὶ
ἐνδέχεται μή· καὶ ζῷον ἐξ ἀνάγκης οὐδενὶ ἀψύχῳ· διὸ καὶ διὰ τῶν αὐτῶν ὅρ-
ων εἰρημένων, οἷς πρὸ ὀλίγου κέχρηται, οὐκ ἔστιν καθόλου τῶν προτάσεων
τῆς καταφατικῆς οὔσης δὴ ἔστιν· λευκόν· κύκνος· ἄνθρωπος· τὸ μὲν μηδενὶ
ἐξ ἀνάγκης, τὸ δὲ παντὶ ἐξ ἀνάγκης, κίνησιν· ζῷον· ἐγρήγορσιν· ἀεὶ γὰρ καὶ
καθόλου τὰς προτάσεις λαμβάνωμεν ἐπὶ τούτων τῶν ὅρων, ὥστε τὰ,
ἀλλ᾽ ἢ περὶ ὁρισμὸν αὐτῶν, ἐπὶ τῶν ἀληθῶν οὐσῶν· καὶ τοῦ παντὶ
τε τοῦ μηδενὶ ἐξ ἀνάγκης συνάγεται: φανερὸν οὖν ἐκ τῶν εἰρημένων
ὅτι τῆς μὲν στερητικῆς καθόλου τεθειμένης·

Ὅτι τῆς ἀναγκαίας καθόλου ἀποφατικῆς οὔσης ἐν δευτέρῳ σχήματι, τῆς
δ᾽ ἑτέρας ἐνδεχομένης, ἢ καταφατικῆς καθόλου, ἢ ἀποφατικῆς· ἢ
πάλιν ἀνάπαλιν· ἢ καταφατικῆς ἢ ἀποφατικῆς γίνεται συλλογιστικὴ
συζυγία, καὶ δείκνυται· ἐδείχθη δὲ ὅτι τὸ συμπέρασμα ἀποφατικόν· οὐ
κατὰ τὸν διορισμὸν ἐνδεχομένου γίνεται· τοῦτο γάρ ἐστι τὸ οὐ μόνον τὸ ἐν-
δέχεσθαι μὴ ὑπάρχειν, ἀλλὰ καὶ τὸ μὴ ὑπάρχειν· ἀμφοτέρων γὰρ
σημαντικὸν γίνεται, τό τε ἐνδεχόμενον καὶ καθὰ τὸ ὑπάρχον τοῖς κατα-
γράφεσθαι· δέδεικται δὲ καὶ ὅτι τῆς καταφατικῆς ἀναγκαίας λαμβα-
νομένης, οὐ γίνεται συλλογιστικὴ συζυγία, ἀλλὰ καὶ ὅτι ἐν τῇ τῆς
ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένων μίξει· καὶ τῆς ἐξ ἀναγκαίαν
τε ἐνδεχομένων, ὁμοίως τοῦ δὲ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος τεθέν-
των συζυγίαι συλλογιστικαί· καὶ γὰρ ὅτε τὸ ὑπάρχον καθόλου ἀποφα-
τικὸν ἐλαμβάνετο, ἐν ταῖς συλλογιστικαῖς· καὶ τὸ ἀναγκαῖον ὁμοίως.
μετὰ τοιούτου δὲ λαμβανομένου, ὁμοίως πάλιν ἀσυλλόγιστοι. ἀλλ᾽ ὅτι
δὲ ὅτι πάντες οἱ ἐν δευτέρῳ σχήματι ἀτελεῖς· διὰ γὰρ τῆς εἰς τὸ πρῶ-
τον σχῆμα ἀναγωγῆς τελειοῦνται· τὸ δὲ τῶν προειρημένων σχημάτων
ἤτοι αὐτὲ τοῦ πρώτου σχήματος εἴρηκα· διὰ γὰρ τοῦ πρώτου ἐν ὅσον τῆς
ἢ τελειοῦσιν αὐτοῦ, ἢ σχηματίζων εἰρημένων· ὅτι τε τοῦ συζυγιῶν, καὶ συμπλοκῶν

δι᾿ ὧν γὰρ ἔδειξε συζυγιῶν οὐσῶν ἐν τῷ πρώτῳ σχήματι τὰς ἄλλας ἀνα-
γόντων διὰ τῆς ἀντιστροφῆς, διὰ τούτων τελειουμένων. ἃ σχήματα
ἀτελῆ λέγονται, ἐδείχθησαν δὲ διὰ τῆς τοῦ δευτέρου καὶ τῆς τοῦ τελευταίου:

» ἐν δὲ τῷ τελευταίῳ σχήματι καὶ ἀμφοτέρων ἐνδεχομένων, καὶ τῆς
» ἑτέρας, ἔσται συλλογισμός.

Μετεληλυθὼς μὲν ἐπὶ τὸ τρίτον σχῆμα. λέγει δὲ ὅτι ἐν τούτῳ καὶ ἀμφοτέρων
ἐνδεχομένων οὐσῶν τῶν προτάσεων, συλλογισμὸς γίνεται· ὃ
οὐκ ἐγίνετο ἐν τῷ δευτέρῳ σχήματι. ἔδειξε γὰρ ὅτι ἐκ δύο ἐνδεχο-
μένων ἐν δευτέρῳ σχήματι, οὐδὲν συνάγεται συλλογιστικῶς. λέγει
δὲ ὅτι ἐνδεχομένων μὲν οὐσῶν ἀμφοτέρων, ἔσται καὶ τὸ συμπέρασμα
ἐνδεχόμενον· ἀλλὰ καὶ ἐξ ἐνδεχομένης καὶ ὑπαρχούσης, ἐνδεχό-
μενον τὸ συμπέρασμα. ἐὰν δὲ ἀναγκαία καὶ ἐνδεχομένη, ἀναγκαία
καθόλου ἀποφατική· οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχομένου τὸ
συμπέρασμα ἔσται, ἀλλὰ καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν· ὃ καὶ ἐπὶ τῶν
πρὸ τούτου σχημάτων. ἅπερ δὲ ὅτε περὶ τοῦ πρώτου σχήματος ἔλεγε.
ὅτι τῆς ὑπαρχούσης ἀποφατικῆς καθόλου μὴ ἀντιστρέφεσθαι, τὸ κατὰ
τὸν διορισμὸν ἐνδεχομένου τὸ συμπέρασμα· οὗ ὕστερον οὐκ ἔτι
ἐμνημόνευσεν. ἁπλῶς δὲ τὸ μὴ ὑπάρχειν ἔσεσθαι συμπέρασμα,
ἐν ταῖς συζυγίαις ἢ ἀναγκαία καθόλου ἐστὶν ἀποφατική, ἐπιστώ-
σης, ληπτέον δέ, καὶ ἐν τούτοις ὁμοίως τὸ ἐν τοῖς συμπεράσμασιν
ἐνδεχόμενον. δηλοῦν ὅτι ἐνδεχόμενον μὲν ἀποφατικὸν· χρὴ
λέγειν τὸ συμπέρασμα· λαμβάνειν δὲ ἐνδεχόμενον τό, ὡς ὑπάρχον.
ἀλλ᾿ οὐ τὸ κατὰ τὸν διορισμόν, ἔστωσαν δὴ πρῶτον ἐνδεχόμεναι.
περὶ τῶν πρώτων λέγει συζυγιῶν· ἐκ δύο ἐνδεχομένων. καὶ πρῶτον
γε περὶ τῶν ἐκ δύο καταφατικῶν καθόλου. καὶ δείκνυσι συλλογιστικὴν
οὖσαν τὴν συζυγίαν· διὰ τῆς ἀντιστροφῆς ἐλάττονος καθόλου κατα-
φατικῆς ἐνδεχομένης. ἀνάγων αὐτὴν εἰς τὸ πρῶτον σχῆμα. ἀντιστρέ-
φεται γὰρ καὶ τοῦτο ἢ ἐπὶ μέρους. ἀλλὰ κἂν ἡ μὲν μείζων καθόλου
ἐνδεχομένη ἀποφατικὴ ληφθῇ· ἡ δὲ ἐλάττων καθόλου ἐνδεχομένη

καταφατική, τῆς ἐλάττονος τῆς καθόλου καταφατικῆς ἐνδεχομένης ἀντιστραφείσης, πάλιν γίνεται τὸ πρῶτον σχῆμα. κἂν καθόλου ἀποφατικῆς ἐνδεχομένης τῆς μείζονος, καὶ ἐπὶ μέρους καταφατικῆς ἐνδεχομένης τῆς ἐλάττονος, ἐπὶ μέρους ἀποφατικοῦ ἐνδεχομένου συναγομένου. ἐὰν δὲ ἀμφότεραι ἀποφατικαὶ καὶ ἐνδεχόμεναι καθόλου ληφθῶσιν, ἢ ἐν μὲν τῶν κειμένων, οὐδὲν ἔσται συλλογιστικὸν δεικνύμενον, μεταληφθείσης δὲ τῆς ἐλάττονος εἰς τὴν καταφατικὴν ἐνδεχομένην καὶ ἀντιστραφείσης, γίνεται ἡ αὐτὴ συζυγία ἐν πρώτῳ σχήματι τῇ φθανούσῃ εἰρῆσθαι. δυνατὸν δὲ καὶ ἀμφοτέρας εἰς τὰς καταφατικὰς μεταληφθῆναι, ὃ καὶ αὐτὸς εἶπεν:

ἐὰν δὲ ἡ μὲν ᾖ καθόλου τῶν ὅρων, ἡ δ' ἐν μέρει.

Ὅταν φησὶν ἡ ἑτέρα τῶν προτάσεων ἡ ἐν μέρει. ἢ ὅσαι ἐξ ὑπάρχοντος οὖν λαμβανόμεναι προτάσεων συζυγίαι ἐν τῷ β' τῷ σχήματι συλλογιστικὰς ἐποίουν συμπλοκάς, τοσαῦται καὶ ἐπὶ τῶν ἐνδεχομένων ὁμοίως ληφθεισῶν, ἔσονται συλλογιστικαὶ ὁμοίως δὲ καὶ αἱ ἀσυλλόγιστοι. ἐπὶ τοῦ ἐνδεχομένων ἔξουσι ὅσαι καὶ ἐπὶ τῶν ἐξ ὑπάρχοντος. καὶ γὰρ αἱ μεταλαμβανόμεναι ἐκ τῶν ἀποφάσεων εἰς τὰς καταφάσεις τοῖς ἐνδεχομέναις ταῖς καταφατικαῖς μεταλαμβάνονται. ἄν τε γὰρ ἡ μὲν μείζων ληφθῇ καθόλου καταφατικὴ ἐνδεχομένη. ἡ δὲ ἐλάττων ἐπὶ μέρους καὶ αὐτὴ καταφατικὴ ἐνδεχομένη, συλλογιστικὴ ἡ συζυγία γίνεται. γίνεται δὲ ἡ δεῖξις, ἀντιστραφείσης τῆς ἐλάττονος προτάσεως τῆς ἐπὶ μέρους ἐνδεχομένης καταφατικῆς. γίνεται γὰρ οὕτως τὸ πρῶτον σχῆμα. ἄν τε ἡ μὲν μείζων ᾖ ἐπὶ μέρους καταφατικὴ ἐνδεχομένη. ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἐνδεχομένη. συλλογιστικὴ καὶ οὕτως ἡ συζυγία. ἀντιστραφείσης γὰρ τῆς μείζονος τῆς ἐπὶ μέρους ἐνδεχομένης καταφατικῆς, γίνεται πάλιν τὸ πρῶτον σχῆμα. δεῖ δὲ ἐν ταύτῃ τῇ συζυγίᾳ, καὶ τὸ συμπέρασμα ἀντιστρέφειν. οὕτω γὰρ ἔσται τοῦ προκειμένου ὁ συλλογισμός. ἀλλὰ κἂν ἡ μὲν μείζων ληφθῇ καθόλου ἀποφατικὴ ἐνδεχομένη ἡ δὲ ἐλάττων ἐπὶ μέρους καταφατική, συλλογιστικὴ ἡ συζυγία. ἀντιστραφείσης γὰρ τῆς ἐλάττ

τονος

καὶ ἐπὶ μέρους οὔσης ἐνδεχομένης καταφατικῆς. γίνεται πάλιν τὸ πρῶτον σχῆμα
καθόλου ἀποφατικὸν ἐνδεχόμενον ἔχον τὴν μείζονα· καὶ ἐνδεχομένην ἐπὶ
μέρους καταφατικὴν τὴν ἐλάττονα. ἐξ ὧν ἐδείχθη ἐπὶ μέρους καταφατικὸν
ἐνδεχόμενον γινόμενον τὸ συμπέρασμα. εἰ δὲ εἶεν ἀμφότεραι ἀποφατικαὶ
ἐνδεχόμεναι. ἡ μὲν καθόλου. ἡ δὲ ἐπὶ μέρους. μεταληφθείσης τῆς ἐπὶ μέρους
ἀποφατικῆς εἰς τὴν ἐπὶ μέρους καταφατικήν, καὶ ἀντιστραφείσης, γίνεται
τοῦ πρώτου σχήματος ἡ προειρημένη συζυγία. μεταληφθεῖσα γὰρ ἡ ἀπο-
φατικὴ εἰς τὴν καταφατικήν, ποιήσει τὰς προτάσεις ὁμοίας. ὥσπερ
οὖν καὶ ἐπὶ τῶν ὑπαρχουσῶν· ἦσαν συλλογιστικαί. τῆς μὲν οὖν ἐλάττονος
ληφθείσης ἐπὶ μέρους ἀποφατικῆς, μεταδεχθείσης τῆς ἀντιστροφῆς. τῆς
δὲ μείζονος οὔ. δείκνυσθαι γὰρ καὶ τὸ συμπέρασμα ἀντιστρέψαι ὂν ἐπὶ μέρους
ἀποφατικὸν ἐνδεχόμενον· ἀντιστρέφει δὲ τὸ ἀποφατικὸν ἐνδεχόμενον,
ὁμοίως τῷ καταφατικῷ. οὐκ ἔστιν οὖν ἔτι ἐπὶ τῶν ὑπαρχουσῶν προτά-
σεων ἐν τῷ β΄ τῷ σχήματι γίνεσθαι. τῆς ἐλάττονος οὔσης ἀποφατικῆς
καθόλου. τῆς δὲ μείζονος ἐπὶ μέρους ἀποφατικῆς. τὸ μὴ ἀντιστρέφειν
τὴν ἐπὶ μέρους ἀποφατικὴν ὑπάρχουσαν, οὐ γίνεται τοῦ προειρημένου
συλλογισμός· διὸ καὶ ἐπιζητήσαι τις ἂν πῶς ἀληθὲς τό, εἰ δ' ὁ μὲν ἐστὶν
καθόλου τῶν ὅρων, ὁ δὲ ἐπὶ τοῦ ὑπάρχειν, ἔσται καὶ οὕτως συλλογισμός.
εἰ δὲ μεταλαμβάνοιτο τὸ ἐνδεχόμενον καθόλου ἀποφατικὸν εἰς τὸ κατα-
φατικόν, καὶ ἐπὶ τοῦ ἐνδέχεσθαι· οὐ καθάπερ ὡς ἐπὶ τοῦ ἐνδέχεσθαι, οὕτως
ἕξει καὶ ἐπὶ τοῦ ὑπάρχειν, διὰ τὸ προειρημένον. ἂν δὲ ἀμφότεραι τε
ἐπὶ μέρους ἢ ἀδιόριστοι ληφθῶσιν ἐνδεχόμεναι, αἵ τε καταφατικαί.
αἵ τε ἀποφατικαί. αἵ τε παραλλάξ, ἀσυλλόγιστοι αἱ συζυγίαι. καὶ τοῦτο
πάλιν ἐνδείκνυται τῶν ὅρων παραθέσει. δείξας καὶ παντὶ καὶ μηδενί. τὸ μὲν
παντὶ διὰ ζῴου καὶ ἀνθρώπου καὶ λευκοῦ. τὸ γὰρ ζῷον καὶ ὁ ἄνθρωπος, καὶ τινὶ λευκῷ
ἑκάτερον αὐτῶν ἐνδέχεται. καὶ ἐνδέχεται τινὶ μή, ἑκάτερον. καὶ τὸ μὲν ἐν-
δέχεται ὑπάρχειν αὐτῷ τῷ λευκῷ. καὶ τὸ μὲν ἐνδέχεται μὴ ὑπάρχειν.
τὸ ζῷον ἐξ ἀνάγκης παντὶ ἀνθρώπῳ. τοῦ δὲ μὴ ὑπάρχειν. ἵππον. ἀνθρώπου. λευκόν:

ὁμοίως γὰρ ἐχουσῶν τῶν προτάσεων, ὁποτέρως ἂν ἔχωσι σχέσεως οὐδὲν διαφέρει·
ἂν δ' ἡ μὲν ὑπάρχειν ἡ δ' ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων.

Περὶ εἰρημένου δέ. ὅταν ἡ μὲν ἐξ ὑπαρχούσης ἡ δ' ἐνδεχομένης συζυγίας συλλο-
γισμὸς ἐν τῷ πρώτῳ σχήματι, τὸ συμπέρασμα ἔσται τοῦ κατὰ τὸν διορισμὸν ἐνδε-
χομένου. τοῦτο οὖν λέγει πάλιν καὶ ὅτι ἔσονται συλλογιστικαὶ αἱ συζυγίαι
ὁμοίως ἔχουσαι τοῖς ὅροις κειμέναις, ταῖς ἐξ ὑπαρχουσῶν ἀμφοτέρων
οὔσαις συλλογιστικαῖς καὶ ταῖς ἐξ ἐνδεχομένων ἀμφοτέρων. τοῦτο γὰρ σημαίνει.
ἢ τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων, ὃν καὶ ἐν τοῖς πρότερον. λέγει δὲ τὴν πρώτην
τρίτων συζυγίας, τῆς τὴν μείζονα ἐχούσης καθόλου καταφατικὴν ὑπάρ-
χουσαν. τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν ἐνδεχομένην. αὕτη γὰρ ἀντιστρα- 53/
φείσης τῆς ἐλάττονος τῆς καθόλου καταφατικῆς ἐνδεχομένης εἰς τὴν ἐπὶ μέρους
γίνεται τὸ πρῶτον σχῆμα. ἔχον ὑπάρχουσαν καθόλου καταφατικὴν τὴν μείζονα.
τὴν ἐπὶ μέρους ἐνδεχομένην καταφατικὴν τὴν ἐλάττονα. ἧς ἐδείχθη τὸ
συμπέρασμα καὶ ἐπὶ μέρους καταφατικὸν ἐνδεχόμενον γινόμενον. τὸ δέ,
ὅτε γὰρ ἡ ἑτέρα τῶν προτάσεων ἐν τῷ πρώτῳ σχήματι σημαίνει ἐνδέχεσθαι,
καὶ τὸ συμπέρασμα καὶ τὸ ἐνδεχόμενον. λέγει μὲν ἐπὶ τῶν τὴν ἑτέραν ὑπάρχουσαν
ἐχουσῶν. πῶς δὲ δεῖ ἀκούειν καθόλου εἰρημένον. εἰ μὲν γὰρ τῶν καταφατικῶν
εἴρηκε τοῦτο. ἐπὶ δὲ τῶν ἐξ ἀποφατικῆς ὑπαρχούσης τῆς μείζονος καὶ
ἐνδεχομένης καταφατικῆς τῆς ἐλάττονος, οὐκ ἔστιν οὕτως:

ἐὰν δὴ μὲν ὑπάρχειν, ἡ δ' ἐνδέχεσθαι λαμβάνηται τῶν προτάσεων. ὅταν
μὲν ἡ πρὸς τὸ μεῖζον ἄκρον ἐνδέχεσθαι σημαίνῃ, τέλειοί τε πάντες ἔσον-
ται οἱ συλλογισμοὶ καὶ τοῦ ἐνδέχεσθαι κατὰ τὸν εἰρημένον διορισμόν.

τὴν δὲ πρὸς τὸ ἔλαττον, ἀτελεῖς τε πάντες. καὶ οἱ στερητικοὶ τῶν συλλογισμῶν.
οὐ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, ἀλλὰ τοῦ μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρ-
χειν. εἰ γὰρ μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης, ἐνδέχεσθαι φαμέν, καὶ μηδενὶ καὶ μὴ
παντὶ ὑπάρχειν. ἢ οὖν τὸ λεγόμενον ἐπὶ τῶν καταφατικῶν νῦν λέγει, ἢ τὸ
οὐδενὶ ἐξ ἀνάγκης, ὃ δέ πως εἶναι τὸ συμπέρασμα. τοῦτο μὲν ἀμφιβολούμενον,
οὐκέτι λέγεται ὡς ἐνδεχόμενον. ἐπεὶ διαφέρει τοῦ ἐνδέχεσθαι μηδενί,
ὡς ἐδείχθη τε. καὶ τὸ τοῦ τὸ μέντοι καὶ τῷ ταὐτῷ ἀπόφασιν. ἐν ταῖς ἐν-
δεχομέναις ἀποφατικαῖς εἴρηται. ἐπεὶ μὴ ἔστιν αὐτὸ θεῖν ὑπάρχουσα.
ἢ δὴ γὰρ φασι καὶ ἐπὶ τῆς ἐν δευτέρῳ σχήματι μίξεως ἐξ ἀποφατικῆς
ὑπαρχούσης τῆς μείζονος καὶ ἐνδεχομένης τῆς ἐλάττονος. ἐνδεχομένου

ἀποφατικὴν ἀπαγγέλλεσθαι τὸ συμπέρασμα καὶ τοῦ καθόλου διορισμοῦ ἐνδεχομένου.
ἀλλὰ κἂν ἡ μὲν μείζων μὴ ἐνδεχομένη καθόλου καταφατικὴ ληφθῇ, ἡ δὲ ἐλάτ-
των ὑπάρχουσα καθόλου καταφατική, συλλογιστικὴ ἡ συζυγία.
ἀντιστραφήσεται γὰρ ἡ ὑπάρχουσα. ἢ τῆς μείζονος δὲ στερητικῆς ληφθεί- 37
σης καθόλου ἢ ἐνδεχομένης ἢ ὑπαρχούσης, τῆς δὲ ἐλάττονος καταφατικῆς
καθόλου, ἐνδεχομένης μέν, ἀλλ' ἡ μείζων ὑπάρχουσα ᾖ. ὑπαρχούσης
δέ, ἐὰν ἐκείνη ἐνδεχομένη, συλλογιστικαὶ αἱ συζυγίαι. ἀντιστραφείσης γὰρ
τῆς ἐλάττονος, ἔσται τὸ πρῶτον σχῆμα ἡ ἀναγωγή. ἔσται δὲ συλλογιστικὴ συμ-
πλοκή, κἂν ἡ ἐλάττων ἔχουσα στερητικὴν καθόλου, ἄλλ' ὑπάρχουσαν
ἀλλ' ἐνδεχομένην. ἀντιστραφείσης γὰρ τῆς μείζονος, ἔσται τὸ πρῶτον σχῆμα.
τὸ συμπέρασμα ἐνδεχόμενον ὡς λέγομεν ἀντιστραφὲν τοῦτο. δείκνυσι τὸ
ἀσυνακτόμενον τὸ προκείμενον. πάλιν γὰρ ἐπισημειωτέον, ὡς ὅπως ἂν ληφθῇ
ὑπάρχουσα· ἄν τε καταφατική, ἄν τε ἀποφατική, ἐνδεχομένου γινο-
μένου τοῦ συμπεράσματος. ἀεὶ τὸ στερητικὸν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον, λ
ἢ καὶ ἄμφω ληφθῶσι στερητικαί, αὐτὸ μὲν ἁπλῶς λύεται τῆς ἐλάττονος καθό-
λου ἀποφατικῆς τεθείσης, διὰ μὲν τῶν κειμένων, μὴ ἔσεσθαι· μεταληφθείσης
δὲ τῆς στερητικῆς εἰς τὴν καταφατικήν. δεῖ δὲ προσυπακούειν ἀνεπὶ τῆς ἐλάτ-
τονος στερητικῆς τῆς ἐνδεχομένης. οὕτω γὰρ δυνήσεται μεταληφθῆναι ἐκ
ἀποφατικῆς εἰς τὴν καταφατικὴν ἀεὶ ἐνδεχομένη οὖσα. ὑπαρχούσης γὰρ
οὔσης ἀποφατικῆς αὐτῆς οὐ μετάληψις εἰς τὴν καταφατικὴν γενέσθαι· οὔτε συλλο-
γιστικὴ συζυγία τοῦ προκειμένου ἦν γε δεῖ αὐτό. ἀμέλει τηρήσαντες τὴν ἐλάττονα
ἀποφατικὴν ὑπάρχουσαν τῷ β γ ἀντιστρέψαμεν τὴν καταφατικὴν ἐνδε-
χομένην τῷ α γ. ἔσται γὰρ τὸ β τῷ γ οὐδενὶ ὑπάρχον. τὸ γ, τῷ μὲν α τινί,
ἐνδεχόμενον. καὶ συμπέρασμα τὸ β τῷ α τινὶ ἐνδεχόμενον μὴ ὑπάρχειν.
ἀλλ' ὡς ἔννοι φησὶ τοῦ καὶ τοῦ διορισμοῦ ἐνδεχομένου ἐστίν· ἀντιστρέφεται τὸ α
τινὶ τῷ β ἐνδέχεσθαι μὴ ὑπάρχειν. ὥστε συναχθήσεται καὶ μηδὲ μεταγωγὴ μὴ
μεταλήψεως, ὅτι τε τοῦ τοῦ συμπεράσματος. πάλιν κἂν ἀμφότεραι ὦσι
καθόλου ἀποφατικαί· ἡ μὲν ὑπάρχουσα· ἡ δὲ ἐνδεχομένη· κἂν μὲν τῶν
κειμένων οὐδὲν συναχθήσεται. μεταληφθείσης δὲ τῆς ἐνδεχομένης ἀποφα- 5
τικῆς εἰς καταφατικὴν ἀντιστραφείσης, συλλογιστικὴ γίνεται ἡ συζυγία. ἀμ-

οὔσης ἐλάττονος ἐνδεχομένης ἀποφατικῆς. φανερὰ ἥ τε μετάληψις, καὶ ἡ δεῖξις.
ἀλλὰ δὲ μείζων ἢ ἐνδεχομένη, οὐκ ἔσται συλλογιστικὴ ἡ συζυγία τῆς ἐλάττονος
ἀποφατικῆς οὔσης ὑπαρχούσης καθόλου. ἢ δεικνύσθω τὴν μείζονα μεταλαβόντων.
ἐπεὶ ἐστὶν ἐνδεχομένη καὶ ἀποφατική, εἰς τὴν καταφατικὴν ἐνδεχομένην καὶ αὐ-
τὴν στρέψαι τὴν ἐλάττονα ποιῆσαι. ἀλλὰ τὸ συμπέρασμα καὶ πάλιν ἀντιστρέψαι
ἑαυτό, ὃ ἐστὶ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ὡς νῦν λέγει. ὁ δὴ μὲν καθό-
λου προδείξεων ἤδη εἴρηται. ἀλλ' ἀμφότεραι ἂν εἶεν καταφατικαί. ἀλλ' εἰ μὲν ἑτέρα
καταφατικὴ ἡ ἐπὶ μέρους. ἡ δὲ ἑτέρα ἀποφατικὴ καθόλου, ὁποτέρα αὐ-
τῶν ἢ ὑπάρχουσα, συλλογιστικὴ ἡ συζυγία. τῆς γὰρ καταφατικῆς οὔσης ἐπὶ μέρους
ἀλλ' ἐνδεχομένης, ἀλλὰ ὑπαρχούσης. ἀντιστραφείσης ἑκατέρας, διὰ τοῦ πρώ-
του σχήματος ἡ συζυγία συλλογιστική. τὸ δὲ ὁ αὐτὸς τρόπος ἔσται τῶν συλλογισμῶν.
δηλωτικὸν ἐστὶ τοῦ, διὰ ἀντιστροφῆς ἔσεσθαι τὴν δεῖξιν. ἐπισημειωτέον δὲ
πάλιν, ὅτι τὸ συμπέρασμα καὶ ἐνδεχόμενον ἔσται ὡς ἐν τῷ πρώτῳ σχήματι
ἀπὸ μίξεως ὑπαρχούσης καὶ ἐνδεχομένης μείζονος, τοιούτου γινομένου τοῦ συ-
μπεράσματος. ἀλλὰ δὲ ἂν ἡ μὲν ἐλάττων καταφατικὴ καθόλου. ἡ δὲ μείζων
ἀποφατικὴ ἐν μέρει, συλλογιστικὴν μὲν φησὶν ἔσεσθαι τὴν συζυγίαν. οὐ μὴν
διὰ ἀντιστροφῆς δειχθήσεται. ἀναχθείσης αὐτῆς εἰς τὸ πρῶτον σχῆμα. ἀλλὰ διὰ
τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. κείσθω γὰρ τὸ μὲν β παντὶ τῷ γ ὑπάρχειν τὸ δὲ α
ἐνδέχεσθαι τινὶ τῷ γ μὴ ὑπάρχειν τὸ δὴ α, ἐνδέξεσθαι τινὶ τῷ β μὴ ὑπάρχειν.
εἰ γὰρ μή, τὸ ἀντικείμενον ἔσται ἀναγκαῖον αὐτῷ παντί. ἀλλὰ καὶ τὸ β παντὶ τῷ γ
ὑπάρχει. τὸ ἄρα α, παντὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρξει. γίνεται γὰρ ἡ συζυγία ἐν πρώ-
τῳ σχήματι ἐξ ἀναγκαίας καθόλου καταφατικῆς τῆς μείζονος, καὶ ὑπαρχούσης καθό-
λου καταφατικῆς τῆς ἐλάττονος. ἐφ' ἧς ἐδείχθη καθόλου καταφατικὸν ἀνα-
γκαῖον γινόμενον τὸ συμπέρασμα. ἀδύνατον δὲ τὸ α παντὶ τῷ γ ἐξ ἀνάγκης· ὑπέκειτο
γὰρ ἐνδέχεσθαι αὐτῷ τινὶ μὴ ὑπάρχειν. πῶς δὲ οὐχ οἷόν τε ἔσται καὶ διὰ τῆς ἀντι-
στροφῆς τὴν τοιαύτην συμπλοκὴν δεικνύναι συλλογιστικὴν καθ' αὑτήν.
ἀλλ' εἰ ἡ ἐπὶ μέρους ἀποφατικὴ ἐνδεχομένη ἀντιστρέφει αὐτῇ, ζητήσαιμεν ἄν.
εἰ γὰρ τὸ α τῷ γ ἐνδέχεται τινὶ μή, καὶ μὴ τὸ γ τῷ α. ἐνδέχεται τινὶ μή, μᾶλλον
δὲ μεταλαβόντες εἰς τὸ καταφατικὸν τὸ ἀποφατικὸν ἐπὶ μέρους ἐνδε-
χόμενον, οὕτως γὰρ ἔσται συλλογιστικὴ συμπλοκή, ἀντιστρέψαι αὐτό.

ἢ ἔστω τὸ Γ τῷ Α ἐνδεχόμενον τινί, καὶ τὸ δὲ Β τῷ Γ παντὶ ὑπάρχειν· ἢ ἀνάπαλιν τὸ Β τῷ Γ τινὶ ἐνδεχόμενον· ἀδιάφορον, ἢ τὸ Α τινὶ τῷ Β ἐνδέχεσθαι· ἀντιστρέφει γὰρ ἡ τὸ ἐνδεχόμενον ἐπὶ μέρους τό τε καταφατικὸν καὶ ἀποφατικὸν καὶ ὁ μὲν τοίνυν καὶ αὐτὸς ἔδειξε καὶ μετ᾽ ὀλίγον αὐτὴ ἡ δεῖξις ἔσται· ἡ γὰρ διὰ ἀδυνάτου ἀπαγωγή· ἐν ταῖς ἔχει· ἢ ἀναγκαία μὲν ἡ μείζων ἐπὶ μέρους οὖσα ἐνδεχομένη· οἷς τὰ τοῦτο γίνεσθαι· διὸ αὐτὴ μείζων ἀνάγκη ὑπάρχουσα ἐπὶ μέρους ἀποφατική· ἡ δὲ ἐλάττων καταφατικὴ ἐνδεχομένη, οὐκέτι οὔτε ἡ δι᾽ ἀντιστροφῆς δεῖξις χώραν ἔχοι ἂν ληφθεισῶν τῶν προτάσεων· οὐδὲ διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς δυνατὸν δεῖξαι, τὸ μὴ γίνεσθαι ἐξ ἀναγκαίας καθόλου καταφατικῆς τῆς μείζονος ἐν πρώτῳ σχήματι· καὶ ἐνδεχομένης καθόλου καταφατικῆς τῆς ἐλάττονος· μηδὲ κατὰ τοῦτο καθόλου καταφατικὸν ἀναγκαῖον συμπέρασμα γινομένου δὲ τοιούτου, ἀλλ᾽ ἐνδεχομένου καθόλου καταφατικοῦ, οὐδὲν ἀδύνατον, τὸ Α τῷ Γ τινὶ μὴ ὑπάρχειν, ἐνδέχεσθαι παντὶ αὐτῷ ὑπάρχειν· καὶ εἰ μὲν γὰρ τῷ δεῖξαι τῷ αὐτῷ, πρόδηλον ἡ δεῖξις ἡ διὰ ἀδυνάτου· ἐν τῇ κειμένῃ συζυγίᾳ τῷ ἐξ ἀναγκαίας τῆς μείζονος καὶ ὑπαρχούσης τῆς ἐλάττονος, ἀναγκαῖον καὶ τοῦτο γίνεσθαι τὸ συμπέρασμα· καὶ τὰ μὲν τοιαῦτα ἔτι γὰρ αὐτοῦ ὑπάρχον λέγοντες σώζεσθαι, οὐδὲν ἀδύνατον ἀκολουθήσει· οὐ γὰρ ἀδύνατον τὸ Α παντὶ τῷ Γ ὑπάρχειν, ᾧ ἐνδέχεται αὐτῷ τινὶ μὴ ὑπάρχειν· αὕτη ἐστὶν ἡ συμπλοκή, δι᾽ ἧς πρὸ τούτων ἐδείκνυμεν ἀναγκαῖον γινόμενον τὸ συμπέρασμα, ἐν τῇ ἐξ ἀναγκαίας τῆς μείζονος καθόλου ὑπαρχούσης τῆς ἐλάττονος συμπλοκῆς ἐν πρώτῳ σχήματι· οἱ γὰρ διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς ἐπὶ τὴν συμπλοκὴν ταύτην δεῖξιν ἄγοντες, ἀδύνατον παρ᾽ αὐτοῦ δεικνύναι τὸ σωζόμενον· εἰ μὲν τοίνυν ἡ μείζων ἡ ΑΓ ὑπάρχουσα ἐπὶ μέρους ἀποφατική, ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἐνδεχομένη, οὐδὲ κατὰ τοῦτο ἀδύνατόν τι ἀπαντήσεται ὡς ἄτοπον· γίνεται μὲν γὰρ τὸ Α τῷ Β ἐξ ἀνάγκης παντὶ ὑποτιθέμενον, ἀμφοτέρων συγχωρουμένων τῷ τινὶ ἐξ ἀνάγκης ἐνδέχεσθαι μὴ ὑπάρχειν τὸ Α τῷ Β· καὶ τὸ δὲ καὶ τὸ Β τῷ Γ παντὶ ἐνδεχόμενον· ἐν ᾗ μίξει ἡ συζυγία ἐνδεχόμενον γίνεται τὸ συμπέρασμα καὶ τοῦτο· οὕτω δὲ ἂν ἐνδέχεσθαι μὴ ὑπάρχειν τὸ Α τῷ Γ ληφθῇ· οὕτω δὲ ἂν ἐνδέχεσθαι ὑπάρχειν· οὐδὲν ἀδύνατον συμβαίνει κειμένου αὐτοῦ ἐνδέχεσθαι τινὶ αὐτῷ

μὴ ὑπάρχειν. διὸ παντελῶς ἀσυλλόγιστος ἡ τοιαύτη συμπλοκή. Θεόφραστος 50s. θεόφρα
δὲ οὕτω ποιεῖ ταῦτα ἁπλῶς διὰ τῆς ἐξ ἀδυνάτου ἀναγωγῆς τὴν δεῖξιν τῆς προει-
ρημένης συζυγίας. ἀλλὰ προστιθέντος, ἐνδέχεσθαι τινὶ μή, ἐν δὲ τῷ μὴ ὑπάρχειν
τινὶ μεταλαβόντος, οὐκέτ' ἀδύνατον. καὶ ποιήσας διὰ τὸ ὑπάρχουσαν τὴν μέν,
ἐπὶ μέρους ἀποφατικὴν τὴν μεταληφθεῖσαν. τὴν δέ, καθόλου καταφατικὴν
τὴν κειμένην φησὶ συμπέρασμα γενέσθαι, τὸ, τὸ α ἐνδέχεσθαι τινὶ τῷ β μὴ
ὑπάρχειν. εἰ γὰρ μή, τὸ ἀντικείμενον τὸ, παντὶ ἐξ ἀνάγκης τὸ, τὸ α τῷ β. καὶ οὕτως
διὰ τῆς ἐξ ἀδυνάτου ἀναγωγῆς, κυροῦν δεῖ ὅλον τὸ ἑπόμενον, συνάγεται
γὰρ τὸ α τῷ γ παντὶ ὑπάρχον. ὡς ἔκειτο τινὶ μὴ ὑπάρχειν. ἐπεὶ οὖν παρὰ
τὴν ὑπόθεσιν τὸ ἀδύνατον ἀπήντηκεν. ἡ γὰρ ὑπόθεσις, οὐκ ἦν ἀδύνατος
λαμβάνεσθαι, διὰ τὸ ἐξ ἀνάγκης παντὶ τεθῆναι. τὸ ἄρα ἀντικείμενον τοῦ
ἐξ ἀνάγκης παντί τοῦτο δὲ ἐστὶ τὸ ἐνδέχεσθαι τινὶ μή. ἂν δὲ ἢ ἀδιόριστοι ἀμφό-
τεραι, ἢ ἐν μέρει ἀμφότεραι ληφθῶσιν. αὗται καταφατικαί. αὗται ἀποφα-
τικαί. αὗται παραλλάξ, οὐκ ἔσται συλλογιστικὴ συζυγία, ὁ διὰ τῶν ὅρων σου
ἔχον δείκνυσι. λέγει δὲ διὰ τῶν αὐτῶν ὅρων δειχθήσεσθαι, δι' ὧν καὶ ἐπὶ
τῶν καθόλου. νῦν λέγοντος ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐπὶ μέρους.
ὡς ἂν δὲ λέγει δι' ὧν ὅρων ἐδείχθησαν, καὶ αἱ διόλου ἐνδεχόμεναι. ἐνδεχό-
μεναι καὶ διὸ ἐπὶ μέρους συζυγίαι οὐ γίνονται ἀσυλλόγιστοι. εἰσὶ δὲ ὅροι τῶν μὲν
παντὶ ὑπάρχειν, ζῷον. ἄνθρωπος. λευκόν. τοῦ δὲ μηδενί, ἵππος. ἄνθρωπος.
λευκόν. μέσον λευκόν. ἢ ἡ μὲν πρώτη αὕτη λέξις. καὶ ἑτέρα παντὶ ἀπὸ τοῦ ἀπο-
δείξεις δὲ αὐτή ἢ καὶ ἀπὸ τῶν ἐξ ἀμφοτέρων ἐνδεχομένων, τὸ δὲ καὶ ἀπόδειξ-
δὲ αὐτή ἢ καὶ ἐν τοῖς καθόλου:

Ἀλλ' ἐὰν ἡ μὲν ἀναγκαία τῶν προτάσεων ἡ δὲ ἐνδεχομένη·

ξγ πρότερον ἐξ ἐνδεχομένης καὶ ἀναγκαίας ἐν τρίτῳ σχήματι μίξεις, μετελήλυθε
τὸ λέγει. καταφατικῶν μὲν οὐσῶν ἀμφοτέρων καθόλου, τοῦ ἐνδέχεσθαι
τινὶ ἔσεσθαι τὸ συμπέρασμα. ἂν δὲ ἡ μέν, καταφατικὴ ληφθῇ, ἡ δὲ ἀπο-
φατικὴ τῶν προτάσεων. ἂν μὲν ἡ καταφατικὴ ἀναγκαία ᾖ, τοῦ ἐνδέχεσθαι
μὴ ὑπάρχειν ἔσεσθαι τὸ συμπέρασμα. ἂν δὲ ἡ ἀποφατικὴ τοῦ ἐνδέχεσθαι
μὴ ὑπάρχειν, καὶ τοῦ μὴ ὑπάρχειν, ὅπερ ἐστὶν ἴσον, οὐ τοῦ κατὰ τὸν διορισμὸν
ἐνδεχομένου τὸ συμπέρασμα ἔσεσθαι, ἀλλὰ τοῦ κατηγορουμένου τοῦ ὑπάρχοντος.

οὐκ ἔτι μὲν τοῦ ἐξ ἀνάγκης μὴ ὑπάρχειν ἔσται τὸ συμπέρασμα· οὐδὲ γὰρ τοιοῦτον ἀλλ' οἷς
σχήματι ἦν, οὔτε ἐν πρώτῳ οὔτε ἐν δευτέρῳ· ἡ ἐξ ἀναγκαίας ἀποφατικῆς καὶ ἐνδεχομένης
καταφατικῆς, ἀναγκαῖον ἀποφατικὸν ἦν τὸ συμπέρασμα. καὶ τοῦτο
διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, καὶ ἐν τῷ πρώτῳ σχήματι καὶ ἐν τῷ δευτέρῳ, τῆς
μείζονος οὔσης ἀναγκαίας καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἐνδεχο-
μένης. δυνατὸν δὲ ὡσαύτως δεῖξαι δείκνυσθαι ἀναγκαῖον καθόλου ἀποφατικὸν γινό-
τὸ α τῷ β μενον τὸ συμπέρασμα. κείσθω γὰρ τὸ ἐξ ἀνάγκης μηδενί· τὸ δὲ β τῷ γ παντὶ ἐνδε-
χέσθω. λέγω δὴ ὅτι τὸ α τῷ γ ἐξ ἀνάγκης οὐδενί. εἰ γὰρ μή, ἐνδέχεται τινί. ἀλλὰ καὶ
τὸ β τῷ γ ἐνδέχεται παντί. ὥστε ἔσται ἐν τρίτῳ σχήματι, τὸ α τῷ β ἐνδέχεσθαι
τινί. τοῦτο δὲ ἀδύνατον· ἔκειτο γὰρ αὐτῷ ἐξ ἀνάγκης μηδενί. ψευδὴς ἄρα ἡ ὑπόθεσις,
ἡ τὸ α τῷ γ ἐνδέχεσθαι τινί. τὸ ἄρα ἀντικείμενον τὸ α τῷ γ ἐξ ἀνάγκης οὐδενί. πάλιν
ἐν δευτέρῳ σχήματι. τὸ α τῷ μὲν β ἐξ ἀνάγκης οὐδενί, τῷ δὲ γ ἐνδεχέσθω παντί.
λέγω ὅτι τὸ β τῷ γ ἐξ ἀνάγκης οὐδενί. εἰ γὰρ τινὶ ἐνδέχεται, ἐνδέχεται δὲ καὶ τὸ
α παντὶ τῷ γ, συναχθήσεται ἐν τρίτῳ σχήματι πάλιν, τὸ α τινὶ τῷ β ἐνδέ-
χεσθαι τὸ ἐξ ἀνάγκης ἔκειτο μηδενὶ ὑπάρχειν. ὥστε ἐπεὶ ἀδύνατον τὸ συμπέρασμα,
ἀναιρεθήσεται μὲν ἡ ὑπόθεσις, ἡ τὸ β τῷ γ ἐνδέχεσθαι τινί· τεθήσεται δὲ
τὸ ἀντικείμενον, τὸ τὸ β τῷ γ ἐξ ἀνάγκης μηδενί. πῶς δὲ λέγει τὸ ἐξ ἀνάγκης μηδενὶ
ἐν τῇ μίξει τῇ ἐξ ἀναγκαίας ἀποφατικῆς καθόλου καὶ ἐνδεχομένης καταφατικῆς
ἐν μηδενὶ τῶν σχημάτων ἀναγκαῖον ἀποφατικὸν γίνεσθαι συμπέρασμα,
ἄξιον ἐπιζητῆσαι. δεῖ γὰρ ἢ διαβάλλεσθαι τὴν εἰς ἀδύνατον ἀπαγωγήν,
εἴ γε ἐν τῷ τρίτῳ σχήματι συμπλοκαί, δι' ὧν τὴν εἰς ἀδύνατον ἀπαγωγὴν
πεποίηται, ἀσυλλόγιστοι εἶναι, ἢ τὸ ἐξ ἀνάγκης μηδενὶ συνάγεσθαι. ἐζήτηται δὲ μὲν
περὶ τούτου καὶ ἐπὶ πλέον εἴρηται ἐν τῷ περὶ τῆς κατὰ τὰς μίξεις διαφωνίας
Ἀριστοτέλους καὶ τῶν ἑταίρων αὐτοῦ· ὡς ἤδη προείπον· ἐπὶ πλέον δὲ εἴρη-
ται περὶ αὐτοῦ μοι ἐν τοῖς σχολίοις τοῖς λογικοῖς. ἀμφοτέρων μὲν οὖν καταφα-
τικῶν καθόλου οὐσῶν, καὶ ἀναγκαίας τῆς μείζονος· καὶ ἀντιστραφείσης τῆς
ἐλάττονος καὶ γενομένης ἐπὶ μέρους καταφατικῆς, ἐγένετο ἐν πρώτῳ
σχήματι, συζυγία ἔχουσα συμπέρασμα ἐνδεχόμενον ἐπὶ μέρους κατα-
φατικόν. τῆς μείζονος οὔσης καθόλου καταφατικῆς ἀναγκαίας ὥσπερ οὖν
καὶ οἱ λόγοι ἐν οἷς ἡ μείζων ἀναγκαία καταφατικὴ τοῦ ὑπάρχοντος ἐνδεχομένη

οὔσης τῆς ἐλάττονος· ἀλλ' ἔστω ἡ ἐλάττων τῶν καθόλου καταφατική, ἡ δὲ μείζ(ων) ἐνδεχομένη καθόλου καὶ αὐτὴ καταφατική· ἀντιστραφείσης πάλιν τῆς ἀναγκαίας καθόλου καταφατικῆς, γίνεται συζυγία ἐν πρώτῳ σχήματι, ἐνδεχόμενον ἐπὶ μέρους καταφατικὸν συνάγουσα· ἐνδεχομένης καθόλου καταφατ(ικῆς) οὔσης τῆς μείζονος, οὕτως ὡς τέλειος ὁ συλλογισμὸς ἐν τῷ πρώτῳ σχήματι. ὥσπερ καὶ οἱ ἄλλοι οἱ τὴν μείζονα ἐνδεχομένην ἔχοντες· ἂν δὴ μὲν ἡ ἀποφατ(ικὴ) ληφθῇ τῶν προτάσεων· ἡ δὲ καταφατική· καὶ ἡ καταφατικὴ μὲν ἀναγκαία καθόλου ἐλάττων, ἀποφατικὴ δὲ ἐνδεχομένη καθόλου μείζων, ἀντιστραφείσης τῆς καθόλου ἐλάττονος καταφατικῆς ἀναγκαίας, ἔσται ἐν πρώτῳ σχήματι ἐπὶ μέρους ἀποφατικὸν ἐνδεχόμενον συμπέρασμα· οὔσης τῆς μείζονος ἐνδεχομένης καθόλου ἀποφατικῆς· καὶ αὐτὸς ὡς τέλειος συλλογισμὸς ἐν πρώτῳ σχήματι. ἐπεὶ δή, ἔσται πάλιν τὸ πρῶτον σχῆμα, προσέθηκε τό, γὰρ ἡ στερητικὴ πρότασις ἐνδέχεσθαι σημαίνῃ, ὅ ἐστι δηλωτικὸν τοῦ, τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἀποφατικὸν γίνεσθαι συμπέρασμα. ὅταν γὰρ ἡ μείζων στερητικὴ ᾖ καὶ ἀναγκαία ᾖ, τὸ τε μόνον, οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον τὸ συμπέρασμα, ἀλλὰ τὸ μὴ ὑπάρχειν· ἔχει δὲ ἐπὶ τ(ῶν) ἀκαταλληλότερον ἡ λέξις· καὶ ἔοικεν αὐτὸ κατάλληλον· αὐτῆς τοιοῦτον· καὶ ἐὰν ἡ στερητικὴ πρότασις ἐνδέχεσθαι σημαίνῃ, φανερὸν ὅτι τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον· δύο ἄλλοι δὲ συλλογισμοὶ γίνονται, κἂν τὴν καθόλου καταφα(τικὴν) ἀναγκαίαν τηρήσαντες, ἀντιστρέψωμεν τὴν μείζονα οὖσαν ἐνδεχομένην καθό(λου) ἀποφατικήν, εἰς τὴν ἐπὶ μέρους μεταλαβόντες αὐτὴν εἰς τὴν καταφατικήν. ἀλλὰ περιεργοτέρα ἡ δεῖξις ἡ διὰ τῆς μεταλήψεως τῆς ἐνδεχομένης εἰς τὴν καταφατικήν· καὶ διὰ τὸ δεῖν τὸ συμπέρασμα ἀντιστρέψαι· καὶ διὰ τὸ γίνεσθαι ἐπὶ μέρους ἐνδεχόμενον καταφατικὸν τὸ συμπέρασμα οὐκ ἀποφατικόν· ἐὰν δὲ ἡ μὲν μείζων στερητική τε καὶ ἀναγκαία· ἡ δὲ ἐλάττων ἐνδεχομένη καταφατικὴ καθόλου· ἀντιστραφείσης τῆς ἐνδεχομένης, γίνεται ἐν πρώτῳ σχήματι συζυγία· ἔχουσα τὴν μείζονα καθόλου ἀποφατ(ικὴν) ἀναγκαίαν· τὴν δὲ ἐλάττονα ἐνδεχομένην ἐπὶ μέρους καταφατικήν. καὶ τὸ συμπέρασμα τὸ μὴ ὑπάρχειν τινί· καὶ οὕτως ἐνδεχόμενον ἐπὶ μέρ(ους), οὐ γὰρ κατὰ τὸν διορισμόν· τὸ δὲ ὥστε καὶ τὸ α τῷ β ἀνάγκη τινὶ μὴ ὑπάρχ(ειν)

ὡς οὐκ ἀεὶ ἀναγκαίου ἀποφατικοῦ ἐπὶ μέρους γινομένου τοῦ συμπεράσματος,
ἀρητέον ἄλλως· ὡς ἔστι ποτὲ ἀναγκαῖον ἐπὶ μέρους ἀποφατικὸν ὑπάρχον τὸ
συμπέρασμα γίνεσθαι. ἂν δὲ ἡ ἐλάττων ἀποφατική, ἡ δὲ μείζων κατα-
φατική· ἂν ἡ ἐνδεχομένη οὖσα ἐλάττων, εἰ μὲν τῶν εἰρημένων, οὐκ ἔσται
συλλογισμός· μεταληφθείσης δὲ τῆς ἐνδεχομένης καθόλου ἀποφατικῆς
εἰς τὴν καθόλου καταφατικὴν ἐνδεχομένην, ἢ ἀντιστραφείσης, ἔσται πάλιν
τὸ πρῶτον σχῆμα ἐπὶ μέρους ἐνδεχόμενον καταφατικὸν ἔχον συμπέρασμα.
ἐπὶ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας· τῆς ἐλάττονος ἐπὶ μέρους
καταφατικῆς ἐνδεχομένης. ἀποφατικῆς μὲν γὰρ οὔσης τῆς ἐλάττονος,
οὐδ᾽ ἂν συναχθείη· ἐὰν δὲ ἡ ἐλάττων ᾖ καθόλου ἀποφατικὴ ἀναγκαία,
οὐκ ἔσται συλλογιστικὴ συζυγία. ἢ τοῦτο πάλιν δείκνυσι διὰ τῆς τῶν ὅρων παρα-
θέσεως· δείξας ἢ παντὶ ἢ μηδενὶ ὑπάρχον· διὰ ἀμφοῖν τὸ μείζονα ἢ πρῶτον
ὅρον τῷ ἐσχάτῳ· τοῦ μὲν οὖν παντὶ ὑπάρχειν ὅροι ὕπνος· ἵππος καθεύ-
δων· ἄνθρωπος. ὕπνος γὰρ ἐνδέχεται παντὶ ἀνθρώπῳ· ἵππος δὲ καθεύδων, οὐδενὶ ἀνθρώπῳ
ἐξ ἀνάγκης· καὶ ὕπνος ἐξ ἀνάγκης παντὶ ἵππῳ καθεύδοντι. τοῦ δὲ μηδενί, ὕπνος·
ἵππος ἐγρηγορώς· ἄνθρωπος. πάλιν γὰρ ὕπνον μὲν ἐνδέχεται παντὶ ἀνθρώπῳ· ἵπ-
πος δὲ ἐγρηγορὼς, ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ· καὶ ὕπνος οὐδενὶ ἵππῳ ἐγρηγορότι.
δεῖ δὲ εἰδέναι, ὅτι τὰ συμπεράσματα, οὐχ ἁπλῶς ἀναγκαῖα δείκνυσιν,
ἀλλὰ τὰ μετὰ διορισμοῦ· ἃ ὑπάρχοντά ἐστι· τὰ δὲ οὕτως ἔχοντα· τὸ μὲν
ἀναγκαῖον, εἰ ὑπάρχον γένεσθαι ἃ ὑπάρχοντά ἐστι· τὰ δὲ τοῦ συμπεράσματος,
ἐστὶν ἀναιρετικά· τὸ γὰρ παντὶ ὑπάρχον· ἀναιρεῖ ὁμοίως, τάς τε ἀναγκαίας
τὰς ὑπαρχούσας ἀποφάσεις· ὁμοίως δὲ πάλιν· καὶ τὸ μηδενὶ ὑπάρχον,
τὰς καταφάσεις πάσας τάς τε ἀναγκαίας καὶ τὰς ὑπαρχούσας. τὰς μέντοι
ἐνδεχομένους οὐκ εἰσὶν ἀναιρετικαὶ αἱ ἐναντίαι ὑπάρχουσαι· τό τε γὰρ παντὶ
ὑπάρχον, ἐνδέχεται καὶ τινί, καὶ μηδενὶ ὑπάρχειν αὐτῷ, καὶ τὸ μηδενὶ ὑπάρχον,
ἐνδέχεται καὶ παντὶ αὐτῷ καὶ τινί. ἡ συλλογιστικὴ δὲ ἡ συζυγία, ἡ ἔχουσα τὴν
μὲν ἐλάττονα καθόλου ἀποφατικὴν ἀναγκαίαν· τὴν δὲ μείζονα καθόλου
καταφατικὴν ἐνδεχομένην, ἐν β΄ τῷ σχήματι. ἀντιστραφείσης γὰρ τῆς ἐνδε-
χομένης, γίνεται τὸ β΄ τῷ γ΄ ἐξ ἀνάγκης οὐδενί· τὸ γ΄ τῷ α΄ ἐνδέχεται τινί· τὸ β΄
ἄρα τῷ α΄ τινί, οὐχ ὑπάρχει. τοῦτο γὰρ ἐδόκει γίνεσθαι συμπέρασμα

ἀποφατικῆς τῆς ἀναγκαίας οὔσης, ἀλλ' οὐ τὸ προκείμενον οἷόν τε συνάγεσθαι.
δεῖ μὲν γὰρ τὸ ἐν τῷ β΄ καταφατικὸν κατηγορεῖσθαι· οὐ δείκνυται δὲ τοῦτο διὰ τὸ μὴ ἀντιστρέ-
φειν τὸ ἐπὶ μέρους ἀποφατικὸν ὑπάρχον τῇ προκειμένῃ μίξει. εἰ μέντοι μὴ
ζητοῖτο αὐτῇ τῇ προκειμένῃ μίξει τὸ τινὶ μὴ ὑπάρχειν· ἀλλὰ τὸ ἐνδέχεσθαι
τινί, δέδεικται συλλογιστικῶς, τὸ ἐν μέρει ἐνδεχόμενον ἀποφατικὸν
ἀντιστρέφειν. τοῦ δὲ ἀσυλλογίστου δεικνὺς ἂν εἶναι τῶν τοιούτων συζυγιῶν πάλιν
αἴτιον τὸ τὴν ἐλάττονα ἐν πρώτῳ σχήματι μένειν ἀποφατικήν. οὐ μὴν
εἰ μὴ ἀντιστρέφειν ἀμφότεραι· γίνεται ἡ ἐλάττων ἀναγκαία ἀποφατική.
μείζων γὰρ γίνεται ἡ β΄. εἰ μὴ ἀμφοτέρας τις ἀντιστρέφοι, εἰ δὲ ἡ μὲν καθό-
λου προτάσεων εἴη ἡ δὲ ἐν μέρει, τοῦτο γὰρ σημαίνει, τὸ ἐφ' ὧν μὲν καθόλου
τῶν ὅρων· ὁ δὲ ἐν μέρει πρὸς τὸ μέσον, διὰ γὰρ τῶν ὅρων εἶπεν αὐτὰ καὶ ἀμφότερα
τὸ τρίτον σχῆμα ὑπέγραψεν· ἐν ᾧ γὰρ δύο ὅροι ἑνός τε μέσου κατηγοροῦνται,
ὡς εἴρηται πρότερον πάλιν· ἐν ᾧ πάλιν δὲ τριῶν ὅρων ὄντων, δύο ἐξ αὐτῶν κατη-
γοροῦνται, ἀλλ' οὐ τοῦ αὐτοῦ. ἀλλ' ὡς εἴρηται ἐπὶ τοῦ πρώτου σχήματος. ὅταν ὁ μὲν
καθόλου τῶν ὅρων ᾖ· ὁ δὲ ἐν μέρει πρὸς τὸ ἕτερον. ὅταν γὰρ μὴ τοῦ αὐτοῦ κατη-
γορῶνται ἀμφότεροι· ἀλλὰ μηδὲ αὐτοὶ δι' ἀλλήλων ἀντικατηγορῶνται· ἀλλ' ὁ τοῦ
ἑτέρου ὑποκείμενος, μὴ τοῦ κατηγορουμένου αὐτοῦ ἀντικατηγορῆται. ἀλλὰ
τοῦ α΄ τοῦ ἑτέρου σχήματος ἡ συμπλοκή· οὔσης δὲ τῆς προειρημένης συμπλοκῆς
ἐν τρίτῳ σχήματι· ὁμοίως φησὶν ἔσονται οἱ συλλογισμοί, ὡς εἴρηται ὅτε ἀμφό-
τεραι καθόλου ἦσαν· ἡ γὰρ ἐν ἐκείνοις τῆς μὲν ἐλάττονος, ἀναγκαίας ἀπο-
φατικῆς οὔσης καθόλου, οὐδὲν ἐγίνετο. οὔσης δὲ ταύτης ἐνδεχομένης
ἀποφατικῆς, ἐγίνετο συλλογιστικὴ συζυγία. ὁμοίως δὲ καὶ ἀναγκαίας κατα-
φατικῆς. τῶν γὰρ καθόλου καταφατικῶν ἀντιστρέφοντες, ἐπὶ μέρους τε ἐποι-
οῦμεν· καὶ ἐκ τοῦ πρώτου σχήματος τὴν συζυγίαν αἰτοῦμεν. καὶ ἐν τούτοις δὲ ὁμοίως
τῶν ἐπὶ μέρους ἀντιστρέφοντες, τῶν αὐτῶν ἐν πρώτῳ σχήματι συζυγιῶν ἐκ τῶν
δύο καθόλου οὐσῶν, ποιησόμεθα. ἐπὶ δὲ τῶν ἄλλων συζυγιῶν, ἐν μὲν τῇ ἐχούσῃ
τὴν μὲν μείζονα ἐπὶ μέρους ἀποφατικὴν ἐνδεχομένην. τὴν δὲ ἐλάττονα
καθόλου καταφατικὴν ἀναγκαίαν, διὰ τῆς δι' ἀδυνάτου ἀπαγωγῆς· ὡς
εἴρηται ὅτε ἦν ὑπάρχουσα καθόλου καταφατική. αὐτῆς οὔσης τῆς μείζονος,
καὶ ἐπὶ μέρους ἀποφατικῆς ἐνδεχομένης. τὸ γὰρ ὁμοίως δείξει οὐκ ἔτι τῶν

δείξεων ἄπειρον

ἀλλ' ἐπὶ τοῦ τὸ συμπέρασμα ἐνδεχόμενον ὅμοιον γίνεσθαι ὁποῖον καὶ ὅτε ἦσαν
ἀμφότεραι καθόλου ἐνδεχόμεναι, δεῖ καὶ μεταληφθείσης τῆς ἐπὶ μέρους ἀποφατικῆς
ἐνδεχομένης εἰς τὴν καταφατικὴν καὶ ἀντιστραφείσης· συναγόμενον δὲ
γίνεσθαι ἐνδεχόμενον ἐπὶ μέρους καταφατικόν· δεῖ μέντοι καὶ τὸ συμπέρασμα
ἀντιστρέψαι· ὥστε οὐ πάντως διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς ἡ τοιαύτη
συμπλοκή. εἰ μὲν οὖν ἀμφότεραι καταφατικαὶ εἶεν, τοῦ ἐνδέχεσθαι τινὶ
ὑπάρχειν ἔσται τὸ συμπέρασμα, ἀλλ' οὐ τοῦ ὑπάρχειν τινί, ὁποτέρα ἂν καθό-
λου ληφθῇ· πλὴν ὅτι τῆς μείζονος ἐπὶ μέρους ληφθείσης, αὐτήν τε δεῖ ἀντιστρέψαι,
καὶ τὸ συμπέρασμα πάλιν ἀντιστρέψαι· οὕτως γὰρ ἔσται τοῦ προκειμένου τὸ συμπέ-
ρασμα. ἀλλὰ κἂν ἡ ἑτέρα ἀποφατικὴ ληφθῇ, ἡ ἀναγκαία καταφατική,
ἐνδεχόμενον ἐπὶ μέρους ἀποφατικὸν τὸ συμπέρασμα. δεῖ δὲ κἀνταῦθα εἶναι
τὴν ἀναγκαίαν οὖσαν καταφατικήν. ἂν γὰρ ἡ αὐτὴ καθόλου, δεήσει τὴν ἐπὶ
μέρους ἐνδεχομένην ἀποφατικήν, εἰς τὴν καταφατικὴν μεταλαβεῖν. οὕτως
δεῖξαι καὶ τὸ συμπέρασμα καταφατικόν. δι' ἀδυνάτου δὲ ἂν ἡ ἐλάττων καθόλου
καταφατικὴ ἀναγκαία ληφθῇ διὰ τῆς ἐξ ἀδυνάτου ἀπαγωγῆς δείκνυσθαι
γινόμενον τὸ συμπέρασμα, ἐνδεχόμενον ἐπὶ μέρους ἀποφατικόν. ἂν δὲ
ἡ ἀποφατικὴ καθόλου τε καὶ ἀναγκαία οὖσα μείζων· τότε γὰρ ἡ συζυγία
συλλογιστική, τοῦ μὴ ὑπάρχειν τινί· οὐ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν ἔσται
τὸ συμπέρασμα. ὁμοίως γὰρ δειχθήσεται, ὡς προεδείχθη, καὶ ὅτε καθόλου
ἦσαν ἀμφότεραι ἡ ἀποφατικὴ ἀναγκαία. ἀπὸ δὲ εἴσεσθαι τοῦ μὴ
ὑπάρχειν τινὶ τὸ συμπέρασμα, κἂν τῇ καθόλου ἀποφατικῇ ἀναγκαία
τῇ ἐπὶ μέρους καταφατικῆς ἐνδεχομένης, ἐν τρίτῳ σχήματι συζυγίας,
τὴν αἰτίαν τοῦ τοιοῦτον γίνεσθαι τὸ συμπέρασμα, καθόλου παρέθετο
προσθείς. ἀνάγκη γὰρ διὰ τοῦ πρώτου σχήματος, τελειοῦσθαι τοὺς συλλογισμούς.
ὥστε καθάπερ ἐν ἐκείνοις, καὶ ἐπὶ τούτων ἀναγκαῖον συμπίπτειν. τοὺς τε
ὁποῖα ἂν ἐν ἐκείνῳ τὰ συμπεράσματα τῷ σχήματι ἐπὶ ταῖς τοιαύταις
συζυγίαις, τοιαῦτα καὶ ἐν τούτῳ δεῖ εἶναι: ἐπιζητήσαι δ' ἄν τις κυ-
ρίως πρὸς αὐτόν. διὰ τί οὐχ οὕτως εἶπε γίνεσθαι, καὶ ἐν ταῖς ἐξ ὑπάρχοντος
τε καὶ ἐνδεχομένης μίξεσιν ἐν τούτῳ τῷ σχήματι, ὡς ἐν τῷ πρώτῳ ἐδείκνυτο.
τὸ νῦν λεγόμενον, καθόλου γίνεσθαι καὶ τούτῳ χρὴ ἕπεσθαι. ὡς γὰρ ἂν ἐν τῷ

πρώτῳ σχήματι ἔχει τὸ συμπέρασμα, οὕτως καὶ ἐν τοῖς ἄλλοις ἀξιοσχήμασι.
τοῖς τὴν ὁμοίαν συμπλοκὴν δεικνυμένοις ἔχειν διὰ τῆς ἀντιστροφῆς. ἂν μὲν
τις στερητικὴ ἢ ἐλάττων πρότασις καθόλου ᾖ. ἐὰν μὲν ἐνδεχομένη ᾖ, ἀντιστρα-
φεῖσα ταῖς ἐπὶ μέρους καταφατικαῖς ἀναγκαίαις συλλογιστικὴ ἡ συζυγία
τοῦ ἐνδέχεσθαι τινὶ μή. ἢ πάλιν δείκνυσι, καὶ τὸ συμπέρασμα ἀντιστρέψαι.
ἀντιστρέφεσθαι ἢ ἐπὶ μέρους ἐνδεχομένη καὶ ἀποφατική, οὐ ταὐτὸ καὶ τὸν
διορισμὸν ἐνδεχομένου. ἂν δὲ στερητικὴ καθόλου ἢ ἐλάττονος οὔσης ἀναγκαίας,
οὐκ ἔσται συλλογιστικὴ ἡ συζυγία. καὶ τοῦτο δειχθήσεται μὲν διὰ τῶν αὐτῶν
ὅρων, τῶν καὶ πρὸ ὀλίγου ληφθέντων ὅτε ἦσαν ἀμφότεραι καθόλου.
ἀναγκαία δὲ ἀποφατικὴ ἐλάττων. δῆλον δὲ πάλιν γίνεσθαι μὲν
συμπέρασμα, ἀντιστραφείσης τῆς μείζονος οὔσης ἐνδεχομένης ἐπὶ μέρους
καταφατικῆς ὑπάρχον ἐπὶ μέρους ἀποφατικὸν ἐπὶ τοῦ ἐλάττονος
ἄκρου. μὴ ἀντιστρέφειν δὲ τὴν ἐπὶ μέρους ἀποφατικὴν ὑπάρχουσαν. οἱ γὰρ
ὅροι εἰσὶν, τὸ μὲν ὑπάρχειν· ὕπνος· κοιμώμενος ἵππος· ἄνθρωπος. τὸ μὴ ὑπάρ-
χειν· ὕπνος· ἐγρηγορὼς ἵππος· ἄνθρωπος. ὁ γὰρ ὕπνος ὅτε μὲν ἐλαμβάνετο,
παντὶ ἀνθρώπῳ ἐνδέχεσθαι· νῦν δὲ ληφθήσεται τινί. ἀλλ' οὐδ' ὅτε ἡ ἐλάττων ἐπὶ
μέρους ἡ ἀναγκαία ἀποφατικὴ συλλογιστικὴ συμπλοκή· οἱ αὐτοὶ ὅροι παρα-
τεθέντες δ' ἔχουσι· ληφθήσεται γὰρ ὁ ἐγρηγορὼς ἵππος, ἢ ὁ κοιμώμενος ἄνθρωπος.
ἐγρήγορσις γὰρ ἐνδέχεται τινὶ ἀνθρώπῳ· ἵππος δὲ κοιμώμενος, ἐξ ἀνάγκης τινὶ ἀνθρώπῳ
οὐχ ὑπάρχει· καὶ ἐγρήγορσις ἐξ ἀνάγκης οὐδενὶ κοιμωμένῳ ὑπάρχει· καὶ πάλιν
ἐγρήγορσις· ἵππος ἐγρηγορὼς ἄνθρωπος· ἐγρήγορσις γὰρ τινὶ ἀνθρώπῳ ἐνδέχεται
ὑπάρχειν· ἵππος δὲ ἐγρηγορὼς, ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ· καὶ ἐγρήγορσις ἐξ ἀνάγκης παντὶ
ἵππῳ ἐγρηγορότι. οὐκ ἔτι τῶν ἄλλων ἀσυλλογίστων συζυγιῶν ἐμνημόνευσε
τῶν, ἐξ ἀμφοῖν ἐπὶ μέρους, ἢ ἀδιορίστων· ἢ καταφατικῶν καὶ ἀποφατικῶν
τε ἀνομοιοσχημόνων· ὡς ὄντος ἤδη γνωρίμου τοῦ τοιούτου, διὰ τῶν
εἰρημένων. δῆλον δὲ καὶ ὅτι πάντες ἀτελεῖς, καὶ ὅτι τελειοῦνται διὰ τοῦ πρώτου
σχήματος. τοῦτο γὰρ ὧν τὸ καὶ ἐπὶ τοῦ δευτέρου σχήματος εἴρηται. τελειοῦνται
διὰ τῶν προειρημένων σχημάτων. ἀλλ' ἤ γὰρ τοῦ διὰ τοῦ προειρημένου σχήματος,
ἐπεὶ τῶν σχημάτων, ὅτι δὲ καὶ οἱ ἐν τούτῳ τῷ σχήματι ἀτελεῖς εἰσὶ συλλογισμοί.
τελειοῦνται διὰ τοῦ πρώτου σχήματος, δῆλον. οἱ μὲν γὰρ δι' ἀντιστροφῆς

τῶν προτάσεων ἐδείχθησαν συνάγοντες· ὁ δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἐναλλὰξ ἢ μὲν ὅλων τῶν καθόλου καταφατικῶν· ἢ τῆς ὑπαρχούσης ἀναγκαίας· ἢ δὲ τῆς μείζονος ἐπὶ μέρους ἀποφατικῆς ἐνδεχομένης. ἐμνημόνευσε δὲ καὶ τοῦ τῆς τῆς ὅλως ἐξετάσεως· ἐπὶ μόνης τῆς ἐξ ἐνδεχομένης καὶ ὑπαρχούσης μίξεως ἐπὶ δὲ τῆς ἐξ ἀναγκαίας καὶ ἐνδεχομένης· μόνον ἐπὶ τούτου καὶ τὸν διορισμὸν ἐνδεχόμενον γίνεσθαι τὸ συμπέρασμα. οὐκέτι δὲ καὶ τῶν δεῖξιν παρὰ τὴν λέξιν. ἐὰν τὸ μὲν στερητικὸν ληφθῇ. τὸ δὲ καταφατικὸν ἀναγκαῖον· ἢ γὰρ ἐκ καθόλου καταφατικῆς ἀναγκαίας τῆς ἐλάττονος· καὶ ἐπὶ μέρους ἀποφατικῆς ἐνδεχομένης τῆς μείζονος ἐν τρίτῳ σχήματι. καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δείκνυται συλλογιστική, καὶ διὰ τῆς ἀντιστροφῆς. ἂν γὰρ μεταλαμβάνωμεν τὴν ἐπὶ μέρους ἐνδεχομένην ἀποφατικὴν τὴν ΑΓ εἰς τὴν καταφατικὴν καὶ ἀντιστρέφωμεν· συναχθήσεται μὲν τὸ Γ τινὶ Α ἐνδέχεσθαι τινί. ἀντιστραφέντος δὲ τοῦ συμπεράσματος, ἔσται δεικνύμενον τὸ προειρημένον. ἀλλὰ μὲν τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἐπὶ μέρους ἀποφατικοῦ ἐνδεχομένου τὸ δεικνύμενον. διὸ οὐδὲ χρῆται τῇ διὰ ἀντιστροφῆς δείξει αὐτῇ τοιαύτης συμπλοκῆς, ὅτε μὴ τηρεῖται τὸ ἀποφατικὸν γίνεσθαι τὸ συμπέρασμα, ἀποφατικῆς κειμένης προτάσεως. οὕτως δὲ καὶ ἐπὶ τῆς μείζονος ἀναγκαίας καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος ἐνδεχομένης ἐπὶ μέρους ἀποφατικῆς καὶ τὸ ἀμφοτέρας τὰς ἀντιστροφάς: +

διὰ μ.

Ὅτι μὲν οὖν οἱ ἐν τούτοις τοῖς σχήμασι συλλογισμοὶ τελειοῦνται διὰ τῶν ἐν πρώτῳ σχήματι καθόλου συλλογισμῶν: +

Λέγει μὲν περὶ τῶν ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμῶν. ὑπομιμνήσκων ἡμᾶς τῶν δεδειγμένων· δέδεικται γὰρ ὅτι πάντες οἱ ἐν τοῖς σχήμασι τούτοις συλλογισμοὶ διὰ τοῦ πρώτου σχήματος τελειοῦνται, ἢ δεικτικῶς διὰ ἀντιστροφῶν προτάσεων ἢ ἐξ ὑποθέσεως διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. τὸ δὲ καθόλου προσέκειται· ἤτοι δηλωτικὸν τοῦ, ὅτι πάντες ἀνάγονται εἰς τοὺς ἐν τούτῳ τῷ καθόλου προσέκειται ἢ. συλλογισμούς· ἐδείχθησαν γὰρ τοῦ, ὅτι καὶ οἱ ἐπὶ μέρους ἐν πρώτῳ σχήματι συνάγοντες, ἐδείχθησαν τε αὖ ἀναγόμενοι εἰς τοὺς διὰ τοὺς καθόλου τοῦ πρώτου. διὰ τοῦ, πρῶτον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς εἰς τοὺς ἐν τῷ δευτέρῳ διὰ τοὺς αὐτῶν διὸ

καθόλου προτάσεων ἀναχθῆναι. τὸ δὲ ἐν τούτοις πάντες αὐτοτελοῦνται καὶ τε-
λειοῦνται διὰ τούτων, ἐξ ὧν τὸ εἶναι ἔχουσιν, ἢ τὸ καθόλου νῦν εἶπεν ἀντὶ
τοῦ ἁπλῶς· καθόλου γὰρ πάντες, καὶ ἁπλῶς πάντες τελειοῦνται διὰ τῶν
ἐν τῷ πρώτῳ σχήματι συλλογισμῶν· καὶ ἔστιν αὐτὸ λεγόμενον τοιοῦτον· τελειοῦν-
ται δὲ καθόλου, διὰ τῶν ἐν τῷ πρώτῳ σχήματι συλλογισμῶν:

ὅτι δὲ ἁπλῶς πᾶς συλλογισμὸς οὕτως ἕξει, νῦν ἔσται φανερόν:

Η πρόθεσις αὐτῷ δεῖξαι, ὅτι μηδεὶς συλλογισμὸς ἔξω τῶν εἰρημένων ἐστὶ
τριῶν σχημάτων· ἀλλὰ πᾶς ἔν τινι τῶν σχημάτων ἐστὶ τούτων. οὕτω γὰρ ἂν
εἴη σῶα ἀποδεικνύμενον καὶ τὸ, ὅτι πᾶς συλλογισμὸς, εἰς τοὺς διὰ τοὺς ἐν τῷ
πρώτῳ σχήματι τοὺς ἐκ καθόλου προτάσεων ἀμφοτέρων ἀνάγεται. τὸ δ'
ἁπλῶς πᾶς συλλογισμὸς οὕτως ἕξει, ἤτοι λέγεται ὅτι οὕτως ἕξει, ὡς ἐξη-
ρίθμηται δεδειγμένοι καὶ κατελέξαμεν τοὺς καθ' ἕκαστον σχῆμα δεικνῦντας
συλλογισμούς. εἴ τις γάρ τις τούτων ἔξω ἐστὶ τῶν εἰρημένων ἡμῖν, ἢ πᾶς ὁ συλλο-
λαμβανόμενος. τοῦτο δὲ δειχθήσεται, ἂν δειχθῇ μηδεὶς ἔξω τῶν τριῶν
σχημάτων τῶν ἐκτεθέντων γινόμενος. εἰ γὰρ πάντων μὲν ὁ γινόμενος ἐν τούτοις,
οἱ δ' ἐν τούτοις εἰσὶν οἱ ἐκτεθέντες, πᾶς ὁ γινόμενος συλλογισμὸς εἴη ἂν
ἐν τούτοις οἷς ἐξεθέμεθα. ἢ ἁπλῶς πᾶς συλλογισμὸς οὕτως ἕξει, ὡς ἀνά-
γεσθαι εἰς τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου: ἀνάγκη δὴ πάντα συλ-

λογισμὸν καὶ πᾶσαν ἀπόδειξιν ἢ ὑπάρχον τι ἢ μὴ ὑπάρχον δεικνύειν.

Δεικνὺς ὅτι πᾶς συλλογισμὸς τῶν εἰρημένων τις ἐστὶ καὶ ἔν τινι τῶν τριῶν σχημάτων,
διαιρεῖ τῶν δεικνυμένων συλλογιστικῶς πρῶτον ποιεῖται καὶ οὕτως ἀναγκα-
τὸν κατὰ τῆς διαιρέσεως, δείκνυσιν μηδὲ ὁμοιωμένον ἄλλως δειχθῆναι, εἰ μὴ διά
τινος τῶν προειρημένων τριῶν σχημάτων, καὶ τῶν ἐν τούτοις συζυγιῶν. τοῦτο
γὰρ δειχθέντος, ἀποδειχθὲν ἂν εἴη τὸ προκείμενον. λαμβάνει δὴ πᾶσαν
ἀπόδειξιν καὶ πάντα συλλογισμόν· κοινότερον νῦν τῷ τῆς ἀποδείξεως
ὀνόματι χρώμενος. ἢ ὑπάρχον τι τινὶ δεικνύναι, ἢ μὴ ὑπάρχον· καὶ
ἑκάτερον τούτων, ἢ καθόλου· ἢ κατὰ μέρος. ἢ γὰρ παντὶ ὑπάρχειν, ἢ
μηδενὶ δείκνυσιν ὁ συλλογιζόμενος· τοῦτο γὰρ τὸ καθόλου· ἢ τινὶ ὑπάρ-
χειν, ἢ μὴ παντί· τοῦτο γὰρ τὸ ἐπὶ μέρους. ἀπὸ δὲ ὅτι τὸ δεικνύμενον
τοῦτο ὑπὸ συλλογιστικῶς, ἐξῆς παρατίθεται καὶ τοὺς τρόπους τῶν δεικ-νύων.

λέγων· εἴτε δεικτικῶς εἴτε ἐξ ὑποθέσεως· δεικτικῶς μὲν λέγων τοὺς κατη-
γορικούς· καὶ διὰ οὐδεμιᾶς ὑποθέσεως, ἀλλὰ τὸ προκείμενον, αὐτόθεν
τε αὐτὸ δεικνύντας· οὐ γὰρ χρῶνται τῷ κατηγορικῷ ὀνόματι ἐπὶ τούτου
τοῦ τρόπου τῆς δείξεως, ἀλλὰ τῷ δεικτικῷ· καὶ κατηγορικὸν δὲ εἰπεῖν αὐτοῖς,
τὸ καταφατικὸν λέγειν. ἐξ ὑποθέσεως δέ, τοὺς ὑποθέντας τινὰ θέντας
ἐν τῇ δείξει καὶ ὑποθέσει προσχρωμένους προλαβοῦσι· [illegible]· ἢ καὶ ἁπλῶς
δεικτικῶς ὅ τι καὶ ἐν τοῖς ἐξ ὑποθέσεως τὸ συλλογιστικῶς δεικνύμενον,
εἰ ὑπάρχειν τινὶ ἢ μὴ ὑπάρχειν δείκνυται καὶ τούτων ἑκατέρου· ἢ καθό-
λου καὶ ἐν μέρει διὰ τούτων δείκνυται. φησὶ δέ, τοὺς ἐξ ὑποθέσεως μέρος
εἶναι καὶ τῶν διὰ ἀδυνάτου δεικνυμένους ἡμῖν, εἴπερ ἐστὶ
τὸ ἐξ ὑποθέσεως, καὶ διὰ τὸ ἐξ ὑποθέσεως καλεῖται· καὶ γὰρ οἱ διὰ
ἀδυνάτου ὑποτιθέντες τὸ ἀντικείμενον οὗ βουλόμεθα δεῖξαι, πρὸς
τοῦτο τὸν συλλογισμὸν ποιούμεθα· δεικνύντες ἀδύνατον αὐτό. προηγουμέ-
νως συλλογιζόμενοι καὶ δεικνύντες τὸ συμβαῖνον ἀδύνατον, καὶ τὸ συμ-
βαῖνον δὲ καὶ κατασκευάζοντες ἀληθὲς εἶναι τὸ προκείμενον.
περὶ μὲν οὖν τῶν ἐξ ὑποθέσεως, ὕστερον ποιήσεται τὸν λόγον. ἀκόλου-
θος γὰρ ὁ περὶ ἐκείνων λόγος τούτοις. πρῶτον δέ, τοὺς κατηγορικούς τε
καὶ δεικτικοὺς ὥς φησι δεικνύντας, δείκνυσι πάντας διὰ τῶν προκειμέ-
νων μὲν σχημάτων· ἐκ γὰρ τούτων φησὶν ἔσεσθαι γνώριμον καὶ τὸ τῶν
ὑποθετικῶν:· +
ἀλλ' εἰ δέοι τὸ α κατὰ τοῦ β συλλογί-
σασθαι ὑπάρχον ἢ μὴ ὑπάρχον·

Τουτέστιν αὐτὸ προκείμενον ἢ μὲν καταφατικὸν συμπέρασμα ποιῆσαι
τοῦ α πρὸς τὸ β· ἢ ἀποφατικόν· τὸ γὰρ δεικτικὸν τοιοῦτον, ἀναγκαῖον μέν τι
λαμβάνειν κατά τινος κατηγορούμενον· μηδενὸς γὰρ λαμβανομένου, οὐδὲν
δειχθήσεται. ἀλλ' οὐδὲ ἓν ὑποθετικῶς ληφθὲν συλλογισμός, εἰ δεικτι-
κὸς· ἀλλ' οὐδὲ ἓν ἄλλο τι ἄλλου κατηγορούμενον ληφθῇ· μὴ συναπτικὸν δὲ
πρὸς τὸ α ἢ τὸ β, οὐδ' ὅλως περὶ τούτων ὁ λόγος ἔσται· ἀλλ' ἀνάγκη οὐδὲ τὸ α
καὶ τὸ τοῦ β λαμβανομένου κατηγορεῖσθαι· εἰ μὲν γὰρ ὃ βουλόμεθα δεῖ-
ξαι τοῦτο λαμβάνοντες, ὅπερ ἐστὶ τὸ ἐν ἀρχῇ λαμβάνειν· τὸ γὰρ τὸ ἐν ἀρχῇ
ζητούμενον, οὐχ ὡς ζητούμενον· ἀλλ' οὕτως ἔχον λαμψόμεθα· καὶ τὸ ἄλλο

ἄρα τὸ α, ἢ ἄλλο κατὰ τοῦ α· ἂν μὲν οὖν τὸ α κατὰ τοῦ γ κατηγορήσωμεν, τὸ δὲ γ κατὰ μηδενός· μηδὲ ἄλλο κατὰ τοῦ γ· ἀλλὰ μηδὲ κατὰ τοῦ α τι ἕτερον, οὐδένα συλλογισμὸν ὅλως ποιήσομεν· λείπεται δὲ τὸ μὴ διὰ τὸ α κατὰ τοῦ ἄλλου. τοιαύτη γὰρ ἡ τοῦ β σχήματος λέξις. οὐ γὰρ γίνεται συλλογισμός, ἑνὸς τοῦ ληφθέντος τοῦ τὸ ὑπάρχειν σημαίνοντος· τὸ γὰρ ἓν καθ᾽ ἑνὸς ληφθῆναι, οὐδὲν συμβαίνει ἐξ ἀνάγκης. βούλεται γὰρ ἅπαν ὅτι συλλογιστικῶς οὐδὲν συμβαίνει μιᾶς ληφθείσης προτάσεως. ἔστι γὰρ ὁ συλλογισμὸς λόγος ἐν ᾧ τεθέντων τινῶν· ἀλλ᾽ οὐ τεθέντος ἑνός· δεῖ ἄρα καὶ ἑτέρας προτάσεως, ἵνα δειχθῇ συλλογιστικῶς τινὶ ὑπάρχον ἢ μὴ ὑπάρχον· ἐὰν μὲν οὖν προσληφθῇ πάλιν τὸ α κατά τινος ἄλλου· φέρε εἰπεῖν τοῦ δ, ἀποφατικῶς ἔσται συλλογισμὸς ἐν δευτέρῳ σχήματι τοῦ γ πρὸς τὸ δ· ἂν δὲ ἄλλο τι κατὰ τοῦ α φέρε εἰπεῖν τὸ δ συλλογιστικῶς, ἔσται συλλογισμὸς ἐν πρώτῳ σχήματι τοῦ δ πρὸς τὸ γ· ἂν δὲ κατὰ τοῦ γ ὡς τὸ α οὕτως καὶ ἄλλο τι συλλογιστικῶς φέρε εἰπεῖν τὸ δ, ἔσται συλλογισμὸς ἐν τρίτῳ σχήματι τοῦ α πρὸς τὸ δ· διὸ καὶ εἶπεν· οὐδαμῶς κωλύσει τοῦ οὕτως λαμβανομένων γίνεσθαι συλλογισμόν· οὐ μὴν τοῦ β ἢ τοῦ α δειχθήσεται κατηγορούμενον ὃ προείρηται. ἢ ὅλως ἄλλο τι τῶν προειρημένων· τὸ μὴ δὲ τῇ ἀρχῇ ληφθῆναι τὸ β ἐν ταῖς εἰρημέναις προτάσεσι· μηδὲ συναφθῆναι αὐτῶν τῶν ὅρων· ἀλλ᾽ οὐδ᾽ ἂν ἕπεσθαι λαμβανομένως τὸ α κατὰ τοῦ γ· οὕτως τὸ γ κατ᾽ ἄλλου· κἂν δ᾽ ὅτι πάλιν κατ᾽ ἄλλου· καὶ γὰρ οὕτως πάλιν δύο συλλογιστικῶς ληφθῶσιν αἱ προτάσεις· ἔσται μὲν ἐν πρώτῳ σχήματι τὸ α τοῦ ἐσχάτου ληφθέντος κατηγορούμενον, οὐ μὴν τοῦ β. ἂν μὴ τοῦ τὸ α ᾖ εἰλημμένον· ὅλως γὰρ ἂν μὴ ᾖ πρὸς τὸ β συναπτόμενός τις ὅρος ὡς ὑπὸ πρὸς τὸ α, οὐδεὶς ἔσται συλλογισμὸς τοῦ α πρὸς τὸ β· ὅπερ ἦν δεῖξαι προκείμενον· οὐδεὶς γὰρ γίνεται συλλογισμὸς ἄλλου πρὸς ἄλλο, ἂν μὴ ληφθῇ τις αὐτῶν μέσος ὅρος· ὃς πρὸς ἀμφότερα τὰ ἄκρα ἂν προκειμένην ποιήσασθαι τὴν δεῖξιν, ἔξει δὲ σχέσιν τινά, ὡς ἀμφοτέροις συναφθῆναι· ἢ τῷ κατηγορεῖσθαι ἀμφοτέρων συλλογιστικῶς, ἢ τῷ ὑποκεῖσθαι ἀμφοτέροις, ἢ τῷ τοῦ μὲν κατηγορεῖσθαι· τῷ δὲ ὑποκεῖσθαι. καθόλου μὲν γὰρ ὁ συλλογισμὸς ἐκ προτάσεών ἐστιν ἐχουσῶν μέσον ὅρον

τινὰ κοινόν· ὁ δὲ πρὸς ὡρισμένον συλλογισμόν, ἐκ τῶν πρὸς τοῦτο συ-
ναπτουσῶν προτάσεων· αἱ δ' αὖ καὶ πρὸς τοῦτο συναπτούσαι πῶς ἄλλα-
μβανόμεναι προτάσεις, συλλογισμὸν μὲν οὐδὲν κωλύουσι γενέσθαι, οὐ μὴν
πρὸς τοῦτο· εἰ γὰρ δὴ προκείμενον πρὸς τὸ α ποιήσασθαι τινὰ συλλογισμόν.
διὰ τὸ πρῶτον ἄκρον, ὅρον ληφθῆναι κατά τι τῶν τριῶν σχημάτων, συνα-
πτόντα πρός τινα μέσον καὶ ἕτερον ἄκρον· ἄλλως γὰρ οὐκ ἂν γένοιτο πρὸς
αὐτὸ συλλογισμός· οἷον εἰ δὴ προκείμενον περὶ ψυχῆς τι συλλογίσασθαι.
ἀντιλαβόμενοι ὅτι πᾶσα ψυχή, καὶ τὸ ἀφυσόν, πᾶν τὸ καὶ τὸ ἀφυσόν,
αἱρετόν ποιήσομεν τινὰ συλλογισμὸν πρὸς τὸ προκείμενον· οὐ δεῖ δὲ
ἐλάττονα ἔσται πρὸς τὸ προκείμενον, καὶ λαβόμεν πᾶσα ψυχὴ
κινητός· πᾶσα δὲ κίνησις ἀτελής· οὐ γὰρ ὁ μὲν ὡρισμένος ὁ κατηγο-
ρούμενος· πάλιν δέ, ὁ τοῦδε τινὸς πρὸς τόδε, συλλογισμὸς ἀμφοτέρων
ὡρισμένων, ἐκ τῶν πρὸς τόδε καὶ τόδε συναπτουσῶν προτάσεων· εἰ δὴ
προκεῖται τοῦ α πρὸς τὸ β ποιήσασθαι συμπέρασμα, δεῖ καὶ πρὸς τὸ β
συναπτούσας προτάσεις μὴ μόνον πρὸς τὸ α, ὡς ἔχοιεν ἂν καὶ λαμβανό-
μεναι· ἀδύνατον γὰρ συναπτὰν πρός τι πρότασιν τινὰ μηδενὸς τούτων
μήτε ὑποκειμένου λαμβανομένου, μήτε κατηγορουμένου αὐτοῦ.
ἀλλ' οὐδὲ τοῦ α πρὸς τὸ β γένοιτο ποτὲ συμπέρασμα, εἰ μηδὲν
κοινὸν αὐτῶν ληφθείη, ὃ συνάψει αὐτά· ἀλλ' ἑκατέρου αὐτῶν ἴδιά
τινα· ἢ κατάφασις ἢ ἀπόφασις. εἰ δὴ μόνως μὲν γένοιτο ἂν
συλλογισμὸς τοῦδε τινὸς πρὸς τόδε τι, εἰ κοινόν τι μέσον αὐτῶν λη-
φθείη· ἡ δὲ τοῦ μέσου σχέσις πρὸς τὰ συλλαμβανόμενα τριχῶς γίνεται.
ἢ γὰρ ἐν μέσῳ τίθεται αὐτῶν τῶν ἄκρων, τοῦ ὑποκείμενος αὐτῶν, τοῦ δὲ κα-
τηγορούμενος, ἢ ἀμφοτέρων κατηγορεῖται· ἢ ἀμφοτέροις ὑποκεῖ-
ται· ἢ παρὰ ταύτας οὐχ οἷόν τε αὐτὸ σχέσιν ἢ θέσιν πρὸς τὰ συλ-
λαμβανόμενα ἔχειν· αἱ δὲ προειρημέναι θέσεις αὐτοῦ, ποι-
οῦσι τὰ τρία σχήματα. φανερὸν ὡς πᾶς ἁπλῶς συλλογισμός, διά
τινος τῶν τριῶν γίνεται σχημάτων, ὧν εἰρήκαμεν· ἢ καὶ ταῖς ἐν ἑκά-
στῳ συλλογιστικαῖς συζυγίαις πάσαις· πᾶς ἄρα κατηγορικὸς συλλογισμός,
ἐξ ὧν εἰρήκαμεν ἔσται συλλογισμῶν· ἐπεὶ δὲ καὶ δι' ἐξ τοῦτο, ἐπί

νεται· ὅτι γὰρ αὐτὸ ἐλλιπές ἐστι καὶ διὰ πλειόνων συνάπτει πρὸς τὸ βγ· καὶ γὰρ ἂν μὴ
δι' ἑνὸς ὅρου μέσου τὸ α τῷ β συνάπτῃ· ἀλλὰ διὰ πλειόνων· ἀνάγκη ἢ τῶν
πλειόνων μέσων λήψεις κατά τι τῶν τριῶν σχημάτων ἔσται· ἀλλ' ἔστω
ἐπὶ ὑποθέσεως ἢ τὰ μέσα πλείω εἰλημμένα· ὥς εἶναι τὸ α κατὰ τοῦ γ·
τὸ γ κατὰ τοῦ δ· τὸ δ κατὰ τοῦ ε· τὸ ε κατὰ τοῦ β ἐν πρώτῳ σχήματι
συλλογισμὸς τοῦ α πρὸς τὸ β· εἰ δὲ ἡ τὸ γ κατὰ μὲν τοῦ α ἀποφατικῶς
κατὰ δὲ τοῦ δ καταφατικῶς· ἐν δευτέρῳ σχήματι τὸ α κατ' οὐδενὸς
τοῦ δ συναχθήσεται· εἰ δὲ προσλαμβάνομεν τὴν α δ πρότασιν καθόλου
οὖσαν ἀποφατικήν· τὸ δ παντὶ τῷ β· συναχθήσεται τὸ α οὐδενὶ τῷ β
ἐν δευτέρῳ σχήματι· διὰ μέσων τοῦ τε γ καὶ τοῦ δ· εἰ δέ τι τὸ γ κατὰ
παντὸς τοῦ δ· καὶ πάλιν τὸ β κατὰ παντὸς τοῦ δ, γίνεται ἐν τρίτῳ σχήματι.
τὸ β κατά τινος τοῦ γ· εἰ δὴ προσλαμβάνομεν τὴν βγ πρότασιν ἐπὶ μέρους
καταφατικῆς· τὸ α παντὶ τῷ γ· συναχθήσεται τὸ α τινὶ τῷ β· εἰ δέ γε
τὸ α καὶ τὸ β κατὰ παντὸς τοῦ δ· καὶ πάλιν τὸ δ κατὰ τοῦ γ παντός· γίνε-
ται τὸ α κατά τινος τοῦ β διὰ πλειόνων μέσων· διὰ γὰρ τῶν δ γ ἐν τρίτῳ
σχήματι, ἔχεις δὲ δείκνυσθαι καὶ τοὺς ἐξ ὑποθέσεως γινομένους συλλο-
γισμοὺς διὰ τούτων τινὸς τῶν σχημάτων γινομένους· καὶ προχειρίζε-
ται τοὺς ἐξ αὐτῶν, τοὺς διὰ ἀδυνάτου καὶ δείκνυσιν· πῶς καὶ οὗτοι ἐξ ὑπο-
θέσεώς εἰσι· καὶ διά τινος τῶν τριῶν σχημάτων συνάγουσιν· ἐξ ὑπο-
θέσεως μὲν οὖν εἰσίν· ὅτι οὐ βουλόμενοι δεῖξαι τὸ ἀντικεί-
μενον ὑποτίθενται· συλλογιζόμενοι δέ τι διὰ τούτου καὶ ἄλλης τινὸς
ἀληθοῦς προτάσεως· ἀδύνατον δεικνύουσι· διὰ τοῦτο ἀναιροῦσι μὲν
τὴν ὑπόθεσιν· ὡς αἰτίαν ἀναδεικνύντες τοῦ συμπεράσματος· τιθέασι δὲ αὐ-
τῆς τὸ ἀντικείμενον· οὐκέτι τοῦτο συλλογιζόμενοι· πάντες γὰρ οἱ δε-
ικτικοὶ συλλογισμοὶ ἐδείχθησαν διά τινος τῶν τριῶν σχημάτων γινόμενοι·
ὥστε καὶ ὁ αὐτὴν δεῖξας ἀδύνατον ἀπαγωγῇ συλλογισμὸς διά τινος ἂν γένοιτο
τῶν τριῶν σχημάτων ὢν κατηγορικός τε καὶ δεικτικός· ὁ γὰρ διὰ ἀδυνά-
του δεικνὺς, συλλογίζεται μὲν δεικτικῶς τὸ ψεῦδος, ὥσπερ· ὃ δὲ
βούλεται δεῖξαι καὶ ὃ ἐξ ἀρχῆς αὐτῷ πρόκειται· τῷ διὰ συλλογισμοῦ
δεικτικοῦ τὸ ἀντικείμενον ὑποθέσθαι, ἀδύνατον οὖν δεῖξαι τὴν τοῦ τοῦ δύναι

γ ρέσθαι

καὶ ἐπὶ τούτων δείκνυσι· βουλόμενος γάρ τις δεῖξαι ὅτι μηδέν ἐστιν ἄπτερον πτηνόν, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ὑποτίθεμενος ὃ βούλεται δεῖξαι τὸ ἀντικείμενον, τουτέστι τό τινα ἄπτερον πτηνὸν εἶναι. τούτῳ προσλαβὼν ἀληθῆ ἢ ὁμολογούμενον πρότασιν τὴν πᾶν τὸ πτηνὸν πτέρυγας ἔχει, συλλογίζεται διὰ κατηγορικοῦ συλλογισμοῦ, ἐν πρώτῳ σχήματι, τό, τινὰ ἄπτερον πτέρυγας ἔχειν· καὶ ὁ μὲν συλλογισμὸς ὁ γινόμενος διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οὗτος. τὸ δὲ ἐξ ἀρχῆς προκείμενον τό, μηδὲν ἄπτερον πτηνὸν εἶναι, οὐ διὰ συλλογισμοῦ δείκνυται· ἀλλὰ διὰ τὸ τοῦ ἀδυνάτου συμπέρασμα καὶ ἀναιρεῖσθαι τὴν ὑποτεθεῖσαν πρότασιν· ἧς τὸ ἀντικείμενον ἦν τὸ δειχθῆναι προκείμενον. καὶ ἀναιρεῖσθαι μὲν ἐκείνην· τίθεσθαι δὲ αὐτήν· τουτέστι τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως ἀληθὲς εἶναι. πάλιν τις βουλόμενος δεῖξαι ὅτι μὴ ἔστι κίνησις διὰ κενοῦ· διὰ ἀδυνάτου ὑποτίθεται μὲν ἀναγκαίως κίνησιν διὰ κενοῦ· δεῖξαι δὲ καὶ συλλογισάμενος τὸ ἀδύνατον διὰ τῶν ὑποθέσεων, ἀνῄρηκεν αὐτό, τουτέστι τὸ προκείμενον δείκνυσι. γὰρ ὅτι εἰ ἔστι διὰ κενοῦ κίνησις, ἰσοταχῶς τὰ βαρύτερα τοῖς κουφοτέροις κινηθήσεται· διὰ κατηγορικοῦ συλλογισμοῦ οὕτως. ἐν ᾧ μηδέν ἐστι τὸ διαιρούμενον ὑπὸ τῶν διωθουμένων, ἐν τούτῳ ἀνάγκη πάντα τὰ κινούμενα ἰσοταχῶς κινεῖσθαι. ἐν δὲ τῷ κενῷ οὐδέν ἐστι τὸ διαιρούμενον ὑπὸ τῶν διωθουμένων. ἐν τῷ κενῷ ἄρα, ἀναγκαίως πάντα τὰ κινούμενα ἰσοταχῶς κινεῖσθαι. ἀλλὰ μὴν τοῦτο ἀδύνατον· ἀδύνατον ἄρα ἡ τοιαύτη κίνησις γενέσθαι διὰ κενοῦ. οὐκ ἄρα ἔστι κίνησις διὰ κενοῦ. καὶ ἐν τούτῳ δὴ τῷ λόγῳ διὰ μὲν συλλογισμοῦ κατηγορικοῦ, τὸ ἀδύνατον δέδεικται· τὸ δὲ μὴ εἶναι κίνησιν διὰ κενοῦ, τῇ τῆς ὑποθέσεως ἀναιρέσει δέδεικται:- +

οἷον ὅτι ἡ διάμετρος τῇ πλευρᾷ, διὰ τὸ γίνεσθαι τὰ περιττὰ ἴσα τοῖς ἀρτίοις, συμμέτρου τεθείσης.

Παραδείγματι αὐτὸς ἐχρήσατο τῆς διὰ ἀδυνάτου δείξεως, τῷ ἐπὶ τῆς διαμέτρου δεικνυμένῳ. ὡς ὁ βουλόμενος καὶ κατασκευάζων ὅτι διὰ τοῦ ἀδυνάτου δεῖξαι χρώμενος δείκνυσιν· ὁ γὰρ συλλογίζεται ὅτι ἀσύμμετρος ἡ διάμετρος, ὅ, οὕτω δείκνυσιν. ὅπερ ἐστὶν ὃ βούλεται δεῖξαι. ἀλλὰ τοῦ ἀντικειμένου ὑποτεθέντος τοῦ σύμμετρον αὐτὴν εἶναι τῇ πλευρᾷ, δείκνυσι διὰ συλλογισμοῦ κατηγορικοῦ τοῦ ὑποτιθεμένου γίνεσθαι τὰ περιττὰ τοῖς ἀρτίοις ἴσα· ὅπερ ἀδύνατον

ἀναιρεῖται μὲν ἡ ὑπόθεσις ἢ τοῦτο ἠκολούθησεν· ἡ δὲ τῆς ταύτης ἀναιρέσεως τὸ
ἀντικείμενον αὐτῆς καὶ διὰ τοῦτο δείκνυται τὸ μὴ εἶναι σύμμετρον τὴν διάμετρον
τῇ πλευρᾷ· ἐπειδὴ καὶ τὸ ἀπαντὸς θάτερον τῆς ἀντιφάσεως· ὅ ἐστιν ἐξ ἀρχῆς
προκείμενον· ὁ δὲ συλλογισμὸς, τὸ περιττὰ τοῖς ἀρτίοις ἴσα γίνεσθαι ἂν τεθῇ
ἡ διάμετρος σύμμετρος τῇ πλευρᾷ, τοιοῦτος· καὶ ἔστω τετράγωνον χωρίον·
τὸ α β γ δ· καὶ ἔστω διάμετρος αὐτοῦ ἡ βγ· λέγω ὅτι ἀσύμμετρός ἐστιν ἡ βγ διά-
μετρος τῇ αβ πλευρᾷ· εἰ γὰρ λόγον πρὸς αὐτὴν ὃν ἀριθμὸς πρὸς ἀριθμόν·
ἔχομεν γὰρ παρὰ Εὐκλείδῃ ἐν τῷ δεκάτῳ τῶν στοιχείων· δεδειγμένον τοῦτο·
ὅτι τὰ σύμμετρα μεγέθη πρὸς ἄλληλα λόγον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν.
καὶ ἔστι τὸ ἀντίστροφον θεώρημα αὐτὸ δεικνύμενον τοῦτο. ἔστω δὴ ὡς ἡ βγ διάμετρος πρὸς
τὴν αβ πλευράν, ὁ ε ἀριθμὸς πρὸς τὸν ζ· καὶ εἰλήφθωσαν οἱ ἐλάχιστοι
ἀριθμοὶ τῶν τὸν αὐτὸν τούτοις λόγον ἐχόντων πρὸς ἀλλήλους· οἱ γὰρ ἐλάχιστοι ἀριθμοὶ
τῶν τὸν αὐτὸν λόγον ἐχόντων, πρῶτοι πρὸς ἀλλήλους εἰσί· δέδεικται δὲ καὶ τοῦτο,
ἐν τῷ ἑβδόμῳ τῶν στοιχείων Εὐκλείδου· εἰσὶ δὲ πρῶτοι πρὸς ἀλλήλους, οἱ μο-
νάδι μόνῃ μετρούμενοι· πεπολυπλασιάσθω ἑκάτερος τῶν ε ζ· καὶ ἔστω ὁ μὲν
ἀπὸ τοῦ ε ἐφ' ἑαυτὸν γενόμενος πολυπλασιασθείς· ὁ δὲ ἀπὸ τοῦ ζ ὁ θ· τετρά-
γωνοι ἄρα εἰσὶν οἱ η καὶ θ· καὶ πρῶτοι καὶ αὐτοὶ πρὸς ἀλλήλους· δέδεικται γὰρ καὶ
τοῦτο ἐν τῷ ἑβδόμῳ τῶν στοιχείων· ὅτι ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους
ὦσι· καὶ πολυπλασιασθεὶς ἑκάτερος αὐτῶν ποιήσῃ τινά, οἱ γενόμενοι ἐξ αὐ-
τῶν, πρῶτοι καὶ αὐτοὶ πρὸς ἀλλήλους ἔσονται· ἐπεὶ οὖν ἐστιν ὡς ἡ βγ διάμετρος
πρὸς τὴν αβ πλευράν, οὕτως ὁ ε ἀριθμὸς πρὸς τὸν ζ· ὡς δὲ ὁ ε πρὸς
τὸν ζ, οὕτως καὶ ὁ η πρὸς τὸν θ· καὶ ὡς τὸ ἀπὸ τῆς βγ ἀπὸ διαμέτρου τετραγώνου
πρὸς τὸ ἀπὸ τῆς αβ πλευρᾶς, οὕτως ἐστὶ καὶ ὁ ἀπὸ τοῦ η πρὸς τὸν ἀπὸ τοῦ θ·
ἔστι δὲ οὕτοι· διπλάσιον δὲ τὸ ἀπὸ τῆς διαμέτρου τετράγωνον, τοῦ ἀπὸ τῆς
πλευρᾶς· διπλάσιος ἄρα καὶ ὁ β· ὁ δὲ καὶ ὡς ἀριθμὸς τοῦ η ἀριθμοῦ· ἄρτιος ἄρα
ὁ η· πᾶς γὰρ ὁ διπλάσιός τινος, ἄρτιος· εἰς δύο ἴσα διαιρούμενος, ἀλλὰ καὶ ὁ ἥ-
μισυς αὐτοῦ, ἄρτιος ἔσται· τῶν γὰρ τετραγώνων ἀριθμῶν τῶν, εἰς ἴσα διαιρουμένων,
καὶ τὸ ἥμισυ, ἄρτιά ἐστιν· ἄρτιος ἄρα ἐστὶ καὶ ὁ ε· ἥμισυς ὢν τοῦ η τετραγώνου
ὄντος· οὐκ ἔστι δὲ καὶ περιττός· πρῶτοι γὰρ ἦσαν πρὸς ἀλλήλους ὁ ε καὶ ὁ ζ· ἀδύ-
νατον δὲ πρώτους εἶναι πρὸς ἀλλήλους, τοὺς ἀρτίους· οἱ γὰρ ἄρτιοι οὐ μετροῦνται
μονάδι.

μόνῃ κοινωνοῦσι μέτρῳ· ὅ ἴδιόν ἐστι τῶν πρώτων· δέδεικται δὲ ἤτοι ἀμφοτέρους ἢ τὸν ἕτερον αὐτῶν περιττὸν εἶναι· ἐδείχθησαν δὲ καὶ ἄρτιοι ἀμφότεροι, διὰ τῶν ὑποθέσεων· τὰ περιττὰ ἄρα ἄρτια ἔσται ὑποτεθείσης τῆς διαμέτρου εἶναι τῇ πλευρᾷ συμμέτρου· ὅπερ ἀδύνατον· ἐπεὶ δὴ τῆς μεταξὺ ὡς ταύτης, ὁ μὲν συλλογισμὸς ἐγένετο τοῦ τὰ περιττὰ τοῖς ἀρτίοις εἶναι ἴσα· ὅ ἐστι ψεῦδος· τὸ δὲ εἶναι σύμμετρον τὴν πλευρὰν τῇ διαμέτρῳ, διὰ τὴν ὑπόθεσιν δείκνυται· ὅτι γὰρ ὑποτεθέντος τοῦ ἀντικειμένου, τοῦτο ἀδύνατον καὶ ἀκολουθοῦν ἐδείχθη διὰ συλλογισμοῦ· τὸ τῆς ὑποθέσεως ἀναιρετικὸν ἐτέθη. τὸ δεῖν αὐτῶν θάτερον ἀληθὲς εἶναι· τοῦτο γάρ ἐστι τὸ διὰ τῆς ἀντιφάσεως· ἀδύνατον ἐπὶ τῆς ἀδυνάτου ἀπαγωγῆς ὁ γινόμενος τοῦ ψεύδους συλλογισμός, δεικτικός ἐστι, τουτέστι κατηγορικὸς καὶ διά τινος τῶν τριῶν περαίνεται σχημάτων· ἐν αὐτοῖς τοῖς σχήμασι τοῖς τρισί· καὶ οἱ διὰ ἀδυνάτου συλλογισμοὶ μικτοί τινες ὄντες τῶν ἐξ ὑποθέσεως·

ὡσαύτως δὲ καὶ οἱ ἄλλοι πάντες οἱ ἐξ ὑποθέσεως.

Δείξας τοὺς διὰ ἀδυνάτου συλλογισμοὺς πῶς ἐξ ὑποθέσεως ὄντας, ὑπὸ τὸν τοῖς προειρημένοις τρισὶ σχήμασι, φησὶν ὁμοίως τούτοις καὶ τοὺς ἄλλους πάντας γίνεσθαι τοὺς ἐξ ὑποθέσεως. ὡς γὰρ ἐπὶ τῶν διὰ ἀδυνάτου ὁ συλλογισμὸς πρὸς τὸ μεταγίνεται· ὁ μεταλαβόντες ἀντὶ τοῦ βουλόμεθα δεῖξαι, τὸ ἀντικείμενον αὐτὸ ὑποτίθεμεν· καὶ δεικτικοὶ ἐξ ὧν τοῦτο ἀξιοῦσι τῶν κειμένων, ἐποιησάμεθα συλλογισμόν· οὕτω καὶ ἐπὶ τῶν ἄλλων φησὶ τῶν ἐξ ὑποθέσεως γίνεσθαι. ὁ μὲν γὰρ συλλογισμὸς πρὸς τὸ μεταλαμβανόμενον γίνεται δεικτικός· αὐτὸ μεταλαμβανόμενον λέγων ἐκ δευτέρου ὃ δεῖξαι καὶ ὁ συλλογισμὸς γίνεται· ὅ ἐστι ποτὲ μὲν τὸ ἀντικείμενον τοῦ προκειμένου, ὡς ἐπὶ τῆς ἀδυνάτου δείξεως, ποτὲ δὲ τὸ ἐξ ὁμολογίας ληφθέν· ποτὲ δὲ ὃ οἱ νεώτεροι προσλαμβανόμενον λέγουσιν· ὁ μὲν οὖν συλλογισμὸς τούτου γίνεται· τὸ δὲ προκείμενον δεῖ ἐξ ἀρχῆς δεῖξαι, ἢ διὰ ὁμολογίας τινὸς τεθείσης, ἢ διά τινος ἄλλης ὑποθέσεως· ὑποθέσεις γὰρ καὶ ὁμολογία· οἷον ζητουμένου εἰ τὰ ἀντικείμενα ὑπάρχειν δύναται, ἢ οὔ· ἂν συντεθῶμεν καὶ ὁμολογήσωμεν ἀλλήλοις, ὡς ἐφ' ὅσα τῶν ἀντικειμένων, οὕτως ἔχειν καὶ ἐπὶ πάντων· εἶτα τὰ ἐναντία προχειρισάμενοι, δείξαιμεν διὰ συλλογισμοῦ ὅτι τῷ αὐτῷ ἅμα σων ὑπάρχει· λαβόντες ὅτι τὰ ἐναντία ἀλλήλων ἐστὶ φθαρτικά· τὰ δὲ ἀλλήλων λχ

φθαρτὰ καὶ· οὐχ ὅτι ὄντα ζῷα ὑπάρχειν ἀλλήλοις τὰ ἄρα ἐναντία, οὐχ ὅτι ἐναντία ὄντα ὑ-
πάρχειν ἀλλήλοις· ὁ μὲν συλλογισμὸς κατηγορικὸς τε καὶ δεικτικὸς γέγονε· πρὸς
τὸ μεταληφθὲν ἀντικειμένου τούτων ἀρχῶν εἰς δεῖξιν προκειμένου· τῷ γὰρ κειμένῳ
ἐκκειμένῳ, εἰ τὰ ἀντικείμενα δυνατὸν ἅμα τῷ αὐτῷ ὑπάρχειν· μεταληφθὲν δὲ ἀντικειμένου,
τὰ ἐναντία· καὶ περὶ τούτων ἡ δεῖξις ἐγένετο καὶ ὁ συλλογισμός· τὸ δὲ ἐξ ἀρχῆς προ-
κείμενον, τὸ τοῦ δειχθέντος δεικτικῶς, ἐξ ὁμολογίας ἐτέθη· ἐπεὶ συνεθέμεθα
καὶ ὁμολογήσαμεν ὡς ἂν ἐφ᾽ ἑνὸς τῶν ἀντικειμένων δειχθῇ, οὕτως ἐπὶ πάντων
ἕξειν· οὐκ ἐδείχθη μὲν διὰ τοιαύτης ὁμολογίας, ἐπὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.
ἀλλὰ ψιλῆς τῆς τοῦ ὁμολογουμένου ὑποθέσεως· τοῦ δὲ τὸ προκείμενον δειχθῆναι
τοῦ συλλογισθέντος, ἑρμηνεύεται ἀδύνατον τῆς ἀντιφάσεως φυσικὰ αἴτια· διὰ ὑ-
ποθέσεως δὲ ἄλλης ὡς ἔφη· ἐπεὶ ἐν αὐτῇ καὶ οἱ νεώτεροι συλλογισμοὺς μόνους
βούλονται λέγειν· οὗτοι δ᾽ εἰσὶν οἱ διὰ τροπικοῦ ὡς φασὶ καὶ τῆς προσλήψεως γινό-
μενοι· τροπικοῦ ἢ συνημμένου ὄντος ἢ διεζευγμένου· ἢ συμπεπλεγμένου.
οὓς οἱ ἀρχαῖοι καλοῦσι μικτοὺς ἐξ ὑποθετικῆς προτάσεως καὶ δεικτικῆς τουτέστι
κατηγορικῆς· εἰ γὰρ εἴη ὑποκείμενον συνεχὲς καὶ συνημμένον τό, εἰ ἐπιστήμη
ἐστὶν ἡ ἀρετή, διδακτική ἐστιν ἡ ἀρετή· ἀλλὰ μὴν οὕτω ὅτι ἐπιστήμη ἐστὶν ἡ ἀρετή.
δεδειγμένον ἂν εἴη ὅτι καὶ διδακτή· οὕτως γὰρ ἂν προσληφθείη ὡς οὕτως ἔχον, ἀλλὰ δει-
χθὲν ὅτι ἐπιστήμη· ὁ μὲν οὖν συλλογισμὸς πάλιν αὐτῇ ἡ πρὸς τοῦτο, καὶ τοῦτον,
κατηγορικός· οἷον πᾶσα δὲ ἕξις ἀμετάπτωτος ἀπὸ ἀληθοῦς εἰς ψεῦδος, ἐπι-
στήμη· ἡ δὲ ἀρετὴ ἕξις ἀμετάπτωτος ἀπὸ ἀληθοῦς εἰς ψεῦδος· ἡ ἀρετὴ ἄρα
ἐπιστήμη· οὐδὲ γὰρ ἄλλως ἂν τεθείη ὅτι ἡ ἀρετὴ ἐπιστήμη ἐστί, διὰ συλλογισμοῦ,
εἰ μὴ διὰ κατηγορικοῦ συλλογισμοῦ, τὸ ἐξ ἀρχῆς δὲ ἦν τὸ κατασκευαζόμενον
διὰ τῶν ὑποθέσεων· ὑποτίθεται γὰρ οὕτως ἔχειν τό, εἰ ἡ ἀρετὴ ἐπιστήμη ἐστί,
διδακτικὴν αὐτὴν εἶναι· εἰ γὰρ ἦν τὸ προσλαμβανόμενον, δείξεως μὴ δεόμενον.
ἀλλὰ φανερὸν καὶ γνώριμον ὡς τὸ συνημμένον, οὐδὲ συλλογισμὸς ἂν ὁ λόγος
ἦν ὁ τοιοῦτος· οὐδὲ γὰρ χρείαν συλλογισμοῦ τινά, τῶν ἀρχῶν τῶν τοιούτων παρέ-
χεσθαι λόγον ὄντων· δεῖ γὰρ τὸν συλλογισμὸν δεικνύναι τὸ ἄδηλον τοῦ συλλογίσα-
σθαι οὐκ ἐστὶ γνώριμον· τὸ μὲν οὖν συνημμένον, ὡς γνώριμον αὐτοῖς ὑπο-
θετικοῖς ἀξιοπιστίας, λαμβάνεται καὶ τίθεται· ἐν οἷς γε οὕτως ἔχει.
λείπεται δὲ τὸ προσλαμβανόμενον· ἀμφισβητούμενον εἶναι καὶ δεόμενον
δείξεως.

ὁ δεικτικὸς συλλογισμὸς τοῦ τοιούτου τῶν ἀρχὴν ἔχει κατηγορικός ἐστι ἢ δεικτικός· ὥστε
ἐν τοῖς ὑποθετικοῖς τοῖς ἐκ τροπικοῦ συνημμένου συλλογισμοῦ, τὸ μὲν
κατασκευαζόμενον καὶ δεόμενον δείξεως, διὰ κατηγορικοῦ δείκνυται συλλο-
γισμοῦ· τὸ δὲ ἐξ ἀρχῆς προκείμενον, δείκνυται οὐ διὰ συλλογισμοῦ· ἀλλὰ
διὰ τῆς ὑποθέσεως τῆς ὑποτεθείσης, ὡς διὰ αὐτὴν τοῦ συνημμένου· οὐ δὲ
γάρ οἷόν τε τὸ μὴ γνώριμον δειχθῆναι ὅτι τόδε ἐστίν, ἢ τοιόνδε, ἢ ὅλως κα-
τασκευασθῆναί τι καὶ τῶν ἀκυρίων, ἃ μὴ διὰ κατηγορικοῦ συλλογισμοῦ·
καὶ τοσοῦτον ἔχει δείξεως διὰ τῆς συλλογιστικῆς, καθ᾽ ὃ διὰ κατηγορικοῦ
δειχθείς τοῦ συλλογισμοῦ. ἃ γὰρ ἐπιζητούμενον, διὰ τὴν ἀρετὴν ἐπιστήμης
δεικτικόν ἐστι, ληφθείσης καθόλου προτάσεως τῆς πᾶσα ἐπιστήμη,
διδακτή· ἡ δὲ ἀρετὴ ἐπιστήμη, γίνεται κατηγορικὸς συλλογισμός· διαφέρει
δὲ ὡς δοκεῖ κατὰ τοὺς ἀρχαίους, τὸ μεταλαμβανόμενον· ἃ φασὶ μὲν γὰρ αὐτοῖς
ἀληλεγμένοις, ἐπειδὴ ταὐτόν ἐστι τὸ μεταλαμβανόμενον, μεταλαμβανόμενον
ἐστίν· οὐ γὰρ ἔξωθεν προστίθεται· ἀλλὰ κείμενον ἄλλως μεταλαμβάνεται
καὶ ἄλλο· οὐ γάρ, εἰ ἡμέρα ἐστί, φῶς ἐστί· τὸ ἡμέρα ἐστὶν ὃ προσλαμβανόμενον
οἱ νεώτεροι λέγουσιν, κείμενον ἐν τῷ συνημμένῳ τοιοῦτον ὁποῖον λαμβάνεται.
τίθεται μὲν γὰρ ἐν τῷ συνημμένῳ ἐν ὑποθέσει κατὰ ἀκολουθίαν· λαμβάνεται
δὲ ὡς ὑπάρχον· ἐπεὶ δὴ τούτων καὶ τῶν τοιούτων, μετάληψιν εἶναι λέγουσι·
τὸ γὰρ κείμενον οὐχ ὡς κεῖται λαμβανόμενον, μεταλαμβανόμενον γίνεται·
κείμενον γὰρ οὐ χωρὶς καὶ ἀκολουθίᾳ καὶ ὑποθέσει μεταλαμβάνεται ὡς ὑπ-
άρξειν· προσλαμβανόμενον δὲ λέγουσιν ἀφ᾽ ὧν τοῖς κειμένοις ἔξωθέν τι
προστίθεται· δι᾽ ὧν καὶ πως ἐν αὐτοῖς περιεχόμενον, οὐ μὴν ἐνεργείᾳ.
ὡς ἔχει ἐπὶ τῶν κατὰ πρόσληψιν λεγομένων συλλογισμῶν· εἰ γὰρ τὸ α
κατὰ παντὸς τοῦ β, καὶ τὸ γ κατὰ τοῦ α· καὶ τὸ δὲ τοῦ γ τὸ β, ἔξωθεν· τὸ, καὶ τὸ δὲ τοῦ γ
τὸ β, προσλαμβάνεται· οὐ γὰρ κεῖται ἐνεργείᾳ ἐν τῇ προτάσει τῇ καθόλου τὸ β
κατὰ παντὸς τοῦ α, τὸ καὶ τὸ τοῦ γ τὸ β λέγεσθαι· χρῶνται μέντοι καὶ τῇ προσλήψει,
ἀντὶ τῆς μεταλήψεως.     ὁ δὲ οὖν τοιοῦτος λόγος καὶ ἐπὶ τοῦ διαιρετικοῦ· ἢ τοι τόδε,
ἢ τόδε· ὁ καὶ αὐτὸς ἐκ τροπικοῦ καὶ τῆς προσλήψεως λέγοντος· ὁποῖον ἂν αὐτῶν
λαμβάνεται δείξεως δεόμενον, κεῖται κατηγορικοῦ πρὸς τὸ δειχθῆναι
συλλογισμοῦ· οἷον ληφθέντος, ἢ σῶμά ἐστιν ἡ ψυχή, ἢ ἀσώματος· ἀλλὰ καὶ

στοιχεῖον τὸ ὅτι οὐ σῶμα. οὕτως γὰρ ἂν προσληφθείη τό, ἀλλὰ μὴν οὐ σῶμα·
ἀσώματος ἄρα, ἢ ὡς κοινὴ αὐτὸ ληφθῆναι διὰ κατηγορικοῦ συλλογισμοῦ. οἷον
πᾶν σῶμα ἢ στοιχεῖον ἢ ἐκ στοιχείων. ἡ δὲ ψυχὴ οὔτε στοιχεῖον οὔτε ἐκ στοιχείων.
ἡ ψυχὴ ἄρα οὐ σῶμα. ἀλλ' ἀεὶ καὶ ἐπὶ τοῦ ἐξ ἀποφατικῆς συμπλοκῆς. ἄλλως καὶ αὐτός,
ἄλλος τῶν προειρημένων τρόπων. καὶ μὴν ὁ αὐτὸς τῷ διὰ σημειουμένου τοῦ ἀρχομένου
ἀποφατικοῦ καὶ λήγοντος εἰς ἀποφατικόν. οἷον ἔστιν ἄλλο τὸ α. οὐ τὸ β. καὶ γὰρ αὖ
τοῦτο εἰ ἄλλο τὸ μεταλαμβανόμενον, δείξεως δεόμενον, διὰ κατηγορικοῦ
δειχθήσεται συλλογισμοῦ. οἷον οὐχ ἡ καὶ τὸ ἡδέως ζῆν, τέλος. τὸ γὰρ μεταλη-
φθὲν τό, ἡ ἀρετὴ δι' αὐτὴν αἱρετή, διὰ κατηγορικοῦ δείκνυται συλλογισμοῦ.
οἷον ἀφ' ἧς ἕξεως αὐτό τε τὸ ἔχον αὐτήν, ἄριστα διάκειται καὶ κάλλιστα τὸ ἴδιον ἔργον
ἐπιτελεῖ. ἡ ἀρετὴ ἄρα δι' αὐτὴν ἐστὶ αἱρετή. ἀλλὰ μὴν τοῦτο εἰ ἄνευ ὑποθετικῶς τὸ αὐτὸ ἀλη-
μμένον τὸν δεύτερον τρόπον. εἰ ἡ ἡδονὴ τέλος, οὐκ ἔστιν ἡ ἀρετὴ δι' αὐτὴν αἱρετή.
δείκνυσι τοῦτο καὶ ἡ ἀκολουθία διὰ συλλογισμοῦ τοιούτου. πᾶν ὃ ἄλλου ποιητικὸν
τινος αἱρετὸν ἐστίν, οὐκ ἔστι δι' αὐτὸ αἱρετόν. ἡ δὲ ἀρετὴ εἰ ἡ ἡδονὴ τέλος
ὡς ποιητικὴ τῆς ἡδονῆς, αἱρετὴ γίνεται. ἡ ἀρετὴ ἄρα εἰ ἡ ἡδονὴ τέλος, οὐ
κἔστι δι' αὐτὴν αἱρετή. λέγει δὲ καὶ αὐτό, πρὸς τὸ μεταλαμβανόμενον γίνεσθαι
τὸν συλλογισμόν. οὐκ ἔστι δὲ καὶ τῆς ἀκολουθίας ἥτις μόνη χρὴ συλλογισμὸν ἢ
οὐκ ἔστι δὲ καὶ τῆς ἀκολουθίας γίνεσθαι. ὅτι καὶ ἐπ' ἀνάγκης δεῖξις πρὸς τὸ τεθὲν
τῶν ὑποθετικῶν χρήσιμος. ὁ δὲ ἐξ ὑποθέσεως συλλογισμὸς, ὑποκειμένου
τινὸς γίνεται. ὥστε οὐ γίνεται ἡ δεῖξις τῆς ἐξ ὑποθέσεως συλλογισμοῖς. ἀμέλει
γὰρ λέγονται προσποιητικοὶ οἱ ἐξ ὑποθέσεως καὶ ὁμολογίας ὡς φανερὰ παραλα-
μβάνεται ἐπὶ τὸ πλεῖστον. δεῖται δὲ δείξεως τὰ μεταλαμβανόμενα καὶ προσ-
λαμβανόμενα. ὅλως δὲ ὧν χρῶνται οἱ τοιοῦτοι λόγοι. ὥσπερ μὴ δεῖται
δείξεως τὸ μεταλαμβανόμενον, οὐδὲ συλλογισμὸς τὸ γινόμενόν ἐστι πάντων
γε φανερῶν ὄντων. εἰ μέντοι δέοιτο δείξεως, εἰ μὲν μὴ δειχθὲν λαμβάνοιτο,
οὐδ' ἂν ἐδείχθη. οὐδὲ ἐγένετό τινος συλλογισμός. εἰ δὲ δείκνυοιτο κατηγορικῷ
χρῶνται συλλογισμῷ. οὐδὲ γὰρ ὄφελός τι τῶν ἀρχῶν τῆς ἐξ ὑποθέσεως πρὸς κατα-
σκευήν τινος, ἂν μὴ μεταλαβόντες τι τῶν κειμένων, τοῦτο κατασκευάσωμεν
κατηγορικῶς. οὐ κατασκευάζονται δὲ συνεχῶς καὶ συνάγεται τοῦτο καὶ τὸ ἑπόμενον.
ἄχρηστον γὰρ πρὸς δεῖξιν καὶ θέσιν τοῦ ἀνάγκη τὸ διόλου ὑποθετικῶν τῶν συλλογισμῶν

τέλος.

οὔτε γὰρ ὑπάρχειν τινί· οὔτε μὴ ὑπάρχειν· οὔτε καθόλου οὔτε ἐπὶ μέρους, δείκνυνται δι' αὐτῶν· ὃ ἴδιόν ἐστι τοῦ ἀναγκαστικοῦ συλλογισμοῦ· διὸ καὶ ἡ διαφορὰ αὐτῶν ἐστι, ἐπεὶ οἱ μὲν ἀεὶ ὡς δείκνυνται· οὐ μὴν συλλογιστικοὶ ἂν ἁπλῶς λέγοιντο· καὶ τοῖς ὑποθετικοῖς οὖν λόγοις, τὸ αὐτὸ χρήσιμον καὶ τὸ συλλογιστικόν, ἤ καὶ παρὰ τῶν κατηγορικῶν συλλογισμῶν· διὸ καὶ ἁπλῶς ἐκεῖνοι συλλογισμοί. οἱ δὲ ἐξ ὑποθέσεως, οὐχ ἁπλῶς, ἀλλὰ τὸ ὅλον τοῦτο ἐξ ὑποθέσεως συλλογισμοί. οἱ μὲν γὰρ κατηγορικοί, οὐδενὸς προσδέονται πρὸς τὸ δεῖξαι τὸ προκείμενον τῶν ὑποθέσεων· διὸ καὶ ἁπλῶς συλλογισμοὶ ἀρκοῦνται αὐτοῖς. οἱ δὲ ὑποθετικοὶ χωρὶς τούτων οὐδὲν δεικνύουσιν· ὥστε δῆλον, ὅτι οἱ ἐξ ὑποθέσεως πάντες, διὰ τῶν κατηγορικῶν συλλογισμῶν γίνονται, οἱ δὲ κατηγορικοὶ πάντες, διὰ τῶν τριῶν σχημάτων, πάντες δ' αὖ ἀναγόμενοι οἱ συλλογισμοί, εἰς τὰ τρία σχήματα. εἰ δὲ τοῦτο, ἐδείχθησαν δὲ πάντες οἱ ἐν τούτοις γινόμενοι συλλογισμοί, ἀναγόμενοι εἰς τοὺς δύο τοὺς ἐν πρώτῳ σχήματι τοὺς πρώτους, δῆλον ἂν δεικνύμενον ὅτι πάντες οἱ συλλογισμοί, εἰς ἐκείνους ἀνάγονται τοὺς δύο. εἰσὶ δὲ αὖ ἐν τοῖς ἐξ ὑποθέσεως καὶ οἱ ἀπὸ τοῦ μᾶλλον καὶ τοῦ ὁμοίου καὶ τοῦ ἧττον· καὶ γὰρ ἐν τούτοις τὸ μὲν ὑποτίθεται· τὸ δέ, μεταλαμβάνεται· πρὸς ὃ καὶ συλλογισμοῦ κατηγορικοῦ χρεία· πάντες γὰρ ἐξ ὑποθέσεως ἐν οἷς μεταλαμβάνεταί τι. ἐν τούτοις δέ, μεταληφθήσεται· οἷον εἰ τὸ μᾶλλον ἀγαθὸν τινὸς ὄν, μὴ ἔστιν εὐδαιμονίας ποιητικόν, οὐδὲ τὸ ἧττον· ὑγεία δὲ μᾶλλον ἀγαθὸν οὖσα, πλούτου· οὐκ ἔστιν εὐδαιμονίας ποιητικόν, τοῦτο γὰρ μεταλαμβάνεται καὶ δεῖται κατηγορικῆς δείξεως· ὁμοίως καὶ ἐπὶ τοῦ, εἰ τὸ ἧττον ἀγαθὸν δι' αὐτὸ αἱρετόν ἐστι· πάλιν γὰρ τὸ μεταλαμβανόμενον καὶ δεόμενον δείξεως κατηγορικῆς τοῦτο. τοιοῦτος καὶ ὁ ἀπὸ τοῦ ὁμοίου· λέγει δὲ εἰδῶν ὁ Ἀριστοτέλης τοὺς ἀπὸ τοῦ μᾶλλον καὶ τοῦ ἧττον, καὶ τοῦ ὁμοίου κατὰ ποιότητα. τοὺς δὲ κατὰ προσλῆψιν οὓς οἱ νεώτεροι εἰδῶν καὶ τὰ μεταλήψιν ὡς προϊόντος τοῦ λόγου μαθησόμεθα:

Ἔτι δεῖ ἁπλῶς ἕνα κατηγορικὸν τῶν ὅρων εἶναι· καὶ τὸ καθόλου ὑπάρχειν·

Ὅτι ἀδύνατόν ἐστιν ἐκ δύο ἀποφατικῶν προτάσεων γενέσθαι συλλογισμόν, λέγει· ὑπομιμνήσκων ἡμᾶς τῶν δεδειγμένων· δεῖ γάρ φησι κατηγορικόν τινα τῶν ὅρων εἶναι· τουτέστι καταφατικὴν καὶ εἶναι τὴν ἑτέραν τῶν προτάσεων ἀεί

ἀμέσοι συλλογισμοὶ ἔσεσθαι τοῦτο δὲ δείξας οὕτως ἔχον ἐν πᾶσι τοῖς σχήμασι.
δείξας ἀσυλλογίστους τὰς ἐκ τοῦ ἀποφατικοῦ συζυγίας· καὶ γὰρ ἐν οἷς ἐδείκνυ
γίνεσθαι, ὡς ἐπὶ τῶν ἐνδεχομένων, προϊόντων μὲν οὐχ ἁπλῶς ἀποφάσεις
ἀλλ' ἐνδεχόμεναι· ἀλλὰ καὶ μὴ τὰ λαμβανόμενα ἢ ἀμφοτέρων ἢ θατέρας
ἀστικὴν ἀποφατικῶν γίνεσθαι συλλογισμούς· ὁμοίως δὲ οὐ. λέγει δὲ ὅτι δεῖ καὶ
τὸ καθόλου ὑπάρχειν· τοῦτ' ἔστι καθόλου πρότασιν εἰλῆφθαι· εἰ μέλλοι συλλο
γισμὸς ἔσεσθαι· ὅτι μὲν οὖν ἐκ δύο ἐπὶ μέρους προτάσεων οὐ γίνεται συλ
λογιστικὴ συζυγία ἐν οὐδενὶ τῶν σχημάτων· ἀλλ' οὐδὲ ἐξ ἀορίστων, δέδειχε.
νῦν δὲ δείκνυσιν ὅτι οὐκ ἔσεσθαι συλλογισμόν, προσέθηκεν ἢ οὐ πρὸς τὸ κείμενον
ὡς δεδειγμένου μὲν τινὸς συλλογιστικῶς συναχθῆναι, καὶ μὴ καθόλου ληφθείσης
προτάσεως, οὐ μὴν τοῦ προκειμένου. τοῦτο δὲ οὐχ ὅτι καὶ ἐκ δύο ἐπὶ μέρους· οἷ
τε γίνεσθαι συλλογισμόν· ἀλλ' ὅτι καὶ τοῦ μὴ καθόλου· καὶ γὰρ τὸ ἐπὶ μέρους
σημαίνει καὶ τὸ μὴ πρὸς τὸ προκείμενον καθόλου· δυνατὸν δὲ ἀλλ' ὡς καθόλου
ὄν, μὴ εἶναι τοῦ προκειμένου περιεκτικόν· μηδὲ πρὸς τοῦτο καθόλου· ὅταν
δὴ τὸ καθόλου ληφθὲν ὡς μὴ εἶναι πρὸς τὸ προκείμενον καθόλου, μηδὲ τοῦ
περιεκτικόν, ἀλλὰ αὐτὸ λαμβανόμενον καθόλου· ἐπὶ μέρους τινὸς τοῦ κατη
γορουμένου ἐν τῷ προβλήματι λαμβανόμενον· συλλογισμὸς μὲν, οὐ καὶ δυνατὸν
αὐτοῦ γενέσθαι· δηλονότι προσληφθείσης τινὸς ἑτέρας καὶ τῆς αὐτῷ προ
τάσεως· οὐ μὴν τὸ προκείμενον ἂν δειχθείη. ὡς ἐφ' οὗ παρέθετο παραδείγματος
γνώριμον ποιεῖ· προκείσθω γὰρ δεῖξαι τὴν μουσικὴν ἡδονὴν σπουδαίαν εἶναι.
ἂν μὲν οὖν ἀδιορίστως λάβῃ ἡδονὴν σπουδαίαν εἶναι· βουλόμενος δεῖξαι τὸ
προκείμενον· τὸ πᾶσαν μουσικὴν ἡδονὴν σπουδαίαν εἶναι· καὶ εἰ τὸ προσθ
τὸ πᾶσαν· ἵνα ἡ πρότασις πᾶσα ἡδονὴ σπουδαία ἐστίν, οὐ ποιήσει συλλογισ
μόν· τὸ γὰρ ἀδιόριστον ὡς ἐπὶ τὸ ἐνδεχόμενον τὸ ἐπὶ μέρους λαμβάνεσθαι· τὸ μὴ
εἶναι καθόλου πᾶσαν ἡδονὴν σπουδαίαν· εἰ γὰρ οὕτω ληφθείη, περιέχει ἂν καὶ
τὴν μουσικὴν ἡδονήν, οὐ συλλογίζεται· διὸ γὰρ ἐπὶ μέρους οὕτω λαμβάνει.
ἀδιόριστος ἡ ἡδονὴ καὶ ἄλλος, τοῦτο καθόλου λάβοι, οὐ κἂν συλλογίσαιτο τὸ προ
κείμενον· οὐδὲ γὰρ τῶν ἀντιδιῃρημένων τῇ μουσικῇ ἡδονῇ ἀπό τινος ἡδονῆς
ἐστὶ περιεκτικὸν τῆς μουσικῆς· διὸ ἂν μὲν ἄλλο τι εἶδος ἡδονῆς λάβοι, ποιήσει
μέν τινα συλλογισμὸν καὶ συμπέρασμα· οὐ μὴν τοῦ προκειμένου· εἰλήφθω γὰρ

ἡ ἀπὸ τοῦ θεωρεῖν ἡδονή, σπουδαία· τοῦ τινὰ δὲ τὴν πρότασιν προσλαμβανομένην
τῆς, ἡ δὲ ἀπὸ τοῦ γεωμετρεῖν ἡδονή, θεωρητική ἐστιν ἡδονή, συναχθήσεται μὲν
τό, τὴν ἀπὸ τοῦ γεωμετρεῖν ἡδονὴν σπουδαίαν εἶναι· οὐ μὴν τοῦ προκειμένου
συλλογισμὸς ἔσται. εἰ δὲ καὶ αὐτὴν ταύτην λάβοι· ἅπασαν μουσικὴν
ἡδονὴν εἶναι σπουδαίαν, τὸ ἐν ἀρχῇ αἰτήσεται. δεῖ ἄρα καθόλου τὸ ὅτι τῆς μου-
σικῆς ἡδονῆς ληφθέν, τὸ τίμιόν ἐστιν· εἰ ἀδιορίστως λάβοι τὸ ἀγαθὸν τίμιον εἶναι,
μὴ προσθεὶς τό, πᾶν, οὐ ποιήσει συλλογισμόν· τὸ γὰρ ἀδιόριστον, ὡς ἐπὶ μέρους
λαμβάνεσθαι. ἀλλ' οὐδὲ ἂν εἴ τι τῶν ὑπὸ τὸ ἀγαθὸν τῶν αὐτὸ διαιρουμένων τὰ
καθόλου λάβῃ, οὐδ' οὕτως τὸ προκείμενον συλλογίζεται· ἄλλο μὲν γάρ τι
τὸ οὐ κωλυθήσεται συλλογίσασθαι· εἰ γὰρ λάβῃ πᾶν τὸ θεῖον ἀγαθόν, τίμιόν ἐστι·
καὶ προσλάβῃ· ὁ δὲ ἥλιος θεῖον ἀγαθόν· ὁ ἥλιος ἄρα τίμιον· μόνον δὲ δέδεικται
διὰ συλλογισμοῦ τὸ ὡς ἔτυχεν ἀγαθόν, τίμιον εἶναι, ἂν λάβῃ καθόλου τὸ ὂν
τοῦ τοιούτου ἀγαθοῦ τίμιον εἶναι· ἂν γὰρ λάβῃ πᾶν ἀγαθόν, τίμιον εἶναι· καὶ
προσλάβῃ τὸ δὲ ὡς ἔτυχεν ἀγαθόν, ἀγαθόν ἐστιν, εἴη ἂν τὸ προκείμενον οὕτως
δεδειχὼς διὰ συλλογισμοῦ· ἂν γὰρ λάβῃ πάλιν καθόλου τό, πᾶν τὸ ὡς ἔτυχεν
ἀγαθόν, τίμιον εἶναι, τὸ ἐν ἀρχῇ αἰτήσεται· ὡς προείρηται ἐπὶ τῆς μουσικῆς ἡδονῆς
δυνάμει τούτου — ἐρρήθη. διὸ καὶ τὸ πρὸς τὸ προκείμενον, εἰρῆσθαι, οὐχ ὡς ἐκ μόνου
συλλογισμοῦ· οὐ μὴν πρὸς τὸ προκείμενον ἀλλ' ὡς τῶν ἀρχῶν· οὐδὲ συναπτοῦ-
της λαμβανομένης ἐν μέρει προτάσεως· τῷ δειχθῆναι προκειμένῳ. τούτῳ
δὲ ἀκόλουθον δόξει εἶναι τὸ ἐφεξῆς λεγόμενον. τὸ εἰ δέ τινα ἡδονήν, εἰ μὲν
ἄλλην, οὐδὲν πρὸς τὸν λόγον· ἢ ἔσται μὲν πρὸς τὸ προκείμενον ἡ πρότασις, οὐ μὴν
συλλογιστική· ἂν τὸ καθόλου τοῦ προκειμένου ἀδιορίστως ληφθῇ. εἰ δὲ μὴ τὸ καθ-
όλου, ἀλλά τι τῶν ὑπὸ τὸ ἀγαθὸν τι ληφθῇ, ἢ τοῦτο αὐτό, ἢ οὐδὲ τῶν ἀρχῶν συναχθ-
τῷ προκειμένῳ. εἰ ἄλλο τι καὶ μὴ αὐτὸ τὸ προκείμενον λαμβάνοι, ἢ εἰ αὐτὸ λαμ-
βάνοι, τὸ ἐν ἀρχῇ αἰτήσεται· οὐδὲν δὲ τῶν εἰρημένων συλλογιστικόν. τούτῳ
δέ ἐστι μᾶλλον συνῳδὸς καὶ ἡ ὑπὸ τοῦ διαγράμματος δεῖξις. μᾶλλον δέ φησι
τὸ τοιοῦτο, φανερὸν ἐπὶ τῶν διαγραμμάτων γίνεσθαι· λέγει δέ, τὸ μὴ γίνεσθαι
συλλογισμὸν μηδὲ δείκνυσθαι τὸ προκείμενον ἂν μὴ ληφθῇ καθόλου πρότασις·

οἷον ὅτι τοῦ ἰσοσκελοῦς ἴσαι αἱ πρὸς τῇ βάσει γωνίαι.

ἔστω πρόβλημα. δεῖξαι ὅτι αἱ πρὸς τῇ βάσει τοῦ ἰσοσκελοῦς τριγώνου γωνί-

ἴσαι ἀλλήλαις· ὁ ἐν κύκλῳ δὲ τῆς μὲν ἐν τῷ πρώτῳ τῶν στοιχείων δείξεως ἀλλὰ τοῦ ς
θεωρήματος· διὰ χρησαμένος ἄλλῃ· ὁ μὲν γὰρ ἴσος τέλειος ἀλλ' ὡς δείκνυσιν
αὐτό· καὶ ἔστιν ἡ δεῖξις τοιαύτη: ἔστω κύκλος ὁ αβγδ· καὶ ἔστω κέντρον αὐτοῦ
τὸ ε· καὶ διήχθωσαν ἀπὸ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν εὐθεῖαι τέμνουσαι
ἀλλήλας ἥ τε αεζ· καὶ ἡ βεδ· διάμετροι δηλονότι οὖσαι τοῦ κύκλου· καὶ ἐπε-
ζεύχθω ἡ αβ· βάσις δὴ ἔσται ἡ αβ τοῦ εαβ τριγώνου· ἔστωσαν δὴ πρὸς τῇ
βάσει αὐτοῦ γωνίαι ἥ τε αεγ· καὶ ἡ βεδ· ἐπεὶ οὖν ἡμικυκλίου ἐστὶν ἑκάτερα
τῶν αβγδ γωνιῶν ἴσαι εἰσὶν ἀλλήλαις· αἱ γὰρ τῶν ἴσων ἡμικυκλίων γω-
νίαι ἴσαι τῷ ἐφαρμόζειν ἀλλήλαις· ὧν αἱ ὑπὸ τῆς βάσεως τοῦ τριγώνου·
τέ τῆς περιφερείας ἀπολαμβανόμεναι ἴσαι εἰσὶν ἀλλήλαις· ἐπεὶ οὖν
ἐν τοῖς αὐτοῖς τμήμασι· αἱ γὰρ ἐν τοῖς αὐτοῖς τμήμασι γωνίαι ἴσαι εἰσὶν ἀλλήλ(αις)·
ὅτι καθόλου αἱ τῶν ἴσων τμημάτων γωνίαι ἴσαι· λοιπαὶ ἄρα αἱ πρὸς τῇ βάσει
αἱ ἀπολαμβανόμεναι ὑπό τε τῆς βάσεως καὶ ἑκατέρας τῶν τοῦ τριγώνου πλευ-
ρῶν ἴσαι εἰσὶν ἀλλήλαις· ἂν γὰρ ἀπὸ τῶν ἴσων ἴσα ἀφαιρεθῇ, καὶ τὰ λοιπὰ
μένει ἴσα εἰσὶν ἀλλήλοις· καὶ εἰσὶν αἱ πλευραὶ τοῦ τριγώνου ὑπὸ τὰς ἴσας γωνί(ας)
ἴσαι ἀλλήλαις· ἀπὸ γὰρ τοῦ κέντρου εἰσὶν ἀμφότεραι· τῶν ἄρα ἰσοσκελῶν τρι-
γώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις· ἂν δὴ τούτου προκειμένου δε-
χθῶσιν, λαμβάνεις α β γωνίαν τὴν βεδ ἴσην καὶ δέδεικται καθόλου ὅτι αἱ τῶν
ἴσων ἡμικυκλίων ἴσαι, τὸ ζητούμενον ἀεὶ τὴν ἀρχὴν λαμβάνει· ἥ τε τοῦτο
μὲν δέδεικται τῷ ὅλῳ τὴν ὅλην ἴσην· λαμβάνει δὲ τὰς ὑπὸ τῆς περιφερείας καὶ τῆς
βάσεως τοῦ τριγώνου ἀπολαμβανομένας γωνίας· ἀπὸ τῶν ἐν τοῖς ἡμικυκλίοις
γωνιῶν· τῶν ὀρθῶν, ἴσας ἀλλήλαις εἶναι· τὴν γ τὴν δ· καὶ δέδεικται καθόλου ὅτι
αἱ τῶν ἴσων τμημάτων γωνίαι ἴσαι· αἱ γὰρ τῶν ἴσων τμημάτων ἴσαι γωνίαι.
τῷ ἐφαρμόζειν ἀλλήλαις τὰ τμήματα· ὥσπερ καὶ τὰ ἡμικύκλια· διό καὶ
αἱ ἐκείνων γωνίαι ἴσαι τῶν δὲ δύο ἡμικυκλίων τῶν ὑπὸ τῶν αβ διαμέτρων
τετμημένων κοινὸν τμῆμα ἐστὶ τὸ ὑπὸ τὴν τοῦ τριγώνου βάσιν· ἴσον οὖν αὐτῷ
δηλονότι καὶ ἐφαρμόζον καθ' ἑκάτερον ἀφῃρήσθω διό περ ἴσαι ἄρα καὶ αἱ
γωνίαι αὐτοῦ ἀλλήλαις· ἂν δή τις λαμβάνῃ τὰς γωνίας ἴσας ἀνὰ τὰς ἐν ταῖς τμή-
μασι καὶ δείξας ὅτι ἴσαι, πάλιν ἂν εἴη τὸ ἐν ἀρχῇ αἰτούμενος καὶ οὐ συλλογιζό-
μενος· εἰ δὲ δείξῃ μὲν καὶ τοῦτο· λαμβάνοι δὲ τὴν λοιπὴν ἴσην τὴν αεγ τῇ ζ,



κ(αὶ) οὕτως αὐτὸ ἐν ἀρχῇ λαμβάνουσιν· ἀλλ' οὐ δεικνύουσιν αὐτὸ χωρὶς τοῦ ἀξιώματος
ἐκ κοινοῦ τεθέντος τοῦ, ἐὰν ἀπὸ τῶν ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλειφθέντα ἴσα
εἶναι ἀλλήλοις· ἐπειδὴ τὰ καταλελειμμένα ἀπὸ τῶν ἴσων ἴσα ἀφαιρεθῇ,
τὰ καταλειφθέντα ἴσα εἶναι ἀλλήλοις· ἐπειδὴ τὰ καταλελειμμένα ἀπὸ τῶν
γωνιῶν τῶν ἡμικυκλίων, τὰ ε ζ· ὡς εἶναι τὰς μὲν ὅλας γωνίας τὰς τῶν ἡμι-
κυκλίων, τὰς α β γ δ· τὰς δὲ ἀφῃρημένας ἀπ' αὐτῶν τὰς τοῦ τμήματος, τὰς
τοῦ τμήματος τὰς γ δ· τὰς δὲ καταλελειμμένας ἀπ' αὐτῶν, ε καὶ ζ· ἃς περιέχουσιν
ἥ τε τῆς βάσεως καὶ ἑκατέρας τῶν πλευρῶν· αἵτινές εἰσι πρὸς τῇ βάσει· πρὶν
ἢ τὸ προκείμενον δεῖξαι ὅτι ἴσαι εἰσί· ἔστι δὴ τὸ ἐξ ἀρχῆς αἰτούμενος· αὐτὸ δεικνύμενον
δείξεως, χωρὶς δείξεως ὡς οὕτως ἔχον λαμβάνει· αἰτήσει γὰρ τό, ἴσας
εἶναι τὰς τοῦ ἰσοσκελοῦς τριγώνου τὰς πρὸς τῇ βάσει· ἀλλ' οὐ δείξει:

ἔτι ὅτι τὸ μὲν καθόλου, ἐκ τῶν καθόλου προτάσεων δείκνυται·

Δείξας ὅτι ἐν παντὶ συλλογισμῷ δεῖ καθόλου τινὰ πρότασιν εἶναι, τοῦτο μὲν μνη-
σκει ἡμᾶς καὶ τοῦ, ὅτι τὸ καθόλου συμπέρασμα καὶ ἀνάγκη, δεῖ ἀμφοτέρας ἀλη-
φθαι καθόλου τὰς προτάσεις· οὐ γὰρ ἂν ἄλλως γένοιτο τὸ καθόλου συμπέρασμα·
οὐ μὴν ἀλλ' ὅταν αἱ προτάσεις καθόλου ἀμφότεραι ὦσιν, ἤδη καὶ τὸ συμπέρασμα
ἀνάγκη καθόλου εἶναι· γίνεται γάρ ποτε καὶ ἐπὶ μέρους συμπέρασμα καὶ ἐκ κα-
θόλου προτάσεων· ὡς ἐπὶ τῶν ἐν τρίτῳ σχήματι ἐδείχθη:

δῆλον δὲ καὶ ὅτι ἐν ἅπαντι συλλογισμῷ·

Καὶ τοῦτο ὑπομιμνήσκει ἡμᾶς· ὅτι ἐν παντὶ συλλογισμῷ ἢ ἀμφοτέρας ὁμοί-
ας ἀνάγκη τῷ συμπεράσματι εἶναι τὰς προτάσεις, ἢ πάντως γε τὴν ἑτέραν,
καταφατικοῦ μὲν τοῦ καταφατικοῦ ἀμφοτέρας· οὐ γὰρ ἂν ἄλλως γένοιτο καταφατικὸν συ-
μπέρασμα, εἰ μὴ ἀμφότεραι αἱ προτάσεις εἶεν καταφατικαί· ἀποφατικοῦ δὲ ἀποφατικὴ ἡ
ἑτέρα· οὔτε γὰρ ἐκ δύο καταφατικῶν ἀποφατικὸν ἂν γένοιτο συμπέρασμα·
οὔτε ἐκ δύο ἀποφατικῶν· οὐδὲ γὰρ ὅλως συλλογισμὸς ἐκ δύο ἀποφατικῶν
γένοιτ' ἄν ποτε προτάσεων· οὔτε καταφατικὸν δὲ καὶ ἀποφατικόν· μόνον δέ
φησιν ἀμφοτέρας τὰς προτάσεις ὁμοίας εἶναι τῷ συμπεράσματι, ἢ πάν-
τως τὴν ἑτέραν· ἀλλὰ καὶ κατὰ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον καὶ τὸ ἐνδεχόμενον·
οὔτε γὰρ ἀναγκαῖον γένοιτ' ἂν τὸ συμπέρασμα μηδεμιᾶς οὔσης προτάσεως
ἀναγκαίας ὥς φησιν· ἀλλὰ ἢ ἀμφοτέρας ἀναγκαίας εἶναι ἢ πάντως γε

τὴν ἑτέραν· τὴν ὑπάρχειν ἀζονα· οὔτε τὸ ὑπάρχον· οὔτε ἐνδεχόμενον· ὁμοίως τὰ δ' καὶ ἐπὶ τοῦ ὑπάρχοντος συμπεράσματος· καὶ ἐπὶ τοῦ ἐνδεχομένου αἱ προτάσεις ἔχουσι· πῶς οὖν ἐπὶ τῆς ἀληθοῦς μίξεως· ἐξ ἀναγκαίας ἀποφατικῆς καθόλου καὶ ἐνδεχομένης καταφατικῆς, ὑπάρχον ἀποφατικὸν γίνεται συμπέρασμα:

*ἐπισκέψασθαι δὲ δεῖ καὶ τὰς ἄλλας κατηγορίας·*

Λέγοιμι ἂν τὰς ἄλλας κατηγορίας, τὰς παρὰ τοὺς εἰρημένους τρόπους· ἐὰν ὦσιν αἱ τοιαῦται, ἀληθὲς ἢ ψευδὲς τὸ συμπέρασμα· ἐὰν ἀδύνατον· δεῖ γὰρ καὶ τὰς προτάσεις ἀμφοτέρας, ψευδεῖς εἶναι, ἢ πάντως τὴν ἑτέραν· ὁμοίως δὲ καὶ ἂν ἀδύνατον. ἢ ἀμφοτέρας ἢ πάντως γε τὴν ἑτέραν, ἀδύνατον δυνατὴν εἶναι· ἐὰν ἀδύνατον μὲν ἀδύνατον. ψεῦδος δὲ ψευδεῖ ἀκολουθεῖ· οὐ μὴν ἐπεὶ ἀληθὲς τὸ συμπέρασμα· πάντως καὶ αἱ προτάσεις· ἢ ἀμφότεραι ἀληθεῖς ἢ ἡ ἑτέρα. ἐπεὶ γὰρ ἐξ ἀμφοτέρων ψευδῶν· ἀληθὲς ποτὲ συναχθήσεται ὡς δέδεικται· καὶ διὰ τοῦτο ἀπεῖτε, ἐπισκέψασθαι δεῖ καὶ τὰς ἄλλας κατηγορίας· ὑπάρχει τοῦ γνῶναι, ἐπ' ἐκείνων οὕτως ἔχει ἀναλύσαι· οὐ γὰρ ἐπὶ πάντων, ὁμοίως ἔχει· δεικνύοδεῖ καὶ ἐνδεχόμενον τὸ συμπέρασμα, καὶ ἐνδεχόμενον καὶ τῶν προτάσεων τὴν μίαν· εἰ τινάς, οὕτως ἔχειν· καὶ εἰ ἀδύνατον τὸ συμπέρασμα, καὶ τῶν προτάσεων τὴν ἀδυνατὴν εἶναι· ἐπεὶ γὰρ ἡ συλλογιστικὴ συναγωγὴ ἀρκέσει εἶναι τὰς ἄκρας διὰ τοῦ τὰ ἡμισφαίρια ἐξ ἴσων ἀστέρων καὶ ἀριθμὸν εἶναι, ἄδηλον διὰ ἀδήλου συνάγει· ἀλλὰ καὶ τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχομένου· ἢ τοῦ καὶ τὸ ἀφ' οὗ ἢ τοῦ κατὰ προαίρεσιν τὸ συμπέρασμα, οὕτως καὶ τῶν προτάσεων ἔχει· ἢ καὶ ἀμφότεραι· λέγοιμι δ' ἂν κατηγορίας, καὶ τὰς κατὰ τέχνην· εἰ γὰρ αὐτῷ ποιῶ τὸ δεικνύμενον τὸ συμπέρασμα νόμον, δεῖ καὶ προτάσεις τινὰ τοιαῦτα λῆφθαι· ὁμοίως ποσόν· ἢ πρός τι· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν:

*τῶν ὅρων οὕτω δὲ καὶ πότε ἁπλῶς ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός·*

Τὸ ἁπλῶς αὐτὸ τοῦ καθόλου λέγεται· δῆλον τὸ καθόλου πότε καὶ πῶς τῶν προτάσεων λαμβανομένων, συλλογισμὸς ἔσται· καὶ πότε καὶ πῶς λαμβανομένων οὐκ ἔσται συλλογισμὸς ἔσται· ἐδείχθη γὰρ τοῦτο καθ' ἕκαστον σχῆμα:

*καὶ πότε δυνατός· καὶ πότε τέλειος·*

Δυνατὸν ἐπεὶ τὸν ἀτελῆ συλλογισμόν· τὸν μήπω μὲν φανερῶς ὄντα συλλογισμόν. δυνάμενον δὲ γενέσθαι φανερὸν, ἢ δι' ἀντιστροφῆς ἢ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.

διὰ γὰρ τῶν τοιούτων τρόπων, οἱ ἀτελεῖς τελειοῦνται συλλογισμοί· ὅτι δὲ τὸ ἀδύνατον οὕτως ἔλαβε, δῆλον ἐκ τοῦ προσθεῖναι τὸ ἄλλον· δῆλον δὲ καὶ ὅτι ἂν ᾖ ὁ συλλογισμός, ἀνάγκη τὰς προτάσεις ἔχειν κατά τινα τῶν τρόπων ὧν προειρήκαμεν. ἢ γὰρ ἐν πρώτῳ ἢ ἐν δευτέρῳ σχήματι ἢ τρίτῳ εἶναι· πάντες γὰρ οἱ συλλογισμοί, ἐν ἑκάστῳ τῶν σχημάτων τούτοις γινόμενοι· ἢ καθ᾽ ἕκαστον σχῆμα, ἤ τινι τῶν δεδειγμένων, συζυγιῶν συλλογιστικῶν· κἂν γὰρ συνθετὸς ᾖ καὶ διὰ πλειόνων μέσων, ὅμως ἡ γένεσις αὐτοῦ ἢ ἀνάλυσις ἐκ τούτων τινὸς τῶν σχημάτων ἔσται ἐκ τούτων: δῆλον δὲ καὶ ὅτι πᾶσα ἀπόδειξις ἔσται διὰ τριῶν ὅρων καὶ οὐ πλειόνων, ἂν μὴ δι᾽ ἄλλων καὶ ἄλλων ταὐτὸ συμπέρασμα ᾖ.

Κοινότερον δὲ νῦν τὸν συλλογισμὸν ἀπόδειξιν εἴρηκεν· δείκνυσι δὲ ὅτι πᾶς συλλογισμὸς διὰ τριῶν ὅρων γίνεται καὶ οὐ διὰ πλειόνων, τουτέστι διὰ δύο προτάσεων. λέγει δὲ διὰ τῶν προσεχῶν· εἰ γὰρ τοῖς συνθέτοις, πλείους εἰσὶν αἱ προτάσεις· ἀλλ᾽ οὐχ αἱ προσεχεῖς· πάντες γὰρ διὰ δύο προτάσεων προσεχῶν, καὶ τριῶν ὅρων καὶ οὐ πλειόνων· ἂν μὴ τὸ αὐτὸ συμπέρασμα, δι᾽ ἄλλου καὶ ἄλλου μέσου δεικνύηται· ἐάν τινι προκείμενον συλλογίσασθαι πᾶσαν ἡδονὴν ἀγαθόν· ὁ δὲ ἄλλοτε ἄλλον μέσον ὅρον λαμβάνων, δεικνύοι τοῦτο, καθὸ μὲν ταὐτὸν τὸ συμπέρασμα καθ᾽ ἕκαστον τῶν μέσων ποιεῖ, δ᾽ ἕξει συλλογισμὸν ἐν αὐτῷ τὸν αὐτὸν ποιεῖν. καθὸ δὲ μὴ διὰ τῶν αὐτῶν ὅρων, μηδὲ διὰ τῶν αὐτῶν προτάσεων γίνεται τὸ συμπέρασμα, διαφέροντες εἶεν ἂν πάλιν οἱ συλλογισμοὶ καὶ πλείονες. τοιοῦτοι, ὡσανεὶ καὶ τὰ μέσα ἐναλλάττηται· οὐ γὰρ ὁ αὐτὸς συλλογισμὸς ὁ λέγων πᾶσα ἡδονὴ αἱρετόν· πᾶν αἱρετὸν ἀγαθόν· πᾶσα ἄρα ἡδονὴ ἀγαθόν· ἀλλ᾽ οὐδὲ τούτων τε ὁ αὐτὸς τῷ λαμβάνοντι πᾶσαν ἡδονὴν ὑπὸ τέχνης γίνεσθαι· πᾶν τὸ ὑπὸ τέχνης γινόμενον ἀγαθὸν εἶναι· πᾶσαν ἄρα ἡδονὴν ἀγαθὸν εἶναι· καίτοι ἐπὶ τοῖς τοιούτοις τὸ συμπέρασμα. ὁμοίως δὲ τὸ ἀντικείμενον τούτου συναγόμενος· ὅτι μηδεμία ἡδονὴ ἀγαθόν· ποτὲ μὲν διὰ τοῦ πᾶν ἀγαθὸν ὠφέλιμον· οὐδεμία δὲ ἡδονὴ ὠφέλιμος· οὐδεμία ἄρα ἡδονὴ ἀγαθόν· ποτὲ δὲ διὰ τοῦ. πᾶσα ἡδονὴ ἀτελής· ἐστὶ γὰρ κίνησις· ἡ δὲ κίνησις, ἐνέργεια ἀτελής· ἀγαθὸν οὐδὲν ἀτελές, οὐδεμία ἄρα ἡδονὴ ἀγαθόν· καὶ γὰρ ἐπὶ τούτων τὸ συμπέρασμα δι᾽ ἄλλων καὶ ἄλλων ὅρων τε καὶ προτάσεων δείκνυται· διὸ καὶ πλείους εἰσὶν οἱ συλλογισμοί· ἀλλ᾽ οὐχ ἁπλῶς

πάντων, ἀθάνατον εἶναι τὴν ψυχήν· ποτὲ μὲν διὰ τοῦ τὰς μαθήσεις ἀναμνήσεις εἶναι δεικνύς· ποτὲ δέ, διὰ τοῦ, ἀνεπίδεκτον εἶναι τοῦ ἐναντίου· διὰ τὸ ζωὴν ἐπιφέρεσθαι ἑαυτῇ, τὸ, ἐκείνῳ ἐναντίον· ποτὲ δὲ αὖ, διὰ τοῦ μὴ φθείρεσθαι ὑπὸ ἀλλοτρίας πονηρίας, τὸ ὑπὸ τῆς οἰκείας μὴ φθειρόμενον· ἄλλοτε διὰ τοῦ αὐτοκίνητον εἶναι τὴν ψυχήν. τὸ γὰρ αὐτό, διὰ πλειόνων δείκνυται μέσων. διὸ πλείους οἱ συλλογισμοί:·

ὁ μὲν ε λαμβάνει τὸ συμπέρασμα. ἢ οὖν τὸ ε διά τε τῶν α β· ἢ διὰ τῶν γ δ.

Τὸ δὲ ε α β, ἢ τὸ γ δ, προτάσεις ἄλλας ἢ ἄλλας. δι' ὧν δείκνυσι τὸ ε ποτὲ μὲν διὰ τῶν α β προτάσεων· ποτὲ δὲ διὰ τῶν γ δ. ἔστω γὰρ τὸ μὲν, οὐδὲν αἰσχρὸν καλόν· συμπέρασμα τὸ ε. τοῦτο δὲ συνάγεσθαι ποτὲ μὲν διὰ τῶν οὐδὲν καλὸν κακόν· πᾶν δὲ αἰσχρὸν, κακόν· ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι ὤν. τὸ μὲν, ἔστω τὸ α· τὸ δέ, β. πάλιν δὲ τὸ αὐτὸ δεικνύσθω διὰ τῶν, πᾶν καλὸν, ἀγαθόν· οὐδὲν αἰσχρὸν ἀγαθόν· συνάγεται γὰρ πάλιν διὰ τούτων, τὸ οὐδὲν αἰσχρὸν καλόν· ὅπερ ἦν τὸ ε ἐν δευτέρῳ σχήματι. τῶν δὲ προτάσεων ἡ μὲν, ἔστω γ· ἡ δέ, δ. ἢ πάλιν πᾶν αἰσχρὸν φευκτόν· οὐδὲν φευκτὸν καλόν· συνάγεται γὰρ καὶ ἐκ τούτων ἐν πρώτῳ σχήματι, τὸ, μηδὲν αἰσχρὸν καλὸν εἶναι. ὁ δὲ ἐπήνεγκεν· ἢ διὰ τῶν α β, ἢ διὰ τῶν β γ, δηλωτικόν ἐστι τοῦ, καὶ ἄλλα δύνασθαι μέσα λαμβάνεσθαι. ὡς μὴ μόνον δύο συλλογισμοὺς δεικτικοὺς τοῦ αὐτοῦ συμπεράσματος γίνεσθαι, ἀλλὰ καὶ πλείους. τὸ γὰρ ε ποτὲ μὲν διὰ τῶν α β προτάσεων· ποτὲ δὲ διὰ τῶν γ δ· ποτὲ δὲ διὰ τῶν α β· ποτὲ δὲ διὰ τῶν β γ δείκνυσθαι συνάγεται. δύναται τὰ ὕστερα προειρημένα, ἄλλου τινὸς εἶναι δεικτικά. τοῦ γὰρ δύνασθαι πλείους γίνεσθαι συλλογισμοὺς τοῦ αὐτοῦ. μὴ μόνον ἄλλου τοῦ μέσου λαμβανομένου· ἀλλὰ καὶ τοῦ αὐτοῦ· ἄλλως δὲ καὶ ἄλλως, δεικτικὸν ἂν εἴη τὸ προειρημένον. τὸ γὰρ αὐτὸ μέσον λαμβάνοντας, ἔστι ποτὲ μὲν ἐν πρώτῳ σχήματι συλλογίζεσθαι τὸ προκείμενον· ποτὲ δὲ ἐν δευτέρῳ· ποτὲ δὲ ἐν τρίτῳ. καὶ δῆλον ὅτι διαφέροντες ἂν εἶεν καὶ οὗτοι οἱ συλλογισμοί. οἵ τε γὰρ ἐν διαφόροις σχήμασιν. τοῦτο δὲ αὖ ἀπελέγων, ὑπὲρ τοῦ δεῖξαι ὅτι οὐ μόνον διαφέροντες συλλογισμοὶ ὧν διαφέρουσιν αἱ μὲν καὶ αἱ προτάσεις, ἀλλὰ καὶ τῶν αὐτῶν ὅρων λαμβανομένων καὶ τῶν αὐτῶν γινομένων συμπερασμάτων, ἡ θέσις τοῦ μέσου καὶ ἡ τάξις, διαφορὰν ποιεῖ συλλογισμῶν. καὶ ἐκ δὲ ἂν διὰ μὲν

τοῦ α β, τὸ πρῶτον λέγων σχῆμα· διὰ δὲ τοῦ α γ, τὸ δεύτερον· διὰ δὲ τοῦ β γ
τὸ τρίτον. οὐσῶν γὰρ προτάσεων τῶν α β ἐν τῷ πρώτῳ σχήματι, τῶν δὲ κοινῶς τοῦ
τὸ γ συμπέρασμα, τὸ αὐτὸ συμπέρασμα ἐν μὲν τῷ δευτέρῳ δειχθήσεται ἐπὶ
τοῖς αὐτοῖς ὅροις, τῆς α προτάσεως, τῆς αὐτῆς ληφθείσης· τῆς δὲ β, τοῦ ἀλ
λαγείσης τουτέστιν ἀντιστραφείσης, καὶ γενομένης γ· αὐτῆς δὲ οὔσης μείζονος.
πάλιν δὲ ἐν τρίτῳ· τῆς μὲν β τουτέστι τῆς μείζονος, τῆς αὐτῆς ληφθείσης· ἥτις
ἦν καὶ ἐν τῷ πρώτῳ· τῆς δὲ α ἀντιστραφείσης καὶ γενομένης γ. δύναται γὰρ τὸ αὐτὸ
συμπέρασμα ἐπὶ τοῖς αὐτοῖς ὅροις, διὰ τῶν τριῶν σχημάτων δειχθῆναι οὕτως.
οἷον ἔστω προκείμενον δειχθῆναι. ὅτι τὶς ἄνθρωπος, οὐκ ἔστι λευκός· τοῦτο ἐν τῷ πρώτῳ
σχήματι οὕτως ἂν δειχθείη· τὶς ἄνθρωπος ἀγαθός ἐστιν· οὐδεὶς ἀγαθὸς λευκός ἐστι·
τὶς ἄρα ἄνθρωπος οὐκ ἔστι λευκός· καὶ ἔστω, ἡ μὲν τὶς ἄνθρωπος ἀγαθός ἐστι, τὸ α πρότασις·
ἡ δὲ οὐδεὶς ἀγαθὸς λευκός, τὸ β. ἐν δὲ τῷ δευτέρῳ σχήματι, πάλιν οὕτως· τὶς ἄνθρωπος
ἀγαθός ἐστιν· ἥτις ἐστὶν ἡ α πρότασις. οὐδεὶς λευκὸς ἀγαθός ἐστιν· ἥτις ἐστὶν ἀντι
στροφὴ τῆς β· αὕτη ἐστὶ τὸ γ. τὸ γὰρ αὐτὸ καὶ ἐκ τούτων συνάγεται· τὸ τὶς ἄνθρωπος,
οὐκ ἔστι λευκός· ἡ μὲν οὖν α πρότασις, κοινὴ αὐτῷ πρὸς τὴν πρώτην δεῖξιν·
ἡ δὲ γ, ἀλλαχθεῖσα ληφθῆ· ἡ γὰρ β ἀντεστράφη. καὶ διὰ τοῦτο ὁ τρίτος συλλογισμὸς ἄλλος.
ἐν τῷ σχήματι δευτέρῳ γάρ. πάλιν ἐν τρίτῳ σχήματι· οὐδεὶς ἀγαθὸς λευκός ἐστιν·
ἥτις ἦν ἡ β πρότασις ἐν τῷ πρώτῳ σχήματι· τὶς ἀγαθὸς, ἄνθρωπός ἐστιν· ἡ ἀντιστρο
φὴ οὖσα τῆς α· ἥτις ἐστὶ τὸ γ· καὶ αὕτη ἡ δεῖξις, τὴν μὲν β πρότασιν, κοινὴν τῇ
ἐν πρώτῳ σχήματι δείξει ἔχει· ἰδίαν δὲ τὴν γ· καὶ γὰρ διὰ τούτων, πάλιν τὸ αὐτὸ
δείκνυται, τὸ τὶς ἄνθρωπος οὐκ ἔστι λευκός· καὶ οὕτως δείκνυται τὸ αὐτὸ συμπέρασμα
διὰ πλειόνων δεικνύμενον. οὐκ ἄλλοτε ἄλλων ὅρων λαμβανομένων, ὡς τὸ
πρὸ τοῦ ἐδείξαμεν. ἀλλὰ τῶν αὐτῶν, ἄλλως καὶ ἄλλως τιθεμένων· κατὰ τὰς
τῶν σχημάτων διαφοράς· καὶ διὰ τοῦ πλειόνων συλλογισμῶν γινομένων. ἀλλὰ
ἔστω μὴ εἶναι τὸ αἰσχρὸν καλόν· δείκνυσι τοῦτο διὰ τῶν αὐτῶν ὅρων ἐν τοῖς τρισὶ
σχήμασιν, ἐν μὲν τῷ πρώτῳ, διὰ τῶν, πᾶν αἰσχρὸν κακόν· οὐδὲν κακὸν
καλόν· διὰ δὲ τοῦ δευτέρου, διὰ τοῦ, πᾶν αἰσχρὸν κακόν· οὐδὲν καλὸν κακόν·
διὰ δὲ τοῦ τρίτου, οὐδὲν κακὸν καλόν· πᾶν κακὸν αἰσχρόν· διοίσει δὲ μόνον τῷ, και
ἐν τῷ τρίτῳ· ἐπὶ μέρους γίνεται τὸ συμπέρασμα ἐν ἐστι, τὸ αὐτὸ συμπέρας
διὰ τῶν τριῶν σχημάτων δεῖξαι· ἢ μὴ τὸ αὐτὸ μὲν συλλαμβάνον τὰς ὡς ἐν,



ἀλλ' ἄλλο τι ἄλλων· ἔσται γὰρ συμπέρασμα καὶ τό, τινὰ ἄνθρωπον μὴ εἶναι ἵππον· τοῦτο μὲν πρώτῳ σχήματι συναγόμενον· λαβόντες τό, τὶς ἄνθρωπος γραμματικός· οὐδεὶς γραμματικὸς ἵππος· ἐν δὲ τῷ δευτέρῳ, τὶς ἄνθρωπος μουσικός· οὐδεὶς ἵππος μουσικός· ἐν δὲ τρίτῳ, πᾶν γελαστικὸν ἄνθρωπος· οὐδὲν γελαστικὸν ἵππος· καθ' ἕκαστον γὰρ συλλογισμόν, δι' ἄλλου μέσου τὸ αὐτὸ δέδεικται συμπέρασμα:

ἢ πάλιν ὅταν ἑκάτερον τῶν α β διὰ συλλογισμοῦ ληφθῇ.

Καὶ οὕτως φησὶ τὸ αὐτὸ διὰ πλειόνων ὅρων δειχθήσεται, ἢ ἑκατέρας τῶν προτάσεων ἤτοι τῆς α ἢ τῆς β· δι' ὧν συνήγετο τὸ ε, ἐὰν διὰ προσυλλογισμοῦ ληφθῶσιν, ὡς ἑκατέραν αὐτῶν, συμπέρασμα συλλογισμοῦ εἶναι· τὴν μὲν α, διὰ τῶν δι' προτάσεων· τὴν δὲ β, διὰ τῶν ζ θ· δείκνυσι γὰρ αὐτὸ τὸ ε, διὰ τῶν δι' ζ θ προτάσεων· οὐ μὴν τὸ συλλογισμὸς αἱ πλείους, ἀλλὰ σύνθετος· ἀνάγκη γὰρ τὸ ὑπό τινων συναγόμενον· συνάγεσθαι καὶ ὑπὸ τῶν ἐκεῖνα συναγόντων· διὰ τὸ δυνάμει αὐτοῖς συνηγορεῖν εἶναι τὰ συναγόμενα, οἷον ἐὰν ᾖ δεικνύμενον, πᾶν δίκαιον συμφέρον εἶναι, διὰ προτάσεων τῶν, πᾶν δίκαιον, ἀγαθόν· πᾶν ἀγαθὸν συμφέρον· ἑκατέρα δὲ τῶν προτάσεων, ἀποδεικνυμένη συλλογιστικῶς· ἡ μὲν πρώτη διὰ τῶν, πᾶν δίκαιον καλόν· πᾶν καλόν, ἀγαθόν· ἡ δὲ δευτέρα, διὰ τῶν, πᾶν ἀγαθὸν ὠφέλιμον· πᾶν ὠφέλιμον συμφέρον· συνάξει καὶ τό, πᾶν δίκαιον συμφέρον· ὅ ἐστι δεικνύμενον ὑπὸ τῶν. διὰ τούτων δεικνυμένων· δι' ὧν δὲ λέγει νῦν, ὑπογραφὴ ἡμῖν φανερώτερον τὸ λεγόμενον. συνθετικὸν θεώρημα· οὐ ταὐτὸ δέ ἐστιν ἀναλυτικῷ· ἔστι δὲ ἡ περιοχὴ αὐτοῦ τοιαύτη. ὅταν ἔκ τινων συνάγηται τι, τὸ δὲ συναγόμενον μετά τινος ἢ τινῶν συνάγῃ τι, καὶ τὰ συνακτικὰ αὐτοῦ μεθ' οὗ ἢ μεθ' ὧν συνάγει ἐκεῖνο, καὶ αὐτὰ τὸ αὐτὸ συνάξει· τὰ γὰρ τῶν α β συνακτικά, δι' ὧν δείκνυται τὸ ε φέρε, πάντα ταῦτα συνάξει φησὶ τὸ ὑπὸ τοῦ α καὶ τῶν β συναγόμενον· ὅ ἐστι τὸ ε· ἔστω γὰρ τό, πᾶν δίκαιον ἀγαθόν, συναγόμενον ὑπὸ τῶν πᾶν δίκαιον καλόν· πᾶν καλὸν ἀγαθόν, συνάγει μετὰ τοῦ πᾶν ἀγαθὸν συμφέρον καὶ τό, πᾶν δίκαιον καλόν· πᾶν καλὸν ἀγαθὸν οὕτω συνακτικὰ τοῦ πᾶν δίκαιον ἀγαθόν. συνάγει μετὰ τοῦ, πᾶν ἀγαθὸν συμφέρον, συνάξει τό, πᾶν δίκαιον συμφέρον· ὃ συνῆγε καὶ τὸ ὑπ' αὐτῶν συναγόμενον, μετὰ τοῦ πᾶν ἀγαθὸν συμφέρον· κἂν ληφθῇ δὲ τό, πᾶν δίκαιον ἀγαθόν, μετὰ τῶν. πᾶν ἀγαθὸν ὠφέλιμον· πᾶν ὠφέλιμον

σημ(είωσαι)

τὸ συνθετικὸν θεώρημα

συμφέρον· συνάγεται δὲ, πᾶν ἀγαθὸν συμφέρον· καὶ τὰ τοῦ, πᾶν δίκαιον ἀγαθόν
συναπτικά. μετὰ τούτων τὸ αὐτὸ συνάξει. διὰ τοῦτο γὰρ προσκεῖται ἐν τῇ προ-
οχῇ τὸ, μετά τινος ἢ τινῶν· καὶ οὕτως ἢ ἐνταῦθα αὐτὸ, διὰ πλειόνων δεικνύμενον
ὅρων· καὶ τῶν συναπτικῶν τινός. τὸ μὲν, ἀπαγωγῇ, τὸ δέ, συλλογισμῷ δεδει-
γμένον ἦ. οἷον τὰ α β γ τοῦ β ὡς συλλογιστικοῦ τὸ μὲν α, δι' ἐπαγωγῆς
εἰλημμένον ἦ. τὸ δὲ β. διὰ συλλογισμοῦ. πάλιν γὰρ ἔστω καὶ τὸ α δεικνύ-
μενον, καὶ τῶν ἐπακτικῶς δεδειχότων τὸ α. καὶ τῶν συλλογιστικῶς.
τὸ β. οἷον ἂν δεικνύοι τὸ ὅτι ἡ πολιτική, ἀγαθοῦ τινὸς ἐφίεται, διὰ προ-
τάσεων τῶν, ἡ πολιτικὴ μέθοδός ἐστι· πᾶσα μέθοδος ἀγαθοῦ τινὸς
ἐφίεται· τούτων δὲ καὶ ἡ μὲν λέγουσα, πᾶσα μέθοδος ἀγαθοῦ τινὸς ἐφί-
εται, δι' ἐπαγωγῆς δεικνύοιτο. προχειριζομένων ἡμῶν τὰς τέχνας τε
τὰς ἐπιστήμας καθ' ὧν ἡ μέθοδος, καὶ δεικνύντων ὅτι οὕτως ἔχουσιν.
ἡ δὲ λέγουσα τὴν πολιτικὴν μέθοδον εἶναι, διὰ συλλογισμοῦ τοῦ, πᾶσα
ἕξις μετά τινος λόγου τῶν περὶ αὐτὴν οὖσα θεωρητική, μέθοδός ἐστιν.
ἡ δὲ πολιτική, ἕξις ἐστὶ μετὰ λόγου τῶν περὶ αὐτὴν θεωρητική. ἴσως
ὁ Πλάτων δεικνὺς ἐν πρώτῳ Πολιτείας, τὴν μὲν δικαιοσύνην φρόνησίν
τινα οὖσαν, τὴν δὲ ἀδικίαν ἀφροσύνην, οὕτως· ὁ τοῦ ἀνομοίου μὲν
ἀξιῶν, τὸ πλεονεκτεῖν· τοῦ δὲ ὁμοίου μὴ ἀξιῶν, φρόνιμος. ὁ δὲ δίκαιος,
τοῦ μὲν ἀνομοίου ἀξιοῖ πλεονεκτεῖν· τοῦ δὲ ὁμοίου οὐκ ἀξιοῖ· δίκαιος
ἄρα, ὁ φρόνιμος· ἑκατέραν γὰρ τῶν προτάσεων τούτων, δεικνύει.
ἀλλὰ τὴν μὲν πρώτην, δι' ἐπαγωγῆς, τὴν δὲ δευτέραν, διὰ συλλογισμοῦ,
ἡ μὲν οὖν ἐπαγωγὴ τοιάδε ἂν εἴη ὡσαύτως. ὁ ἐν ταῖς τέχναις τοῦ μὲν ὁμοίου
οὐκ ἀξιῶν πλεονεκτεῖν, τοῦ δὲ ἀνομοίου, φρόνιμος παρὰ ταύταις.
ἐστὶ δὲ οὗτος, ὁ ἰατρός. ἀλλὰ καὶ ὁ ἐν τοῖς κατὰ μουσικὴν τοῦ μὲν ὁμοίου
μὴ ἀξιῶν πλέον ἔχειν παρὰ τὴν ἐπίτασιν τῶν χορδῶν· ἢ ἄνεσιν. τοῦ
δὲ ἀνομοίου, φρόνιμος ἐν τούτοις, τοιοῦτος γὰρ ὁ μουσικός, καὶ καθόλου
ἄρα πᾶς ὁ τοῦ μὲν ὁμοίου οὐκ ἀξιῶν πλεονεκτεῖν, τοῦ δὲ ἀνομοίου, φρό-
νιμος. τὴν δὲ δευτέραν πρότασιν, οὕτως ἐστὶ συλλογίσασθαι. πᾶς ὁ τοῦ
ἴσου ἀπονεμητικός, τοῦ μὲν ὁμοίου οὐ πλεονεκτεῖ, τοῦ δὲ ἀνομοίου.
ὁ δὲ δίκαιος, τοῦ ἴσου ἀπονεμητικός. ὁ ἄρα δίκαιος, τοῦ μὲν ὁμοίου οὐ

πλείονα κεῖται· τοῦ δ' ἀνομοίους ὁ δὲ τοιοῦτος φρόνιμος· οὐ μὴν οὐδὲ τοι αὐτὴ
δεῖξις ἁπλῆ, ἀλλὰ σύνθετος· σύνθετος δὲ οὐκ ἐκ πλειόνων συλλογισμῶν,
ἀλλ' ἐξ ἐπαγωγῆς καὶ συλλογισμοῦ· διὸ καὶ ἡ ἀνάλυσις αὐτοῦ, οὐκ εἰς συλλο-
γισμοὺς ἔσται· ὡς ἐπὶ τοῦ πρώτου καὶ συλλογισμῶν· ἑκατέρας γὰρ τῶν προ-
τάσεων τῶν ἐν ἐκείνῳ τῷ συλλογισμῷ· δεικτικά τινα συλλογιστικῶς· ἀλλὰ
καὶ ἔσται τούτου ἡ ἀνάλυσις, εἰς ἐπαγωγὴν καὶ συλλογισμόν, ἐξ ὧν καὶ συνε-
τέθη· ἀναλυόμενα γὰρ τὸν ὅλον λόγον, λέγοντες συνάγεσθαι τὸ μὲν α̅ ὑπὸ
τῶν ἐπακτικῶς αὐτὰ καθ' ἕκαστα ὄντων· τὸ δὲ β̅, ἐκ τῶν οἰκείων προ-
τάσεων· ὑπὸ δὲ τῶν α̅ β̅, τὸ ε̅· ὥστε καὶ ὑπὸ τῶν ἐξ ἀρχῆς τῶν τε τοῦ α̅
δεικτικῶν καὶ τῶν τοῦ β̅, τὸ ε̅ συναχθήσεται· ἐπεὶ δὴ τὰ συνακτικά τινος
ὡς ἔφαμεν μαθοῦ ἢ μαθῶν τὸ ἐξ αὐτῶν δεικνύμενον συνάγει, μετ' ἐ-
κείνου ἢ μετ' ἐκείνων καὶ αὐτὰ συνάξει· τὰ γὰρ συνακτικὰ τοῦ α̅ ἔστω τὸ δ̅·
μαθοῦ ἢ μαθῶν τὸ α̅ τὸ ἐξ αὐτῶν δεικνύμενον συνάγει, μετὰ τούτου
ἢ μετὰ τούτων καὶ αὐτὰ συνάξει ὃ καὶ αὐτό, συνῆγε δὲ τὸ α̅ μετὰ τοῦ β̅, τὸ ε̅·
ἀλλὰ καὶ μετὰ τῶν τοῦ β̅ συνακτικῶν· ἔστω δὲ ταῦτα, τὰ ζ̅ θ̅· τὸ αὐτὸ
συνῆγε· τὸ γὰρ δ̅ καὶ τὸ γ̅ ἄρα μετὰ τῶν ζ̅ θ̅, ἢ μετὰ τοῦ β̅ τὸ ε̅ συνάξει:·

ἀλλὰ καὶ οὕτως πλείους οἱ συλλογισμοί· πλείω γὰρ τὰ συμπεράσματα·
οἷον τό τε α̅ καὶ τὸ β̅ καὶ τὸ γ̅·

Τὸ μὲν γ̅ αὐτὸ τοῦτο ἔλαβεν· ὃ ἦν ὡς ὅτι τοῖς α̅ β̅· καὶ τὸ γ̅ εἰλημμένον αὐτὸ
συμπέρασμα· λέγει δὲ μὴ ἀναγκάσθαι συλλογισμόν· ἐν ᾧ καὶ προτά-
σεις δεικτικαὶ τοῦ συμπεράσματος, συμπεράσματα ἄλλων τινῶν
εἰσίν· ὅσα γὰρ τὰ συμπεράσματα, τοσοῦτοι καὶ οἱ συλλογισμοί· ἔστι δὲ συ-
μπεράσματα, τό τε α̅ καὶ τὸ β̅· αὗται γὰρ ἡ συμπεράσματα δεικτικαὶ τοῦ γ̅ προτά-
σεις· αὐταὶ δὲ ἄλλων συμπεράσματα· ἀλλὰ καὶ τὸ γ̅ προσεχῶς ἐκ τῶν
α̅ β̅ δεικνύμενον· δῆλον δὲ ὅτι ἀφ' ὧν διὰ συλλογισμῶν αἱ δύο προτάσεις
δείκνυνται, ἐν ταῖς δύο συμπεράσματα, τρία γίνεται συμπεράσματα·
τὸ γὰρ δι' ἐπαγωγῆς δειχθὲν οὐ συλλογισμός· ἀλλ' οὕτως καὶ πλείους οἱ
συλλογισμοί· ὅτι καὶ ἑτέρα τῶν προτάσεων ἢ β̅, τῶν διὰ συλλογισμοῦ
δέδεικται· ὥστε καὶ οὕτως δύο συλλογισμοί· ἀπὸ πάντων δὲ οὐχ ἕνα γίνεσθαι
συλλογισμόν· ἀλλὰ τοσούτους ὅσα τὰ συμπεράσματα ἐπιφέρει:·

ἢ ὅλως μὲν πλείους, ἀλλ' ἐξ οὗ τὸ μὲν ἐνδέχεται γίνεσθαι διὰ πλειόνων

Τὶς φησὶν ἀξιώσαι καὶ τὸν τοιοῦτον, ἕνα συλλογισμόν τὸ αὐτὸ συμπέρασμα εἶναι· τῷ πρὸς τῷ τὸ τελευταῖον συμπέρασμα ἐπιδεδεῖξιν· καὶ τὰς τῶν προτάσεων δείξεις συντελεῖν, οὐ πρὸς τοῦτό φησι· φιλονεικητέον· ἀλλὰ γνωστέον ὅτι οὕτως μὲν καὶ τοῦτον τὸν τρόπον ἐγχωρεῖ διὰ πλειόνων ὅρων καὶ προτάσεων γίνεσθαι τὸ αὐτὸ συμπέρασμα. ἢ ὑπερκειμένων πλειόνων συμπερασμάτων, τῷ παντὶ λόγῳ· ὡς διὰ τὸ ΓΔ διὰ τῶν ΑΒ, ἀδύνατον· οὕτως δὲ ὡς διὰ δύο προτάσεων δείκνυσθαι τι συμπλέκειν. τὸ διὰ πλειόνων προσεχῶν λαμβανομένων, καὶ ἄλλο τε ἄλλων, ἀλλ' ἢ τὸ προκείμενον συμπέρασμα συνάγουσιν ἀδύνατον:·+

ἔστω γὰρ τὸ Ε συμπεπερασμένον ἐκ τῶν ΑΒΓΔ. οὐκοῦν ἀνάγκη τι αὐτῶν ἄλλο πρὸς ἄλλο εἰλῆφθαι.

Ὅτι πᾶς συλλογισμὸς διὰ τριῶν ὅρων καὶ διὰ προτάσεων προσεχῶν δύο δείκνυται, δι' ὑποθέσεως δείκνυσιν. εἰ γὰρ οἷόν τε διὰ πλειόνων, ἔστω τὸ Ε δεδειγμένον διὰ προτάσεων τῶν ΑΒΓΔ. ποιεῖται δὲ τὴν δεῖξιν, ἐπὶ τοῦ πρώτου σχήματος· ὡς γὰρ ἂν ἐπὶ τούτου δειχθῇ, οὕτως ἔσται καὶ ἐπὶ τῶν ἄλλων σχημάτων· οὐκοῦν εἰ τὸ Ε συλλογιστικῶς δείκνυται διὰ τῶν ΑΒΓΔ προτάσεων ἀνάγκη ἐν αὐταῖς τὸ μέν τι ὡς ὅλον εἶναι, τὸ δέ, ὡς μέρος· τουτέστι τὴν μέν τινα πρότασιν καθόλου εἶναι· τὴν δέ, ὑπὸ ταύτην· ἀδύνατον γὰρ ἄλλως γενέσθαι συλλογισμόν, μὴ τοῦ μὲν καθόλου ληφθέντος, τοῦ δέ, ἐπὶ μέρους· καὶ ἐν τούτῳ περιεχομένου, τοῦτο γάρ φησι δέδεικται· ὅτι ἐὰν ᾖ συλλογισμός, ἀνάγκη τινὰς τῶν ὅρων τινὰς τῶν δεικτικῶν συλλογιστικῶς τοῦ προκειμένου, πρὸς ἀλλήλους οὕτως ἔχειν· ὡς τὸν μέν, περιέχειν, τὸν δέ, περιέχεσθαι· τοῦτο γάρ, δέδεικται μὲν καὶ πρὸ ὀλίγου· εἴρηκα δὲ αὐτό, καὶ ἐν τῇ τῶν συλλογισμῶν καταριθμήσει τε καὶ ἀναθέσει· αὕτη γὰρ ἦν πρώτη γένεσις τῶν συλλογισμῶν· τὸ γάρ, ἐν ὅλῳ ἄλλῳ, ἄλλο ὂν εἶναι· καὶ τὸ κατὰ παντὸς ἄλλου ἄλλον λέγεσθαι· τούτων τῶν ἀναποδείκτων συλλογισμῶν αἱ ἀφορμαί· οὐ μόνον δὲ δεῖ τοὺς ὅρους οὕτως ἔχειν πρὸς ἀλλήλους, ἀλλὰ καὶ τῶν προτάσεων, τὴν μέν, καθόλου εἶναι πρὸς τὸ κείμενον, ὡς καὶ μεῖζον ἀλλ' ἤγουν· τὴν δέ, ἐλάττω

ναί τε καὶ ὑπὸ τὸ αὐτήν. δείκνυσι δὴ καὶ ἐπὶ τῶν α β γ δ προτάσεων, ᾗ τοῦτο γίνεσθαι
ἐνδέχεται, κἂν σχῶσιν αὐτῶν πρὸς ἀλλήλας τοιαύτην, ὡς συνῆφθαί τε ἀλλή-
λαις· καὶ ἀνάγκη τῶν μὲν καθόλου, τῶν δὲ ὑπὸ ταύτην. ἃς συναχθήσεταί τι
διὰ τῶν συλλογιστικῶς. εἰ γὰρ ἔχωσιν οὕτως πρὸς ἀλλήλας αἱ προτάσεις,
ἤτοι α, καὶ ἡ β. οὐκέτι ὡς οὕτως ἔχουσι πρὸς ἀλλήλας, δῆλον ὡς καὶ συ-
ναχθήσεταί τι ἐξ αὐτῶν. ὅταν γὰρ δύο προτάσεις οὕτως ἔχουσαι ληφθῶσι
πρὸς ἀλλήλας, ἐξ ἀνάγκης συνάγεταί τι ἐξ αὐτῶν. καὶ ἀποδέδεικται συλλογιστικῶς,
τὸ δεικνύμενον καὶ συναγόμενον ἐκ τῶν α β προτάσεων. οὕτως ἔχουσιν
πρὸς ἀλλήλας, ἤτοι τοῦτο ἔσται ὅπερ ἦν προκείμενον δεῖξαι ἐκ
τῶν α β γ δ προτάσεων, ἢ τὸ ἕτερον τῶν γ δ. ἄλλη αὐτὸ συνακτικά
μετὰ τῶν α β, εἰ καὶ τὸ τοῦ ε. ἢ οὔτε τὸ ε, οὔτε τὸ γ ἢ τὸ δ, ἀλλὰ ἄλλο τι
παρὰ ταῦτα πάντα. ἔστω μὲν οὖν τὸ ε, εἰ καὶ ἐκ τῶν δύο μόνων τούτου α καὶ τοῦ β,
συναγόμενον τὸ ε. ἀλλ᾽ οὐκ ἐκ τῶν ὑποτεθέντων τεσσάρων. τὰ δὲ λοιπὰ
δύο τὸ γ καὶ τὸ δ. τουτέστιν αἱ προτάσεις αἱ δύο αἱ λοιπαί, εἰ μὲν καὶ αὗται
οὕτως ἔχουσι πρὸς ἀλλήλας. ὡς τὴν μὲν καθόλου εἶναι τὴν μείζονα πρό-
τασιν· τὴν δ᾽ ἐλάττονα τε καὶ ὑποκειμένην. ὡς γίνεσθαι συλλογιστικὴν
ὑπὸ αὐτῶν συζυγίαν, συναχθήσεταί τι καὶ ἐκ τούτων συλλογιστικῶς, καὶ ἤτοι
τὸ ε. ἢ τῶν α καὶ τῶν β τὸ ἕτερον. ἢ ἄλλο τι παρὰ ταῦτα. ἔστω μὲν οὖν τὸ ε· καὶ
ἐκ τούτων συνάγεται ὥσπερ καὶ ἐκ τῶν α β. πλείονες ἔσονται οἱ συλλογισμοὶ
τοῦ αὐτοῦ. εἰ δὲ ἐδείχθη γὰρ ὅτι καὶ τὸ αὐτὸ συμπέρασμα δι᾽ ἄλλων καὶ ἄλλων προ-
τάσεων γίνεται, πλείονες οἱ συλλογισμοί. ἀλλὰ καὶ εἰ τῶν α β τὸ ἕτερον
ὑπὸ τῶν γ δ συνάγεται, καὶ οὕτως πλείονες οἱ συλλογισμοί. τὸ γὰρ ἕτερον αὐτῶν
προτάσεων τῶν α β ἀεὶ ἢ σὺν τοῦ ε συλλογιστικῆς, συμπέρασμα ἐδύναται ἐπὶ
ταῖς α β γ δ προτάσεσιν. ἔστι δὲ ἡ τοιαύτη σύνθεσις κατὰ τὸ τρίτον ὑπὸ
τῶν νεωτέρων καλούμενον θέμα γινομένη, ὃ ἐστιν ὑπὸ τὸ προειρημένον
ἡμῖν συνθετικὸν θεώρημα. ἀλλὰ τούτου μὲν ἐστὶν ἡ περιοχὴ ὡς προειρημένον,
ὅταν ἔκ τινων συνάγηταί τι· τὸ δὲ συναγόμενον μετά τινος ἢ τινῶν συνά-
γῃ τι, καὶ τὰ συνακτικὰ αὐτοῦ, μεθ᾽ οὗ ἢ μεθ᾽ ὧν συνῆγέ τι ἐκεῖνο, καὶ αὐτὰ
τὸ αὐτὸ συνάξει. τοῦ δὲ τρίτου καλουμένου θέματος ἡ περιοχή,
ἐστὶν αὕτη. ὅταν ἐκ δυοῖν τρίτον τι συνάγηται, ἐὰν δὲ αὐτῶν ληφθῇ

ἔξωθεν συλλογιστικοῦ καὶ ἐκ τούτων ποιεῖ, καὶ ἐκ τῶν ἔξωθεν τοῦ ἑτέρου συλλογιστικοῦ
τὸ αὐτὸ συνάγεσθαι δοκεῖ. ὁ δὲ καὶ τὸ διὰ προσυλλογισμοῦ γινόμενον συλλογισμὸν
οὐ τοιοῦτόν ἐστιν. ἔνια βούλεται ἐκλέγειν συλλογισμὸν μόνως ὡς ἔφαμεν. τὸ δύνασθαι
τὸ αὐτὸ διὰ πλειόνων ὅρων συνάγεσθαι, οὕτως ἐξηγοῦ τὸν λόγον. οὐ γὰρ
τῷ τὰς προσεχῶς δεικτικὰς τοῦ ε̄ πλείους εἶναι προτάσεις, τούτῳ διὰ πλε-
ιόνων ὅρων ὁ συλλογισμὸς ἔσται· ἀλλὰ τῷ τῶν προσεχῶς δεικτικῶν τοῦ ε̄ προτά-
σεων ἀναγκαίων τὴν ἑτέραν ἢ καὶ ἀμφοτέρας, συμπεράσματα ἄλλων λόγων τε καὶ συλλο-
γισμῶν. ἃ δὲ μήτε τοῦ ε̄ τὰ γ̄ δ̄, μήτε τῶν ᾱ β̄ τοῦ ἑτέρου δεικτικά.
ἀλλ' ὅ δὲ συλλογίζοιτο, πλείους τε ὁμοίως ἔσονται οἱ συλλογισμοί. καὶ ἀσύνα-
πτοι. καὶ οὐ θίγοντες οὐ πρὸς ἀλλήλους ἔχοντες. οὔτε γὰρ αὐτὰ τὰ γ̄ δ̄ συνῆπται
τῷ ε̄, οὔτε τὸ δεικνύμενον ἐξ αὐτῶν. ἅ γε τὰ μὲν ᾱ β̄ τοῦ ε̄ δεικτικά ἐστι. τὰ δὲ γ̄
δ̄, ἔξωθεν τινὸς ἄλλου. καὶ οὔτε τοῦ ε̄, οὔτε τῶν ᾱ β̄ τινός. ἃ δὲ μὴ οὕτως
ἔχουσι πρὸς ἀλλήλας αἱ γ̄ δ̄ προτάσεις, ὡς ἔχουσιν αἱ συλλογιστικῶς τι
συνάγουσι καὶ ἀναγκαίως εἰσὶν εἰλημμέναι. καὶ γὰρ χωρὶς τοῦ ληφθῆναι αὐτὰς,
τὸ ε̄ συνάγεται ἐκ τῶν ᾱ β̄. ἀλλ' ἢ καὶ τῷ ἔσται εἰλημμένα. τουτέστι παρέλκον-
τα ἀχρήστως. ἢ μὴ ἐπαγωγῆς χάριν, ὡς πιστώσασθαί τι τῶν τοῦ ε̄ δεικτικῶν,
δι' αὐτῶν. οὐ γὰρ ἐνῆν ἐπαγωγῇ τοῦ δεικτικοῦ τινος τὸ μέρος, ὡς ὅλα ἐστί
τὰ δ' ὡς μέρος. οὐδὲ γὰρ συλλογίζεται ἡ κρύψεως χάριν ὡς διὰ τούτου
παραθεῖν. τὸν πρὸς διαλεγόμενον συγχωρεῖν ῥᾷον τὰς συλλογιστικὰς
τοῦ προκειμένου προτάσεις· τῷ ταύτας ἐν μέσῳ τεθειμένας, ἀποκρύπτεσ-
θαι μὴ ἐᾶν τὸ συμβησόμενον ἐκ τῶν συγχωρηθέντων, καὶ τὸ φανερὸν γίνεσθαι
τὸ γνώριμον. ῥᾷον γὰρ οἱ οὐκ εἰδότες τὸ συναχθησόμενον ἐκ τῶν συγχωρη-
θέντων, συγχωροῦσιν. ὃ ποιοῦσιν αἱ κρύψεως χάριν τοῦ συμπεράσματος,
ἔξωθεν ἐπιβαλλόμεναι προτάσεις. τοῦτο δὲ ποιοῦσιν, οἵ τε διαλεκτικοί τε
καὶ οἱ σοφισταί. τὸ δὲ, ἢ τινὸς ἄλλου ἕνεκεν, ἀντὶ τοῦ ὅπως καὶ αὐξήσωσιν, ἢ τοῦ σα-
φέστερον εἶναι τὸν λόγον, αἱ γὰρ παρὰ τὰς ἀναγκαίας προτάσεις λαμβανόμεναι,
τούτων τινὸς χάριν εἰώθασι λαμβάνεσθαι, ὡς ἔδειξεν ἐν τῷ τελευταίῳ τῶν
τοπικῶν. δι' ἐπαγωγῆς μὲν οὖν, ὁ τὴν καθόλου πρότασιν δεικνὺς πάλιν.
ὡς ἐδείξαμεν ἐν τῷ συνάγοντι λόγῳ τῷ πολιτικῷ ἀγαθοῦ τινος ἐφίεσθαι.
ἢ γὰρ προτάσεις, ἢ πᾶν πρᾶγμα ἀγαθοῦ τινος ἐφίεται· δι' ἐπαγωγῆς ἐδείκνυτο.

ἀλλὰ καὶ ἐν τοῖς συλλογιστικοῖς μὲν λέγων τὸν δίκαιον φρόνιμον· ἢ πρὸς τὰ ὅσ' ἂν λέγοιτο
ἀπαιτεῖται τὸν τοῦ μὲν ὁμοίου οὐκ ἀξιοῦντα πλέον ἔχειν· τοῦ δὲ ἀνομοίου, φρόνιμον
εἶναι, διὰ τὸ πάσας τὰς ἀρετὰς ἔχειν τοῦτον· αὐξήσεως δέ, ὅταν μηκύνωσι τὸν λόγον
βουλόμενοι, ὡς ποιοῦσιν οἱ πολλοὶ κατὰ τὰς συγγραφάς· οὐ γὰρ ἀρκούμενοι ψιλαῖς
μόναις ταῖς τοῦ προκειμένου διαλεκτικαῖς προτάσεσιν ἔξωθέν τινας ἐπεμβά-
λλουσι· κόσμου τε χάριν καὶ ὅπως τοῦ μήκους τὸν λόγον ἢ τῶν ἐν ταῖς προτάσεσι
κειμένων τι, ὁποῖόν ἐστι τὴν φύσιν ἐξηγούμενοι· ἤ τι ἄλλο συνάπτοντες τῷ λόγῳ.
οἷον εἰ βουλόμενός τις δεῖξαι τὸ καλὸν ὠφέλιμον, λαμβάνοι πρότασιν τήν, πᾶν
καλὸν ἀγαθόν· εἶτα τὰ περὶ τοῦ καλοῦ, τινὰ προστεθείη· λέγων τὸ καλὸν εἶναι
καὶ ἐπαινετὸν τῇ αὑτοῦ φύσει καὶ δι' αὑτὸ αἱρετόν· τὸ γὰρ καλὸν πρὸς ἑαυτὸ ἐπι-
σωμένον, δι' αὑτὸ αἱρετόν· ἀλλὰ μὴν καὶ τὴν πλείστην μοῖραν ἔχειν πρὸς εὐ-
δαιμονίαν αὐτό· ὃ γάρ, μήτε εἰς κατασκευὴν τοῦ, τὸ καλὸν αἱρετὸν εἶναι, λα-
μβάνων αὐτὰ τὰ μὴ ἀμφισβητηθῆναι τούτου· μήτε ὡς πρὸς τὴν δεῖξιν τοῦ προ-
κειμένου, ἄλλως δ' αὐτὰ προστίθησιν αὐξήσεως χάριν αὐτὰ προστίθησι τοῦ
λόγου· ὁμοίως καὶ ἂν περιτιθεῖσιν αὐτῷ· καὶ φεύγων τὸ τῆς τέχνης ψιλόν τε καὶ
ξηρόν· κρύψεως δέ φησι, χάριν τοῦ μὴ δῆλον ~~χ~~ φαίνεσθαι μηδὲ δύνασθαι ἰδεῖν τὸν ἀ-
ποκρινόμενον· ἀλλὰ ῥᾷον τὸ φαινόμενον διιδεῖν, καὶ συνορᾶν τὸ συμβη-
σόμενον· οἷον εἰ βουλόμενός τις δεῖξαι ὅτι καὶ ἡ ἰσχὺς ἀγαθόν, λαβὼν τὸ καὶ τὸ
ὠφέλιμον εἶναι τὸ ἀγαθόν, μὴ εὐθὺς ἐρωτώη, εἰ τὸ τὸ ἀγαθὸν ὠφέλιμον, ἀγαθόν·
διὰ τὸ μὴ φανερὸν τὸν αὐτὸ λέγοντα τοῦτο, τὸ θέλοντι τὸ συμβησόμενον φανερὸν
εἶναι· ἀλλ' ἐν μέσῳ ἄλλα τινὰ ἐρωτώη· οἷον, εἰ ὁ ἀγαθός ἐστιν ὁ τὰς ἀρετὰς
ἔχων· καὶ εἰ ἡ ἀρετὴ ἀγαθόν· ὡς ἐπαινετόν ἐστι· καὶ εἰ δι' αὑτὴν αἱρετή· ἃ οὐδὲν
μὲν αὐτῷ συντελεῖ πρὸς ὃ ἐβούλετο δεῖξαι· διασπᾷ δὲ τὴν συνέχειαν τῶν
συναγουσῶν τὸ προκείμενον προτάσεων· εἶτα κατ' ἐπὶ τοῦ τέλους ἐξετάσαι, εἰ τὸ
τὸ ἀγαθὸν ὠφέλιμον, δι' ὧν ἄλλο τι σημαίνειν εἶναι ἢ ἀγαθόν ἐστιν ἀεί· ῥᾷον γὰρ οὕτως
λήψεται, ἢ εἰ εὐθὺς αὐτὸ αἰτοίη, διὰ τὸ ἀλλ' ἦν τὸ αὐτὸ τοῦτο, διὰ τὸ πάσας ἦν λαβεῖν.
λέγων· ὡς ἐπὶ τὸ τὸ μουσικὸν μουσικόν· καὶ τὸ τὸ τεχνίτην τεχνικόν, οὕτω καὶ τὸ
τὸ ἀγαθὸν ἀγαθόν· σαφηνείας δέ, ὅταν ἀσαφοῦς οὔσης τῶν συλλογιστικῶν τινὸς
τοῦ προκειμένου προτάσεων, εἰς σαφήνειαν αὐτῶν ἤ τινα τεθῶσι, ὡς εἰ ἔχοι
ἀΐδια προβολῇ προτάσεις λαμβανόμεναι· θέλοντες γὰρ λαβεῖν ὅτι πᾶν
τὸ ὅμοιον·

τοῦτο· παραβλητέον· καὶ γὰρ τὸ ἀνόμοιον ἕτερον· καὶ ὅτι ἐπιστήμη μὲν τῶν ἐναν-
τίων βουλόμενος λαβεῖν, παραβλητέον· ὅτι καὶ γὰρ ἀγαθοῦ ἐστὶν αὐτὴ τῶν ἐναντίων·

Τὸ ἐκ τῶν α β μὴ τὸ ε ἀλλ' ἄλλο τι γίνεσθαι.

Πρότερον λαβὼν ἐκ τῶν α β προτάσεων συνάγεσθαι τὸ ε· καὶ περὶ τῶν γ δ ποιη-
σάμενος τὸν λόγον, νῦν ζητεῖ· εἰ μὴ ἂν τὸ ε συναγόμενον ἐκ τῶν α β, ἀλλ' ὅτι,
ἂν δή φησιν ἀπὸ τῶν α β, ἀλλ' ὅτι καὶ μὴ τὸ ε συνάγηται· ἐκ δὲ τῶν γ δ,
ἢ θάτερον τῶν α β· ἤ τι ἄλλο ἔξωθεν, οἷόν τε συλλογισμοὺς πλείους· πλείω γὰρ
τὰ συμπεράσματα· τὸ μὲν, ἐκ τοῦ α β· ἤ τι ἄλλο ἔξωθεν. τὸ δὲ, ἐκ τοῦ γ δ·
ἅτε τὸ α ἢ τὸ β ἀντὶ τοῦ τε ἄλλο τι ἔξωθεν· καὶ ἔτι, οὐ τὸ προκείμενον ἔσται
δεικνύμενον καὶ συναγόμενον· ἓν καὶ γὰρ τὸ συμπέρασμα εἶναι· ἐὰν δὲ τὸ μὲν
α β· ἀνασυνάγοντα ἔξωθεν τι· τὸ δὲ γ δ μηδὲν ἀποδεικνύωσι, ὁ μὲν συλλο-
γισμὸς ἔσται, ἀλλ' οὐ τοῦ προκειμένου· οὐ γὰρ τὸ ε ἐδείχθη ἀπὸ τῶν α β.
ἀλλὰ ἄλλο τι· τὰ δὲ γ δ, μάτην ἔσται εἰλημμένα καὶ ἠρωτημένα· ὁ δὲ αὐτὸς λόγος,
κἂν τὰ μὲν γ δ ἀνάγῃ ἔξωθέν τι συνάγοντα· τὰ δὲ α β, μηδέν· ἢ τὸ ε δὲ μὴ γένηται
ἐκ τῶν γ δ μηδέν· γέγραπται ἀντὶ τοῦ, ἃ δὲ μὴ γίνεται ἐκ τῶν α β μηδέν.
περὶ μὲν γὰρ τῶν γ δ, ἔφθασε τοῦτο εἰρῆσθαι· περὶ δὲ τῶν α β, ἔλλειπεν εἰρη-
σθῶσαι· εἰ γὰρ μὴ οὕτως ἔχει, δεῖ μὲν ἔσται τὸ αὐτὸ περὶ τῶν γ δ λεγόμενον.
περὶ δὲ τῶν α β παραλιπεῖν: δόξας δὲ τοῦτο, ἐπιφέρει ἐν λόγοις ὅτι ἐπεὶ ὁ
συλλογισμὸς διὰ τριῶν ὅρων καὶ διὰ προτάσεων δύο· καὶ γὰρ οἱ σύνθετοι συλλο-
γισμοὶ τοῖς προσεχῶς δεικνύουσαι προτάσεις δύο ἔχουσιν· καὶ γὰρ τρεῖς ὅροι,
δύο ποιοῦσι προτάσεις· ἐκ τούτων ἀμφοῖν καὶ ἀντιστροφὴ γίνοιτο τινὸς τῶν προτάσεων.
ἢ καὶ ἀμφοτέρων· οὕτως γὰρ αὔξουσι πλείους προτάσεις ἐκ τριῶν ὅρων γίνεσθαι.
ἐλαμβανόμεναι δὲ τὰς ἀντιστροφάς, πρὸς τὸ τελειοῦν τῶν ἀτελῶν συλλογισμῶν.
οὕτω δὴ ἔσονται οἱ ἐν δευτέρῳ τε καὶ τρίτῳ σχήματι. ἀλλὰ καὶ ἐπανάγων, ἐκ δύο προ-
τάσεων ὁ συλλογισμός· τὰς γὰρ ἀντιστροφὰς ἐλαμβάνομεν· διὰ τῆς
πρὸς τὴν ἀντιστροφὴν πρὸς τὸ δεῖξαι τὸ συμπέρασμα· ἀλλ' οὐ καὶ ἀμφοτέρας
ἀναγκαίας δὲ ἐκ τριῶν ὅρων πάντα συντελούμενον δεικνύναι τὸν συλλογισμόν.
χρὴ ἐπισκοπεῖν δὲ αὐτὰς πρὸς τό, τὸ ἐκ τριῶν σχήματα μόνα εἶναι. τριῶν γὰρ ὄντων
ὅρων, ἡ τοῦ μέσου θέσις· οὐκ ἄλλως ἕξει πρὸς τοὺς ἄκρους, παρὰ τὰ ἐν τοῖς
τρισὶ σχήμασιν εἰρημένως ἔχειν αὐτοῦ πρὸς αὐτούς:

Φανερὸν οὖν ὡς ἐν ᾧ ἂν λόγῳ συλλογιστικῷ μὴ ἄρτιαί εἰσιν αἱ προτάσεις δι' ὧν γίνεται τὸ συμπέρασμα τὸ κύριον·

Τὸ μὲν ἄρτιαι, ἀντὶ τοῦ δύο. ἐδείχθη γὰρ ὅτι ἐκ τριῶν ὅρων καὶ δύο προτάσεων πᾶς ἁπλοῦς καὶ εἷς συλλογισμός. τὸ δὲ, συλλογιστικῷ, προσέθηκεν, ὅτι εἰσί τινες καὶ ἐν παντὶ ἀσυλλόγιστοι λόγοι. εἰ καὶ αὐτοὶ μὲν γίνονται διὰ προτάσεων· οὐ μὴν δὲ ἐξ ἀρτίων· ἀλλὰ καὶ τὸ δι' ὧν γίνεται τὸ συμπέρασμα τὸ κύριον, δηλωτικόν ἐστι τῶν προσεχῶν προτάσεων· δι' ὧν καὶ τὸ προκείμενον συμπέρασμα προσεχῶς δείκνυται. οὐδὲ γὰρ κωλύει τὸ ἐκ τῶν προσεχῶν τῷ δεικνυμένῳ προτάσεων εἶναι τὸ συμπέρασμα καὶ ἄλλων τινῶν προτάσεων· ὡς ἐπὶ τῶν συνθέτων ἐδείχθη συλλογισμῶν:

ἔνια γὰρ τῶν ἄνωθεν συμπερασμάτων ἀναγκαῖον εἶναι προτάσεις·

Τοῦτ' ἔστιν ἔνια γὰρ τῶν ἄνωθεν τε καὶ πρώτως δεδειγμένων καὶ συμπερασμάτων ἐπαλλήλοις προτάσεσι γεγονότων, ἀναγκαῖον εἶναι τοῖς μετὰ ταῦτα προτάσεις. τὸ γὰρ ἀρτίων προτάσεων συμπέρασμα, οὐδὲν κωλύει ἄλλου συμπεράσματος πάλιν αὐτὸ εἶναι πρότασιν συναπτικήν. ἃ δὲ μὴ κυρίως εἰσὶν αὗται προτάσεις, δι' ὧν γίνεται τὸ προσεχῶς γινόμενον συμπέρασμα· φανερὸν ἐκ τῶν προειρημένων εἶναι, ὅτι οὗτος ὁ λόγος ἢ οὐ συλλελόγισται, ἢ πλείω τῶν ἀναγκαίων ἠρώτηκε πρὸς τὴν θέσιν. ἃ μὲν γὰρ μή ἐστι τὸ ᾱ τὸ β̄ συναγόμενα· μήτε τὸ γ̄ καὶ τὸ δ̄· ἃ τῶν συναπτικῶν τοῦ ἐκκειμένου, οὐδ' ὅλως ἂν εἴη συλλογισμὸς γινόμενος. εἰ δ' ἄλλα τινὰ συλλογίζοιτο οὐ τοῦ προκειμένου, ἂν εἴη συλλογισμὸς γινόμενος. εἰ δὲ τὰ μὲν διὰ τὸ δειχθῆναι τοῦτο, τὰ δὲ διὰ τὸ ἄλλο τι· ἢ μηδέν, καὶ τὰ ἂν εἴη εἰλημμένα ἀμφότερα. ἃ μὲν γὰρ ἄλλο τι πλείους οἱ συλλογισμοί. εἰ δὲ μηδέν, μάτην ἂν εἴη εἰλημμένα. καὶ τῷ δέ, ὡς πρὸς τὸ τοῦ ἔδειξεν· καὶ ἄλλο τι ἔξωθεν συνάγοιτο παρὰ ταῦτα, καὶ τοῦτο δή, πλείους ἂν εἶεν τῶν ἀναγκαίων εἰλημμένα:

Κατὰ μὲν τὰς κυρίας προτάσεις λαμβανομένων τῶν συλλογισμῶν·

Κυρίας προτάσεις λέγει, τὰς προσεχῶς δεικνυούσας καὶ συλλογιζομένας τὸ προκείμενον· ἃς ἔδειξεν οὔσας δι' ὧν τοῦτο δὴ λέγει· καὶ νῦν ὅτι ἐὰν κυρίας τοῦ συμπεράσματος καὶ τὰς προσεχῶς αὐτὸ δεικνυούσας λαμβάνομεν, ἔσονται ἐν παντὶ συλλογισμῷ προτάσεις μὲν ἄρτιοι, τῶν δὲ ἀποδεικτικῶν ἀλλ' ὅμως πάλιν, ὅροι δὲ περιττοί. πρὸς γὰρ ἐδείχθησαν οὗτοι· ἐξ ὧν αἱ προσεχεῖς προτάσεις. ὅτι δὲ τὰ τρία τῶν δύο εἷς περιέχει δῆλον· ἀλλὰ καὶ ὅτι τὸ συμπέρασμα τῶν προτάσεων τῶν προσεχῶς.



δεικτικῶν τὸ μέσον δῆλον. διὸ μὲν γὰρ αἱ προτάσεις, αἱ δὲ τὰ ἐξ αὐτῶν συμπεράσματα. ὅταν γὰρ λαβὼν τὸ α κατὰ τοῦ β, τὸ β κατὰ τοῦ γ, τὸ γ κατὰ τοῦ δ, καὶ συμπεράνωμεν τὸ α ἄρα κατὰ τοῦ δ, οὐ διὰ κυρίων οὐδὲ διὰ προσεχῶν προτάσεων ἐδείξαμεν τὸ συμπέρασμα· κυρίαι γὰρ καὶ προσεχεῖς, ἡ τὸ α κατὰ τοῦ γ καὶ τὸ γ κατὰ τοῦ δ. αἱ δὲ α β καὶ β γ, δεικτικαὶ προσεχῶς τοῦ α γ, ὃ συμπέρασμα καὶ τούτων οὖν πρότασις προσεχῶς ἦν, καὶ ταῖς δεικτικαῖς τοῦ α δ συμπεράσματος: ὅταν δὲ

διὰ προσυλλογισμῶν περαίνηται, ἢ διὰ πλειόνων μέσων συνεχῶν.

Εἰπὼν δ᾽ ὅτι ἀναγκαῖαι προσεχεῖς προτάσεις ἐν παντὶ συλλογισμῷ· τὰς κυρίως δεικνυούσας τὸ προκείμενον συμπέρασμα καὶ διὰ τοῦτο ἀρτίους καὶ τρεῖς ὅρους τοὺς τοιούτους· ἔξω δ᾽ αἱ δι᾽ ἃς προτάσεις. διὸ καὶ περιττοὺς καὶ πλείους τοὺς ὅρους τῶν προτάσεων· νῦν λέγει ἐκ μὲν ἄλλων μόνον αἱ κυρίως καὶ προσεχεῖς λαμβάνονται προτάσεις· ἀλλὰ αἱ μὲν καὶ αὐταὶ συμπεράσματα ἄλλων· τῷ μὲν ἀναγκαῖον ἀποδείκνυσθαι. λαμβάνονται δὲ καὶ αἱ τῶν προτάσεων τούτων προτάσεις· τοῦτο γάρ ἐστι τὸ διὰ προσυλλογισμῶν. ὅταν γὰρ ὦσιν αἱ προσεχεῖς καὶ κυρίαι τοῦ προκειμένου συμπεράσματος προτάσεις, καὶ αὐταὶ δεικνύμεναι μετὰ συλλογισμῶν· ἐπεὶ γὰρ τὴν δεῖξιν ἑνὸς συμπεράσματος λαμβανομένων προτάσεων δεικτικοὶ συλλογισμοὶ προσυλλογισμοὶ γίνονται τοῦ τελευταίου· καὶ ἐκ τούτων γινομένου συλλογισμοῦ. διὰ προσυλλογισμοῦ μὲν λέγει, ὅταν ἑκατέραν τῶν προτάσεων τῶν κυρίων τοῦ τελευταίου συλλογισμοῦ, πρῶτον διὰ τῶν οἰκείων προτάσεων συλλογισάμενοι καὶ ποιήσαντες συμπεράσματα τὰς προτάσεις, οὕτως αὐτὰς λαμβάνωμεν εἰς τὴν δεῖξιν τοῦ προκειμένου. οἷον ἐὰν ἦ καὶ τῶν α γ. γε δεικνύμενόν τι προσεχῶς· αὐτὰ δὲ ταῦτα τὸ μὲν α γ, διὰ τῶν α β. β γ δεικνύοιτο· τὸ δὲ γ ε, διὰ τῶν γ δ. δ ε. ὅταν γὰρ συλλογισάμενοι πρῶτον, τὸ α γ· εἶτα τὸ γ ε, εἶτα λαμβάνωμεν τὸ α γ καὶ γ ε, ὡς δεικτικὰ τοῦ α ε, διὰ προσυλλογισμῶν τὴν δεῖξιν ποιούμεθα. οὐδὲν διαφέρει δὲ ἐν ᾧ δή ποτε σχήματι ὦσιν οἱ συλλογισμοὶ χωρὶς ὄντες· ὁ γὰρ αὐτὸς λόγος αὐτὰ ἐν τοῖς αὐτοῖς· αὐτὰ ἐν διαφόροις. τὸ δὲ, διὰ πλειόνων μέσων συνεχῶν ἐστιν, ὅταν συνεχεῖς ἐφεξῆς προτάσεις πλείονας λαβόντες, μὴ κατὰ τὰ γινόμενα ἐξ αὐτῶν συμπεράσματα λαμβάνοντες, τούτοις ὡς δεικτικοῖς τοῦ προκειμένου χρησώμεθα. ἀλλ᾽ εἰ πάσας τὰς προτάσεις λαμβάνωμεν, ὡς δεικτικὰς τοῦ προκειμένου. ὅταν γὰρ

οὕτως ποιούμενοι, συνάγομεν καὶ προσυλλογιζόμεθα· οὐκ ἀνάγκη δέ. οἷον ἀληθεύοιμεν
τὸ α κατὰ τοῦ β· τὸ β κατὰ τοῦ γ· τὸ γ κατὰ τοῦ δ· τὸ δ κατὰ τοῦ ε· τὸ α ἄρα
κατὰ τοῦ ε συνάγεται. ἐν τούτοις γὰρ ταῖς προτάσεσι λαμβάνοντες, καὶ οὐκ ἀναλαμ-
βάνοντες τὰ ἐπ' αὐτοῖς γινόμενα συμπεράσματα· χρώμεθα πάλιν αὐτοῖς.
ὡς καὶ τούτων ὁμοίως πάντων· συναγομένου τοῦ α ε συμπεράσματος ἐν τῇ τοι-
αύτῃ τῶν προτάσεων συναγωγῇ, ὅ τι συνθετικόν ἐστι θεώρημα περὶ οὗ προ-
ειρήκαμεν· καὶ οἱ καλούμενοι ὑπὸ τῶν νεωτέρων ἐπιβάλλοντές τε καὶ ἐπιβαλ-
λόμενοι. τὸ μὲν οὖν συνθετικὸν θεώρημα, ἐν αὐτοῖς καὶ προσυλλογισμῶν.
ὅταν γὰρ ἐκ τινῶν συναγόμενόν τι, ληφθῇ δὲ ὡς συμπέρασμα, μετὰ τινος ἑτέρου
πάλιν αὐτὸ συνάγῃ τι, καὶ τὸ συναγόμενον ὑπ' αὐτοῦ, καθὸ ὑπ' ἐκείνων συνήγετο,
ἐκείνοις καὶ αὐτὸ τὸ αὐτὸ συνάξει· οἱ δὲ ἐπιβάλλοντές τε καὶ ἐπιβαλλόμενοι
καλούμενοι εἰσὶν ἐν οἷς συναχθὲν λαμβανόμενον ἀντὶ προτάσεως· χωρὶς τοῦ
συμπεράσματος· ἐπιβαλλόμενοι μὲν γάρ εἰσιν ὧν παραλείπεται τὸ συμπέρασμα.
ἐπιβάλλοντες δὲ ὧν ἡ δευτέρα πρότασις παραλείπεται· τὸ γὰρ συμπέρασμα τῶν
τὸ παραλειπόμενον τῶν ἐπιβαλλομένων συλλογισμῶν· οἱ δὲ πρῶτοι τῇ
τάξει, πρότασις δευτέρα γίνεται τῶν ἐπιβαλλόντων· οἱ δὲ δεύτεροι τῇ τάξει.
οἷον τὸ α κατὰ παντὸς τοῦ β· τὸ β κατὰ παντὸς τοῦ γ· τὸ γ κατὰ παντὸς τοῦ δ.
τὸ α κατὰ παντὸς τοῦ δ· ἐπιβαλλόμενος γάρ ἐστιν ὁ πρῶτος οὗ παραλείπεται τὸ συ-
μπέρασμα, ὅ ἐστι, α κατὰ παντὸς τοῦ γ· ἐπιβάλλων δὲ ὁ ἐκ τε τοῦ παραλει-
πομένου· καὶ ὅ, ἐκ τοῦ τὸ α κατὰ τοῦ γ, ἐκ τοῦ, τὸ γ κατὰ τοῦ δ συναγόμενος· οὗ
ἐστι συμπέρασμα, τὸ α ἄρα κατὰ τοῦ δ· ἐπὶ μὲν οὖν τῶν εἰρημένων, ὅ τε ἐπι-
βάλλων καὶ ὁ ἐπιβαλλόμενος, ἐν πρώτῳ σχήματι. δύναται δὲ καὶ κατά τινα ὁδὸν
τοῦτον καὶ ἐκ δευτέρου σχήματος ἐπιβάλλειν συλλογισμὸν τῷ ἐν πρώτῳ σχή-
ματι συναγομένῳ. εἰ γὰρ τὸ α κατὰ παντὸς τοῦ β· τὸ β κατὰ παντὸς τοῦ γ·
τὸ α κατ' οὐδενὸς τοῦ δ· γίνεται ὁ μὲν ἐπιβαλλόμενος ἐν πρώτῳ σχήματι, οὗ
συμπέρασμα τὸ α γ· ὁ δὲ ἐπιβάλλων αὐτῷ ἐν δευτέρῳ σχήματι ὁ ἔχων προ-
τάσεις τὸ α κατὰ παντὸς τοῦ γ· ὅπερ ἦν συμπέρασμα τοῦ πρώτου.
πρότασιν δὲ τούτῳ καὶ τὸ α κατ' οὐδενὸς τοῦ δ· ἔχων συμπέρασμα τὸ γ κατ' οὐ-
δενὸς τοῦ δ. δύναται καὶ ἀνάπαλιν ὁ ἐπιβαλλόμενος εἶναι, ἐν δευτέρῳ
σχήματι. ὁ δὲ ἐπιβάλλων ἐν πρώτῳ· οἷον τὸ α κατ' οὐδενὸς τοῦ β· τὸ α κατὰ παν-
τὸς τοῦ γ.














τὸ γ̄ κατὰ παντὸς τοῦ δ̄· τὸ β̄ ἄρα κατ' οὐδενὸς τοῦ δ̄· παρ' αὐτὰ τοίνυν μὲν γὰρ τὸ συμπέρασμα καὶ τοῦ προειρημένου ἐν β̄ σχήματι· ὅτι τὸ β̄ κατ' οὐδενὸς τοῦ γ̄. καὶ δὴ τοῦτο τοῦ γ̄· τὸ γ̄ κατὰ παντὸς τοῦ δ̄, ἐν πρώτῳ συνάγεται τὸ β̄ οὐδενὶ τῷ δ̄. τῇ αὐτῇ μεθόδῳ καὶ αὐτοῦ β̄ τοῦ σχήματος ἐστὶ καὶ ἐπιβάλλοντα καὶ ἐπιβαλλόμενον λαβεῖν· καὶ πρὸς τοῦ ἐν πρώτῳ σχήματι· καὶ πρὸς τῶν ἐν δευτέρῳ. ἀλλὰ καὶ τὰ ἐν τῷ σχήματι πρὸς ἀλλήλους· τοὺς μὲν ἐν πρώτῳ πρὸς ἀλλήλους. τοὺς δὲ ἐν δευτέρῳ πρὸς ἀλλήλους· καὶ τοὺς ἐν γ̄ ὁμοίως. ἀλλὰ καὶ παρὰ δύο συλλογισμοὺς ἐστὶν οὕτως λαβεῖν καὶ β̄ τῶν σχημάτων, ἐπιβάλλοντάς τε καὶ ἐπιβαλλομένους· καὶ τοῦτο τὸ παραδεδομένον συνθετικὸν θεώρημα· ὃ οἱ μὲν περὶ Ἀριστοτέλη χρεία παραμετρήσαντες, παρέδωσαν ἐφ' ὅσον αὐτῇ ἀπῄτει· οἱ δὲ ἀπὸ τῆς στοᾶς τοῦτο παρ' ἐκείνων λαβόντες καὶ διελόντες, ἐποίησαν ἐξ αὐτοῦ τὸ καλούμενον παρ' αὐτοῖς δεύτερον καὶ τρίτον θέμα· καὶ τέταρτον. ἀμελήσαντες μὲν τοῦ χρησίμου· πᾶν δὲ τὸ, ὁπωσοῦν δυνάμενον λέγεσθαι ἐν τῇ τοιαύτῃ θεωρίᾳ· κἂν ἄχρηστον, ἐπεξελθόντες τε καὶ ζηλώσαντες. δέδεικται δὲ περὶ τούτων ἐν ἄλλοις· δείκνυται δὲ πότε ἐστὶ τὸ διὰ προσυλλογισμοῦ, διὰ πλειόνων συνεχῶν μέσων, ἐπειδὴ οἷον τὸ ᾱ β̄, διὰ τῶν γ̄ δ̄· ἀπὸ τοῦ συμπέρασμα καὶ μὲν οὖν τὸ ᾱ β̄ δείκνυσι τὸ δὲ τούτου, διὰ μέσων τῶν γ̄ δ̄· τοῦ μὲν ᾱ κατὰ τοῦ γ̄· τοῦ δὲ γ̄ κατὰ τοῦ δ̄· τοῦ δὲ δ̄ κατὰ τοῦ β̄, διὰ προσυλλογισμῶν μὲν ἐστιν· ἐν πρώτῳ τὸ ᾱ κατὰ τοῦ δ̄ συλλογισάμενος διὰ τοῦ γ̄· ἅ τε τὸ δ̄ κατὰ τοῦ β̄ λαβὼν, ἢ καὶ αὐτὸ συλλογισάμενος διὰ τοῦ ε̄, λαμβάνει τὰ ᾱ δ̄ δ̄ β̄· συμπεράσματα, προτάσεις δεικτικὰς τοῦ ᾱ β̄ συμπεράσματος· διὰ δὲ πλειόνων μέσων συνεχῶν, ἂν ἁπλῶς λάβῃ τὸ ᾱ κατὰ τοῦ γ̄· τὸ γ̄ κατὰ τοῦ δ̄· τὸ δ̄ κατὰ τοῦ β̄, ἐπανάγκης ἐπιφέρει τὸ ᾱ ἄρα κατὰ τοῦ β̄· αὕτη ἡ διαφορὰ τοῦ τε διὰ προσυλλογισμῶν, καὶ τοῦ διὰ πλειόνων μέσων συνεχῶν· ἀμφοτέρων δὲ τὸ ᾱ β̄ συμπέρασμα διὰ τῶν γ̄ δ̄ μέσων. ἐπεὶ δὴ τῶν οὕτως γινομένων συλλογισμῶν οἱ οὐκέτ' εἰσὶν ἁπλοῖ· τὸ μὲν πλῆθος τῶν ὅρων ὁμοίως φησὶ ὑπερέξει τοῦ τῶν προτάσεων πλήθους ἑνί· ὥσπερ καὶ ὅτε αἱ μυρίαι προτάσεις τοῦ προειρημένου συμπεράσματος ἐλάμβανον τὸ μέγα· οὐ μέντοι ὅτε αἱ μὲν προτάσεις ἀεὶ ἄρτιαι ἔσονται. οἱ δὲ ὅροι περιττοί. ὡς ἀεὶ χρὴ ἐπὶ τῶν ἁπλῶν συλλογισμῶν· ἀλλ' ἐνίοτε αἱ μὲν ἐξ ἴσου· ὁμοίως δέ· ὅτε νῦν μὲν αἱ προτάσεις ὦσιν ἄρτιοι, οἱ ὅροι περιττοί

ὅταν δὲ αἱ προτάσεις περιτταί, οἱ ὅροι ἄρτιοι· οὕτως γὰρ εὗρον τινὲς οἱ ὅροι ἐπὶ τῶν
προτάσεων ὑπερέχοντας. ἡ δὲ λέξις οὕτως ἔχει· ὅταν μὲν γὰρ αἱ προτάσεις
ἄρτιαι, περιττοὶ οἱ ὅροι· ὅταν δὲ οἱ ὅροι ἄρτιοι, αἱ προτάσεις περιτταί·
ἡ μὲν τοιαύτη, δῆλον· διὰ γὰρ τοῦ ἐν λέγεται· δεῖ δὲ ἀκούειν· ὅταν δὲ οἱ ὅροι ἄρτιοι, αἱ προ-
τάσεις περιτταί· ὥσπερ συμπίπτει δύο μὲν τὸ περιττόν· ἀνάπαλιν δὲ τὸ περιττὸν
ἐὰν ἄρτιον ἕξουσιν οἱ τε ὅροι καὶ αἱ προτάσεις· ἀεὶ οὖν δὲ τοῦ ἑνὶ τε ὑπερέχειν
τοὺς ὅρους τὸν τῶν προτάσεων ἀριθμὸν καὶ παρὰ μέρος ἄρτιος τε καὶ περιττὸς γί-
νεσθαι, τὸ ἐξ ἀρχῆς μὲν ἐν τοῖς ἁπλοῖς συλλογισμοῖς τοὺς ὅρους ὑπερέχειν
ἐν τῶν προτάσεων· αἱ μὲν γὰρ δύο, οἱ δὲ τρεῖς· ἐκ τούτου δὲ πρὸς θέσιν
ὅρου καὶ διὰ τὸ μίαν τὰς ἴσας πρότασιν προστίθεσθαι· τοῦ τοῦ γὰρ οὕτως γινομένου
ἡ ἐξ ἀρχῆς ἐν τοῖς ὅροις ὑπεροχὴ μένει· ὅταν γὰρ ἀνίσοις ἴσα προστεθῇ, τὰ
αὐτὰ ἀλλήλων διοίσουσιν, ᾧ διέφερον καὶ πρὸ τοῦ τὰ ἴσα αὐτοῖς προστεθῆ-
ναι. ὅταν μὲν οὖν τοῖς τρισὶν ὅροις εἷς προστεθῇ, οἱ μὲν ὅροι τέσσαρες καὶ ἄρτιοι
ἔσονται· αἱ δὲ προτάσεις τρεῖς τε καὶ περιτταί· διὰ γὰρ οὖσαις αὐταῖς προσ-
τεθῆναι τῇ διὰ τὴν πρόσθεσιν τοῦ ὅρου· ἅμα γὰρ ὅρου τε πρόσθεσις καὶ προτά-
σεως ὡς ἔφαμεν. τὸ δὲ ἢ γὰρ ἔξωθεν ἢ εἰς τὸ μέσον τεθήσεται ὁ παρεμπίπτων
ὅρος, εἴρηκεν ἤτοι διὰ τὰς τῶν σχημάτων διαφοράς· ἔξωθεν μὲν γὰρ ἐστὶν
ὁ προστιθέμενος ὅρος, ἂν ἐν δευτέρῳ σχήματι ἢ τρίτῳ μέλλῃ ὁ δειχθεὶς συλλο-
γισμὸς περαίνεσθαι· ἐν μέσῳ δέ, ἂν ἐν πρώτῳ· ἂν μὲν γὰρ ἡ δεικνυμένη τὸ α
κατὰ παντὸς τοῦ γ διὰ μέσου τοῦ β· ἐὰν μὲν ἐν δευτέρῳ σχήματι βουλοίμεθα
τὸ συμπέρασμα δεῖξαι, προσληψόμεθα τὸ α κατὰ μηδενὸς τοῦ δ· ἔξωθεν τὸ δ
προστεθέν· οὕτως γὰρ ἔσται τὸ γ κατὰ τοῦ δενὸς τοῦ δ. ἂν δὲ ἐν τῷ τρίτῳ· προσλη-
ψόμεθα πάλιν τὸ δ κατὰ τοῦ γ· ὡς περ ἐπὶ τὸ α. οὕτως γὰρ ἔσται τὸ α τινὶ
τῷ δ ὑπάρχον· ἂν δὲ ἐν πρώτῳ, ἢ που θέσει ληψόμεθα ὑποκείμενον
τι τῷ γ τὸ δ· οὕτω γὰρ ἐν πρώτῳ σχήματι, τὸ α κατὰ τοῦ δ, ἢ οὐ τοῦ τὸ λέγειν.
οὐ γὰρ τὸ δ ἐν μέσῳ ἐλήφθη τῶν αβ· ἢ τῶν βγ, ἀλλ᾽ ἔσχατον τοῦ γ. ἀλλ᾽ ἐκ
αὐτὸ λεγόμενον, ἁπλούστερον· ἢ γὰρ ἔξωθεν ἢ εἰς τὸ μέσον τεθήσεται ὁ παρεμ-
πίπτων ὅρος· ἔξωθεν μέν, ἂν πρὸ τοῦ δ ἄνωθεν λαμβανόμενος κατηγορούμενος
τοῦ α, ἢ κατὰ τοῦ γ ὑποκείμενος τῷ γ· εἰς τὸ μέσον δέ, ἂν μεταξὺ ἂν τοῦ αβ.
ἢ τοῦ βγ· ὅπου γὰρ ἂν καὶ ὅθεν ἂν προστεθῇ, (ὁμοίως καὶ μία πρότασις προστεθῇ).

οὐσῶν γὰρ δύο προτάσεων, τῆς τε ΑΒ καὶ τῆς ΒΓ· ἄν τε πρὸ τοῦ Α τὸ Δ ὅρον λάβωμεν,
ἔσται πρότασις προστεθειμένη ἡ ΔΑ· οὐδεμία τῶν ὑποκειμένων οὖσα ἡ αὐτή· ἀλλὰ
μεταξὺ τοῦ ΑΒ· ἢ τεθείη γὰρ αἱ ΑΔ καὶ ΔΒ· ἀντὶ μιᾶς· ἀλλὰ κἂν μεταξὺ τοῦ ΒΓ·
πάλιν γὰρ ἔσονται ΒΔ, ΔΓ· ἀλλὰ κἂν ἔξωθεν μετὰ τὸ Γ προστεθῇ, ἔσται γὰρ
ὁμοίως πάλιν ταῖς ὑποκειμέναις ἡ ΓΔ· αἱ μὲν οὖν προτάσεις καὶ οἱ ὅροι τοῦτο
ἀεὶ τὴν σχέσιν τὴν κατὰ τὸ ἑξῆς φυλάξουσι· τὰ δὲ συμπεράσματα οὔτε πρὸς τοὺς ὅρους,
οὔτε πρὸς τὰς προτάσεις ἀεὶ τὴν αὐτὴν τάξιν ἕξει· καὶ τῶν ἀεὶ προστιθεμένων·
ἑκάστου γὰρ ὅρου προστεθέντος, συμπεράσματα προστίθεται ἑνὶ ἐλάττω τῶν τῶν προϋπαρ-
χόντων ὅρων· οὐ γὰρ ἔχοντος ὅτι πρὸς μόνον τὸν ἔσχατον τῶν ὑποκειμένων ὁ προστεθεὶς
αὐτῷ ἀνάλογα τοῦ τὴν πρόσθεσιν πλείονα ποιεῖ συμπεράσματα· εἰ γὰρ ὦσιν ὅροι,
ΑΒΓ· προστεθῇ δὲ τὸ Δ· ἔσται συμπεράσματα καὶ τοῦ Α πρὸς τὸ Δ· καὶ τοῦ Β πρὸς
τὸ Δ· ὥσπερ καὶ τοῦ Α πρὸς τὸ Γ· τριῶν δὲ ὅρων προϋπαρχόντων, ἡ ἑνὸς ὅρου προσ-
θήκη δύο συμπεράσματα προστίθησιν, ἑνὶ ἐλάττω τῶν προϋπαρχόντων
ὅρων· οὐ γὰρ τὸ μὲν τοῦ Γ πρὸς τὸ Δ γίνεται συμπέρασμα· ὅτι μηδέπω ἐστὶ
μέσον αὐτῶν· δύο οὖν προστίθησι συμπεράσματα, ἑνὸς προστεθέντος ὅρου.
ἓν δὲ συμπέρασμα μὲν ἐπὶ τοῖς τρισὶν ὅροις, τὸ ΑΓ· προτάσεις δὲ δύο·
ὅροι δὲ τρεῖς· προστεθέντος οὖν τοῦ τετάρτου ὅρου, δύο γίνεται προστεθέντα
συμπεράσματα· καὶ τὰ πάντα συμπεράσματα, γίνεται τρία· ἀλλὰ καὶ αἱ
προτάσεις μὲν ἔσται μία προστεθειμένη, τρεῖς· οἱ δὲ ὅροι τέσσαρες· ἂν δὲ πάλιν
ἄλλος ὅρος προστεθῇ, προτάσεις μὲν ἔσται μία προστεθεῖσα· ὥστε εἶναι πάσας
τέσσαρας ἔσονται· ὅροι δὲ πέντε οἱ πάντες· συμπεράσματα δέ, ἑνὶ ἐλάττω
τῶν τῶν προϋπαρχόντων ὅρων ἔσται τὰ προστεθέντα· ὅτε γὰρ οἱ ὅροι τέσσαρες·
τρία οὖν ἔσται συμπεράσματα προστεθέντα· ὧν δὲ καὶ τὰ ἐπὶ τοῖς ὑποκειμένοις
τέσσαρσιν ὅροις, ἤτοι τρία τὰ πάντα οὖν ἓξ ἔσται συμπεράσματα, ἐπὶ ὅροις
πέντε καὶ τέσσαρσι προτάσεσι· πλείω οὖν τὰ συμπεράσματα, καὶ ἔτι μᾶλλον,
ἂν ἄλλος ὅρος προστεθῇ· πολὺ γὰρ πλείω γίνεται τὰ συμπεράσματα, καθὸ
εἴρηται πρὸς θέσιν ὅρου, διὰ τὴν εἰρημένην αἰτίαν· ἁπλῶς δέ, ἂν ἔξωθεν προστεθῇ
ὅρος, πρὸς τὸν ἔσχατον μόνον τῶν ὑποκειμένων πρὸ αὐτοῦ μὴ ποιῶν τὸ συμπέ-
ρασμα, λέγω δὲ ὅτι καὶ ἄμεσος τεθῇ· ὁμοίως ἑνὶ ἐλάττω τὰ προστεθέντα
συμπεράσματα, ἔσται τῶν ἐξ ἀρχῆς ὑποκειμένων ὅρων πρὸ τῆς προσθήκης τοῦ τε

πρὸς γὰρ ἕνα μόνον ὅρων τῶν ἐγκειμένων, ὁ οὐδὲ τεθεὶς οὐ ποιήσει συμπέρασμα·
καθάπερ εἰ ὦσιν ὅροι οἱ α β γ· σώζοντες τὸ α γ συμπέρασμα, καὶ ἐμβεβλήσθω
μεταξὺ τῶν α β ὁ δ ὅρος· ἔσται δὴ τὸ συμπέρασμα τὸ προκείμενον τὸ α γ·
τό τε α β διὰ τοῦ δ, καὶ τὸ δ γ διὰ τοῦ β· ὁ δ μὲν οὖν προστεθεὶς συμπεράσματα ποιεῖ,
οὐ μὴν τὸ δι' ὃ προσετέθη· ἀλλὰ τὸ μέν, πρὸς αὐτὸν τὸ δ· τὸ γὰρ δ γ· τὸ δ' ἐκ δι' αὐτοῦ
τὸ γὰρ α β, οὐ πρότερον οὐ συμπέρασμα, διὰ τὸ προστεθῆναι τὸν δ· τὸ δ' ἐκ
δι' αὐτοῦ· τὸ γὰρ α β· οὐ πρότερον ὂν συμπέρασμα γέγονε· τὸ οὖν, πρὸς ἕνα
γὰρ μόνον οὐ ποιήσει συλλογισμόν, ἀντὶ τοῦ ὅτι ἑνὶ μόνῳ οὐκ ἔσται αἴτιος διὰ τῆς
θέσεως τοῦ συμπέρασμα γενέσθαι· τῷ γὰρ α γ· πρὸς δὲ τὸν β· ἀκολουθεῖ· οὐ συμ-
πέρασμα ποιεῖ· ἀλλ' αἴτιος γεγένηται τοῦ α β συμπέρασμα τὸ εἶναι αὐτό, ἐδεῖ αἴ-
τιος αὐτός:· πρὸς ἕνα γὰρ μόνον οὐ ποιήσει συλλογισμόν·

Π βίου ἔσχατον κειμένου ὅρου λέγει πάλιν· οὗτος γὰρ ἔσται καὶ ὡς ἐν μέσῳ ὅρος ἐμβληθῇ, πρὸς ἕνα μόνον ὅρων μὴ ποιοῦν συλλογισμόν· πρὸς γὰρ τὸν πρὸ αὐτοῦ κειμένου ἐπεὶ ὅ, γε μέσος ἐμβαλλόμενος, πρὸς οὐδέτερον τῶν ὧν ἐστι μέσος, ποιεῖ συμπέρασμα· ἀλλὰ πρὸς τοὺς ἄλλους ποιοῦν πάντας:· +

ἐπεὶ δ' ἔχομεν περὶ ὧν οἱ συλλογισμοί, καὶ ποῖον ἐν ἑκάστῳ σχήματι:

Ἐπεὶ ἔχομεν φησὶ περὶ ὧν οἱ συλλογισμοί· περὶ γὰρ τῶν προβλημάτων· ταῦτα δὲ ἐστι τέσσαρα· δύο μὲν καθόλου· ἢ καταφατικὸν ἢ ἀποφατικόν· δύο δὲ ἐπὶ μέρους ὁμοίως· τὸ μὲν καταφατικόν· ἔχομεν δὲ καὶ ποῖον ἐν ἑκάστῳ σχήματι· δείκνυται καὶ ποσαχῶς ἕκαστον τῶν προβλημάτων· τὸ μὲν γὰρ καθόλου καταφατικόν, ἐν πρώτῳ σχήματι μόνῳ δείκνυται· καὶ μοναχῶς, δι' ἑνὸς γὰρ ἑνὸς συλλογισμοῦ· τὸ γὰρ καθόλου ἀποφατικόν· καὶ ἐν πρώτῳ καὶ ἐν δευτέρῳ σχήματι· μοναχῶς μὲν ἐν πρώτῳ δι' ἑνὸς γὰρ συλλογισμοῦ· διχῶς δὲ ἐν δευτέρῳ· διὰ γὰρ δύο συλλογισμῶν· τὸ δὲ ἐν μέρει καταφατικόν· ἐν τε τῷ πρώτῳ σχήματι καὶ ἐν τῷ τρίτῳ· μοναχῶς μὲν ἐν τῷ πρώτῳ· τριχῶς δὲ ἐν τῷ τρίτῳ· τὸ δ' ἐν μέρει ἀποφατικόν· ἐν τρισὶ σχήμασιν· ἀλλ' ἐν μὲν τῷ πρώτῳ μοναχῶς, ἐν δὲ τῷ δευτέρῳ διχῶς· τριχῶς δ' ἐν τῷ τρίτῳ· ἐπεὶ οὖν ταῦτα φανερά ἐστι φησί· φανερὸν δὲ ἐστι καὶ ποῖον τῶν προβλημάτων δυσεπιχείρητόν ἐστι· καὶ ποῖον οὔ· τὸ μὲν γὰρ ἐν πλείοσι δεικνύμενον σχήμασι· καὶ διὰ πλειόνων συλλογισμῶν περαινόμενον γὰρ, ἢ τῶν συλλογισμῶν λέγει, ἢ τῶν συζυγιῶν, εὐεπιχείρητον πρόβλημα.




















τὸ γὰρ διὰ πλειόνων δεικνύμενον· πλείονας ἀφορμὰς ἔχει πρὸς τὸ ἐλεγχθῆναι· διὸ καὶ δυσεπιχείρητον πρότερον· τὸ δ᾽ ὑπ᾽ ἐλαττόνων τε καὶ δι᾽ ἐλαττόνων συλλογισμῶν, δυσεπιχειρητότερόν τε καὶ χαλεπώτερον· ἔστι δὲ διὰ πλειόνων σχημάτων καὶ διὰ πλειόνων συλλογισμῶν, τὸ ἐπὶ μέρους ἀποφατικόν· ἐν τε γὰρ τοῖς τρισὶ σχήμασι δείκνυται τοῖς τῶν προβλημάτων καὶ διὰ συλλογισμῶν ἕξ· πῶς δ᾽ ἐν ἄλλοις λόγοις τὰς διαφορὰς τῶν καθ᾽ ἕκαστον σχῆμα συλλογισμῶν, ἀπὸ τῆς τῶν προτάσεων σχέσεως πρὸς ἀλλήλας· τῆς σχέσεως αὐτῶν τῆς πρὸς ἀλλήλας, πῶς εἴρηκα. μετὰ δὲ τὸ ἐπὶ μέρους ἀποφατικόν, ἀεὶ ἂν εὐκολώτερον, τὸ ἐπὶ μέρους καταφατικόν· δείκνυται γὰρ διά τε τοῦ πρώτου καὶ τοῦ γʹ τοῦ σχήματος, καὶ διὰ συλλογισμῶν τεσσάρων· ἑνὸς μὲν ἐν τῷ πρώτῳ τριῶν καὶ δευτέρῳ σχήματι δείκνυται· μοναχῶς μὲν ἐν πρώτῳ· διχῶς δὲ ἐν δευτέρῳ· τὸ δὲ καθόλου καταφατικόν, χαλεπώτερον· καὶ γὰρ ἐν τῷ πρώτῳ σχήματι δείκνυται μόνῳ· καὶ ἐν τούτῳ μοναχῶς· ἐξ ὧν δηλονότι πάντων, τὸ καθόλου καταφατικὸν κατασκευασθῆναι μὲν χαλεπώτερον· ῥᾷον δὲ ἀνασκευασθῆναι· διὰ γὰρ τοῦ ἐπὶ μέρους ἀποφατικοῦ, ἡ ἀνασκευὴ αὐτοῦ· ὃ ἐν πᾶσι τοῖς τρισὶ σχήμασι δείκνυται, καὶ διὰ πλειόνων συλλογισμῶν· ἀλλὰ καὶ διὰ τοῦ καθόλου ἀποφατικοῦ, ὃ καὶ αὐτὸ ἐν δυσὶ τε σχήμασι καὶ συλλογισμοῖς τρισίν· ἔτι δὲ καὶ τοῦτο φησὶ γνώριμον, ὅτι τὸ κατασκευάσαι τὸ καθόλου τοῦ ἀνασκευάσαι χαλεπώτερον· ἔμπαλιν δὲ ἐπὶ τοῦ ἐπὶ μέρους ἔχει· κατασκευασθῆναι μὲν γὰρ τὰ ἐπὶ μέρους, ῥᾴω· ἀνασκευασθῆναι δὲ χαλεπώτερα. ἀνασκευάζεται μὲν γὰρ τὸ καθόλου, καὶ ἀπὸ τοῦ ἀντικειμένου χαλεπῶς ἀντιφατικῶς τοῦ ἐπὶ μέρους· τὸ μὲν καταφατικόν, ἀπὸ τοῦ ἀποφατικοῦ, ὃ ἐν τοῖς τρισὶ δείκνυται σχήμασι· τὸ δὲ ἀποφατικόν, ἀπὸ τοῦ καταφατικοῦ· ὃ ἐν δυσὶ σχήμασι τῷ τε πρώτῳ καὶ τῷ τρίτῳ· καὶ ἔτι, ἀπὸ τοῦ ἐναντίου· τὸ μὲν καθόλου καταφατικόν, ἀπὸ τοῦ καθόλου ἀποφατικοῦ. ὃ ἐν δυσὶ σχήμασι καὶ αὐτό ἐστι· τὸ δὲ καθόλου ἀποφατικόν, ἀπὸ τοῦ καθόλου καταφατικοῦ ὃ ἐστι μόνον ἐν ἑνί· τῷ γὰρ πρώτῳ· κατασκευάζεται δὲ τὸ μὲν καθόλου καταφατικόν, μοναχῶς· τὸ δὲ καθόλου ἀποφατικόν, διχῶς· τε καὶ ἐν δυσὶ σχήμασι· τὸ δὲ ἐν τρισὶ σχήμασι· περὶ τοῦ ἐπὶ μέρους καταφατικοῦ λέγει· ὃ ἐστιν ἀναιρετικὸν τοῦ καθόλου ἀποφατικοῦ:







ἐπὶ δὲ τῶν ἐν μέρει· μοναχῶς·

Τουτέστιν ἡ τοῦ ἐν μέρει ἀνασκευή· οὐκέτι ἢ διὰ τοῦ καθόλου ἢ διὰ τοῦ ἐπὶ μέρους
γίνεται· ἀλλὰ μοναχῶς· διὰ γὰρ τοῦ καθόλου μόνου τοῦ ἀντικειμένου διὸ χαλε-
πώτερον· τὸ ἐπὶ μέρους ~~ἀποφατικὸν~~ ἀνασκευάσαι· αὐτῶν δὲ τούτων· ἔτι χαλε-
πώτερον τὸ ἐπὶ μέρους ἀποφατικοῦ· τὸ ἐπὶ μέρους καταφατικοῦ· ὅτι διὰ τοῦ
καθόλου καταφατικοῦ, μόνου ἡ ἀνασκευὴ αὐτοῦ· ὃ μοναχῶς ἐν πρώτῳ σχή-
ματι μόνῳ δείκνυται· τὸ δὲ ἐπὶ μέρους καταφατικόν· διὰ μὲν τοῦ καθόλου ἀ-
ποφατικοῦ ἀναιρεῖται· τοῦτο δὲ ἢ διὰ πρώτου ἢ δευτέρου σχήματος δεί-
κνυται· κατασκευάζεται δὲ ὡς εἶπον· δι᾽ ἁπάντων· τῶν καθόλου· τὸ μὲν
γὰρ καθόλου καταφατικοῦ δι᾽ ἑνὸς μόνου ὡς εἶπον συλλογισμοῦ· τὸ δὲ ἀ-
ποφατικὸν διὰ τριῶν· τὰ δέ γε ἐπὶ μέρους κατασκευάσαι ῥᾷον· διὰ
γὰρ πλειόνων συλλογισμῶν· τὸ μὲν ἐν μέρει ἀποφατικόν, ἐν τοῖς τρισὶ σχή-
μασι· ἢ διὰ ἓξ συλλογισμῶν· τὸ δὲ ἐν μέρει καταφατικόν, ἐν τέτρασι συλ-
λογισμοῖς ἢ ἐν δυσὶ σχήμασιν· ἔτι, ἢ τοῖς καθόλου συγκατασκευάζεται·
ἀνασκευάζεται δὲ χαλεπώτερον· διὰ γὰρ μόνων τῶν ἐπὶ μέρους ἀναιρεῖται.
τῶν ἀντικειμένων καθόλου· τὸ μὲν ἀποφατικὸν ἐν μέρει, ὑπὸ τοῦ καθόλου
καταφατικοῦ· τὸ δὲ καταφατικόν, ὑπὸ τοῦ καθόλου ἀποφατικοῦ ὡς προεί-
ρηται· ἀλλ᾽ αὐτοῦ τοῦ καθόλου γνώριμον· ὅτι ἀνασκευάζεται μὲν ἢ δι᾽ ἀλλήλων
τὰ προβλήματα· τά τε γὰρ καθόλου ὑπὸ τῶν ἐπὶ μέρους ἀντικειμένων, καὶ τὰ
ἐπὶ μέρους διὰ τῶν καθόλου· ὥσπερ γὰρ τὸ παντί, ὑπὸ τοῦ οὐ παντὶ ἀναιρεῖται,
οὕτω καὶ τὸ οὐ παντί, ὑπὸ τοῦ παντί· καὶ ὥσπερ τὸ οὐδενί, ὑπὸ τοῦ τινί, οὕτω
καὶ τὸ τινί, ὑπὸ τοῦ οὐδενί· οὐκέτι μέντοι κατασκευάζονται δι᾽ ἀλλήλων οἷόν τε.
τὸ γὰρ καθόλου, οὐ διὰ τῶν ὑπ᾽ αὐτὸ τὰ ἐπὶ μέρους, ὡς τοῦ δι᾽ ἀλλήλων· τὰ μὲν
γὰρ ἐπὶ μέρους, τοῖς καθόλου φανερὸν ὅτι συγκατασκευάζεται· οὐ μὴν καὶ ἀνά-
παλιν·· Φανερὸν δὲ δῆλον ὅτι καὶ τὸ ἀνασκευάζειν ἐστί· τοῦ κατασκευά-
Δείξας ἀνασκευαζόμενα μὲν τὰ προβλήματα δι᾽ ἀλλήλων· ῥᾴδιον
ὥσπερ γὰρ ὑπὸ τοῦ καθόλου τὸ ἐπὶ μέρους τὸ ἀντικείμενον, οὕτω καὶ ὑπὸ τοῦ
ἐπὶ μέρους τὸ καθόλου· οὐκέτι δὲ κατασκευαζόμενα δι᾽ ἀλλήλων· καὶ ἐκ
τούτου δῆλον ὅτι ἀναιρεῖ· ὅτι ῥᾷόν τι ἀνασκευάσαι ἢ κατασκευάσαι.
δῆλον δὲ ὅτι καὶ ἐπὶ πάντων, ῥᾷον ἀνελεῖν ἢ φθεῖραι· ἢ ποιῆσαι ἢ
γεννῆσαι· ὁμοίως ἐπὶ τῶν φυσικῶν ἢ τῶν κατὰ τὰς τέχνας γινομένων.

χαλεπώτερον γὰρ τῶν φύσει γινομένων ἕτερον γεννῆσαί τε καὶ ποιῆσαι, τοῦ φθεῖραι· οἷον ἄνθρωπον ἢ ἄλλο τι τῶν φύσει γινομένων· ἢ πάλιν ἐπὶ τῶν κατὰ τέχνην ῥᾷον φθεῖραι ναῦν ἢ οἰκίαν τοῦ ποιῆσαι:·

πῶς μὲν οὖν γίνεται πᾶς συλλογισμὸς καὶ διὰ πόσων ὅρων καὶ προτάσεων.

Ὅτι πᾶς συλλογισμὸς γίνεται κοινοῦ τινος ὅρου ληφθέντος, καὶ ὅτι δεῖ ἢ ἀμφοτέρας εἶναι τὰς προτάσεις καθόλου καταφατικὰς ἢ πάντως γε τὴν ἑτέραν, ἐδείχθη· ἀλλὰ καὶ ὅτι πᾶς συλλογισμὸς ἁπλοῦς διὰ τριῶν ὅρων καὶ δύο προτάσεων γίνεται, καὶ τοῦτο δέδεικται· καὶ ὅτι αἱ προτάσεις καθ' ἕκαστον σχῆμα πρὸς ἀλλήλας ὧν δέ πως λαμβανόμεναι ὡς εἶπε· ποιοῦσι συλλογισμόν· ἀλλὰ καὶ ποῖον πρόβλημα ἐν πᾶσιν ἐστὶ τοῖς σχήμασιν· ὅτι γὰρ τὸ ἐπὶ μέρους ἀποφατικόν· καὶ ποῖον ἐν δυσί· ὅτι γὰρ τὸ ἐπὶ μέρους καταφατικόν· ἐν γὰρ πρώτῳ καὶ τρίτῳ· καὶ τὸ καθόλου ἀποφατικόν· ἐν γὰρ πρώτῳ καὶ δευτέρῳ· καὶ ποῖον ἐν ἑνὶ μόνῳ· ὅτι τὸ καθόλου καταφατικόν· ἐν γὰρ τῷ πρώτῳ μόνῳ, ταῦτα πάντα, ἐκ τῶν προειρημένων γνώριμά τε καὶ δῆλα:·

+

## ἀλεξάνδρου ἀφροδισιέως περὶ εὐπορίας:

πῶς δ' εὐπορήσομεν αὐτοὶ πρὸς τὸ τιθέμενον ἀεὶ, συλλογισμῶν καὶ διὰ ποίας ὁδοῦ ληψόμεθα τὰς περὶ ἕκαστον ἀρχάς, νῦν ἤδη λεκτέον:·

Διδάξας ἡμᾶς τί τέ ἐστι συλλογισμὸς καὶ πῶς γίνεται καὶ ἐν τίσι σχήμασι καὶ διὰ πόσων ὅρων τε καὶ προτάσεων προσεχῶν ἕκαστος· καὶ πῶς πρὸς ἀλλήλας ἐχουσῶν· διδάξας καὶ περὶ τῶν προβλημάτων ποῖον ἐν ποίῳ σχήματι δείκνυται, καὶ ποῖον μὲν αὐτῶν ἐν πλείοσι σχήμασιν ἐστί, καὶ διότι ἐπιχείρητον καὶ εὐκολώτερον· ποῖον δὲ ἐν ἐλάττοσι· ποῖον δὲ ἐν ἑνὶ μόνῳ· ὃ καὶ χαλεπώτερον δειχθῆναι, μεταβαίνει ἀπὸ τούτων, εἰς τὸ μέθ[illegible], ὅθεν ἡμῖν [illegible] χρεία, δυνησόμεθα πρὸς τὸ τιθέμενον πρόβλημα, συλλογισμῶν εὐπορεῖν, καὶ προτάσεων οἰκείων τοῦ δειχθησομένου συμπεράσματος· ἀρχὰς γὰρ τὰς προτάσεις λέγει: ὄργανον δὲ ἡ πρὸς τὴν εὕρεσιν ἡμῖν τῶν τούτων παράδοσιν· τὸ γὰρ

μέλλοντα σχήσεσθαι συλλογισμὸν καὶ τὴν ἀπόδειξιν, οὐ μόνον ἀποδέδωκε τί ποτέ ἐστι συλλογισμὸς καὶ πῶς γίνεται, ἀλλὰ καὶ δύναμιν ἔχειν αὐτὸν τοῦ ποιεῖν τε συλλογισμοὺς καὶ συλλογίζεσθαι. τοῦτο γάρ ἐστι μάλιστα τοῦ συλλογιστικοῦ. προσέτι τὴν παράδοσιν ποιούμενος ὑπὲρ αὐτοῦ τὴν μέθοδον. πρῶτον λαμβάνει τινὰ καὶ τί φησι. δι' ὧν δείκνυσιν, ὅτι μὴ πάντα περὶ πάντων δεῖ ζητεῖν. ἐπεὶ γὰρ τῶν ὄντων τὰ μὲν ἔσχατα καὶ ἄτομά ἐστι, καὶ μηδενὸς κατηγορούμενα. τὰ δὲ πρῶτα τε καὶ μὴ δὲ ἔχοντα αὐτῶν κατηγορούμενον. οὔτε τὰ ἄτομα δεῖ ζητεῖν ἀποδεικνύναι ὑπάρχοντά τισι κατηγορούμενα, οὔτε τοῖς πρώτοις τινὰ κοινά. ἀλλὰ τινὰ ὑπάρχοντα καὶ κατηγορούμενα αὐτῶν. τῶν γὰρ ὄντων φησὶ πάντων τὰ μὲν τοιαῦτά ἐστιν ὥστε κατὰ μηδενὸς κατηγορεῖσθαι καθόλου ἀληθῶς. τὸ μὲν ἀληθῶς προσθείς, ὅτι ἡ ζήτησις αὐτῷ ἐστιν· οὐ περὶ τῶν ψευδῶς κατηγορουμένων· πάντα γὰρ οὕτως πάντων οἷόν τε κατηγορεῖσθαι. ἀλλὰ περὶ τῶν ἀληθῶς. τοῦτ' ἔστι φύσιν ἐχόντων κατηγορεῖσθαι, τὸ δὲ καθόλου εἶπεν· ἢ διότι ὡς καθόλου τούτου ὄντος, τοῦ εἶναί τινα τῶν ὄντων, ἃ κατὰ μηδενὸς κατηγορεῖται. τὰ γὰρ ἄτομα οὕτω, καθόλου καὶ ἁπλῶς ἐστὶν ἅπερ οὐ κατὰ τοῦ δέοντος κατηγορεῖσθαι. ἢ ἐπειδὴ κἀκεῖνά ἐστι ποτὲ κατά τινων κατηγορεῖσθαι. καὶ τὰ γάρ τινος αὐτοῦ τὸν Καλλίαν· οἷον τὸ κατηγορεῖν ποτὲ λέγοντας τὸ λευκὸν Καλλίας ἐστί, παρὰ φύσιν μέν. ἀνάπαλιν γὰρ καὶ ὡς τὸν Καλλίαν λέγειν τινὰ λευκὸν. διὰ τοῦτο, τὸ καθόλου προσέθηκε. τὸ γὰρ ἄτομος ποτὲ καὶ ἀτόμου οὐσίας παρὰ φύσιν ἄτομον: ἄτομον γάρ τι τὸ ὑποκείμενον τῆς οὐσίας τῆς ἀτόμου τῇ τῆς καὶ τὸ συμβεβηκὸς κατηγορίας. λέγομεν γὰρ ἐκεῖνο τὸ πρόσωπον ἢ ἐκεῖνο τὸ λευκὸν Καλλίαν εἶναι. ἐπεὶ τὰ ἄτομα, οὐχ οἷόν τε ἀληθῶς ἄλλου τινὸς ἢ ἀτόμου κατηγορῆσαι. χρὴ δ' ὅμως οὐδὲ πρὸς τὸ συλλογίζεσθαι τὶ ἄλλῳ ὑπάρχον, τὸ καθόλου τινὸς αὐτὸ λαμβάνειν κατηγορούμενον ὡς εἴρηται. ἀπὸ τῶν δὲ παραδοθείσης τῆς ἐσχάτης καὶ ἀτόμου οὐσίας τὸν Κλέωνα καὶ Καλλίαν, προσέθηκε καὶ τὸ καθ' ἕκαστον καὶ αἰσθητόν. καθόσον ἄτομον καὶ αἰσθητικῶν οὐσιῶν. ταύτης λέγων τῆς φύσεως εἶναι τὰ γὰρ αἰσθητά, καὶ καθ' ἕκαστα. ἀδιαίρετοι οὐσίαι. αὐτὰ καὶ μὴ ἀληθῶς κατὰ τῶν ἄλλων οὐ κατηγοροῦνται καὶ τὰ δὲ τούτων, ἀλλὰ τὰ γὰρ ἄδηλα γένη, τῶν ἀτόμων οὐσιῶν κατηγορεῖται αὐτῶν. ἀλλὰ καὶ τὰ συμβεβηκότα αὐτοῖς τὰ μέν, οἷον τοιαῦτα τῶν ὄντων ἐστί. τὰ δέ, ἔμπαλιν. αὐτὰ μὲν ἄλλων κατηγορεῖται.

λείπει

αὐτῶν δ' οὐδέν· εἰ καὶ ἐκ τῶν τε ἀτόμων τε καὶ πρώτων καὶ κοινόν τι τετάχθαι· ὥστε ἡ τούτου τε διαίρεσις. ἐν ταῖς δέκα κατηγορίαις τέτακται τὸ πολλαχῶς λεγομένου· τό τε δὴ καὶ αὐτὸ τῶν ἄλλων κατηγορεῖται· καὶ αὐτῶν ἄλλων ἄλλα· ὅπου ἐστὶ τὰ ἐν μέσῳ τῶν, τῶν πρώτων γενῶν, καὶ τῶν ἀτόμων τε καὶ ἐσχάτων· τοιαῦτα ἐστίν, ὁμοίως· καὶ τὸ ζῶον λέγων δὲ περὶ τῶν ἀτόμων οὐσιῶν ὅτι μηδενὸς κατηγοροῦνται προσέθηκεν· πλὴν ὡς κατὰ συμβεβηκός· καὶ πῶς ἡ κατὰ τὸ συμβεβηκὸς ἀπὸ τῶν ἤν τε ἡ κατηγορία, εἰ δῆλον δὲ ἀπὸ τῶν· φαμὲν γὰρ ποτὲ τὸ λευκὸν ἐκεῖνος σωκράτης εἶναι· καὶ τὸ προσιόν, καλλίαν· κατὰ τὸ συμβεβηκὸς καὶ παρὰ φύσιν ποιούμενοι τὴν κατηγορίαν· τὸ γὰρ ὑποκείμενον, ἐν τοῖς τοιούτοις, τοῦ συμβεβηκότος κατηγοροῦμεν· δέον ἀνάπαλιν τὸ συμβεβηκὸς τοῦ ὑποκειμένου· τοῦ τε γὰρ ἐν τῇ οὐσίᾳ ἐστίν· ἀλλ' οὐχ ἡ οὐσία ἐν τῷ συμβεβηκότι· γίνεται δὲ ἡ τοιαύτη κατηγορία ἡ κατὰ τὸ συμβεβηκός, ὅταν τὸ ὑποκείμενον, ἀγνωστότερον ἢ τοῦ συμβεβηκότος αὐτῷ· διὰ γὰρ τοῦ συμβεβηκότος γνώριμον ποιοῦμεν τὸ ὑποσυμβεβηκόν· διὰ τοῦ λευκοῦ, τὸ τῷ λευκῷ συμβεβηκόν· ὅταν εἴπωμεν τὸ λευκόν, σωκράτης ἐστὶ πάλιν διὰ τοῦ προσιέναι, τὸ τῷ προσιέναι συμβεβηκόν· ὅταν εἴπωμεν τὸ προσιόν, καλλίαν εἶναι· ἀλλ' ἐπεὶ τὰ κατὰ συμβεβηκὸς λεγόμενα ἐν παντὶ τῇ καθόλου, οὐ κυρίως καὶ ἁπλῶς τοιαῦτα ἐστίν, οὐδὲ τὰ κατὰ συμβεβηκὸς κατηγορούμενα, ἁπλῶς κατηγορεῖσθαι λέγοιτ' ἄν:

Τοῦ γὰρ ἀγαθοῦ τῶν, σχεδὸν ἑκάστου ἐστὶ τοιούτου, ὥστε μὴ κατηγορεῖσθαι μηδενός· πλὴν ὡς κατὰ συμβεβηκός.

Τὸ σχεδὸν ἴσως προσέθηκε διὰ τὰς ἀτόμους ποιότητας, αἳ ἀγαθαὶ τυγχάνουσιν ἐστίν· ἐν τῇ ἀτόμῳ δ' οὐσίᾳ τὸ εἶναι αὐτὰς, καὶ κατηγοροῦνται αὐτῆς· καὶ οὐχ ὡς ἄτομοι λαμβάνονται, ὅταν κατηγορῶνται· ὅταν γὰρ εἴπω σωκράτης λευκός ἐστιν· οὐ τὸ ἄτομον αὐτοῦ λευκὸν κατηγορήσεν, τὸ γὰρ κατηγορούμενον ἀόριστον μὴ δέχεσθαι· εἰ τὸ ἄτομον λευκόν, οὐδενὸς καθόλου κατηγορεῖται· εἰ κατηγορεῖται τινός· ἢ ἄνευ μὴ διορισμὸν δέχεται τὸ κατηγορούμενον· ἀλλ' ἔστω ἐν τῷ δεικνύναι λευκόν· καὶ τὸ τοῦ ἐν ᾧ ἐστι κατηγορεῖται· καὶ οὐκ ἔστιν ἡ τοιαύτη κατηγορία κατὰ συμβεβηκός· οἷον ἐν τῷ δεῖν τοὶ καὶ τίνος τόδε τὸ λευκόν ἐστιν ἤ, ἀγαθὴ τελεία τὰ ὑποκεί-

*mandase que para entretenimiento de estudiantes en vano se pongan aqui algunos libros de caballerias como son los amadises*

μένα ἢ καθ' αὑτὰ ὄντα· τὰ τοιαῦτα γὰρ ἄτομα. τοιαῦτα δὲ καὶ τὰ ἄμεσα· οὐσίαι·
τὸ ὅσων ἔσχατον· διὰ τὰ καὶ τὰ συμβεβηκὸς προσέθηκε διὰ τοῦτο· γὰρ ἔχει
ἐπὶ τὰ κυρίως τινὸς οὐδενός· δέδειχε δὲ ὅτι τῶν ὄντων τινὰ ἐστὶν ἃ μηδενὸς
ἀληθῶς κατηγορεῖσθαι πέφυκε· λέγει περὶ τούτων ὧν μηδὲν ἄλλο κατη-
γορεῖται· καὶ ὅτι μὲν ἔστι τινὰ τῶν ὄντων τοιαῦτα, δέδειχεν ὑποτίθεται,
ἐρεῖ δὲ καὶ αὐτὸς ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς περὶ τούτου· εἰ γὰρ ἐπ' ἄπειρον
προΐοι· ἄλλο ἄλλου κατηγορούμενον· οὐδὲν ἂν ἔσχατον εἴη· καὶ τῶν
γὰρ ἀπείρων, οὐχ οἷόν τε ἐστὶν ἔσχατόν τι εἶναι· ἔστι δὲ ἔσχατον,
τοιοῦτον γὰρ τὸ ἄτομον· οὐκ ἄρα ἐπ' ἄπειρον ἡ κατηγορία· νῦν δὲ,
ὡς δεδειγμένῳ καὶ ὁμολογημένῳ αὐτῷ χρῆται· ὧν μέντοι μηδὲν
κατηγορεῖται ὥσπερ τῶν ἀνωτάτω γενῶν, καὶ τούτων οὐδὲν ἔστι φησὶν
ἀποδεῖξαι κατηγορούμενον· εἰκότως· οὗ γὰρ μηδὲν κατηγορεῖται,
τοῦτο οὐδὲ ἀποδειχθῆναι κατηγορεῖσθαί τι· ἡ γὰρ ἀπόδειξις τῶν
ὄντων· καὶ γὰρ τὸ δεικνύμενον κατηγορεῖσθαι, διά τινος δείκνυται
ὡς δέδειχε· διά τινων ἑπομένων αὐτῷ ὧν δείκνυται ὑπάρχον·
τὸ διὰ τῶν, οἷς ἕπεται τὸ δεικνύμενον ὑπάρχειν αὐτῷ· μηδενὸς δὲ τῷ
προκειμένῳ ὑπάρχειν· οὐδὲν δύναται δειχθῆναι καὶ αὐτῷ ὑπάρχον·
προσέθηκε δὲ αὐτοῖς τό, πλὴν ἢ κατὰ δόξαν, τουτέστι μὴ ἀλλὰ δοκού-
μενα καὶ κατὰ δόξαν δέ τινων· εἰ γάρ τις οἴοιτο καὶ τούτων ἄλλα τινὰ ἐπα-
ναβεβηκότα κατηγορούμενα αὐτῶν, δεικνύοι τοῦτ' ἂν καὶ τὰ τῷ δοκεῖν
τῷ τούτων κατηγορούμενόν τι καὶ τούτων· οὐ γὰρ τοῦτο τὸ ἀποδεῖξαι
τὸ ἐκ συλλογίζεσθαί τι, διὸ καὶ ἐκ δόξης τινὶ καὶ συγχώρησις· συγχωρεῖται
γὰρ πολλὰ καὶ ψευδῆ· δι' ὧν συλλογισμὸς μὲν ἂν γένοιτο· ἀπόδειξις
δὲ οὔ· οὐ γὰρ εἰ λαμβάνοι συγχωρήσαντός τινος τὸ οὐσίαν εἶναι τὸ ὂν· καὶ
τὸ ὂν ἂν πάλιν, οὐ τοσαῦτα συλλογίσαιτο ὅτι ἡ οὐσία ἄν, οὐ μὴν ἀπόδειξις
τοῦτο· οὔτε γὰρ τὸ ὂν τῆς οὐσίας ὡς γένος, οὔτε τοῦ ὄντος τὸ ὂν κατηγο-
ρεῖται· ὁμωνύμως γὰρ τὸ τί ἐστιν καὶ τὸ ὂν δι' ὧν αὐτὸ καὶ τὰ κατὰ δόξαν εἰρῆσθαι,
τὸ ἐπὶ τῆς κατὰ συμβεβηκὸς κατηγορίας· ὥσπερ γὰρ ἀγαθὰ τὸ μὲν καὶ ἀγαθη-
τὸ οὐσίαι· οὐδενὸς ἀληθῶς κατηγοροῦνται· καὶ τὰ συμβεβηκὸς
κατηγοροῦνται ποτέ, οὕτω καὶ τῶν ἀνωτάτω γενῶν· ἁπλῶς μὲν οὐδέ

κατηγορηθήσεται καὶ τὸ συμβεβηκὸς δέ, ἢ κατὰ τὸ δεῖξαι· τῶν ὑστέρων τῆς σαφηνείας
χάριν. οἱ δὲ ἄπειροι μὴ ἐν τῷ οὐσίᾳ, αὐτὸ ἢ καὶ τὸ δεῖξαι αὐτὰ ῥητέον, ἡ λέξις.
τὸ διαλεκτικῶς ὡς πρὸς ἃ πλὴν ἐν τοῖς τοπικοῖς· ἢ διαλεκτικὴ ἐξέτασις ἡ
οὖσα. πρὸς τὰ ἄπειρα ἀποσώζων τῶν ἐπιστημῶν ἀρχὰς ὅλον ἔχει· διὸ ἐν ἐστὶ
διαλεκτικῶς πως καὶ πρὸς τῶν πρώτων συλλογίζεσθαι δείκνυται ὅτι
τὸ ὑπάρχει αὐτοῖς ἐν οὐ τῷ τί ἐστι. ἐν γὰρ αὐτῶν ἕκαστον, ἀλλ' ἐπὶ
τοῦ τῶν μέσων ἀνωτάτω γενῶν, οὐκ ἔστιν ἀποδεῖξαι κατηγορούμενον
τι. αὐτὰ δὲ ἄλλων. ὁ γὰρ λαμβάνων τὸ ἄνθρωπον ζῷον εἶναι τὸ δὲ ζῷον οὐσίαν,
ἀποδείξει τῷ οὐσίαν τοῦ ἀνθρώπου κατηγορουμένην. ἀνάπαλιν ἐπὶ τῶν κα-
θ' ἕκαστα καὶ ἀτόμων. αὐτὰ μέν, οὐχ οἷόν τε ἄλλων κατηγορούμενα ἀπο-
δεῖξαι, ὅτι μηδὲ κατηγορεῖται ὅλως τινῶν· ἀλλ' ἄλλα δὲ κατὰ τούτων. τοῦ γὰρ
Κλέωνος, καὶ τὸ ἄνθρωπον ἐστὶ κατηγορούμενον δεῖξαι. ἄνθρωπον μὲν γὰρ
ἐστι καὶ αὐτὸν εἶναι· πάλιν δὲ τὰ λοιπὰ ἐκεῖνον αὐτὸν εἶναι· ὁμοίως, καὶ ζῷον· καὶ οὐ-
σίαν. ἀλλ' ἐπὶ ὅτι τὰ μεταξὺ τῶν τε ἀτόμων καὶ τῶν πρώτων γενῶν, καὶ
κατηγορούμενά τινα ἔχει· καὶ αὐτὰ ἄλλων κατηγορεῖται, δῆλον· διὸ καὶ
αἱ ζητήσεις καὶ οἱ συλλογισμοὶ καὶ αἱ ἀποδείξεις, περὶ τούτων γίνονται
τῶν ἐν μέσῳ. καὶ γὰρ αὐτὰ ἄλλων κατηγορεῖται καὶ αὐτῶν ἄλλα. τὸ δὲ ἔχει
προσεκθήσεται, ὅτι εἰ καὶ οἱ τὸ μὲν ἀναζήτησις καὶ περὶ τῶν ἀνωτάτω γενῶν·
οἷον εἰ δὲ κατὰ ἀνωτάτω γένη, καὶ εἰ τὸ ὂν τὸ τί ἐστι, γένος· καὶ εἰ τοῦτο ἐν, τὸ ὂν
τὸ τί ἐστιν. ἢ καὶ τὰ ὁμοίως· ἀλλ' ἀπὸ τῶν πλείστων καὶ κοινὸν τὸ ζητεῖται· περὶ τῶν μετα-
ξύ. ἔτι περὶ τῶν ἀνωτάτω καὶ συλλογίζονται καὶ δείκνυσιν ὅτι εἰσὶ οὐ
κατὰ ἀποδεικτικῶς, ἀλλὰ ἐκ τῶν ὑστέρων δείκνυσι τοῦτο. οὐ γὰρ διὰ τῶν κατηγο-
ρουμένων τὸ γὰρ τῶν οὐσιῶν νοητῶν τὰ γένη ἀποδείκνυται, τὰ ὕστερα κατηγορούμενα
ἐστὶν αὐτῆς. ὕστερα γὰρ ταῦτα τῆς οὐσίας. τούτων γὰρ χάριν καὶ τῶν τοιούτων,
ἐπεὶ τὸ καὶ ἀρχικοὶ οἱ λόγοι καὶ αἱ σκέψεις μάλιστα δὲ περὶ τῶν μεταξύ.
τὰ γὰρ ἐπὶ αὐτοῖς τὰ τῶν πρώτων ὑπάρχον ἀποδείκνυται, ἀλλ' αὐτὰ ἐστὶ
ὁμοίως ἄλλων, καὶ κατὰ τοῦ ἀτόμου δείκνυται· ἃ μὴ καὶ αὐτὸ κατὰ ἄλλου.
ὥστε γίνονται μὲν καὶ περὶ τούτων σκέψεις· ἀλλ' ἀπὸ τῶν πλείστων, περὶ τῶν
μεταξύ. ἄμφω γὰρ ταῦτα ἔχει· ὃ μὲν γὰρ παραδίδωσιν ἐγκυκλογνωστικὴ
μέθοδον· οὔτε ἐπὶ τῶν ἀνωτάτω γενῶν, οὔτε ἐπὶ τῶν ἀτόμων ἁρμόζει.

ἀλλ' ἐπὶ τῶν μεταξύ. ἢ γὰρ τὸ ὑποκείμενον ἢ τὸ κατηγορούμενον ἐν τῷ προ-
βλήματι δεῖ τοῦ μεταξὺ εἶναι. οὕτως γὰρ ἕξομεν λαβεῖν ἢ τὰ ἑκατέρω
αὐτῶν ἑπόμενα· τουτέστι τοῖς κατηγορουμένοις αὐτῶν ὅροις· ἢ οἷς αὐτοὶ
ἕπονται· τουτέστι τοῖς ἑκατέρω ὑποκειμένοις. διὰ γὰρ τούτων τῶν προ-
τάσεων εὕρεσιν ὑπογράφει. λαμβάνειν πρὸς τούτοις ἐν τῇ ἐκλογῇ,
ἢ τὰ ἑκατέρω ἑπόμενα τῶν ἐν τῷ προβλήματι ὅρων, ἢ καὶ τὰ ταῖς ὑφη-
γημένα, δυνάμεθα τὸ μὲν ἄνω τὰ τῷ γένος ὑπάρχοντι δεικνύναι.
ἀκολουθουμένοις ἕπεται· τούτοις γὰρ χρήσιμα πρὸς τὴν κατὰ παντὸς
κατηγορίαν, ὡς δείξει. ἔχει δὲ τὰ οἷς ἕπεται· πάλιν δεῖ τὸ ἔσχατον ἢ
ἀτόμῳ τι ὑπάρχειν, καὶ τοῦ τὰ ἑπόμενα αὐτοῦ λαβεῖν. ἃ ἐστὶν ἐπ' αὐτοῦ
λαβεῖν, ἐπειδὴ τὰ κατηγορούμενα ἔχει· οὐ γὰρ ἐπὶ πάντων ληψόμεθα
καὶ τὰ ἑπόμενα αὐτοῖς, ἢ οἷς αὐτὰ ἕπεται, ἃ μὴ τοιαῦτα ᾖ. ἀλλ' ἐφ' οὗ
θάτερον μόνον ἐστὶ λαβεῖν, τοῦτο ληφθήσεται. ἢ ὃ πρὸς αὐτὸ συλλογισ-
μοὺς καὶ τὰ τοῦ γένους γενήσεται, ἢ ἀφαιρεῖ ἐπὶ τούτων, λαμβάνει δὲ μὲν ἂν
τά τε πρὸς δόξαν καὶ τὰ κατὰ συμβεβηκός :· +

Δεῖ δὴ τὰς προτάσεις περὶ ἕκαστον αὐτῶν οὕτως ἐκλαμβάνειν·

Ἐπειδὴ ἕνα ἐστὶ περὶ ὧν δεῖ ζητῆσαι μάλιστα ἡμᾶς ἐκ λέξεως κοινὸν ταῖς ὅλαις
ταῖς οἷς ἢ ἕπεται γενικὰ ἢ αὐτὰ ἔχει οἷς ἕπεται. τοῦτο γὰρ ἐστὶ τὰ με-
ταξὺ τῶν τε πρώτων γενῶν καὶ τῶν ἀτόμων οὐσιῶν. ἐπειδὴ καὶ τὴν ἀρχὴν
δεικνύναι περὶ τῶν πρώτων γενῶν. ὅτι γὰρ αὐτὰ ἄλλοις ὑπάρχει τινά.
δεῖ περὶ τῶν ἀτόμων. ὅτι γὰρ τούτοις ἄλλα, πῶς εὑρήσομεν ἢ ληψόμεθα
προτάσεις ἐπὶ τοῦ προκειμένου προβλήματος, ὑπογράφει τε καὶ
διδάσκει. ποιεῖται δὲ τὸν λόγον ἐπὶ τῶν μεταξὺ ἃ καὶ αὐτὰ ἄλλοις.
καὶ ἄλλα τούτοις ὑπάρχει. ἐν ἐστὶ δὲ ἑξῆς ποιεῖται διδασκαλίας ὡς
ἐπὶ ὄντι καὶ τὰ πρῶτα γένη λαμβάνοντα. οἷς τούτοις ἕπεται καὶ λέγειν.
καὶ πάλιν τὰ ἄτομα τὰ τούτοις ἑπόμενα. τέσσαρα δὲ εἶναι φησὶ τὰ προβλή-
ματα· καθόλου καταφατικόν, καθόλου ἀποφατικόν, ἐπὶ μέρους
καταφατικόν, ἐπὶ μέρους ἀποφατικόν. εἰς δὴ τὴν δεῖξιν τῶν προβλη-
μάτων τούτων ἑκάστου, πῶς εὐπορήσομεν τῶν ἑκάστου προτάσεων,
τέως αὐτὸς φησὶν ἐκληψόμεθα καὶ ἐκλέξομεν ὑπογράφει. δεῖ δὴ προ-

βλήματος

φησὶ προβληθέντος, πρῶτον αὐτὸ βάλλειν καὶ χωρίσαι, καὶ ἐκθέσθαι ἑκατέρου τῶν
ἐν τῷ προβλήματι ὅρων ὅ ἐστιν, ὁ μὲν ὑποκείμενος αὐτῶν, ὁ δὲ κατηγορού-
μενος. τὸ γὰρ αὐτὸ πρῶτον, τοῦτόν ἐστι δηλωτικόν. περὶ οὗ γὰρ λαμβάνειν βουλόμεθα
δὲ περὶ τῶν ὅρων τῶν ἐν τῷ προβλήματι προτάσεις τινὰς λαμβάνειν, συναπτούσας
αὐτοὺς ἢ διαιρούσας. εἶτα μετὰ τὸ τοὺς ὅρους ἐκλαβεῖν, οὕτω τὸν ἑκατέρου τοῦ τε
ὑποκειμένου ὅρου καὶ τοῦ κατηγορουμένου ὁρισμὸν λαμβάνειν, καὶ τὰ
ἑκατέρων αὐτῶν ἴδια. πρὸς μὲν γὰρ τοὺς ὅρους ἐν τῷ προβλήματι ἐκλαβεῖν
λέγει. καὶ μετὰ ταῦτα ἐκλέγειν φησὶ δεῖν, ὅλως ὅσα ἕπεται ἑκατέρῳ τῶν ὅρων.
ἑπόμενα μὲν οὖν καὶ οἱ ὁρισμοὶ τοῖς ὧν εἰσὶν ὁρισμοί, καὶ τὰ ἴδια. ἀλλὰ ταῦτα
μὲν μόνοις αὐτοῖς ἕπεται, οἷς τὸ ζῷον λογικὸν θνητὸν ἀνθρώπῳ καὶ τὸ γελαστικόν.
διὸ καὶ ταὐτὰ αὐτοῖς καὶ ἀντιστρέφει, καὶ οὐ μόνον ἕπεται ταῦτα αὐτοῖς, ἀλλὰ καὶ αὐτὰ
τούτοις. διὰ τὸ ἀντιστρέφειν ἀεὶ ἐπίσης λεγόμενα ἕπεται τούτοις, καὶ τὰ γένη
καὶ αἱ διαφοραὶ τῶν τοιούτων μόνοις. τὸ ζῷον ἀνθρώπῳ καὶ τὸ δίπουν. τοῦτο
δὲ ἰδίως ἑπόμενα ἅπτεται. δηλονότι ὅτι τὰ ἑπόμενά τινι, καὶ κατὰ παντὸς
αὐτοῦ κατηγορεῖται. μετὰ ταῦτα τούτων φησὶ δεῖν ἐκλέγειν τὰ καὶ λαμβάνειν,
τὰ οἷς αὐτὰ ἕπεται τὰ πράγματα, τοῦτ' ἔστιν αὐτὰ τὰ κείμενα ἐν τῷ
προβλήματι. ἐν τῷ προβλήματι δὲ ἀνθρώπου, οἱ τοῦ προβλήματος ὅροι.
οἷον· ἀ ζῷον ἐστὶν ὅρος, τινὶ τὸ ζῷον ἕπεται· ἕπεται δὲ τὸ ζῷον τῷ τε ἀνθρώπῳ
καὶ τοῖς ἄλλοις ὅσοις ὑπάρχει αὐτό. τῷ δὲ ζῴῳ τὸ ἔμψυχον. οὕτω γὰρ τὰ
οἷς ἕπεται ὁ τοῦ προβλήματος ὅρος, καὶ τὰ ἑπόμενα τοῦ ὅρου τοῦ ἑπομένου
αὐτοῖς κατηγορεῖται. ἀλλὰ καὶ πάλιν ὁ ὅρος ἐκείνων ἑκάστου παντός. τὸ γὰρ
ἑπόμενόν ἐστι τὸ κατὰ παντός τινος κατηγορούμενον. εἶτα φησὶ δεῖν ἐκλέγειν καὶ ὅσα
μὴ ἐνδέχεται αὐτοῖς ὑπάρχειν. οἷον τῷ ἀνθρώπῳ τὸ χρεμετιστικόν. τῷ ζῴῳ
τὸ ἄψυχον. οἷς δὲ αὐτὸ οὐκ ἐνδέχεται ὑπάρχειν, οὕτω φησὶ δεῖν ἐκλα-
μβάνειν. τὰ γὰρ αὐτά ἐστι τά τε μὴ ὑπάρχοντα αὐτῷ, καὶ οἷς αὐτὸ μὴ ὑπάρ-
χει. διὰ τὸ τὸ καθόλου ἀποφατικὸν ἀντιστρέφειν αὐτῷ. οὐ μὴν δὲ ταὐτά,
τὰ ἑπόμενα αὐτοῖς καὶ οἷς αὐτὰ ἕπεται. τῷ γὰρ ζῴῳ ἕπεται μὲν τὸ ἔμψυχον, ου
αὐτὸ δὲ ἕπεται ἀνθρώπῳ, ἵππῳ, τοῖς ἄλλοις τοῖς ὑπ' αὐτοῦ. διὰ τοῦτο ἀμφοτέρων
ἐκείνων τὴν ἐκλογὴν ἠξίωσεν ἡμᾶς ποιεῖσθαι. διὰ τὸ μὴ ἀντιστρέφειν τὸ κα-
θόλου καταφατικόν, ἑαυτῷ. τῶν δὲ μὴ ὑπαρχόντων αὐτοῖς, καὶ οἷς αὐτὰ

μὴ ὑπάρχειν. οὐκ ἔστι δὲ ἀμφοτέρων κατηγορεῖν ὅτι τῶν τε ἐστι τῶν τε καὶ ἀντιστρέφει.
φησὶ δὲ διὰ τὸ διαιρεθῆναι καὶ αὐτῶν τῶν ἑπομένων, ὅτι τὰ μὲν ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν
περιεχόμενα, καὶ ἐν τῷ τί ἐστι κατηγορούμενα· ἕπεται αὐτοῖς, καὶ ὅτι τὰ δὲ ὡς ἴδια,
τὰ δὲ καὶ ὅτι τὰ δὲ ὡς συμβεβηκότα. οὐ γὰρ τὰ αὐτὰ τοῖς ἰδίοις τοῖς ἐν τῇ οὐσίᾳ καὶ ἐν τῷ
τί ἐστι κατηγορουμένοις καὶ οὕτως ἑπομένοις. τὸ μὲν γὰρ ζῷον καὶ τὸ λογικὸν,
ἕπεται τῷ ἀνθρώπῳ· ὡς καὶ αὐτά τε καὶ ἐν τῷ τί ἐστι κατηγορούμενα αὐτοῦ· τῶν τε γὰρ
αὐτῷ τί ἐστι κατηγορεῖται κυρίως, ὅτι ἐν τῷ ὁρισμῷ αὐτοῦ περιέχεται.
ὧν τε ἐν ὁρισμῷ τὸ ἀναστρεφόμενον τοῦ κατηγορεῖται τῶν τε δὲ τὸ πάντα λέγει καὶ
τὸ δὲ ὅλως ἀθάνατον αὐτὸς ἢ μὴ ζῷον εἶναι, οὐδὲ ζῷον εἶναι. ὁμοίως ἢ μὴ λογικόν,
ὡς πάντως καὶ λογικὸν εἶναι ποτὲ ἀλλὰ μὴ θνητόν· ὡς πάντως ἀποθανούμενον.
τὸ ὅριον τῶν δὲ ἐπαγ. αὐτοῦ τί ἐστιν· οὐκ ἔτι δὲ τὸ γραμματικὸν· τὸ τοιοῦτον ἀνάγκη
οὔτε γὰρ αὐτοῦ ὁρισμῷ περιέχεται· οὔτε οὕτως ὑπάρχει αὐτῷ, ὡς καὶ τῆς
ἐν ὁριστικῆς καὶ τῶν τὸ κωλυόμενον πρὸς τὴν ὑπάρξιν· καὶ γὰρ καὶ δύναται
γενέσθαι ἀκαλύπτως, οὐδὲν κεκώλυται αὐτὸς εἶναι· οὕτως δὲ ἔχει καὶ τῆς τῆς
ἰδίου εἶναι τοῦ ἕπεσθαι· καὶ τῆς δημιουργικῆς τὸ καλὰ πρᾶγμα· κυρίως γὰρ τὸ καλὰ πρᾶγμα,
ἐστὶ μόνης τῆς δημιουργικῆς· τὰ δὲ ὡς συμβεβηκότα ἑπόμενα ἐστίν, ὅσα κατηγο-
ρούμενα τινός, μήτε ὡς αὐτοῦ τί ἐστι, μήτε ὡς ἴδια κατηγορεῖται αὐτοῦ, τῷ
δύνασθαι καὶ ἄλλοις ὑπάρχειν· ὡς τὸ λευκὸν τῷ ὁ ψιμύθιον.
καὶ αὐτῷ τὸ περιπατεῖν. διὸ δέ φησιν καθ' ὁλότητα τῶν ἑπομένων τινί, διακρίνειν
ποῖα κατὰ τὸ ἀληθὲς, καὶ ποῖα δόξαν ἐκ ἕπεται· τοῦτ' ἔστι κατὰ τὰς τῶν πολ-
λῶν ἐνδόξας αὐτῶν τοιούτων γὰρ οἱ διαλεκτικοὶ συλλογισμοί· οἷον
ὅτι τῇ ἡδονῇ ἕπεται τὸ εἶναι μὴ ἐστὶν ἀγαθόν· τοῦτο γὰρ κατὰ δόξαν· ἢ τὸ ἀγαθὸν
τὸ ἀγαθὸν ποιεῖν· ἡ μὲν γὰρ πλειόνων τῶν ἑπομένων ἀμφοτέροις τοῖς
ὅροις εὐπορία. φασί τινες αὐτῶν ἡ μὲν παρέξει ταῦτα πρὸ τῶν σχέσεων καὶ τοῦ
συμπεράσματος· ἡ δὲ τῶν ἀληθεστέρων, μᾶλλον ἀποδεικτικὸν ποιήσει
τὸν συλλογισμόν· τούτου χάριν ἠξίωσε διακρίνειν, τά τε ἐν τῷ τί ἐστι κατη-
γορούμενα τῶν ἑπομένων καὶ τὰ ἴδια· καὶ τὰ συμβεβηκότα διαιροῦντα:

Δεῖ δὲ λαμβάνειν μὴ τὰ ἑπόμενα τινί· ἀλλ' ὅτῳ ὅλον τὸ πρᾶγμα
ἕπεται.

Δεῖ φησὶ τὰ ἑπόμενα τοῖς ὅροις τοῖς ἐν τῷ προκειμένῳ προβλήματι λέγοντ,

μὴ τὰ τινὶ αὐτῶν ἑπόμενα ἐκλέγειν· ἀλλὰ τὰ παντί. ὁ γὰρ ὅρος ἄνθρωπος· οὐ τὸ τινὶ
αὐτῷ ἑπόμενον ἐκλεκτέον· ἀλλὰ τὸ παντί. οὐδὲ τὸ τινὶ ἡδονῇ, ἂν ὁ ὅρος τοῦ
προβλήματος ᾖ ἡ ἡδονή, ἀλλὰ τὸ πάσῃ. οὕτως γὰρ εὐπορήσομεν καθόλου προ-
τάσεων, ὧν χωρὶς ἀδύνατον συλλογίσασθαι· διὰ γὰρ τοῦτο. οὐδ' ἀδιορί-
στως λαμβάνοντας, τί ἕπεται ληφθήσεται· ἀλλὰ προστιθέντας τὸ παντὶ ἕπεσθαι·
εἰ γὰρ ὅρος ἐστὶν ἄνθρωπος, ἢ πάλιν ἡ ἡδονή. οὕτως δέ τε τὸν συλλογισμὸν πρὸς τὸν αὐτὸν
ἐπὶ τῶν ἡδονῶν ποιήσει, ὅταν παντὶ ἀνθρώπῳ καὶ πάσῃ ἡδονῇ καὶ ἡδονῶν περιλάβῃ·
παραλαμβάνεται δὲ ὁ μὲν ἄνθρωπος ἀντὶ τοῦ παντὶ αὐτῷ ἑπομένου· ἡ δὲ ἡδονὴ
ἀντὶ τοῦ πᾶσα ἡδονή· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ γὰρ ἂν τὸ ὀφθαλμὸν ἔχειν
ἑπόμενος ᾖ, τὸ παντὶ ὑπάρχον, οὐκ ἔστι καὶ τινὶ λαβεῖν ὑπάρχον· ἀλλὰ τὰ
οἷς αὐτὰ ἕπεται ὅλοις οὐ μέρεσιν αὐτῶν, ταῦτα ἐκλεκτέον. τὸ γὰρ ζῷον,
οὐχ ἕπεται παντὶ ἐμψύχῳ· παντὶ δὲ ἀγαθῷ τινὶ καὶ παντὶ αὐτῷ. ταῦτα ἄρα
τὰ οὐ κοινὰ δύο ἐκλεκτέον· ἐκλεκτέον δὲ ὡς τὸ ζῷον ἕπεται· ἔσται γὰρ οὕτως
καὶ τὸ παντὶ τοῦτο, ᾧ ἕπεται· διὰ γὰρ τῶν τοιούτων, αἱ καθόλου προτάσεις,
οὐκ ἔτι μὲν διαφέρει τὸ ἑπόμενον τινί, ὅλῳ δεῖν ἐκλέγειν· ἕπεται γὰρ αὐτῷ τὸ
ζῷον· οὐ μὴν παντί. καὶ τῇ γραμματικῇ ἐπιστήμη, οὐ μὴν πάσῃ. οὐδὲ δεῖ ζητεῖν
τὸ οὕτως ἑπόμενον· ἄχρηστον γὰρ πρὸς τὴν τῶν προτάσεων λῆψιν· τὸ ἕπεσθαι
μόνον. τοῦτο δὲ τὸ αἴτιον, τοῦ μὴ δεῖν τὰ ἑπόμενα τοιαῦτα ζητεῖν, καὶ ἐνταῦθα
περὶ ἑρμηνείας ἀποδέδωκε δι' ὧν εἶπεν· ἐπὶ δὲ τοῦ κατηγορουμένου καθόλου,
τὸ καθόλου κατηγορεῖν, οὐκ ἔστιν ἀληθές: οὐ γὰρ ἔσται τις πρότασις, ἐν ᾗ
τοῦ καθόλου, τὸ καθόλου προσκατηγορήσομεν· οἷον ἔστι πᾶς ἄνθρωπος, πᾶν ζῷον.
τὸ αὐτὸ δὲ καὶ νῦν λέγει. καὶ δείκνυσι τὰ πῶς ἄχρηστόν τε ἐστι. τὸ, οὕτως λέγειν
παραλαβεῖν τὰ ἑπόμενα καὶ πρὸς τῷ ἀχρήστῳ καὶ ἀδύνατον. ἀδύνατον γὰρ
παντὶ ἀνθρώπῳ πᾶν ζῷον εἶναι· ἢ πάντα ἄνθρωπον πᾶν γελαστικόν. οὐδὲ τὸ ἑπόμενον
παντὶ ληπτέον· ἀλλὰ τὸ ᾧ ἕπεται. τὸ γὰρ ἄνθρωπον, καθόλου ληπτέον, ᾧ τὸ ζῷον
ἕπεται. τοῦτο παντὶ τιθέντας αὐτῷ ἑπόμενον· οὕτω γὰρ εὐπορήσομεν
καθολικῶν προτάσεων· ὁμοίως καὶ ᾧ παντὶ ὁ ἄνθρωπος ἕπεται. διὸ πολλὰ μὲν γὰρ
παντὶ οὐχ ἕπεται· παντὶ δὲ βουλευτικῷ· τὸ δὲ, καθάπερ καὶ προτεινόμεθα,
ἔστι καθάπερ καὶ προτείνομεν ἐν τῇ χρήσει. λέγομεν γὰρ παντὶ ἀνθρώπῳ ἕπεσθαι
ζῷον· ἀλλ' οὐ, καὶ πᾶν ζῷον· καὶ πᾶσαν ἡδονὴν καὶ τὸ φύσιν, ἀλλ' οὐ πᾶν καὶ τὸ

φύσιν· οὐ γὰρ τῷ ὑποκειμένῳ τὸ πάθος, ἀλλὰ τῷ ὑποκειμένῳ ὡς ὑπάρχει προστίθησιν:·

ὅταν δ' ὑπὸ τὸ ἓν περιέχεται τὸ ὑποκείμενον, ὥστε τὰ ὑποκείμενα δεῖ λαμβάνειν καθόλου ὑποκείμενα ἢ μὴ ὑποκείμενα, οὐκ ἔστι ἴδιον·

ν τοῦ τοιοῦ λεγομένου ἐστίν· ὁ τόπος ὁ κείμενος ὅρος μέρος ὢν τοῦ προβλήματος ὧν τὰ ὑποκείμενα ζητοῦμεν, τοῦ ὅλου τινος περιέχει τὸ ὑποκείμενον αὐτῷ, οἷον ὡς αὐτὸς τοῦ ζώου· οὐ καὶ φησὶ δεῖν αὐτὸ λέγειν ὅτι τῷ περιέχοντι τὸν κείμενον ὅρον ὑπάρχει, οἷον τῷ ζώῳ, εἰς τὸ δεικνύναι ὅτι τοῦτο ὑπάρχει τῷ περιεχομένῳ, οὐ τοσοῦτον ὁ αὐτός· φαίνεται γὰρ τοῦ ληφθέντος δεῖν μὴ ὁ περὶ ἐλήφθη ὑποκείμενον τὸ ζῷον τῷ αὐτῷ· τούτου γὰρ ληφθέντος, ἀληθὴ ἐπιδεικνύναι καὶ τὸ τῷ ζώῳ ὑποκείμενα, ὑπάρχειν τῷ αὐτῷ· οἷον ἢ οὐσία· τὸ ἔμψυχον· τὸ ἀγαθὸν· ὡς δὲ τὸ τούτῳ ὑποκείμενα, ὑπάρχειν τῷ αὐτῷ, οὕτω καὶ τὰ μὴ ὑποκείμενα τούτῳ δηλονότι οὐδὲ τῷ αὐτῷ ἀνθρώπου φησὶ τὸ ἄψυχον· τὸ ἀναγαθὸν· τὸ ἀσώματον· οὐκ ἔτι οὖν χρὴ περὶ τοῦ τὰ καθ' ἕκαστα διορίζεσθαι, καὶ τοῦ ἐκεῖ λέγοντας δείκνυσθαι τὰ κείμενα ἤδη· ἀλλ' ἀρκεῖ τὰ τῷ περιέχοντι τὸν κείμενον ὅρον ὑποκείμενα ἀναλέγειν ἐκ τοῦ διότι ταῦτα ἐστὶ μὴ ὑποκείμενα τούτῳ· τὰ μὲν οὖν τῷ καθόλου ὑποκειμένου οἷον τῷ ζώῳ ἃ τῷ περιέχοντι αὐτοῦ, οὐχ εἰ μὴ λέγειν ἐστὶ τὸ δὲ ἴδια ἀνθρώπου καὶ ὑποκείμενα τῷ αὐτῷ· ἃ μὴ καὶ τῷ γένει αὐτοῦ ὑπάρχει τῷ ζώῳ, τοῦ καὶ εἰ λέγειν· ἔστι γάρ τινα ἃ τῷ ἀνθρώπῳ ὑπάρχει τῷ γένει αὐτοῦ τῷ ζώῳ μὴ ὑποκείμενα· ὧν τὰ μὲν, κυρίως ἐστὶν ἴδια τῷ ἀνθρώπῳ· ὡς τὸ γελαστικόν· ὡς τὸ βουλευτικόν· τὰ δὲ, ὡς πρὸς ἄλλα ἴδια ἐστὶν αὐτοῦ ὡς τὸ λογικόν· ὡς γὰρ πρὸς τὸ ἄλογον ἴδιον γίνεται τοῦ ἀνθρώπου, καὶ οὐχ ὑπάρχει τούτων οὐδὲν τῷ ζώῳ· ὁμοίως τὸ πεζὸν τὸ δίπουν· καὶ ὅσα τοιαῦτα· ταῦτα γὰρ ὡς ἴδια λαμβάνονται, δεῖ δὲ καὶ χρὴ ἐπειδὴ ὑπάρχει τῷ περιέχοντι αὐτὸ γένει· μὴ δὲ διὰ τὸ, ἀνάγκη κεῖσθαι ὑποκείμενα, καὶ αὐτῷ δῆλον δεικνύναι καὶ αὐτὰ ὑποκείμενα· οὐ γὰρ ὅσα ἐκείνῳ τῶν εἰδῶν ὑπάρχει, τοῦτο καὶ τῷ γένει· ἀνάγκη γὰρ εἰ διαφέρουσιν ἀλλήλων, ἴδιά τινα ὑπάρχειν αὐτοῖς, μὴ δυνάσθαι ἐν τοῖς αὐτοῖς διαιρουμένοις ἀλλήλων ὑπάρχειν· οὐκ οὖν ὑπὸ τὸ τῷ γένει· τὰ γὰρ τῷ γένει ὑποκείμενα καὶ τοῖς εἴδεσι καὶ αὐτοῦ κατηγορεῖται· καὶ ἕκαστος τῶν εἰδῶν ἕπεσθαι ἀνάγκη· ἃ δὲ ἀνάγκη τῶν εἰδῶν, οὐκ ἀνάγκη οὔτε τῷ γένει· οὔτε ἀλλήλοις· διὰ ταῦτα δὲ ἐν ἀνάγκῃ ἀνάγκη ὑπάρχειν τοῖς διαφοραῖς ἃς ἀφορίζονται:· +

οὐ γὰρ δὴ τὸ καθόλου γένος κατηγορεῖται οἷς ἕπεται τὸ περιεχόμενον· οἷον ζῷον οἷς ἕπεται ἄνθρωπος.

Ὁ λέγει τοιοῦτόν ἐστιν· οὐ χρὴ κατηγορεῖν τούτων οἷς ἕπεται ὁ ὑποκείμενος ὅρος περιεχόμενος ὑπό τινος, προσχρῆσθαι τὸ καθόλου τὸ περιέχον τι, καὶ λαμβάνειν κατὰ τούτων οἷς ἕπεται ὁ ὑποκείμενος ὅρος, οἷς καὶ αὐτοῖς ὁ περιέχων αὐτὸν ἕπεται· οἷον ἂν ᾖ ὁ κείμενος ὅρος ἄνθρωπος, περιέχει μὲν τοῦτον τὸ ζῷον καὶ ἕπεται αὐτῷ· ὅταν μὴ κατηγορῶμεν οἷς ἕπεται ὁ ἄνθρωπος, οὐδὲ προσλαμβάνειν τὸ ζῷον κατηγοροῦντας ὅτι καὶ τούτοις. λέγω δὴ τὸ ζῷον, ἕπεται ἐκείνοις οἷς καὶ ὁ ἄνθρωπος ἕπεται· τούτῳ γὰρ κεῖται [illegible]· τὸ γὰρ ζῷον αὐτῷ ἀκόλουθον, ἀκολουθεῖ ἢ οἷς ὁ ἄνθρωπος, ἀκολουθεῖ δὲ τὸ ζῷον τῷ ἀνθρώπῳ· ὥστε καὶ οἷς ὁ ἄνθρωπος. οὐ γὰρ δὴ τοῦτο προσχρηστέον ἔτι· οὐδὲ ῥητέον ὅτι ἕπεται τὸ καθόλου καὶ τὸ γένος οἷς ἕπεται τὸ περιεχόμενον ὑπ᾽ αὐτοῦ· πρὸς γὰρ τὸ κεῖσθαι τοῦτο, οὐδὲ προκεῖται νῦν ζητεῖν τίνι τὸ γένος τοῦ κειμένου ὅρου ἕπεται, ἀλλὰ τίνι αὐτὸς οὗτος ὁ προκείμενος, ἢ δύναται καθόλου τὸ λεγόμενον τοιοῦτον εἶναι· οὐδ᾽ ὅ ἐστι πάλιν ἢ προκείμενον νῦν κατηγορεῖν τὸ ὃν ἕπεται τὸ καθόλου καὶ περιέχον, οὐ χρὴ λαμβάνειν κατὰ τῶν ὑπὸ τὸ καθόλου ὧν ἕπεται τὸ καθόλου ζητεῖν, οἷς τοῦτο ἕπεται· οἷον ἂν ζητοίημεν τίσιν ἕπεται τὸ ζῷον, οὐ δεῖ λαμβάνειν κατὰ τῶν ὑπὸ τὸ ζῷον τίσιν ἕπεται τοῦτο καὶ λέγειν ὅτι τούτοις καὶ τὸ ζῷον, οἷον τῷ ἀνθρώπῳ· οἷς ἕπεται ὁ ἄνθρωπος, κατηγορεῖται τοῦτο, ἀεὶ ὅτι τούτοις καὶ τὸ ζῷον· ἀληθὲς μὲν γάρ ἐστι τοῦτο πᾶσιν οἷς ὁ ἄνθρωπος ἕπεται, καὶ τὸ ζῷον ἕπεσθαι· οὐ μὴν τοῦτο τὸ προκείμενον ζητεῖν· ἀλλ᾽ οἷς ὁ ἄνθρωπος ἔστι τὸ ζῷον ἕπεται· τότε γὰρ κατηλέγξομεν τίσιν ὁ ἄνθρωπος ἕπεται, ὅτε καὶ περὶ αὐτοῦ ζητεῖ ἡ νῦν προκείμενον· οἱ καθόλου γὰρ τῶν τινῶν τῆς τοῦ αὐτοῦ κατηγορίας ἀξιοῦν ἑπόμενα αὐτῷ ζητοῦντες, οὐχ ἃ ζῴῳ ἕπεται ἐξελέγομεν· ὧν γὰρ ἀληθῆ μὲν ἃ δυνάμενα, οὕτως οὐδὲ οἷς ἕπεται τὸ ζῷον κατηγοροῦντες ζητούμενον καὶ κατηλέγξομεν οἷς ἕπεται τὸ περιεχόμενον ὑπὸ τοῦ ζῴου οἷον ὁ ἄνθρωπος περιέχεται ὑπὸ ζῴου· καὶ δεῖ λαμβάνειν τοῦτο περιεχόμενον ὑπὸ τοῦ ζῴου, οὐδὲ λαμβάνειν τούτοις οἷς ἕπεται ὁ ἄνθρωπος· δύναμαι γὰρ ἀληπτεῖ ἔστι τῶν ἐν τῷ τὸ αὐτὸν κεῖσθαι ᾧ ἕπεται τὸ ζῷον· πᾶσι γὰρ οἷς ὁ ἄνθρωπος ἕπεται, καὶ τὸ ζῷον ἀκολουθήσει τῷ τὸ αὐτῷ ἑπόμενον· ἀναγκαῖον δὲ

ἀναγκαῖον δὲ καὶ ἐξήγησιν τῆς λέξεως· καὶ ἀκολούθως τῇ προειρημένῃ. ἡ δὲ λέξις
ἀσαφής ἐστι διὰ συντομίαν. ἔστι δὲ τοιαύτη· οὐ δεῖ δὴ ἐπὶ τῶν καθόλου τινὶ
ἐκλέγειν τὰ οἷς τὸ καθόλου ἕπεται· ἐκλεκτέον οἷς ἕπεται τῶν ὑποκειμένων τὸ
καθόλου ἢ οὕτως· οὐδὲ δεῖ τὸ καθόλου ἐκλεκτέον οἷς ἕπεται τὸ περιέχον.
αὐτὸ τοῦτο οὐ δεῖ δὴ ἐπὶ τῶν καθόλου ὧν ἐστι καὶ τοῖς ἑπομένοις ἑπόμενα.
ἀλλὰ γὰρ οὐκ ἐπὶ πάντων τῶν καθόλου τοῦτο δυνατόν· τὰ γὰρ ἀδιάφορα τὰ
καθόλου μέν ἐστιν· οὐ μὴν καὶ ἕκαστον τῶν οἷς ἕπεται τὸ ὅλον. τὰ δὲ ἐστὶ τὰ
ἄτομα, ἄλλοις πάλιν ἕπεται αὐτά. ἃ γὰρ ἄλλοις ἕπεται, οὐκ ἂν εἴη ἄτομα
τινὰ καὶ ἔσχατα. ποιούμενοι οὖν τὴν ἐκλογὴν ἐπὶ τῶν τοιούτων καθόλου ὧν
ἕτερα οἷς ἕπεται αὐτά, καὶ ἃ ὑπάρχει αὐτοῖς ὑποκείμενά τινα· οἷς καὶ αὐτά
πάλιν ἕπεται. τοιαῦτα δέ ἐστι καὶ οὕτως καθόλου, τὰ γένη. ἐπεὶ δὴ τῶν
τοιούτων λαμβάνοντες τὰ οἷς ἕπεται τὰ οὕτως καθόλου· οὐ ληπτέον τὰ οἷς ἐ-
πεται τὰ ὑποκείμενα αὐτοῖς· οἷον τῷ ζῴῳ τινί· οἷον ζῷον ἕπεται, οὐ
ληπτέον οἷς αὐτὸ ἕπεται· ἕπεσθαι καὶ ζῷον· ἀληθὲς μὲν γὰρ οἷς αὐτὸ ἕπεται
ἕπεσθαι καὶ τὸ περιέχον τὸ αὐτό· οὐ μὴν οἰκεῖα τῆς τοῦ ζῴου ἐκλογῆς. ἀόριστοι γὰρ
ὅροι τὸ ζῷον δή. • ληπτέον δὲ καὶ τὰ ὡς ἐπὶ τὸ πολὺ ἑπόμενα καὶ οἷς
ἐπεὶ ἐστί τινα προβλήματα στοχαστικά· καὶ ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ ἑπόμε-
να ἐκλέγειν ἔχοντα, δεῖ νῦν φησὶ καὶ τὰ οὕτως ἑπόμενα τοῖς προκειμένοις
ὅροις· καὶ οἷς αὐτοὶ οὕτως ἕπονται, λαμβάνειν. οὕτως γὰρ διὰ τῶν τοιούτων
δυνησόμεθα τὰ περὶ τῶν τοιούτων προβλήματα συλλογίζεσθαι. ὁ δὲ ὅμοιον
ἐκεῖ συνσυλλογισμοῦ τοὺς συμπεράσματα καὶ τὰς ἀρχὰς τουτέστι τὰς προτά-
σεις, ἔδειξεν ὅτι ἐδείκνυ συμπέρασμα τὸ ἀξίωμα τὸ ἀκολουθεῖν.
οἷον ὅτι ὁ μὲν τὸν μαρίανχθον ἐρινὴν πλέον τὸ αὐτὸ προσῆν ὡς ἐπὶ πολύ
γάρ· καὶ τὸ διαστῆναι διὰ δεχρωμένων τὸ καὶ αἰνεῖν· καὶ γὰρ τοῦτο ὡς ἐπὶ τὸ πολύ,
πάλιν τὸ μοιχεύειν ἕπεται τῷ καλλωπίζεσθαι ὡς ἐπὶ τὸ πολύ· καὶ τὸ κλέ-
πτειν ὡς ἐπὶ τὸ πολὺ τῷ νυκτὸς πλανᾶσθαι. • ἐκ τῶν πᾶσιν ὑπο
ἅπασιν αὐτὸ τοῖς ὅροις τοῖς τοῦ προβλή- οὐκ ἐκλεκτέον.
ματος. οὐ φησὶ δὲ δεῖν τὰ ἑπόμενα λαμβάνειν ὡς μηδενὸς
ἐκ τῆς τῶν τοιούτων λήψεως καὶ συναγωγῆς γινομένου συλλογισμοῦ αὐτοῖς ἐκ
ὧν ὑπὲρ τὰ καθόλου τούτου δεῖξιν δεῖ τὰ μὴ τοιαῦτα. ἔστω δὲ ἀγαθόν, ὅτι κινεῖ

μὲν τὸ διὰ τὸ ὕστερον ἔχειν μετὰ τὰ ἑκατέρῳ τῶν ὅρων ἑπόμενα συντεθεῖναι μὲν καὶ ποιη-
σαμένου. ἀλλ' ἐπεὶ καὶ διὰ προτάσεως καθολικῆς γέγονεν ἡ. ὁ συλλογισμὸς
ἡ τοιαύτη συμπλοκὴ τῶν προτάσεων. οὕτω τοῦ λέγεται, ὅτι μηδὲ τὰ ἑκατέρῳ τῶν ἑ-
πόμενα ἐκλέγειν. φανερὸν γὰρ εἰρηκέναι τοῦ ἰδίου ὡς ὅτι ... δὲ δὴ τὰς προτά-
σεις περὶ ἑκάστου οὕτως λαμβάνειν. ὑποθέμενον αὐτὸ πρῶτον. καὶ τὸ καθόρις-
μά ἐστι καὶ ὅτι ἴδια τοῦ πράγματός ἐστιν. ἀλλὰ μὴ κατὰ τοῦτο, ὅτι ἐπὶ τὰ τῶν
πραγμάτων. οὐκ οἷον ἁπλῶς δεῖ τὰ ἑπόμενα τοῖς πράγμασιν αὐτὰ τοῖς
ὅροις ἐκλέγειν, καὶ μηδὲν ἐκλέγειν ἐκλείπειν πάλιν. ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι.
τὰ μὲν ἑκατέρῳ ἰδίᾳ τῶν ὅρων ἑπόμενα, ἐκλέγειν δεῖ. οὐκέτι δὲ ζητεῖν τοῦ
τινα κοινῶς αὐτοῖς ἕπεται ὡς ἀμφοτέροις εἶναι ταὐτὸ τὸ ἑπόμενον. ὃ ἐ-
δήλωσε διὰ τοῦ εἰπεῖν, ἔτι τὰ παντὶ ἑπόμενα οὐκ ἐκλεκτέον. ἄλλο γὰρ τὸ
τῷ ἑκατέρῳ ἑπόμενα καὶ ἄλλο τὸ παντί. τὸ γὰρ παντὶ τὸ κοινῶς ἐστὶ δηλω-
κοινοῦ γὰρ ληφθέντος τοῦ ἀμφοτέροις ἑπομένου, ἐν δευτέρῳ σχήματι οἱ
γίνονται καταφατικοί. οἷον ἂν ὅρων ὄντων ἀνδρείας καὶ σωφροσύνης,
ἐκλέγοντες τὰ ἑκατέρῳ αὐτῶν ἑπόμενα, ἐκλέγει δ' ὅτι καὶ ἡ ἀρετὴ ἀμφο-
τέροις αὐτοῖς ἕπεται. καὶ ἡ ἕξις. καὶ ἡ μεσότης. ἡ γὰρ τῶν τοιούτων καὶ οὕτως
ἑπομένων ἐκλογή, ἄχρηστος πρὸς συλλογισμόν:

καὶ τὰ ἑξῆς ἕως τοῦ μὲν οὖν βουλομένοις καθ' ἕνα τινὸς ὅλου.

Εἰπὼν τίνα χρὴ ἐκλέγειν ἑκατέρου τῶν ὅρων τῶν ἐν τοῖς προβλήμασι, καθ' ἃ
τοῦ δεικνύναι μέλλοντα τινα λαμβάνειν ταῦτα ἀπὸ τῶν ἐκλελεγμένων. τῶν
προβλημάτων ἕκαστον σημαίνει. τούτου χάριν καὶ ἡ ἐκλογὴ γίνεται αὐτῶν.
ἔστι δέ, ὡς εἰρήκαμεν, τὰ προβλήματα τέσσαρα. ἢ γὰρ καθόλου καταφατικὰ
ἢ ἀποφατικὰ καθόλου. ἢ ἐπὶ μέρους καταφατικὸν ἢ ἀποφατικόν.
σαφηνείας δὲ χάριν τῶν λεγομένων ὑπογραφομένων δεῖ τὰς ἐκλογὰς
καὶ τὸ διάγραμμα ὅλον. καὶ τοὺς συλλογισμοὺς πῶς τε καὶ ἐκ τίνων γίνονται.
οὐ γὰρ τὸ τυχὸν ἢ μὲν συμβάλλοιτο ἂν ἐς τὸ συλλογιστικοὺς εἶναι, ἢ τούτων
σαφήνεια. ἔστω γὰρ δὴ τὰ προκείμενα ὡς αὐτός φησιν. τὸ καθ' ὅ ἐστιν
οἱ ὅροι οἱ τῶν προβλημάτων τούτων τεσσάρων. ἡδονή τε καὶ ἀγαθόν. καὶ δέον
ἀγαθὸν ποτὲ μὲν πάσῃ ἡδονῇ, ἀγαθὸν δὲ ἔξεστι ποτὲ δ' οὐδενί, ποτὲ δὲ μὴ
δὲ μιᾷ. ποτὲ δὲ μὴ πάσῃ. ἐκλελέχθω δὴ τὰ ἑκατέρῳ αὐτῶν ἑπόμενα.

οἷς αὐτὰ ἕπεται, καὶ ὅσα μὴ ἐνδέχεται αὐτοῖς ὑπάρχειν ὡς ἐπὶ πᾶν, καὶ καθ' ὧν λέγεται
αὐτὰ τὰ ἑπόμενα. ὑπάρχει τὸ ἀγαθὸν ἐν τῷ β· οἷς δὲ πάλιν τὸ ἀγαθὸν ἕπεται,
ὑπάρχει αὐτοῖς [illegible]· τὰ δὲ μὴ ἐνδεχόμενα τῷ ἀγαθῷ ὑπάρχειν, ἐκ πλειόνων
αὐτοῦ, ἐκφέρονται· [illegible] ἑπόμενα μὲν τῷ ἀγαθῷ πρὸς τῷ β κείμενα· ὠφέλιμον·
αἱρετόν· διωκτόν· οἰκεῖον· λυσιτελές· συμφέρον· ὀρεκτόν· καὶ τὰ τοιαῦτα· οἷς δὲ
πάλιν αὐτὸ ἕπεται ἐστὶν ἐπὶ τοῦ γ· εὐδαιμονία· τέλειον· ἀρετή· καὶ τὸ ἀρετῶν
ἐνέργεια· σωματικὰ ἀγαθὰ τὰ ἐκτός· τὸ κατὰ φύσιν· καὶ τὰ τοιαῦτα. ἃ δὲ μὴ ἐνδέχεται
ὑπάρχειν αὐτῷ τῷ πρὸς τῷ δ κείμενα· φευκτόν· βλαβερόν· κακόν· ἀσύμφορον·
ἀλυσιτελές· αἰσχρόν· ἀτελές· πάλιν τὰ μὲν τῇ ἡδονῇ ἐκφέρονται τὰ ἑπόμενα, [illegible]
[illegible] ἐκφέρονται ε· [illegible] τελεία κίνησις· ἐνέργεια τῆς κατὰ
φύσιν· τὸ αἱρετόν· οἷς δὲ ἡδονὴ ἕπεται, ὑπάρχει αὐτὴν καθ' ὧν φέρονται ἐπὶ ζ· ἀκολουθοῦντα,
ὑγεία· εὐτυχία· εὐτεκνία· ἐνέργεια κατ' ἀρετήν· εὐπορία· καὶ τὰ τοιαῦτα· ἃ δὲ
μὴ ἐνδέχεται αὐτῇ ὑπάρχειν, ἐκ πλειόνων καθ' ὧν αὐτῆς ἐκφέρονται θ· ἀκολουθοῦν· νόσος·
πόνος· λύπη· φόβος· ἀπορία· καὶ [illegible] μὲν οὖν καὶ δεῖξαι θέλοντες
τὸ καθόλου καταφατικόν· [illegible] γὰρ ἕπεται [illegible] ζητεῖν μὲν οὖν βουλό-
μενος καὶ [illegible] τὸ ἀγαθὸν δεῖξαι βουλόμενοι,
λαμβάνομεν [illegible] οἷς ἕπεται τὸ ἀγαθὸν δεῖξαι βουλόμενοι· καὶ [illegible]
[illegible] ἑπομένων ἡ ἡδονὴ [illegible] ἀλλήλοις [illegible] αὐτὰ εἶναι· ἀληθῶς
[illegible] οἷς ἕπεται ἀγαθόν· [illegible] τέλειον· [illegible]
[illegible] ἡ ἡδονή· ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμποδίστου· ἡ τελεία
[illegible] τῆς κατὰ φύσιν ἐνεργείας, [illegible] λέγουσι· ποιοῦμεν [illegible] μέσον
ὅρον· οὕτως γὰρ ἔσται συλλογισμὸς καθόλου καταφατικὸς ἐν πρώτῳ
σχήματι· πᾶσα μὲν ἡδονὴ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμποδίστου·
ἡ τελεία τῆς κατὰ φύσιν ἐνεργείας· [illegible] ἡδονῇ ἕπεται
τῇ ἡδονῇ· ἡ δὲ τελεία τῆς κατὰ φύσιν ἐνεργείας [illegible] τέλειον ἀγαθόν ἐστιν.
ἕπεται γὰρ τῷ τελείῳ τὸ ἀγαθόν· πᾶσα ἄρα ἡδονὴ ἀγαθόν· ἀλλὰ καὶ τὸ κατὰ
φύσιν ἕπεται τῇ ἡδονῇ· αὐτῷ δὲ τὸ ἀγαθόν· [illegible]
τὸ προκείμενον καὶ κατασκευαζόμενον δὲ ἕπεται, τὸ κατηγορούμενον· ὅπερ ἐστὶ
τὸ ἀγαθόν· τὸ δὲ, καθ' οὗ [illegible] λεγόμενον, [illegible] οἷς ἕπεται τὸ
κατηγορούμενον τινός· ἕπεται γὰρ [illegible] οὐ κατηγορεῖται:

τῷ δὲ μὴ ὅτι παντὶ, ἀλλ' ὅτι τινί· οἷς ἕπεται ἑκάτερον.

Τουτέστιν ἂν δὲ μὴ τὸ καθόλου καταφατικὸν δεῖξαι βουλώμεθα, ἀλλὰ τὸ ἐπὶ μέρους καταφατικόν· πάλιν ληπτέον οἷς ἕπεται ἑκάτερον· ἕπεται δὲ τὸ μὲν ἀγαθὸν τοῖς ἐφ' ὧν τὸ Γ· ἡ δὲ ἡδονὴ τοῖς ἐφ' ὧν τὸ Η. ἂν τοίνυν δὴ ἀναληφθῇ τινὰ ταὐτὰ ἀλλήλοις, ἔσται δεικνύμενον δι' αὐτῶν ὅτι τὶς ἡδονὴ ἀγαθὸν ἐν τρίτῳ σχήματι. εἰλήφθω γὰρ ἐν τοῖς ἐφ' ὧν τὸ Γ, οἷς ἕπεται ἡ ἡδονὴ ὁμοίως ἡ κατ' ἀρετὴν ἐνέργεια, καὶ ὁμοίως ὅρος ἔστω. ἔσται δὴ ἐν τρίτῳ σχήματι, πᾶσα κατ' ἀρετὴν ἐνέργεια ἡδονή· πᾶσα κατ' ἀρετὴν ἐνέργεια ἀγαθόν· ἐξ ὧν ἐν τρίτῳ σχήματι συνάγεται τὸ τὶς ἡδονὴ ἀγαθόν. ἀντιστραφείσης δὲ τῆς πᾶσα κατ' ἀρετὴν ἐνέργεια ἡδονή, γίνεται μὲν ἡ ἐπὶ μέρους καταφατική· τὶς δὲ ἡδονὴ ἐνέργεια κατ' ἀρετήν· καὶ μενούσης τῆς πᾶσα ἐνέργεια κατ' ἀρετὴν ἀγαθόν, συνάγεται τὸ τὶς ἡδονὴ ἀγαθὸν εἶναι ἐν πρώτῳ σχήματι.

ὅταν δὲ μηδενὶ δέῃ ὑπάρχειν.

Τουτέστιν ὅταν δὲ δέῃ καθόλου ἀποφατικὸν δεῖξαι, ὁ μὲν μηδενὶ ὑπάρχειν· τουτέστιν ὅ δὴ κατηγορηθήσεται ἀποφατικῶς ἐν τῷ συμπεράσματι· ἔστω δὲ τοῦτο τὸ ἀγαθόν· ληπτέον τὰ αὐτῷ μὴ ἐνδεχομένων αὐτῷ ὑπάρχειν, ἃ ἐπὶ τοῦ Θ ἦν κεῖται· ᾧ δὲ βουλόμεθα δεῖξαι μηδενὶ ὑπάρχον αὐτό, τοῦτο δ' ἐστὶν ἡ ἡδονή· τὰ αὐτῷ τούτῳ ἑπόμενα ληπτέον, ἅπερ κεῖται ἐπὶ τοῦ Ζ· κἂν ταῦτα ᾖ ταὐτὰ ἀλλήλοις ἐν ὡσπερ μέν, ἔσται καθόλου ἀποφατικὸν ἐν πρώτῳ σχήματι συμπέρασμα. εἰλήφθω γὰρ ἐν μὲν τοῖς ἐφ' οἷς τὸ Θ τὸ ἀτελές· ἐν δὲ τοῖς ἐφ' ὧν τὸ Ζ τῶν τῇ ἡδονῇ ἑπομένων, κεῖσθαι κίνησις· καὶ δεδείχθω ταῦτα ταὐτὰ εἶναι ἀλλήλοις· ἐπεὶ δὴ πᾶσα κίνησις ἀτελής, ἔσονται προτάσεις· πᾶσα ἡδονὴ κίνησις· τουτέστιν ἀτελής· ἐπειδὴ γὰρ τὸ πᾶσαν κίνησιν ἀτελῆ εἶναι, καὶ τὴν ἡδονὴν κίνησιν εἶναι· οὐδὲν δὲ ἀγαθὸν ἀτελές· τὸ γὰρ ἀτελὲς τῷ ἀγαθῷ οὐχ ὑπάρχει τῷ ἀγαθῷ· ἐξ ὧν συναχθήσεται τὸ οὐδεμία ἡδονὴ ἀγαθὸν ἐν πρώτῳ σχήματι τῷ ἤδη ῥηθέντι· ὃ ἴσον ἐστὶ τῷ τὸ ἀγαθὸν καὶ τὸ οὐδεμιᾶς ἡδονῆς. οὕτω μὲν οὖν ἐν πρώτῳ σχήματι τὸ καθόλου ἀποφατικὸν συναχθήσεται· εἰ δὲ ἐν δευτέρῳ βουλόμεθα σχήματι τὸ αὐτὸ τοῦτο δεῖξαι, χρὴ ἀνάπαλιν λαμβάνειν· ᾧ γὰρ χρὴ δεῖξαι μηδενὶ ὑπάρχον, τούτου ληπτέα μὲν τὰ ἑπόμενα μὴ ὑπάρχοντα αὐτῷ. ᾧ δὲ τὸ μὲν ἐφ' οὗ ἡ ἡδονή· ὃ δὲ δεῖ δειχθῆναι μηδενὶ ὑπάρχον τὸ Α τὸ ἀγαθόν· ἐπὶ δὲ τοῦ Θ ...

ὑπάρχον τῷ πᾶν· ἔστω καὶ τούτων τὸ ἐπίπονον εἰλημμένον· καὶ δὲ τῷ ὑπὸ α. ὅ ἐστι τὸ ἀγαθόν, ὃ δεῖ δεῖξαι μηδεμιᾷ ἡδονῇ ὑπάρχον· εἰλήφθω ἐν τῶν ἑπομένων αὐτῷ· τὸ αὐτὸ δηλοῦν ἐπὶ τοῦ β· εἰλήφθω τὸ ὠφέλιμον· ἕπεται(?) ἀλλήλοις ταῦτα· τὸ ἐπίπονον καὶ τὸ ὠφέλιμον· πᾶν γὰρ ὠφέλιμον μετὰ πόνου, καὶ ἐπίπονον· ἀληθὲς γὰρ τὸ αὐτὸ τῶν πόνων διδοῦσιν ἡμῖν πάντα τὰ ἀγαθὰ οἱ θεοί· καὶ ἐκ τῶν πόνων τὰ ἀγαθὰ αὔξονται(?) βροτοῖς. ἔστω δὴ ἡ πρότασις, τὸ ἐπίπονον οὐδεμιᾷ ἡδονῇ· τὸ ἐπίπονον ἑπόμενον ἐστὶ τῷ ὠφελίμῳ, παντὶ ἀγαθῷ. ὡς ἐν ἀντιστροφῇ(?) προτάσει, πᾶν ἀγαθὸν ἐπίπονον· ἕπεται γὰρ αὐτῷ. ἐξ ὧν ἐν δευτέρῳ σχήματι συναχθήσεται, τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ. ὃ δείκνυται ἐν δευτέρῳ σχήματι δείκνυσθαι. καὶ ἐκ τῶν ... τὸ α οὐχ ὑπάρχει τῷ α, ταὐτὸν ἤ τινι τῷ ζ. ἀεὶ ἐπεὶ τὸ ὑποκειμένῳ ὅρῳ· τοῦτ' ἔστι τῇ ἡδονῇ· τὸ γὰρ ... οὐδενὶ μὲν τῷ ἀγαθῷ πάσῃ δὲ ἡδονῇ· οἷον τὸ ἀτελές ὡς φαμὲν ἀεὶ ταῦτα ταὐτὸν τῇ λέγομεν(?)· ἐπεὶ ἡ κίνησις, ἀτελής· ἐπὶ γὰρ τούτων τῶν ὅρων οὐ μόνον ἐν πρώτῳ σχήματι συναχθήσεται τὸ καθόλου ἀποφατικόν, ἀλλὰ καὶ ἐν δευτέρῳ. ὡς καὶ αὐτὸς προϊὼν φανερὸν ποιεῖ. ὁπότερον τῶν ἀντιληφθῇ. ταὐτὸν δειχθήσεται. αὐτίκα γὰρ τῶν μὴ ἐνδεχομένων ἕπεσθαι τῷ ἀγαθῷ, ταὐτὸν δειχθήσεται ἐν τῶν ἑπομένων τῇ ἡδονῇ. αὐτίκα καὶ ἀνάπαλιν τῶν μὴ ἐνδεχομένων ὑπάρχειν τῇ ἡδονῇ, τινὶ τῶν ἑπομένων τῷ ἀγαθῷ ταὐτὸν ληφθῇ. τὸ καθόλου ἀποφατικὸν συναχθήσεται· ἀλλ' ἐκείνως μὲν ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι· οὕτως δὲ ἐν δευτέρῳ μόνον· εἰ γὰρ ἐν πρώτῳ θελήσομεν δεῖξαι, ληπτέον μετὰ τῶν ἡδονῶν οὐδενὶ ἐπιπόνῳ· τὸ ἐπίπονον ἑπόμενον τῷ ὠφελίμῳ, παντὶ ἀγαθῷ· ἐξ ὧν συνάγεται ἡ ἡδονὴ οὐδενὶ ἀγαθῷ. ἀλλ' οὐ τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ. ὃ ἦν προκείμενον. ἀντιστρεφομένου τοῦ συμπεράσματος καθόλου ἀποφατικοῦ· ἀλλ' ἐν τῷ πρώτῳ σχήματι οὐδὲν ἐδείκνυτο διὰ ἀντιστροφῆς. ἐπειδὴ δὲ ὅταν μηδενὶ δέῃ ὑπάρχειν, ὃ μὲν οὐ δεῖ ὑπάρχειν εἰς τὰ ἑπόμενα αὐτῷ, ἐπισκεπτέον(?) ἢ ἀνάπαλιν. ᾧ μὲν δεῖ μὴ ὑπάρχειν, εἰς ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι. ὃ δὲ δεῖ μὴ ὑπάρχειν, εἰς τὰ ἑπόμενα· διὰ τοῦτο, πάντα τοῦτο θεῖναι, δηλῶν καὶ τὸ ἐπὶ τοῦ πρώτου· παρέθετο γὰρ ἀνάπαλιν τοῦτο. ὅπερ διὰ τοῦ ἑξῆς εἰπεῖν, ἐδήλωσε· τούτων γάρ φησιν ὁποτέρων τῶν αὐτῶν ὁποτερωνοῦν, αὐτίκα γὰρ τῶν κατηγορουμένων μὴ ὑπάρχον, ταὐτὸν ᾖ τινὶ τῶν ἑπομένων· αὐτίκα ἀνάπαλιν τῶν τῷ ὑποκειμένῳ τινὶ μὴ ὑπαρχόντων· ταὐτὸν τινὶ ἢ τῶν τῷ κατηγορουμένῳ ἑπομένων, καθό-

ἀποφατικοῦ ζωστικοῦ τῷ· φέρεται δὲ ἐν τισὶν ἀντιγράφοις ἡ λέξις, ὁλόκληρον καὶ σαφέστερον οὕτως ἔχουσα· ὅταν δὲ μηδενὶ δέῃ ὑπάρχειν, ᾧ μέν, οὐδενὶ ὑπάρχειν δεῖ τὰ ἑπόμενα· ᾧ δὲ δεῖ μὴ ὑπάρχειν, εἰς ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι· ἢ ἀνάπαλιν· αὕτη γὰρ ἡ λέξις ὁλοκλήρως ἔχει ὃ βούλεται ἀπαιτεῖν:·

*ἐὰν δέ τινι μὴ ὑπάρχειν: +*

Τουτέστιν ἐὰν δὲ δέῃ τὸ ἐπὶ μέρους ἀποφατικὸν δεῖξαι· ὃ λοιπόν ἐστι τῶν προβλημάτων· τοῦ μὲν ὑποκειμένου ὅρου ᾧ δὴ ποτινὶ μὴ ὑπάρχειν τὸ δεικνύμενον, οὗ τινος δὲ ἐστὶν ἡ ἡδονή· λήψεται τὰ ἐξ ἀνάγκης οἷς ἕπεται ἡ ἡδονή· ταῦτα δὲ ἔστω τὰ ἐφ' ὧν τὸ η. τοῦ δὲ κατηγορουμένου· ὃ βουλόμεθα δεῖξαι τινὶ μὴ ὑπάρχον τῷ ὑποκειμένῳ τοῦτο δὲ ἔστω τὸ ἀγαθόν, ἐκ τῶν ἃ μὴ ἐνδέχεται ὑπάρχειν αὐτῷ· ταῦτα δὲ ἔστιν ἐφ' ὧν τὸ θ· ἀλήφθω ἐκ μὲν τῶν θ, τὸ ἀτελές· ἐκ δὲ τῶν η, τὸ ἄπονον· ἔσονται ἐν τρίτῳ σχήματι προτάσεις· οὐδὲν ἀτελὲς τουτέστιν ἄπονον, ἀγαθόν· πᾶν ἄπονον τουτέστιν ἀτελές, ἡδύ· τὶς ἄρα ἡδονὴ οὐκ ἔστιν ἀγαθόν· ἀντιστραφείσης γὰρ τῆς καθόλου καταφατικῆς, ἐπὶ μέρους καταφατικὴ γίνεται· ἡ πᾶν ἄπονον ἡδύ· τὶ γὰρ ἡδὺ ἄπονον· οὐδὲν δὲ ἄπονον ἀγαθὸν ἐν πρώτῳ σχήματι:· +

*ἔστωσαν γὰρ τὰ μὲν ἑπόμενα τῷ α. ἐφ' ὧν β.*

Ἐπὶ στοιχείων ἃ προειρημένα δείκνυσι σαφηνείας χάριν· λαμβάνει δὲ ὅρους ἐπὶ τοῦ ἐκ τῶν προβλημάτων περὶ ὧν δεῖ τὰς ἐκλογὰς ποιήσασθαι, τὸ α καὶ τὸ ε. ὡς ἡμεῖς ἐλαμβάνομεν τὸ ἀγαθὸν καὶ τὴν ἡδονήν· καί φησι τὰ μὲν τῷ πρώτῳ ὅρῳ ἑπόμενα ἐφ' ὧν β· οἷς δὲ αὐτὸ ἕπεται τὸ α, ἐφ' ὧν γ, ἃ δὲ μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν, ἐφ' ὧν δ· ὡς ἐπὶ ἡμεῖς ἐλαμβάνομεν. τῷ δὲ ε τὰ ἑπόμενα καὶ ὑπάρχοντα, ἐφ' ὧν ζ· οἷς δὲ αὐτὸ ἕπεται, ἐφ' ὧν τὸ η· ἃ δὲ μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν ἐφ' ὧν θ· ἃ καὶ ἡμεῖς παραπλησίως πεποιήκαμεν. φησὶ δὲ οὕτως λέγει· ὅτι τὸ ταὐτὸν μὲν τῷ γ τι. οἷς ἕπεται τὸ α. ταὐτὸν τινὶ εὑρεθῇ τε καὶ ληφθῇ τῶν ζ. ἃ ἕπεται τῷ ε· τὸ α παντὶ τῷ ε ὑπάρξει. τὸ μὲν γὰρ α παντὶ τῷ γ· ἕπεται γὰρ τῷ γ τὸ α· τὸ δὲ ζ ὅ ἐστι ταὐτὸν τῷ γ, παντὶ πάλιν αὐτὸ τῷ ε ὑπάρξει· ἕπεται γὰρ τὸ ζ τῷ ε· καὶ τὸ α ἄρα παντὶ τῷ ε. εἰ δὲ ταὐτὸν τι παραληφθείη τῶν τε γ οἷς ἕπεται τὸ α καὶ τῶν η οἷς ἕπεται τὸ ε, τινὶ τῷ ε ὑπάρξει τὸ α. καὶ γὰρ τοῦ γ καὶ τοῦ η τὸ τε α καὶ τὸ ε κατὰ παντὸς ἀμφοτέρων γὰρ ταῦτα, ἐν τῷ

ἔλαττον· ἐδείχθη τῶν ζ τινὰ ἐπὶ τῶν τὰ ὑπομένοντα τῷ ε, τὸ ἔλαττον ληφθὲν τινὶ τῶν δη· ἃ οὐδενὶ τῷ α ὑπάρχει· ἔσται τὸ α οὐδενὶ τῷ ε· φησὶ δὲ τοῦτο δειχθήσεσθαι τὸ συμπέρασμα οὕτως ἔχον διὰ προσυλλογισμοῦ· ἐπεὶ γὰρ ἀντιστρέφει τὸ στερητικόν, ἢ τὸ ζ τῷ δη ἔλαττον· οὐδενὶ τῷ ζ ὑπάρχει τὸ α διὰ τοῦ δη· τὸ δὲ ζ παντὶ τῷ ε· διὰ γὰρ τούτων [illegible] ὁ προσυλλογισμός· ἐπεὶ γὰρ ἀντιστρέφει τὸ στερητικόν· καὶ τὸ μὲν δὲ τὸ δη καὶ τοῦ οὐδενὸς τοῦ α· ἢ τὸ α καὶ τοῦ οὐδενὸς τοῦ δη· διότι δὲ τὸ δη· τὸ ἔλαττον ἐστὶ τοῦ ζ, παντὶ αὐτῷ ὑπάρξει· ἐξ ὧν συνάγεται τὸ α μηδενὶ τῷ ζ· καὶ ὅρα προσυλλογισμὸς οὗτος· ἐπεὶ δὲ τὸ ζ παντὶ τῷ ε· ἔσται καὶ τὸ α μηδενὶ τῷ ε· τὸ αὐτὸ δείκνυσι συναγόμενον κἂν ἀλλαχ. ἔξωθεν λαμβάνωμεν τῶν τῷ ε μὴ ὑπαρχόντων τι· τὸ ἔλαττον καὶ ὑπὸ τὸ θ, τὸ ἔλαττον τινὶ τῶν ὑπομενόντων τῷ α· τὸ ἔλαττον καὶ ὑπὸ τὸ β. τοῦτο γὰρ τὸ ληφθέν, οὐδενὶ μὲν τῷ ε ὑπάρξει παντὶ δὲ τῷ α· οὕτως δὲ ἐχουσῶν τῶν προτάσεων, ἐν δευτέρῳ σχήματι, οὐδενὶ τὸ α τῷ ε :· +

Εἰ δὲ τὸ δη τὸ η ἔλαττον·

Δείκνυσι πάλιν ἐπὶ μέρους ἀποφατικὸν γινόμενον συμπέρασμα· εἰ τῶν δη τινὰ τῷ μὴ ὑπάρχοντα τῷ α, τὸ ἔλαττον τινὶ ληφθὲν τῶν η· οἷς ἕπεται τὸ ε· τὸ γὰρ α τῷ η οὐδενί· ὅτι οὐδὲ τῷ δη· τὸ ἔλαττον δὲ τὸ δη τῷ η· τὸ δὲ ε, παντὶ τῷ η· ἐξ ὧν ἐν β' τῷ σχήματι συνάγεται, τὸ α τινὶ τῷ ε μὴ ὑπάρχον· ἐπεὶ γὰρ ἕπεται τῷ η τὸ ε· καὶ περιέχει αὐτὸ ἢ καὶ ἐπὶ πᾶν τὸ ἔλαττον τὸ ε τοῦ η· καὶ ἀντιστρέψαντι ἀληθὲς ἐστὶ τὸ η τινὶ τῷ ε ὑπάρχειν· ἀντιστρέφει γὰρ ἡ ἐπὶ μέρους καταφατικὴ τῇ καθόλου· οὕτως δὲ ἐχουσῶν τῶν προτάσεων συνάγεται τὸ α τινὶ τῷ ε μὴ ὑπάρχειν ἐν πρώτῳ σχήματι:· εἰ δὲ τὸ η τῷ β ἔλαττον ἀντιστραμμένος ἔσται ὁ συλλογισμός (οὐχ) (μος)

Δείξας ἐπὶ μέρους ἀποφατικὸν γινόμενον συμπέρασμα· εἰ τῶν δη τι ἔλαττον τῷ η ληφθείη, φησὶ ἀντιστραμμένον ἔσεσθαι συλλογισμόν· εἰ ληφθείη τι τῶν η οἷς ἕπεται τὸ ε, ἔλαττον τινὶ τῷ β· ἃ ἕπεται τῷ α· ἀντιστραμμένον δὲ εἶπεν, ἤτοι τῶν προειρημένων· ὅτι ἐκεῖνος μὲν ἦν ἐπὶ μέρους ἀποφατικὸν ἔχων τὸ συμπέρασμα· οὗτος δὲ τὸ οὖν νῦν δείκνυσιν, ἐπὶ μέρους καταφατικὸν συνάγων δείκνυται· ἢ ἀντιστραμμένον εἶπεν, ὅτι ἡ δεῖξις ἀνάπαλιν ἔχει· οὐ γὰρ δείκνυται διὰ τῶν οὕτως λαμβανομένων, τὸ α κατηγορούμενον τοῦ ε· ὁ ἐκεῖ τὸ ε ἀνακατηγορούμενον· ἀλλὰ ἀνάπαλιν· τὸ γὰρ ε κατὰ τοῦ α παντός· ἐπειδὴ καὶ τὸ β τοῦ η παντός· τὸ δὲ η κατὰ παντὸς τοῦ α· τὸ ἔλαττον ἔσται τῶν β τινὶ ἀπὸ τὸ τῷ α.

ἡ μὲν οὖν δεῖξις καὶ ὁ συλλογισμός, τοῦ ἀνάπαλιν καὶ ἀντεστραμμένου· τὸ δὲ ἀντι-
στρέφειν τὸ καθόλου καταφατικὸν τῇ ἐπὶ μέρους, δι' ἀντιστροφῆς ἣν εἶναι ἔλεγε καὶ
τὸ α τινὶ τῷ ε ὑπάρχον, ἐπὶ τῆς τοιαύτης προτάσεως σκοπεῖν· ἐπεὶ δὲ ἐν ἦν αὐτὸ ἐπὶ τοῦ
συλλογισμοῦ τοῦ προκειμένου καὶ τοῦτο ἦν τὸ β ληφθὲν ὅσα τοῦ αὐτοῦ· διὰ γὰρ τῆς
τοῦ συμπεράσματος ἀντιστροφῆς, διὰ τοῦτο οὐδὲ τοῦτο παρέλιπε τῷ δεῖξιν·
ὅτι μὲν οὖν πάντα τὰ προβλήματα δείκνυται διὰ τῆς εἰρημένης μεθόδου, δῆλον:

Δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἑκάστῳ, τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα βλέπειν·

Δι' ὃ φησὶ τοῖς ἐκλογαῖς τῶν ἑπομένων ἑκατέρῳ τῶν κειμένων ὅρων καὶ οἷς ἑκάτερος
αὐτῶν ἕπεται, μήτε τὰ προσεχῆ εὐθέως ἑπόμενα λαμβάνειν, μήτε τούτοις ἕπεται,
ἀλλὰ τὰ πρῶτα καὶ καθολικώτερα. ἔφη δὲ τὰ ἄκρα καὶ τὰ προσεχῆ, τοῖς ὡς μὴ
πρῶτα ἀποσκοπεῖν. λέγει δὲ τῶν ἑπομένων, οὐ τὰ ἴδια καὶ τοὺς ὁρισμοὺς τῶν
οἰκείων τῶν κειμένων· καὶ οὐχ οἷον τε, ὁρισμοῦ τινος ἢ ἴδιον, εἶναι τὸ καθο-
λικώτερον καὶ ἐπὶ πλεῖον ὑπάρχον· ἀλλὰ τὰ γένη καὶ τὰς διαφοράς, καὶ ὅσα οὕτως
ἕπεται· οἷον, ἀνθρώπου ἀποκειμένου ὅρου, μὴ ζῷον πεζὸν εὐθέως λαμβά-
νειν ἑπόμενον αὐτῷ. ἀλλὰ ζῷον καθολικώτερον γάρ· καὶ ἔτι πρὸ τοῦ ζῴου,
τὴν ἔμψυχον οὐσίαν· καὶ μὴ πτηνόν, μηδὲ τὸ ὀλόπτερον· ἀλλὰ μᾶλλον τὸ πτηνόν·
καθολικώτερον γὰρ τοῦτο, καὶ ἔτι μᾶλλον τὸ ζῷον· καὶ ἔτι πρῶτον, τὴν οὐσίαν·
λέγει δὲ τὸ μὲν προσεχῶς τῷ α ἑπόμενον· ἔστω δὲ τοῦτο ἡ μηδὲ τε, τὸ ζ· τοῦτο
ἔστι τὸ ὀλόπτερον· τὸ δὲ καθολικώτερον τοῦ ζ τὸ η· ὅπερ ἐστὶ τὸ πτηνόν. ὁμοί-
ως δὲ καὶ τῶν ἑπομένων τοῦ α· ἔστω γὰρ τοῦτο, ἄνθρωπος· τὸ μὲν προσεχῶς οἷς ἕπεται, τὸ γ· τοῦ-
τ' ἔστι τὸ γραμματικόν· τὸ δὲ καθολικώτερον, τὸ κγ· τοῦτ' ἔστι τὸ ἐπιστημονικόν·
τῇ δὲ τοῦ κ προσθέσει πρὸς τὸ ζ, ὅ ἐστιν ἑπόμενον τῷ α· καὶ πρὸς τὸ γ, ᾧ ἕπεται τὸ α
ἐχρήσατο, διὰ τούτου τὸ καθολικώτερον προσσημαίνων· ἐπεὶ καὶ δὲ τοῦτο, διὸν
τὸ καθόλου καταφατικὸν συνάγεται. τοῦ δὲ δεῖν οὕτως ποιεῖσθαι τὴν ἐπιβλε-
ψιν, αἰτίαν ἀποδίδωσιν· ὅτι καὶ εὐπορώτερος καὶ ἐν πλείοσιν ἢ μὲν ἢ ἐκλογὴ
τῶν προτάσεων ἔσται καὶ ἡ ζήτησις τοῦ καθολικωτέρου πρῶτον λαμβανομένου.
ὁ γὰρ τὸ καθολικώτερον τῶν ἑπομένων τινὶ λαβών, ἔχει καὶ τὰ ὑπ' ἐκεῖνο
περιεχόμενα. καὶ προσεχέστερον ἑπόμενα τῷ κειμένῳ, καὶ αὐτὰ λαμβάνει.
ὁ δὲ τὰ προσεχῆ λαβών, οὐ κατέχει καὶ τὰ καθολικώτερα περιέχοντα.

ὁ μὲν γὰρ λαβὼν τὸ αὐτῷ τὸ ζῷον ἕπεσθαι, ἀποκεκλεῖσθαι τοῦ τὴν οὐσίαν αὐτὸ λαβεῖν· τὸ γὰρ ζῷον καὶ τὴν οὐσίαν περιέχεσθαι· ὁ δὲ τὴν οὐσίαν πρῶτον λαβὼν ἔχει καὶ τὸ ζῷον ἐν τοῖς ἑπομένοις τῷ αὐτῷ λαβεῖν ἔτι. πλειόνων δὲ ὄντων τῶν κειμένων, εὐπορωτέρα ἡ τοῦ μαχομένου εὕρεσις· ῥᾷον γὰρ ἐν πλείοσιν εὑρεῖν τὸ ζητούμενον. αὖ γὰρ δέοι κατασκευάσαι τὸ ᾱ τῷ κ̄ ὑπάρχον· ἐπεὶ ἕπεται τῷ ε̄· οὐ μόνον τὸ ζ̄ ἀλλὰ καὶ τὸ κ̄ ζ̄, πρῶτον ὑποληψόμεθα· ἀλλὰ τῶν οἷς ἕπεται τὸ ᾱ τοῦτ᾽ ἔστι τῶν γ̄· ἢ κ̄ γ̄· εἴ τι τούτων ἐστὶ τῷ κ̄ ζ̄· καὶ εἰ μὲν εὑρωμεν τούτων τι τούτῳ ἐκείνων τινος, ληψόμεθα τὸ ᾱ τῷ κ̄ ζ̄ ὑπάρχειν. τὸ δὲ κ̄ ζ̄ τῷ ε̄· ἐὰν δὲ μὴ εὑρίσκωμεν τῶν οἷς ἕπεται τὸ ᾱ τούτων τι ὂν τῷ κ̄ τῷ καθολικωτέρῳ, καταλείπεται καὶ μὲν ἢ ζητεῖν καὶ ἐπὶ τοῦ ζ̄. δύναται γὰρ καὶ εἰ μὴ τῷ κ̄ ζ̄ τούτων τι ἐστὶ τῶν κ̄ γ̄· ἢ τῶν γ̄, ἀλλὰ τῷ γε ζ̄ τὸ γ̄ εἶναι τούτων. ὁ μὲν γὰρ ὅλῳ τῷ πλήθει τὸ ᾱ ὑπάρξει· καὶ τῷ ὁλοπτέρῳ ἐστὶ μέρει τῇ δηλονότι. ἔτι καὶ ἢ τὸ ᾱ ἀλλὰ μὴ τῷ πλήθει ὅλῳ, οὐ κεκώλυται τῷ ὁλοπτέρῳ· καὶ διὰ τοῦ ὁλοπτέρου τῇ μερίδι· πλείονες οὖν αἱ ἀφορμαὶ πρὸς τὸ ἐπιχειρεῖν, καὶ ἐν πλείοσιν ἡ ζήτησις. οὕτως ἔσται καὶ ἐπὶ τῆς ἡδονῆς ἕπεται. τὸ ἡ ἀργία καὶ ἡ τοιαύτη ἀργία· ἡ γὰρ τῆς κατὰ φύσιν ὀρέξεως, αὐτὴ μέντοι τῶν οἷς ἕπεται τὸ ἀγαθόν· τοῦτο δὲ ἡ τῆς ἀργία. ὅ ἐστι κοινότερον τῶν ἑπομένων τῇ ἡδονῇ, διὰ τούτου δείκνυσι τοῦ τὸ ἀγαθόν. εἰ δὲ μὴ τοῦτο, ζητητέον εἴ τι τῇ τοιαύτῃ ἀργίᾳ, τούτων ἐστὶ τῶν οἷς ἕπεται τὸ ἀγαθόν· καὶ εὑρόμενοι τοιοῦτον ὂν τὸ κατὰ φύσιν· δοκεῖ γὰρ πᾶν τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι, τούτου δὲ τῇ κατὰ φύσιν ἀργίᾳ ἀνεμποδίστως ἑπομένου, διὰ τούτου αὐτῇ ἐνδεικνύοιτο τὸ προκείμενον:

ὁμοίως δὲ καὶ ἐφ᾽ ὧν αὐτὸ ἀκολουθεῖ.

Τουτέστιν ὁμοίως δὲ ζητητέον καὶ ἐπὶ τῶν οἷς αὐτὸ ἀκολουθεῖ· ἔστι δὲ ὁ λόγος· ὅτι οὐ μόνον δεῖ λαμβάνειν ἐπὶ τῶν ἑπομένων τῷ ε̄ τὰ καθολικώτερα πρῶτον ἐκ τῶν οἷς ἕπεται τὸ ᾱ, τὰ καθόλου καὶ ταῦτα πρῶτον ζητεῖν εἰ ἔστιν ἀλλήλοις ταῦτα. εἰ δὲ τὰ ἃ μὴ ἐν τούτοις εὑρίσκοιτο, ἐπὶ τὰ προσεχέστερα καὶ [illegible], μετιτέον· τοῦτο δὲ ἐπ᾽ ἀμφοῖν μὲν καὶ συγκρινομένων τὰ καθόλου καὶ τὰ φαινόμενα ἀκολουθεῖν δεῖξαι. οὐκ ἐπὶ τούτου οὖν μόνου φησὶ δεῖν οὕτως ποιεῖν· ἀλλὰ καὶ ἐπὶ τῶν οἷς τὸ ε̄ ἀκολουθεῖ, ὁμοίως ποιητέον· ὥσπερ δὲ ταῦτα, τὰ ἐπὶ τοῦ κ̄· καὶ γὰρ ἐπὶ τούτων φησὶ τὰ καθολικώτερα δεῖν πρῶτον τῶν οἷς ἕπεται τὸ ε̄ λαμβάνοντα, συγκρίνειν αὐτὰ τοῖς καθολικωτέροις τῶν οἷς ἕπεται τὸ ᾱ.

ἀΐδιον τοῦ γ. ἃ εἶπε πρὸ ὀλίγου κ.τ.λ. – ἢ διὰ τούτων οὐκ ἐκ προτέρων γίνεται, ὅτι τὸ ἑπόμενον
καὶ σαφέστερον ζητεῖται, τὸ εἰ τὸ γὰρ οὐ προτέρων αὐτῶν ἐκ τούτων γίνεται οἷς ἀμφό-
τερα ἕπεται, ἀΐδιον ε ἢ. τὸ δὲ ἀεὶ μὲν γὰρ τοῖς προτέροις καὶ τοῖς ὑπ' ἐκεῖνα εἴρηκε,
περί τε τοῦ α ὅ ἐστιν ἑπόμενον τοῖς γ. ὁμοίως καὶ περὶ τοῦ ε. ὃ ἕπεται τοῖς κ.
τὸ γὰρ ἑπόμενον ἀεὶ μὲν ἕπεται τοῖς προτέροις καὶ καθολικωτέροις, ἕπεται δ' αὖ
καὶ τοῖς ὑπ' ἐκεῖνα ὡς περιεχομένοις. ἃ δὲ μὴ τοῖς καθολικωτέροις ἕπεται,
οὐδὲν κωλύει τῶν ὑπ' ἐκεῖνα ἕπεσθαί τινι. οἷον ὅσα μὴ ἕπεται τῷ δί-
ποδι, ἀλλὰ τῷ πεζῷ δίποδι οὐδὲν κωλύει ἕπεσθαι. οὐ λέγει δὲ ὅτι τὸ
τῷ καθόλου ἑπόμενον, παντὶ τοῖς ὑπ' αὐτὸ ἐνδέχεται ἀκολουθεῖν, ἀλλ' ὅτι
τινὶ τῶν ὑπ' αὐτὸ ἐγχωρεῖ ἕπεσθαι αὐτό. ἐπισκεπτέον δὲ πῶς τοῦτο συνᾴδει
τῷ πρὸ ὀλίγου εἰρημένῳ. τῷ οὐ δεῖ τῷ καθόλου ἀκολουθεῖν, οἷς ἕπεται
τὸ περιεχόμενον ἢ δι' ἐκείνου οὐ παρέπεται τὸ πρῶτον. δεῖν τὰ καθολικώτερα
λαμβάνειν. τῶν οἷς ἕπεται ὁ ἀποδιδόμενος ὅρος. ἀλλὰ τὸν τρόπον τῆς ἐκλογῆς.
ἀλλὰ γὰρ διὰ τοῦ δυνατὸν εἶναι τὸ καθολικώτερον τῶν οἷς ἕπεται τι ἑπόμενον τινί.
διὰ τοῦτο καὶ λέγει δεῖν δύνασθαι τὸ ἕπεσθαι καὶ οἷς τὸ καθολικώτερον ἕπεται.
ἀλλ' ὡς τοῦτο ἑπόμενον αὐτὸ ἀπ' ἀρχῆς τιθέναι, καὶ λέγοι τὸ γὰρ δεῖν πρῶτον
ἐκεῖνα αὐτῇ ἐκλογῇ τῶν οἷς ἕπεται τὸ προκείμενον λαμβάνειν. οὕτω γὰρ
οὐδὲ τοῦ τέλη ψόμεθα. ὁ γὰρ λαβὼν τῷ αἱρετῷ ἕπεσθαι τὸ ἀγαθόν, λέγει
ὅτι καὶ τῇ ἀρετῇ καὶ τῇ ὑγιείᾳ. ὁ δὲ πρῶτον λαβὼν τῇ ἀρετῇ ἕπεσθαι τὸ αἱρετόν,
διὰ τοῦτον ἔσται λαμβάνων. ἐν γὰρ τῇ ἀρετῇ τὸ αἱρετόν. οὐ καί τι δὲ ἐπεὶ
τῷ αἱρετῷ καὶ ἡ ἀρετή. ὥστε λαμβάνοι ἂν οἷς ἕπεται τὸ περιεχόμενον
ὑπὸ τοῦ ἀγαθοῦ, τούτοις ἕπεσθαι καὶ τὸ ἀγαθόν. ἢ καὶ τῶν αὐτῶν τῷ προκειμένῳ
ἑπομένων, τὰ μὲν κοινότερά ἐστι. τὰ δ' οὔ. τῷ γὰρ ἀνθρώπῳ ἕπεται καὶ τὸ ζῷον.
ἕπεται καὶ τὸ λογικόν. ἀλλὰ κοινότερον τὸ ζῷον τοῦ λογικοῦ. ὥστε καὶ χωρὶς τοῦ
λαμβάνειν τὰ τῷ ζῴῳ ἕπεσθαι τῷ ἀνθρώπῳ, ἔστι τῶν ἑπομένων αὐτῷ. τὰ μὲν
κοινότερα, τὰ δὲ ὑπ' ἐκεῖνα. ὁμοίως καὶ ἐπὶ τῶν οἷς ἕπεται αὐτά. κοινότερον
γὰρ τὸ ἐπιστήμην ἔχειν, τοῦ γραμματικὴν ἔχειν. καὶ ἕπεται ἀμφοτέροις ὁ αὐτός.
διὸ ἄλλως καὶ ἁπλούστερον ἀκουστέον, δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται
ἑκάστῳ, τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα βλέπειν. λέγοι γὰρ ἂν διὰ αὐ-
τῶν, οὐ καί τι περὶ τῆς ἐκλογῆς. εἴρηκε γὰρ περὶ ἐκείνης πῶς αὐτῇ χρῆσθαι δεῖ.

ἀλλὰ περὶ τῆς λήψεως τῶν μέσων ὅρων· ἢ γίνεται καὶ τοῦ ἀλλ' ὅλου τοῦτον ἀλλ' ὡς κύριον καθ(όλου)·
ἐπεὶ γὰρ τῶν ἑπομένων τε καὶ τῶν οἷς ἕπεται, τὰ μὲν κοινότερά ἐστι· τὰ δὲ προ-
σεχέστερα καὶ ὑπὸ ἕκαστα· οὐ γὰρ δὴ πάντα ἐστὶν ἀξιοῖ τοὺς βουλομένους τὸν μέσον
ὅρον λαβεῖν διὰ τοῦ τῶν ἑπομένων κοινότατα, ἀλλήλοις εὑρεῖν, πρῶτον ἐπὶ
τῶν κοινοτέρων ποιεῖσθαι· ζητοῦντα εἴ τινα τούτων ἀλλήλοις ἐστὶ ταὐτά· ἀδια-
φόρου τοῦ μὴ εὑρίσκοιτο, τότε ἐπὶ τὰ μερικώτερα μεταβαίνειν· ὁ μὲν γὰρ τὰ κοινό-
τερα ταὐτὰ δείξας καὶ διὰ τούτων συλλογισάμενος, ἔχει τὸ αὐτὸ δεικνύναι
κἀκεῖνα τῶν ὑπὸ τὸ κοινότερον· ὥστε πλείους οἱ συλλογισμοί· ὁ δὲ μὴ δυνηθεὶς
διὰ τῶν κοινοτέρων, οὐκ ἀφῄρηται τὸ δύνασθαι εὑρεῖν τὸ προκείμενον, ἐπὶ
τῶν μερικωτέρων· δεῖξαι γάρ τις βουλόμενος τὸ α τῷ ε ὑπάρχον, ἀνὴ τὸ ε
ἑπόμενον· καθολικώτερον μέν ἐστι τὸ κ ζ· ὑπὸ δὲ τοῦτο οὖν ἐστι τὸ ζ· τὸ δὲ α ἑ-
πόμενον αὖ τὸ πάλιν καθολικώτερον μὲν τὸ κ ϛ· ὑπὸ δὲ τοῦτο δέον τὸ ϛ·
δεῖξαι μὲν ἢ τὸ κ ϛ ἢ τὸ ϛ ταὐτὸν τῷ κ ζ· ἔχει δεῖξαι διὰ τοῦ τὸ α καὶ τῷ ζ ὑ-
πάρχον ὅτι ὑπὸ τὸ κ ζ· καὶ τῷ ε ὅτι τὸ προκείμενον· εἰ δὲ μὴ τοῦτο δύναιτο ταὐτὸν
ἐκείνων τις, ὑπολείπεται τὸ ἐπὶ τοῦ ζ πάλιν ποιεῖσθαι τὸν λόγον· ὥστε καὶ πλεί-
οσιν αὐτὴ ζήτησις καὶ εὐπορώτερον ἐξετάζοιτο· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν κ ϛ καὶ ϛ οἷς ἕπε-
ται α· καὶ γὰρ τούτων πρῶτον μὲν τὸ κ ϛ τὸ καθολικώτερον δειχθείη τῷ κ ζ
ὂν ταὐτὸν καθόλου τοῦτον· διὰ τούτου δειχθήσεται τὸ α τῷ ε ὑπάρχον· εἰ δὲ μὴ
τοῦτο ἀποδοῦναι τινὶ ἐκείνων, καταλείπεται ζητεῖν περὶ τοῦ ϛ· εἰ τοῦτο ἐστὶ
ταὐτὸν τινὶ ἐκείνων· δύναται τὸ ὁμοίως δὲ καὶ ἐφ' ὧν αὐτὸ ἀκολουθεῖ σκεπτέον
ἐστὶν αὐτὸ περὶ τοῦ ε λέγειν· εἰ γὰρ βουλόμενοι δεῖξαι τὸ α τινὶ τῷ ε ὑπάρχον,
ζητοῦμεν τῶν οἷς ἕπεται τὸ α, τινὶ τῶν οἷς ἕπεται τὸ ε ταὐτόν ἐστι τούτου
γὰρ εὑρεθέντος, διὰ τοῦ γ΄ σχήματος τὸ προκείμενον δείκνυται· πάλιν
δὲ πρῶτον τῶν οἷς ἕπεται τὸ ε τὰ καθολικώτερα ζητεῖν, εἰ ταὐτά ἐστι τοῖς
τῶν οἷς ἕπεται τὸ α καθολικωτέροις· εἰ γὰρ μὴ τούτων εὑρεθῇ, ὑπο-
λείπεται τὸ ἐπὶ τῶν μερικωτέρων πάλιν ζήτησιν ποιήσασθαι:·

*ὁμοίως δὲ καὶ ἐφ' ὧν αὐτὸ ἀκολουθεῖ σκεπτέον·*

Λείπει τὸ ἄπειρον αὐτὸ τοῦτο αὐτά· ἔστι γὰρ ὁ λέγει, ὁμοίως δὲ σκεπτέον καὶ ἐπὶ τῶν οἷς αὐτὸ
ἀκολουθεῖ· δηλονότι τὸ α καὶ τὸ ε· ὡς μὲν γὰρ τῶν κοινοτέρων καὶ πρώτων οἷς
ἀκολουθεῖ ταῦτα, εὑρίσκοιτο τι ταὐτὸν ᾧ ἀμφότερα ἀκολουθεῖ, εὑρίσκοιτο ἂν

ἐν τοῖς ἐξ ὑπαρχόντων· ἃ δὲ μὴ ἐν τοῖς ἐνδοξοτέροις καὶ καθολικωτέροις, κυριώτεροι τούτων, δῆλον ὡς [illegible] καὶ εὑρεθῆναι καὶ εὑρεθῆναι ἐν τοῖς ὑπάρχουσι: [illegible]

ὅτι καὶ διὰ τῶν τριῶν ὅρων, καὶ τῶν δύο προτάσεων [illegible]

Δέδειξας πῶς ἔχοντα γίνεσθαι δεῖ συλλογισμὸν καθ' ἕκαστον πρόβλημα· φανερὸν δὲ καὶ ἐκ τούτων εἶναι, ὅτι πᾶς συλλογισμὸς ἁπλῶς, διὰ τριῶν ὅρων καὶ διὰ δύο γίνεται προτάσεων· καὶ διὰ τῶν τριῶν σχημάτων· ἃ φθάσας ἔδειξεν ἤδη. ἕπεται δὴ λέγειν καὶ ἐκ τούτων δείκνυσιν, ὑπάρχειν μὲν γὰρ παντὶ δεικνύντες τὸ α τῷ ε, εἰ ἂν τὸ ε καὶ τὸ ζ ταὐτὸν καὶ δύο ὅροι ἔξω τῶν τελῶν· τοῦτον γὰρ μέσον ὅρον λαβόντες, δείκνυμεν τὸ α τῷ ε παντὶ ὑπάρχον, διὰ προτάσεων δύο καθόλου καταφατικῶν ἐν πρώτῳ σχήματι· πάλιν δὲ τοῦ ἐν τινὶ δεικνύομεν τὸ α τῷ ε, λαμβάνομεν τὸ ε καὶ η ταὐτόν, εἰ ἐπὶ τὸ θ ἀμφότερα· ἐὰν γὰρ ἄμφω ὅρον ταῦτα ποιήσωμεν καὶ θῶμεν μέσον, συνάγεται τὸ α τῷ ε τινὶ ὑπάρχον, διὰ τοῦ τεθέντος μέσου ἐν τρίτῳ σχήματι· ὅταν δὲ δεικνύωμεν τὸ α τῷ ε μηδενί, πάλιν λαμβάνομεν τὸ ε καὶ τὸ ζ ταὐτά· καὶ ἐξ αὐτῶν ἕνα ποιοῦμεν ὅρον τὸν μέσον, γίνεται δὲ ἡ δεῖξις τούτου οὕτως ληφθέντος, καὶ ἐν πρώτῳ σχήματι καὶ ἐν τῷ β^ῳ. πρώτῳ, ἀντιλαμβανομένου ἐπεὶ τὸ ζ ταὐτὸν ὄντι τῷ ε, ὃ οὐδενὶ ὑπάρχει τῷ α· καὶ τὸ α τῷ ζ μηδενί· ἀντιστρέφει γὰρ ἡ καθόλου ἀποφατική· τὸ δὲ ζ παντὶ τῷ ε· ἅπερ ταὐτὰ αὐτῷ. ἐν δὲ τῷ μέσῳ σχήματι, ὅτι τὸ ζ ὅ ἐστι ταὐτὸν τῷ ε· τῷ μὲν α οὐδενὶ ὑπάρχει, τῷ δὲ ε παντί· οὐ κατὰ δὲ ἐν τῷ [illegible] ἀναλογικῶς [illegible] ἐν δευτέρῳ σχήματι μόνον ἢ συνάγων γίνεται· ἐκ τῶν β^ τῶν ἑπομένων τῷ α· ταὐτόν τινι ἐστι τῶν θ, ἃ οὐχ ὑπάρχει τῷ ε· ὅθεν ὁμοία καὶ ἐπὶ ταύτης ἡ δεῖξις· ἀρκεῖ δὲ περὶ αὐτῆς ἐν τοῖς πρώτοις ἐπὶ μέρους δὲ τὰ ἀποφατικὰ συνάγοντας, ἀπὸ τοῦ α πρὸς τὸ ε, λαμβάνομεν τὸ δὴ καὶ τὸ η ταὐτά· καὶ ἕνα μέσον ὅρον ποιήσαντες ἐξ αὐτῶν ἐν τρίτῳ σχήματι διὰ δύο προτάσεων συνάγομεν τὸ ἐπὶ μέρους ἀποφατικόν· τὸ μὲν γὰρ α οὐδενὶ τῷ η ὃ ἐστι ταὐτὸν τῷ η· τὸ δὲ ε παντὶ τῷ η· ὃ ἐστι ταὐτὸν τῷ η:

φανερὸν οὖν ὅτι διὰ τῶν προειρημένων σχημάτων οἱ συλλογισμοὶ καὶ [illegible] ἅπαντες ἐπιτελοῦνται·

Ὅτι μὲν πάντες οἱ συλλογισμοὶ καὶ πάντα τὰ προβλήματα διὰ τῶν τριῶν σχημάτων, ἐν τούτοις ἔδειξεν· [illegible] καὶ οὐ ἅπαν μὲν ὑπάρχει [illegible]

διὰ τοῦτο τὸ ἀξίωμα ἀνεῖλεν· τὸ νῦν λέγει· τὸ δὲ, ὅτι μηδὲν ἐκλέγειν τὰ παντὸς ἑπόμενα· τουτέστιν οὐκ ἄν τινα τὰ αὐτὰ ἀμφοτέροις ἕπηται, ταῦτα ἐκλεκτέον· ἀλλ' αἰτίαν τούτου ἀποδίδωσιν, ὅτι μηδεὶς γίνεται συλλογισμὸς τοῦ ἀμφοτέροις ἑπομένου ληφθέντος· ἀλλὰ τοῦτο ἄχρηστον ἂν πρὸς συλλογισμοῦ εὕρεσιν ἡ τούτου ἐκλογή· ὅτι δὲ μηδεὶς γίνεται συλλογισμός τις, ἔδειξεν ἐν τῷ πρὸ ὀλίγου· οὔτε γὰρ κατασκευαστικός ἐστι καταφατικός, οὔτε δὲ ἀνασκευαστικὸς ἢ ἀποφατικός· καταφατικὸς μέν, ὅτι ἐκ τῶν ἑπομένων ἀμφοτέροις, οὐδεὶς συνάγεται συλλογισμός· διὰ τούτων γὰρ ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστοι αἱ ἐκ δύο καταφατικῶν ἐδείχθησαν οὖσαι συζυγίαι· ἀποφατικὸς δὲ οὐ, ὅτι οὐκ ἐνδέχεται τοῦτ' ἔστι ἀνασκευαστικὸν δὲ τὸ ἀποφατικὸν συλλογισμὸν οὐκ ἐνδέχεται γενέσθαι, ἐξ ἀμφοτέρων καταφατικῶν· τὸ γὰρ ἑπόμενον ἀμφοτέροις, κατηγορεῖται ἀμφοτέρων· ἐν δὲ τοῖς ἀποφατικοῖς συνάγουσιν ἢ δεικνύουσιν ἐξ ἀνάγκης δεῖ τὴν ἑτέραν πρότασιν ἀποφατικὴν εἶναι:

φανερὸν δὲ ὅτι καὶ ὅσαι ἄλλαι σκέψεις κατὰ τὰς ἐκλογάς, ἀχρεῖοί εἰσι πρὸς τὸ ποιεῖν συλλογισμόν·

Δείξας ὅτι τὰ ἀμφοτέροις ἑπόμενα ταὐτὰ ληφθῆναι, οὐδεὶς ἔσται συλλογισμός· φησὶν ὅτι οὐδ' ἂν ἄλλα τινὰ τῶν ἐκλελεγμένων ἢ μὲν ταῦτα ἀλλήλοις λάβωμεν παρὰ τὰ προειρημένα· οὐδ' οὕτως ἔσται συλλογισμός· πρῶτον μὲν οὖν εἶπεν, ὅτι μηδὲ ἐκλέγειν τὰ παντὸς ἑπόμενα· νῦν δέ φησιν, ὅτι ἀλλ' οὐδὲ τῶν ἐκλελεγμένων, ἃ ἐνδέχεται ἀλλήλων διαφέρειν, ληπτέον τινὰ τῶν ἀμφοτέροις ἑπομένων· ὡς ἐὰν ποιήσωμεν τοὺς ὅρους ἐξ αὐτῶν· ἢ γὰρ οὕτως γίνεται τὸ δεύτερον σχῆμα· ἔχον τὰς δύο καταφατικάς· ἀλλ' οὐδὲ τῶν Γ εἰ λάβοι τοῖς γὰρ ἅπασι τὸ Α· συγκριτέον τὸ Θ τινὶ ᾧ οὐχ ὑπάρχει τὸ Ε· ἔσται γὰρ οὕτως τὸ πρῶτον σχῆμα, τὴν ἐλάττονα πρότασιν ἀποφατικὴν ἔχον· ἔσται γὰρ τὸ μὲν Α παντὶ τῷ Γ· ὁμοίως Θ· τὸ δὲ Θ οὐδενὶ τῷ Ε· ἂν γὰρ ἀντιστρέψαντες ἀμφοτέρας, λάβωμεν τῷ Θ τὸ Ε οὐδενί· τουτέστι τῷ Γ τὸ δ' αὖ Γ τινὶ τῷ Α· συναχθήσεται μὲν τὸ τινὶ τῷ Α μὴ ὑπάρχειν· ἀλλ' οὐ τὸ προκείμενον ἔτι· τὸ μὴ ἀντιστρέφειν τὸ ἑπόμενον ἀποφατικόν· κἂν εὑρίσκω δὲ σχηματίσω συμπλοκὴν ποιήσω, ἢ οὕτως ἀσυλλόγιστος ἡ συμπλοκή· ἡ γὰρ ἐν αὐτῇ, ἐλάττων ἀποφατική· τὸ μὲν Α κατὰ παντὸς τοῦ Θ ἀλλ' εἰ καὶ κατὰ παντὸς τοῦ Γ· ὥστε τὸ ἐν τῷ Θ· τὸ δὲ Ε κατ' οὐδενὸς τοῦ Θ· ἀλλ' οὐδὲ τῶν

ἑκατέροις

+

μὴ ὑπαρχόντων τινά, αὐτὰ ἀλλήλοις ληπτέον. οἷς γὰρ οὐδὲν τὸ αὐτὸ καὶ τῶν θ. ἀμφότεραι γὰρ ἔσονται αἱ προτάσεις ἀποφατικαὶ ἢ ἐν τῷ πρώτῳ σχήματι· ἐὰν καὶ στραφῇ μὲν τὸ ὅλα. ἢ ἐστὶν ἴσον τῷ θ α, ἵνα ληφθῇ τὸ α μηδενὶ τῷ θ· τὸ θ μηδενὶ τῷ ε, ἢ ἐν τῷ μέσῳ σχήματι· ἐὰν ᾖ τὸ δ ὅ ἐστι ταὐτὸν τῷ θ, μήτε τῷ α μήτε τῷ ε ὑπάρχον:·

**δῆλον δέ, ὅτι καὶ ὁποῖα ταὐτὰ ληπτέον κατὰ τὴν ἐπίσκεψιν, καὶ ὁποῖα ἕτερα ἢ ἐναντία·**

Δείξας τίνα οὐ χρὴ συγκρίνειν ἀλλήλοις καὶ ὡς ταὐτὰ λαμβάνοντας συντιθέναι, διὰ τὸ μηδένα ἐξ αὐτῶν οὕτω ληφθέντων γίνεσθαι συλλογισμόν, φησὶν ὅτι καὶ τίνα χρὴ ταὐτὰ ἀλλήλοις λαμβάνειν πρὸς τὸ συλλογίζεσθαι τῶν προβλημάτων, δῆλον ἡμῖν γέγονε. προστίθησι δὲ τὸ καὶ ὁποῖα ἕτερα ἢ ἐναντία. ὧν οὐ διαμεμνημόνευκεν ἐν τοῖς προειρημένοις. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἐξ ὧν φησὶν εἰρήκαμεν. εἰρήκαμεν δὲ περὶ τοῦ ποῖα δεῖ ταὐτὰ λαμβάνοντας καθ' ἕκαστον πρόβλημα τὸν τοῦ προειρημένου δεικτικὸν συλλογισμὸν ποιεῖν, ἔστι δῆλον καὶ τοῦτο δηλονότι, καὶ ὁποῖα δεῖ τῶν ἐκλελεγμένων ἕτερα ἀλλήλων λαμβάνειν ἢ καὶ ἐναντία. ἐπειδὴ γὰρ ἡ γνῶσις τῶν ὁμοίων τε καὶ ταὐτῶν, καὶ ἑτέρων τε καὶ τῶν ἐναντίων γνῶσις. ὅταν γὰρ ᾖ τὸ ἑπόμενον τινὶ ταὐτὸν τῶν τῷ μὴ ὑπαρχόντων τινί, δῆλον ὡς τοῦτο ταὐτὸ καὶ ἀντικείμενον ἔσται τινὶ τῶν ἑπομένων ἐκείνῳ. οἷον εἰ τὸ β τὸ ἑπόμενον τῷ α, ταὐτόν ἐστί τινι τῶν θ, ἃ οὐχ ὑπάρχει τῷ ε· δῆλον ὡς καὶ τῶν ζ, τῶν ἑπομένων τῷ ε τινί, ἀντικείμενον ἢ ἐναντίον ἐστὶ τὸ β ὡς τὸ θ. εἴ γε τὰ μὲν ἑπόμενά τινι, τοῖς μὴ ὑπάρχουσι τῷ αὐτῷ ἐναντία ἐστὶν ἢ ἀντικείμενα. τούτοις δὲ τοῖς μὴ ὑπάρχουσι τῷ ε, ταὐτόν ἐστι τὸ β, τὸ τῷ α ἑπόμενον. τοῖς ζ ἄρα τοῖς ἑπομένοις τῷ ε, τὸ β τὸ ἑπόμενον τῷ α ἢ ἐναντίον ἢ ἀντικείμενόν ἐστιν· ἐπεὶ ταὐτόν ἐστί τινι τῶν θ τῶν μὴ ὑπαρχόντων τῷ ε. τὸ μὲν οὖν προηγούμενόν ἐστι, τὸ λαμβάνειν τινὰ τῶν ἐκλεγομένων ταὐτὰ ἀλλήλοις. οὗ τὴν αἰτίαν παρέθετο· ὅτι τὴν ἐπίβλεψιν τῶν ἐκλεγομένων ποιούμεθα οὐ δι' ἄλλο τι ἢ τὸν μέσον ὅρον εὑρεῖν τε καὶ λαβεῖν βουλόμενοι, δι' οὗ τὰ ἄκρα συνάξομεν. τὸ δὲ μέσον τὸν αὐτὸν καὶ ἕνα δεῖ εἶναι. γίνεται δὲ οὕτως, ἂν δεξώμεθά τινα τῶν ἑκατέρου ἐκλελεγμένων, ταὐτὰ ὄντα ἀλλήλοις. οὕτω γὰρ ἔσται τὸ διὸ ἓν ὁ μέσος ὅρος. ὥστε τὸ προηγούμενόν ἐστι, τὸ λαμβάνειν τινὰ ταὐτὰ ἀλλήλοις

ὄντα. καὶ διὰ τῆς τούτων λήψεως δῆλον γίνεται, καὶ τὸ ἑκάτερα τῶν πρὶν ἑκατέρου
ἀκολουθουμένων ἀλλήλων ἕπεσθαι καὶ τὰ ἐναντία, εἰ μὲν γὰρ τὸ Ζ τῷ Γ, τὰ αὐτά,
δῆλον ὡς ἀντικείμενα γίνεται· τὸ μὲν Ζ τὸ ἑπόμενον τῷ Ε τῷ Δ· ὡς οὐχ ὑπάρχει
τὸ Α· ὥσπερ γὰρ τὸ Α τῷ Δ οὐχ ὑπάρχει, οὕτως οὐδὲ τῷ Γ ὧν ἕπεται τὸ Α· ὥσπερ οὖν
τὸ Γ τῷ Δ ἀντίκειται, οὕτως καὶ τὸ Ζ ἐστὶν αὐτῷ τῷ ἀντικειμένῳ τούτῳ οὗ τῷ Γ
τῷ μὲν γὰρ Γ, ἕπεται τὸ Α· τῷ δὲ Δ οὔ· διὸ ἀντίκειται· οὕτως καὶ τὸ Ζ ἕπεται τῷ Δ
ἀντικείμενον. ἀλλὰ καὶ τὸ Γ τῷ Θ διὰ τὸ αὐτό. ὁ δὲ τὸ Γ ἢ πάλιν ἀντίκειται,
ἕπεται ἀντικείμενα, τὸ μὲν Γ τῷ Θ τὸ δὲ Η τῷ Δ· διὰ τὸ εἰρημένον διὰ
τῆς λέξεως τῆς. δῆλον δὲ καὶ ὁποῖα ταῦτα ληπτέον. καὶ τὰ τὴν ἐπίσκεψιν.
τὸ ὁποτέρα ἑτέρα ἡ ἐναντία, ὡς εἴ τινα ἠρῆσθαι, τὸ δῆλον δὲ καὶ τῶν εἰρημένων,
τὸ τίνα χρῆσθαι παρέχεται τὸ ἔτι ταῦτα τὰ ἐκ τῶν ἐκλελεγμένων ληφθέντα κα-
θοῦ ὑφηγήματα τρόπον· καὶ διὰ ἐξ αὐτῶν λαμβάνοιτο τὰ ἐναντία ἀλλήλοις,
ἢ τὰ ἀντικείμενα. οὐ γὰρ συλλογιστικὴ ἡ τούτων ἐκλογή· ὥσπερ καὶ οἱ διὰ τῆς τοῦ
παραστῆσαι ὅτι τῆς τοῦ μέσου ὅρου εὑρέσεως χάριν ἡ ἐπίσκεψις γίνεται·
διὰ δὲ τὸν μέσον ὅρον, ἀναγκαῖον αὐτὸν εἶναι· οὐ γίνεται δὲ τὰ ἐναντία ἀλλήλοις
εἰ· καὶ διὰ τοῦτο ὅτι καὶ οἷς συμβαίνει γίνεσθαι κενὰ συλλογισμόν· ληφθέν-
των ἀντικειμένων εἶναι ἀλλήλοις· ἐκ τῶν πρὶν ἑκατέρων ἐκλελεγμένων κα-
θοῦ παραποιήματα τῷ ἐκλογικῷ τρόπον· ἢ μὴ ἐνδεχομένων τῷ αὐτῷ ὑπάρ-
χειν· τουτέστιν ἀντικειμένων· ἀλλὰ πλὴν εἰ τοῖς ἐπάνω, ἑτέρα ἡ ἐναντία, ὑπο-
πίπτει καὶ ταῦτα, τῇ προειρημένῃ τῶν μέσων ἐκλογῇ καθ' ἣν ἀεὶ δεικνύμενα
τὰ λαμβανόμενα ταῦτα κενὰ τῶν πρὶν ἑκατέρου ἐκλελεγμένων· καὶ γὰρ ταῦτα.
οὐ δι' ἄλλο τι εὑρεθήσεται συναγόμενα καὶ συλλογιζόμενα ὅτι, ἢ διὰ κενὰ τῶν
προειρημένων ἐκλογῶν· ἡ δὲ λέξις ἐνδεῶς ἔχει. λείπει γὰρ δηλονότι
τῷ καὶ ὁποῖα ἑτέρα ἡ ἐναντία, τὸ μὴ εἶναι μὲν τοι τῶν τούτων ἐκλογῶν, χρὴ
σκοπεῖν προηγουμένως πρὸς τὴν εὕρεσιν τῶν προτάσεων· τὸ γὰρ ἐπιφερό-
μενον τῇ λέξει ἔλαττον· ἐλάσσονος ὅτι καὶ συμβαίνει γίνεσθαι συλλογισμὸν
τῷ ληφθῆναι ἐναντία ἢ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν εἰς τοὺς προ-
ειρημένους ἅπαντας ἀναχθήσονται τρόπους. αὕτη γὰρ ἡ λέξις μέχρι
ὅτι τοιοῦτον λείπει τῇ προειρημένῃ λέξει· τὸ δῆλον δὲ καὶ ὁποῖα ταῦτα
ληπτέον· καὶ τὰ τὴν ἐπίσκεψιν· καὶ ὁποῖα ἑτέρα ἡ ἐναντία· τὸ μὴ εἶναι

μὲν τοίνυν τὸ ὕστερον ἀκόλουθον, χρήσιμον· καὶ ἔστιν αἱ οὕτως τὸ ὑπ' ἀλλήλων ἀλλήλοις σώζουσαι:·

δηλοῖ δὲ ὅτι καὶ ὁποῖα τῶν ἀκολουθούντων ληπτέον καὶ τῶν ἑπομένων φησιν, καὶ ὁποῖα ἕτερα ἢ ἐναντία· οἷον εἰ τὸ β καὶ τὸ ζ ἢ ἐναντία, ἢ μὴ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν.

Δείκνυσιν ὅτι καὶ ὅταν ἐναντία λαβόντες καὶ ἀλλήλοις ἀναγκαίων περὶ ἑκατέρου τῶν ἀκολουθούντων· ἢ ὅλως ἀντικείμενα, δεικνύωμέν τι καὶ συλλογιζόμεθα, ὅτι καὶ τότε οὐ διὰ τοῦ τὰ ἐναντία ἢ ἀντικείμενα εἰλῆφθαι, ὁ συλλογισμός· ἀλλὰ διὰ τό τινα τῶν προειρημένων ἡμῖν ἐξ ἀκολουθιῶν ἀναγκαῖον εἰληφθῆ. εἰ γὰρ εἰλήφαμεν τὸ β· τοῦτο δὴ τὸ ἑπόμενον τῷ α, ἐναντίον ἀναγκαῖον τῷ ζ· ὅ ἐστι τῷ ε ἑπόμενον, δείκνυται ὅτι μηδενὶ τῷ ε τὸ α ὑπάρχει, οὐ δι' ἄλλο τι ἢ τοῦτο ὃ ἐξ ἀρχῆς ἐλέγομεν, ἢ διὰ τὸν εἰρημένον ἡμῖν τρόπον· εἰ γὰρ τὸ β καὶ τὸ ζ εἴη ἐναντία ἀμφοτέροις τῷ α καὶ τῷ ε ἑπόμενα, ἀδύνατα ἂν εἴη τῷ αὐτῷ ἀμφότερα, ἢ τῷ α ἢ τῷ ε ὑπάρχειν· δῆλον γὰρ ὡς τὸ β τῷ μὲν α παντὶ ὑπάρξει τῷ δὲ ε οὐδενί· οὐ γὰρ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν ἐναντίον· ἐναντίον γὰρ τοῖς ἑπομένοις αὐτῷ, τοῦτο δὴ τὸ ζ· ἀλλ' ἀμφω τὰ μὴ ὑπάρχοντα τῷ ε, τὸ θ ἢ· τὸ ἄρα β τινὶ τῶν θ ἐστι ταὐτόν· οὕτω γὰρ παντὶ τῷ α τὸ β· τῷ θ οὐ ταὐτόν· τῷ δὲ ε οὐδενὶ τὸ θ ὑπάρξει. οὗτος δέ ἐστιν, εἷς τις ἀκολουθίας τῶν προειρημένων φησὶ τρόπος· εἰ γὰρ εἰληφθῇ τὸ μὲν β παντὶ τῷ α· τὸ δὲ ζ παντὶ τῷ ε· ἐναντία δὲ εἴη τὸ β καὶ τὸ ζ, καὶ τούτων οὐδὲν οἷόν τε προσεχῶς συναχθῆναι· οὐδὲ γὰρ μέσος τις ὅρος ἐν τοῖς προτάσεσιν εἰλῆπται· εἰ γὰρ τὸ μὲν λευκόν, χιόνι· τὸ δὲ μέλαν ἐναντίον ὂν τῷ λευκῷ, πίττῃ· χιὼν μέν, οὐδὲ μία πίττῃ· οὐ μὴν ἐκ τῶν κειμένων· ἐπειδὴ μὴ εἰλήπται τι κοινόν· ἀλλ' ἀεὶ τὸ β τὸ ἑπόμενον τῷ α, ταὐτὸν ἀναγκαῖον τῷ θ· ὃ οὐχ οἷόν τε ὑπάρχειν τῷ ε· ἢ πάλιν τὸ ζ ὅ ἐστιν ἑπόμενον τῷ ε, ταὐτὸν ἀναγκαῖον τῷ η· ὅ ἐστιν ἑπόμενον· ἐνδέχεται τῷ α· οὕτω γὰρ τὸ αὐτό, τῷ μὲν ἑτέρῳ αὐτῶν ὑπάρξει παντί, τῷ δὲ ἑτέρῳ οὐδενί· καὶ ἔσται συλλογισμὸς κατὰ τὸν τρόπον εἰρημένον ἐν δευτέρῳ σχήματι· δεῖ γὰρ τὸ λευκόν, ταὐτόν τινι ἀναγκαίων μὴ ἐνδεχομένων πίττῃ ὑπάρχειν· ἵν' οὕτως ᾖ συλλογισμός· ἀλλ' οὐχ ἁπλῶς ὡς ἐναντίον τῷ μέλανι· ὃ ὑπάρχει τῇ πίττῃ:·

πάλιν εἰ τὸ β καὶ τὸ η μὴ ἐγχωρεῖ τῷ αὐτῷ παρεῖναι, ὅτι τινὶ οὐχ ὑπάρξει τῷ ε τὸ α.

Δέξας δὲ ὅτι τῶν ἀμφοτέροις ἑπομένων τῷ τε α καὶ τῷ ε· ἐναντία ἢ ἀδύνατα ἢ μὴ
ἐνδεχόμενα ἅμα τῷ αὐτῷ· τὸ α μηδενὶ τῷ ε ὑπάρχον· οὐ μὴν διὰ τὸ ἐναν-
τία τὰ β ζ ἀλλήλοις εἶναι· ἀλλὰ διὰ τὸ, ἢ τὸ β ταὐτὸν εἶναι τῷ θ· ὃ οὐχ ὑπῆρ-
χε τῷ ε· ἢ τὸ ζ τῷ η· ὃ πάλιν οὐδὲ αὐτὸ ὑπάρχει τῷ α, ὡς ἔγνω δέδεικται· ὅτι κἂν
ληφθῇ τὸ β τὸ ἑπόμενον τῷ α, ἐναντίον εἶναι τῷ η· ᾧ ἕπεται τὸ ε, ὅτι τινὶ μὲν
οὐχ ὑπάρχει τὸ α τῷ ε· οὐ μὴν διὰ τὸ ἐναντία μὲν εἶναι τὸ β καὶ τὸ η· ἕπεσθαι δὲ
τῷ μὲν α τὸ β· τὸ δὲ η τὸ ε· οὐ γὰρ συλλογιστικὴ ἡ τοιαύτη λῆψις τῶν προτάσεων.
τῷ μηδὲ ἀμέσως κοινὸν ὅρον εἰλῆφθαι· ἀλλ' ἔσται συναγόμενον τὸ α τινὶ μὴ
ὑπάρχον τῷ ε· ἐν δευτέρῳ σχήματι· τῷ τὸ β τῷ μὲν α παντὶ ὑπάρχειν· τῷ δὲ
ε τινὶ μή· ᾧ γὰρ ὑπάρχει τὸ η τοῦ ε, τούτῳ τὸ β ἐναντίον ὂν τῷ η, οὐχ ὑπάρξει·
τινὶ δὲ τῷ ε τὸ η ὑπῆρχεν· οὕτω γὰρ αὐτὸ ἐγράφη τὸ καθόλου καταφατικόν.
ὥστε καὶ τὸ β τινὶ αὐτῷ οὐχ ὑπάρξει· ἐναντίον γὰρ τῷ η ἐλήφθη. ἐπεὶ δὲ ἀλη-
θές ἐστι τὸ ἐπὶ μέρους ἀποφατικόν· καὶ διὰ τὸ καθόλου ἀποφατικόν· καὶ εἰ γὰρ
μηδενὶ καὶ τὸ μηδενὶ ὑπάρχειν, τινὶ μὴ ὑπάρχειν· ἂν ληφθῇ τὸ β τῷ θ τινὶ
ταὐτόν, καὶ τὸ β οὐδενὶ τῷ ε ὑπάρξει. οὕτω δὲ καὶ τὸ α οὐδενὶ τῷ ε ὑπάρχει.
ᾧ δὲ οὐδενὶ αὐτῷ ὑπάρξει, καὶ τινὶ οὔ· κειμένου δὴ τοῦ β τῷ μὲν α παντὶ τῷ
δὲ ε τινὶ μή, γίνεται συζυγία ἐν δευτέρῳ σχήματι ἡ διὰ τῆς εἰς ἀδύνατον ἀ-
παγωγῆς δεικνύουσα· τὸ α τινὶ τῷ ε μὴ ὑπάρχον· αὐτὸς δὲ ἀντὶ τοῦ τινὶ μή,
τὸ μηδενὶ ἔλαβε διὰ τὰ εἰρημένα· ἢ τὸ λειπόμενον τοιοῦτόν ἐστιν· ἐπεὶ καὶ ᾧ
τὸ η τινὶ ὑπάρχει, τούτῳ μηδενὶ τὸ β, ἔσται τὸ μὲν β τῷ θ ταὐτόν· καὶ καθό-
λου τὸ ἀποφατικόν· ἡ β πρότασις καὶ τὸ συμπέρασμα ὁμοίως τὸ α ε, καθό-
λου ἀποφατικόν· τὸ δὲ, ὅτι τινὶ οὐχ ὑπάρχει τὸ α, οὐ καὶ ἤδη εἰρημένον ὡς ἐπὶ
μέρους ἀποφατικοῦ συναχθησομένου· ἀλλ' ἀντὶ τοῦ ὅτι τινὶ οὐχ ὑπάρχει
τὸ α· τῷ γὰρ ε οὐχ ὑπάρχει τὸ α· ὅτι δὲ τὸ β ε μὴ τῷ ε ὑπάρχει ταὐτόν ἐστιν
τινὶ τῶν θ, εὔδηλον ἐξ ἀνάπαλιν· πάντα γὰρ ἄλλη πη τὰ μὴ ἐνδεχόμενα τῷ ε
ὑπάρχειν· δηλονότι ἐπὶ τοῦ θ· τοῦτο γὰρ οὐ προστέθεικεν ὡς ὂν δῆλον.
ᾧ δὲ πάντα τὰ μὴ ὑπάρχοντα τῷ ε, ἐπὶ τοῦ θ ἐστίν, οὐχ ὑπάρχει δὲ
αὐτῷ τὸ β· τῷ ἐναντίον μὲν εἶναι τῷ η· μὴ δύνασθαι δὲ τὰ ἐναντία τῷ αὐτῷ
ὑπάρχειν, οὐχ ὑπάρξει δηλονότι οὔτε τὸ η τῷ α· ἔσται οὖν ταὐτὸν τὸ η
τῷ θ τινί· οὔτε τὸ β τῷ ε· ἔσται οὖν ταὐτὸν πάλιν τὸ β τῷ θ τινί.

ἀδύνατον τοῦτο, ἔσται γὰρ τοῦτο τινὶ τῷ ε ἐπὶ τοῦ θ· δείκνυται καὶ ἡ τοιαύτη ἀπόδειξις ἄγαν· ἀ-
ληφθέντος τοῦ β τῷ η αὐτῇ κεῖσθαι· ἐπεὶ τὸ β τῷ η αὐτῇ κεῖται· οὐδενὶ αὐτῷ
ὑπάρξει· ἀλλὰ καὶ τὸ β τῷ α παντί, οὐδενὶ ἄρα τῷ η τὸ α· ἀδύνατον τοῦτο· ἔσται
τὸ η τινὶ τῷ δ τοῦτο· οἷς οὐχ ὑπάρξει τὸ α· ἔσται δὴ τὸ α τῷ η οὐδενί·
τὸ δὲ ε τῷ η παντί· συναχθήσεται καὶ τοῦτο ἐν τρίτῳ σχήματι, τὸ α τινὶ
τῷ ε μὴ ὑπάρχειν· δεικτέον δὲ καὶ γράφεται τὸ γὰρ β τῷ μὲν α παντὶ τῷ δὲ
η οὐδενί· ἔσω τὸ η τοῦτο ἔσται τινὶ τῷ δ ὡς εἶπον· ἢ τὸ β τινὶ τῷ θ
ὡς αὐτὸς λέγει· εἰ γὰρ τὸ β ληφθείη μηδενὶ τῷ ε, δῆλον ὡς τὸ αὐτὸ ἔσται
τινὶ τῷ θ· τοῦτο γὰρ τῷ μὴ ὑπάρχοντι τῷ ε· τὸ γὰρ β τῷ μὲν α παντὶ
τῷ δὲ ε οὐδενί· δείκνυται τὸ β τῷ ε οὐδενί· διότι ἐὰν ἀντικείμενον ἐστὶ τῷ η
ᾧ παντὶ τὸ ε· οὐδενὶ αὐτῷ τὸ ε ὑπάρξει· εἰ δὲ τὸ ε τῷ β μηδενί,
ἔστι τὸ β καὶ τῷ ε οὐδενί· τοῦτο ἔσται τινὶ τῷ θ· οὕτως δὲ ἐχόντων τῶν προ-
τάσεων, καθόλου ἀποφατικῶν· ἀλλ᾽ οὐκ ἐπὶ μέρους γίνεται τὸ συμπέρασμα.
ἢ, οὐ καὶ ληφθὲν τὸ ληφθέν, τό, ᾧ ἀντικείμενόν ἐστι τὸ μέλαν τῷ λευκῷ, ᾧ παντὶ
ὑπάρχει τὸ χρῶμα, διὰ τοῦτο τὸ χρῶμα οὐδενὶ μέλανι· τῶν γὰρ ἀντικει-
μένων, τοῦτο τὸ γένος ἀναγκαῖον κοινωνεῖν· μὴ ἀπὸ τοῦ ὅτου καὶ τῶν κατὰ μέρος,
οὐ τὸ β τοῦτο γίνεται τινὶ τῷ θ τῷ μὴ ὑπάρχοντι τῷ ε· ἀλλὰ
τὸ η τινὶ τῷ δ· ᾧ οὐχ ὑπάρχει τὸ α· εἰ γὰρ τὸ β παντὶ μὲν τῷ α· οὐδενὶ
δὲ τῷ η, τὸ α· οὐδενὶ τῷ η· οὐδὲ τὸ η ἄρα οὐδενὶ τῷ α· τῶν δὲ τῷ μὴ
ὑπάρχοντι τῷ α, τὸ δ· οὕτως δὲ καὶ πρὸ ὀλίγου ἐδείχθη τὸ α τινὶ
τῷ ε μὴ ὑπάρχον· τῷ τινὶ τῷ δ τοῦτο ληφθῆναι τὸ η· οὕτως δέ,
τὸ μὲν α μηδενὶ τῷ η διὰ τοῦ δευτέρου δειχθήσεται σχήματος· ὅτι
μὲν τοι τινὶ τῷ ε οὐχ ὑπάρχει διὰ τοῦ τρίτου· τὸ μὲν γὰρ α οὐδενὶ τῷ η·
τὸ δὲ ε παντὶ τῷ η· ἀδύνατον τοῦτο καὶ τὸ α τινὶ τῷ ε :· +

Φανερὸν οὖν ὅτι ἐξ αὐτῶν μὲν τούτων τῶν ὑποβεβλημένων οὐδεὶς γίνεται συλ-
λογισμός

Δ... ἀναγκαῖον ἢ μὴν ὅτι οὐ καὶ ἐναντία ἢ ἀντικείμενα ἀλλήλοις
ἀναλαμβάνομεν ἵνα τῶν περὶ ἑκατέρου ἄκρων καὶ λελεγμένων, οὐ διὰ
τοῦ συλλογισμός ἔσται τῶν ἄκρων πρὸς ἀλλήλους· οὐδὲ γὰρ μέσος
ὁ ὅρος ἐκ τούτων· τὰ γὰρ ἐναντία ἢ ἀντικείμενα, οὐχ ἕν· ἀλλὰ διὰ
τί καὶ τὰ ταὐτὰ καὶ ἀλλήλοις εὑρίσκεσθαι γίνεται συλλογισμός·

καὶ γὰρ ὅτε ἀντικείμενά τινα ἀλλήλοις τούτων ληφθῇ, ἔσται συλλογισμός, ὅταν ἐπὶ ὅτῳ οὖν ἑκάτερον αὐτῶν ἀλλ' ὅτι ἐναντία τὰ ταὐτὰ ᾖ· μεταθουμένου καὶ ἀφαιρουμένου αὐτῶν, μέσος ὅρος ἔσται καθ' ἃ προειρήκαμεν· τοῦτο δὲ ἐπεξεργάσας (?), δείκνυσι καὶ μὴν ὅτι πρὸς τὸ συλλογίζεσθαι τῶν κειμένων προβλημάτων μόνη χρήσιμός ἐστιν ἡ προειρημένη τῶν περὶ ἑκάτερον ἐκλεγομένων ἀνάληψις· καθ' ἣν ταὐτά τινα ἀλλήλοις ὄντα ἐλαμβάνομεν· ἀλλ' οὐκ ἐναντία ἢ ἀντικείμενα· γίνεται μὲν διὰ τῆς ἐκείνων ἐπιβλέψεως ἀσυλλογίστως (?) γνώριμα, καὶ τινὰ ἐναντία καὶ ἀντικείμενα ἀλλήλοις: Συμβαίνει δὴ τοῖς οὕτως ἐπισκοποῦσι προσεπιβλέπειν ἄλλην ὁδὸν τῆς ἀναγκαίας, διὰ τὸ λανθάνειν τὴν ταυτότητα τῶν β καὶ τῶν η.

Τοῖς ἐναντία ἄττα ἢ ταὐτὰ τῶν περὶ ἑκάτερον ἐκλεγομένων ἢ ἀντικείμενα λαμβάνουσιν, δὲ διὰ τῆς τούτων λήψεως βουλομένοις ἐκ τῶν ἄκρων συναγωγὴν ποιεῖσθαι, οἷον καθόλου ἀποφατικὸν δεικνύναι, διὰ τοῦ λαβεῖν ἐναντία εἶναι τὸ β καὶ τὸ ζ, συμβαίνει ἐφ' ἣν ἄλλην τινὰ πρὸ τῆς ἀναγκαίας καὶ συλλογιστικῆς ὁδοῦ προσεπιβλέπειν· οἱ γὰρ τὸ β τῷ ζ ἐναντίον λαμβάνοντες εἶναι πρὸς τὸ δεῖξαι τὸ α μηδενὶ τῷ ε ὑπάρχον, τὸ ἀναγκαῖον παραιτοῦνται (?) καὶ λαμβάνουσιν δι' οὗ ὁ τοῦ προκειμένου γίνεται συλλογισμός· ἔστι δὲ τοῦτο, τὸ λαβεῖν τὸ β τῷ η ταὐτὸν ἢ τὸ ζ τῷ γ (?)· ὃ γὰρ αὐτὸ ἐλέγομεν (?), ἐπὶ ἄλλην τινὰ πρὸ ταύτης οὐ δεικτικὴν (?) τοῦ προκειμένου καθ' αὑτὸ ὁδὸν ἐπιβλέπουσι· καὶ οὐδὲν ὄφελος, ἂν μὴ ληφθῇ τὰ προσεχῶς δεικτικὰ τοῦ προκειμένου συμπεράσματος· ἔστι δὲ ἃ προειρήκαμεν· δι' ἃ γὰρ τὸ ἐναντία λαμβάνεσθαι ταῦτα, οὐδὲν (?) ἀδύνατον δεικνύναι τι. τοῦτο δὲ πάσχουσι διὰ τὸ λανθάνειν αὐτούς, ἢ τινὰ τίσιν ἐστὶ ταὐτά, ἢ τινὰ τίσι δεικτικά ἐστι ταῦτα: Τὸν αὐτὸν δὲ τρόπον ἔχουσι καὶ οἱ εἰς τὸ ἀδύνατον ἀπάγοντες συλλογισμοὶ τοῖς δεικτικοῖς.

Δείξας πῶς ἕκαστον πρόβλημα, τῶν οἰκείων τοῦ συμπεράσματος προτάσεων εὐπορήσομεν· ὁ προηγουμένως δεικνύντα καὶ συνάγεται (?)· διὸ καὶ δεικτικοὶ οἱ τοιοῦτοι συλλογισμοί· ἐκ τῆς τῶν ἐκλεγομένων περὶ ἕκαστον τῶν ὅρων τῶν ἐν τῷ προβλήματι ἐπισκέψεως καὶ συνθέσεως, ὁμοίως φησὶ τοῦτο καὶ διὰ τῶν αὐτῶν ἔσεσθαι καὶ τοὺς διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεικνύντας συλλογισμούς· οἳ μέρος εἰσὶ τῶν ἐξ ὑποθέσεως· τοῦτο δὲ ὁμοίως καὶ διὰ τῶν αὐτῶν τούτοις· οἳ μέρος εἰσὶ τῶν ἐξ ὑποθέσεως. τοῦτο δὲ ὁμοίως

+

τὸ διὰ τῶν αὐτῶν τούτους γίνεσθαι ἢ ἄλλα, ὅ τέ ἐστιν αὐτοῖς ἡ διαφορὰ πρὸς τοὺς
δεικτικῶς δεικνυμένους, οὐ κατὰ τὸν συλλογισμὸν αὐτόν· ὅμοιοι γὰρ ἐξ ὁμοίων
δεικνύμενοι· δεικτικοὶ γὰρ ὁμοίως καὶ οὗτοι κείμενοις· ἀλλ' ὅτι συμπέρασμα οὐ
τὸ ζητούμενον, οὐ τὸ προκείμενον ἀλλ' ἀντίφασις τοῦ· ὅ τὸ ἀδύνατον εἶναι, διὰ
λοιπὸν τὸ ὑποτεθὲν τὸ ἀντικείμενον αὐτῷ ὅσπερ ἐλέγετο τὸ θέσιν· τοῦτο
αἴτιον τοῦ δεικνυμένου ἐπὶ συλλογισμός· ἐπεὶ ὁμοίως γίνεται δεικτικῶς
γὰρ καὶ διὰ τῶν αὐτῶν ἐστιν τοῖς προειρημένοις· τὸ δὲ ἀδύνατον, εὑρίσκεται καὶ οὐ
λαμβάνεται· διὰ τοῦ ἀληφθῆναι ἀντικείμενον ἐπὶ τὸ αὐτό· τῶν τε ἑπομένων καὶ τῶν οἷς
ἕπονται οἱ ἐν τῷ προβλήματι ὅροι· καὶ τῶν μὴ ὑπαρχόντων αὐτοῖς· διὸ καὶ αὐτὸς
δείκνυσιν ὁμοίως γίνεσθαι αὐτοὺς τοῖς δεικτικοῖς· ὅ τε ἐστὶν ὁ δεικτικῶς δεί-
κνυται, καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δείξαι διὰ τῶν αὐτῶν ὅρων· καὶ
α πάλιν ὁ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, καὶ δεικτικῶς: ἐπιζητήσαι
δ' ἄν τις πῶς ἀληθὲς τὸ τοὺς διὰ ἀδυνάτου δεικνυμένους πάντας συλλογισμοὺς
καὶ δεικτικῶς δείκνυσθαι· δοκεῖ γὰρ ψεῦδος εἶναι τοῦτο· τὰ μὲν γὰρ δεικτικῶς,
οὔτε καὶ διὰ ἀδυνάτου· ἐπισκεπτέον δὲ καὶ τὰ ἄλλως ἔχει πάντα· οὐ μὴν
ἀλλὰ πάλιν· εἰ γὰρ ἐν τῷ δευτέρῳ σχήματι, καὶ εἰ ἐν τῷ τρίτῳ οἱ ἔχοντες τὰς
συζυγίας, ἐν καθόλου καταφατικῆς καὶ ἐπὶ μέρους ἀποφατικῆς, διὰ
τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεικνυμένης· οὐκ ἔτι δὲ καὶ δεικτικῶς:
λ ἢ καὶ ἐπὶ τούτων ἐκ δύναμιν τὴν πίστιν τὴν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς,
τοῦ συλλογιστικοῦ ἀναλυτικοῦ συμπληρωτικοῦ, καὶ ἐκ τῶν κειμένων προτάσεων
δεικτικῶς δεικνύμενον τὸ προκείμενον· ἐν γὰρ τῷ α̅ πάντα μὲν τῷ β̅· τινὶ
δὲ οὐ τῷ γ̅ καὶ τὸ β̅ τινὶ οὐ τῷ γ̅, δεικτικῶς· πίστιν δὲ τοῦ δεικτικῶς τοῦτο
συνάγεσθαι, ἡ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ὡς ἐπὶ τῶν ἄλλων· ἡ
τῶν προτάσεων ἀντιστροφή· φασὶ δὲ εἶναι, μὴ τοῦτο ἀνάπαλιν λεγόμενον,
ἀλλ' ὅτι τὰ αὐτὰ προβλήματα, καὶ δεικτικῶς δείκνυται, καὶ διὰ τῆς εἰς ἀ-
δύνατον ἀπαγωγῆς καὶ διὰ τῶν αὐτῶν ὅρων· καὶ οὐκ ἄλλα τινὰ ἐστὶ τὰ
δεικνύμενα· ἢ γὰρ καθόλου καταφατικόν· ἢ καθόλου ἀποφατικόν· ἢ
ἐπὶ μέρους καταφατικόν· ἢ ἐπὶ μέρους ἀποφατικόν, καὶ διὰ τῆς εἰς ἀδυνάτου
ἀπαγωγῆς ἐστὶ τὸ δεικνύμενον· τοῦτο δὲ δι' ὧν πεποιήμεθα ἐπιβλέψαντι
καὶ συνθέσεων δείκνυται· ὥστε τὸ διὰ τῶν αὐτῶν ὅρων τοῦτο σημαίνειν:

οἷον ὅτι τὸ α̅ οὐδενὶ τῷ ... ὑπάρχει [illegible]

Ὅτι δὲ ταὐτά ἐστι τὰ προβλήματα τὰ δεικνύμενα δεικτικῶς τε καὶ διὰ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς, καὶ διὰ τῶν αὐτῶν ὅρων· τουτέστι διὰ τῆς προκειμένης ἐκλογῆς τῶν
ὅρων, ἑξῆς παρατίθεται· καὶ πρῶτόν γε πῶς τὸ καθόλου ἀποφατικὸν διὰ
τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεικνύμενον, διὰ τῆς ... ἐκβληθέντα,
δείκνυται· καὶ διὰ τῶν αὐτῶν ὅρων δι᾽ ὧν δεικτικῶς, λέγει· ὁ γὰρ βουλόμενος
διὰ ἀδυνάτου δεῖξαι, μηδενὶ τῷ ε̅ ὑπάρχον τὸ α̅, ὁ δὲ δεικνὺς δεικτικῶς
διὰ τοῦ τὸ β̅ τῷ ... καθόλου τῷ ζ̅· τὸ γὰρ παντὶ μὲν τῷ α̅· οὐδενὶ δὲ τῷ ε̅· ἐξ ὧν
συνάγεται τὸ α̅ οὐδενὶ τῷ ε̅, ὑποτίθεται δὴ γνῶναι τινὶ ὑπάρχειν αὐτῷ.
ἀλλὰ καὶ τὸ β̅ εἶχε παντὶ τῷ α̅ ὑπάρχον, ὡς γὰρ ὑποκείμενον αὐτῷ· γίνεται
οὖν ὁ συλλογισμός, τὸ β̅ παντὶ τῷ α̅· τὸ α̅ τινὶ τῷ ε̅ ὑπόκειται γάρ· ἐξ ὧν
συνάγεται τὸ β̅ τινὶ τῷ ε̅· ὅπερ ἀδύνατον· ἀδύνατον δ᾽ ἐστιν, ὅτι οὐδενὶ τῷ ε̅
τὸ β̅ κείμενον, ὥστε διὰ τῆς τῶν αὐτῶν ἐκλογῶν τῆς συνθέσεως,
ἡ δεῖξις ἐγένετο, τοῦ τὸ α̅ μηδενὶ τῷ ε̅· διὰ γὰρ τοῦ τὸ β̅ τῷ ζ̅ τὸ ἀναιρεθῆναι,
τὸ ἀδύνατον ἀπήχθη· πάλιν ἂν δεικνύοιτο διὰ ἀδυνάτου τὸ α̅ τινὶ τῷ ε̅
ὑπάρχον· ὅτε ἦν μὲν δεικτικῶς συναγόμενον ἐκ τοῦ τὸ γ̅ καὶ τὸ η̅ τῷ ... ἀλλὰ
λαμβάνεται· ὁ δὲ διὰ ἀδυνάτου δεικνύς, ὑποτίθεται αὐτῷ μηδενὶ ὑπάρχον.
ἀλλὰ μὴν τὸ ε̅ παντὶ τῷ η̅ ὑπάρχει· ἔκειτο γὰρ αὐτῷ, συναχθήσεται ἄρα
τὸ α̅ μηδενὶ τῷ η̅· ἀλλὰ παντὶ ὑπῆρχεν αὐτῷ, εἴ γε καὶ τῷ γ̅ ᾧ τοῦτό ἐστι τὸ η̅.
πάλιν οὖν ἡ δεῖξις διὰ τῶν αὐτῶν. ὁμοίως δὲ περὶ τῆς τοῦ καθόλου ἀποφατικοῦ
προβλήματος· καὶ περὶ τοῦ ἐπὶ μέρους καταφατικοῦ· καὶ διὰ τῶν δεῖξαι τὰ
δεικτικὰ ἐν τίνι τούτων παραδείγματα, διὰ τούτων καὶ διὰ τῆς εἰς ἀδύνατον ἀ-
παγωγῆς δεικνύμενα αὐτά, φησὶν ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων
ἔχει· ἔστι δὲ τό τε καθόλου καταφατικόν· καὶ τὸ ἐπὶ μέρους ἀποφατικόν.
τὸ γὰρ καθόλου καταφατικόν, δείκνυται μὲν δεικτικῶς διὰ τοῦ, τὸ γ̅ τῷ δ̅
κεῖσθαι τῷ ζ̅· ἂν δὲ τὸ ἀντικείμενον ὑποτεθῇ, τὸ α̅ τινὶ τῷ ε̅ μὴ ὑπάρχειν.
κεῖται δὲ καὶ τῷ ζ̅, τὸ α̅ παντὶ ὑπάρχειν· τὸ ζ̅ γὰρ ... τὸ ζ̅ τῷ γ̅· ὥστε
τὸ α̅, ἔσται τὸ ζ̅ οὐ παντὶ τῷ ε̅, ὅ ἀδύνατον· ἔκειτο γὰρ αὐτῷ καὶ παντὶ ὑ-
πάρχειν. ἀλλὰ καὶ τὸ ἐπὶ μέρους ἀποφατικὸν εἰ διὰ ἀδυνάτου δεικνύοιτο,
ὁμοίως δειχθήσεται. ἐδείχθη μὲν γὰρ δεικτικῶς τὸ α̅ τινὶ τῷ ε̅ μὴ ὑπάρχον,

+

διὰ τοῦ τὸ ζ ταυτὸν εἶναι τῷ ζ· τὸ μὲν γὰρ α οὐδενὶ τῷ η· τὸ δὲ ε παντὶ τῷ ε· ἀπὸ γὰρ αὐτοῦ. ἀλλ᾽ εἰ ὑποθώμεθα διὰ ἀδυνάτου δεικνύντες, τὸ α παντὶ τῷ ε· ἔσται δὲ καὶ τὸ α μηδενὶ τῷ η· τὸ η συναχθήσεται μηδενὶ τῷ α· καὶ τὰ τὸν πρῶτον ὅρον ὑπάρχον· ἀλλὰ ἀδύνατον· κεῖται γὰρ τινὶ αὐτῷ ὑπάρχειν· ἐπεὶ γὰρ τὸ ε τῷ η παντί, δῆλον ὡς καὶ τὸ η τῷ ε τινί· ἢ τὸ μὲν α τῷ ε παντί· τὸ δὲ ε παντὶ τῷ η· συνάγεται γὰρ τὸ α παντὶ τῷ η, ὃ ἀδύνατον· ἔκειτο γὰρ αὐτῷ μηδενί· ἐπεὶ ταυτὸν ἦν τὸ η τῷ ζ· συνάγεται δὲ καὶ τὸ ε μηδενὶ τῷ η, διὰ τοῦ τὸ α παντὶ μὲν τῷ ε· οὐδενὶ δὲ τῷ η· ὃ ἀδύνατον· ἔκειτο γὰρ αὐτῷ παντί. δέδεικται δὲ ὅτι διὰ ἀδυνάτου δεικνύμενοι συλλογισμοί, διὰ τῶν αὐτῶν ὅρων δεικνύμενοι δι᾽ ὧν καὶ οἱ δεικτικοί, πάλιν δὲ αὖ πάλιν δείκνυσι, δι᾽ ὧν οἱ διὰ ἀδυνάτου, διὰ τούτων καὶ τοὺς δεικτικοὺς ἀποδείκνυσι, ὅτι διὰ τῶν αὐτῶν ἀμφότεραι αἱ δείξεις· εἰ γὰρ δέδεικται διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, τὸ α μηδενὶ τῷ ε· διότι συνέβαινε, τινὶ τῷ ε τὸ α ὑπάρχειν ὑποτεθέντος, καὶ τὸ β τινὶ τῷ ε ὑπάρχειν· ὅτι παντὶ τῷ α ὑπῆρχε τὸ β· ἀδύνατον δὲ ἦν τὸ β τινὶ τῷ ε ὑπάρχειν· τὸ αὐτὸ οὖν τῷ ζ· τοῦτο δεικτικῶς δειχθήσεται· ἐὰν ληφθῇ τὸ β τῷ μὲν α παντὶ τῷ δὲ ε μηδενὶ ὑπάρχον· ληφθήσεται δὲ οὕτως ἔχειν, αὐτὸ ταυτὸν τὸ β τῷ ζ:· πάλιν τὸ δεικτικῶς [illegible]

δεδεῖχθαι τὸ α τῷ ε μηδενὶ ὑπάρχειν

Φανερὸν μὲν οὖν ἤδη τοῦτο εἰρηκέναι· ὅτι τὰ δεικτικῶς δεικνύμενα, καὶ διὰ ἀδυνάτου δείκνυται· ὡς προείρηται πάλιν, εἰ γὰρ ἦν δεδειγμένον δεικτικῶς ὅτι τὸ α τῷ ε οὐδενί, διὰ τοῦ τὸ β τῷ ζ ταυτὸν εἶναι, καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ταυτὸν δειχθήσεται· ἂν ὑποθώμεθα αὐτὸ τινὶ τῷ ε ὑπάρχειν· καὶ προσλαβώμεν δὲ τὸ β αὐτῷ· λέγω δὲ τῷ α παντὶ ὑπάρχειν· ἀπὸ γὰρ αὐτοῦ. ἔσται δὲ τὸ β τινὶ τῷ ε ὑπάρχον· ὅπερ ἀδύνατον· ἦν γὰρ τὸ β ταυτὸν τῷ ζ· ὃ οὐδενὶ ὑπῆρχε τῷ ε, ὁμοίως ἡ δεῖξις καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων. τοῦ καθόλου καταφατικοῦ καὶ τῶν δύο τῶν ἐπὶ μέρους, πρὸς τὸ δεῖξαι δὲ νῦν καὶ τὴν αἰτίαν, δι᾽ ἣν διὰ τῶν αὐτῶν ὅρων ἀμφότεροι γίνονται οἱ συλλογισμοί· καὶ πῶς καὶ διὰ τῶν αὐτῶν ὅ,τε δεικτικὸς καὶ διὰ ἀδυνάτου γίνεται συλλογισμοί διαφέρουσι· ἐν ἅπασι γάρ φησι τοῖς διὰ ἀδυνάτου δεικνυμένοις· περὶ τούτων γὰρ λέγει, ὅτι ἀνάγκη κοινόν τινα λαβεῖν ὅρον ἔξωθεν· ἀλλ᾽ οὐ

ὧν ὑποκειμένων ἐν τῇ ὑποθέσει· ἢ καὶ ἔστι τὸ αἰτούμενον οὐ βουλόμεθα· κοινὸν
λέγοντες νῦν, οὐ τοῦ ὡς μὲν ἐν ἀμφοτέροις τοῖς ὅροις συντεθέμενον· ἀλλὰ προσλαμ-
τὸν ἕτερον τῶν ἐν τῇ ὑποθέσει συντιθέμενον καὶ ποιοῦντα τὴν πρότασιν ἀληθῆ.
συντελοῦσαν δὲ τῷ δείξειν τὸ ἀδύνατον συμπεραίνεσθαι· πρὸς δὲ τὸν ἕτερον,
ἐν τῷ συμπεραίνεται ἀδύνατα τὰ γινόμενα διὰ τὴν ὑπόθεσιν συντιθέ-
μενον ψευδῶς. ἐν γὰρ τῇ διὰ τοῦ ἀδυνάτου ἀπαγωγῇ, παρὰ τοὺς ὅρους ἐν τῇ ὑπο-
θέσει λαμβανομένους· ὃ βουλόμεθα τὸ αἰτούμενον δεῖξαι συναγόμενον, τρίτος
τις ὅρος ἔξωθεν προσλαμβάνεται, ὃς πρὸς μὲν τὸν ἕτερον τῶν ὅρων τῶν ἐν τῇ
ὑποθέσει, ἀληθῶς συντίθεται· καὶ πρότασιν ἀληθῆ ποιεῖ· λαμβάνεται
δὲ καὶ ἐν τῷ συμπεραίνεται ψευδεῖ. τὸ γὰρ δεικνύμενον συμπέρασμα τὸ ἀ-
δύνατον, ἐξ αὐτοῦ τέ ἐστι καὶ τοῦ ἑτέρου τῶν ὅρων τῶν λαμβανομένων ἐν τῇ ὑποθέσει.
πρὸς γὰρ τὸν ὅρον προσληφθέντα, γίνεται τὸ τοῦ ψεύδους καὶ ἀδυνάτου συμ-
περάσματος, οὗ συμπεραίνεται εἰς τὸ ἀληθὲς μεταληφθέντος· καὶ ἀληθοῦς
τῆς προτάσεως γενομένης. τῆς δὲ ἑτέρας οὔσης ὑποτεθείσης. ἀλλὰ ἐν ᾗ μὲν
ὁ προσληφθεὶς ὅρος, τῆς αὐτῆς μὲν οὔσης τῇ καὶ προσληφθείσης. ἐν γὰρ ἀληθεῖ,
μέσος ὅρος γίνεται τότε, ὁ προσληφθεὶς ἔξωθεν. οὐκ ἴσως διὰ τὸ τοῦ κοινοῦ
ἅπαξ ὡς γινόμενον κοινὸν τῆς μὲν ἐν, ἐν ταῖς δεικτικαῖς συλλογισμοῖς. ἀμφοτέρ-
ων γὰρ καὶ προτάσεως τότε γινομένων πρὸς τοῦτον συναγομένων ἀληθεῖς, ὁ τοιοῦτος
δεικτικὸς ὁ συλλογισμός. ἂν γὰρ θέλοντες δεῖξαι τὸ α τινὶ τῷ β μὴ ὑπάρχον,
τὸ αἰτούμενον λαμβάνομεν τό, τὸ α παντὶ τῷ β ὑπάρχειν, ἄλλον ἔξωθεν
ὅρον προσλαμβάνομεν τὸν γ· καὶ λαμβάνομεν ἀληθῆ πρότασιν τὴν τὸ α παντὶ τῷ γ,
συναχθήσεται τὸ γ τινὶ τῷ β μὴ ὑπάρχον ὃ ἐστὶν ἀδύνατον. ἐν γὰρ ἐπομένου
αὐτοῦ, τοιαύτη μὲν ἡ διὰ ἀδυνάτου δεῖξις. ἂν δὴ μεταλαμβάνομεν τὸ συναχθὲν
ἀδύνατον· τὸ γ τινὶ τῷ β μὴ ὑπάρχειν, εἰς ἀληθὲς ὂν τό, τὸ γ παντὶ τῷ β καὶ προ-
θῶμεν ἀληθῆ πρότασιν τὸ γ παντὶ τῷ β ὑπάρχειν τεθεῖσαν· καὶ προσλαμβάνομεν
τῷ ἑτέραν πρότασιν τῶν δι' αὐτῆς εἰς ἀδύνατον ἀπαγωγῇ ἐγένετο· μὴ τὴν ὑ-
ποτεθεῖσαν καὶ τὸ αἰτούμενον ἐδείκνυμεν· ἀλλὰ τὴν προτέραν τὴν ἀληθῆ
τήν, τὸ α παντὶ τῷ γ λέγουσαν, ἔσται μὲν ὁ γ ὅρος ὁ ἔξωθεν προσληφθείς,
μέσος· δεικτικῶς δὲ συναχθήσεται τό, τὸ α παντὶ τῷ β· ὃ καὶ διὰ τῆς εἰς ἀδύνατον
ἀπαγωγῆς ἐδείχθη. τὸ μὲν δὲ οὕτως ἔχει· διὰ τὸ ἀναγκαῖον ὧν ἀπὸ τοῦ α τὸ γ

τουτέστι τῷ ε ὑποκείμενον. ἔστω πάλιν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεδει-
κνύμενον τὸ α μηδενὶ τῷ ε. ἐὰν ὑποθώμεθα τὸ ἀντικείμενον οὗ βου-
λόμεθα δεῖξαι, τὸ τὸ α τινὶ τῷ ε· ἀλλ᾽ ἂν ᾖ προσλαμβάνομεν ἔξωθεν ὅρον
τὸν β ὃς τῷ α παντὶ ὑπάρχειν· συναχθήσεται τὸ β τῷ ε ὑπάρχειν τινί, ὃ ἀ-
δύνατον· οὐδενὶ γὰρ αὐτῷ ὑπάρχει. συναχθήσεται τὸ β τῷ ε ὑπάρχειν τινί,
ὃ ἀδύνατον· οὐδενὶ γὰρ αὐτῷ ὑπάρχει· τοῦτο γὰρ τῷ θ τῶ. ἀδύνατος ἄρα
ἡ ὑπόθεσις ᾗ τοῦτο ἠκολούθησε· τὸ ἄρα ἀντικείμενον τοῦ τὸ α τινὶ τῷ ε· τοῦ-
τέστι τὸ α οὐδενὶ τῷ ε. ἐὰν δὴ τὸ συμπέρασμα καὶ τὸ ἑπόμενον πρὸς τὸν ληφθέντα
ἔξωθεν ὅρον· τὸ ψεῦδος καὶ ἀδύνατον, καὶ μεταλαμβάνομεν εἰς τὸ ἀληθές· ὥστε
τὸ τὸ β τινὶ τῷ ε ὑπάρχειν· ὅ ἐστιν ἀδύνατον· οὐδενὶ γὰρ αὐτῷ ὑπάρχει. ὥστε
τὸ αὐτὸ τῷ θ, ὃ οὐχ ὑπάρχει τῷ ε, ἔσται τὸ β οὐδενὶ τῷ ε. ἡ προσληφθεῖ-
σα ἑτέρα πρότασις διὰ τὴν τοῦ ἀδυνάτου δεῖξιν ἔσται ἡ ἀληθής, ἡ τὸ β
παντὶ τῷ α τεθεῖσα. γίνεται μὲν οὖν δεύτερος ὅρος ἔξωθεν προσληφθεὶς
ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ, μέσος. δείκνυσι δὲ ὁ συλλογισμός· συνάγων
τὸ α τῷ ε μηδενί· ὅπερ διὰ τοῦ ἀδυνάτου ἦν δεδειγμένον. ὁμοίως καὶ ἐ-
πὶ μερικοῦ καταφατικοῦ συναγομένου διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς,
συναχθήσεται μὲν ὑποθεμένων ἡμῶν τὸ α μηδενὶ τῷ ε· τοῦτο γὰρ τὸ ἀντικεί-
μενον τοῦ δεικνυμένου· προσληψόμεθα δὲ ἔξωθεν ὅρον τὸν η· ᾧ τὸ α παντὶ
ἀληθῶς ὑπάρχει· συναχθήσεται τὸ α τῷ η μηδενὶ ὑπάρχειν, ὅ ἐστιν ἀδύ-
νατον· παντὶ γὰρ αὐτῷ ὑπάρχει. ἀλλὰ καὶ τὸ ε, ὃ τοῦτόν ἐστι τῷ η. τὸ ἄρα
ἀντικείμενον τοῦ ὑποτεθέντος. ἂν δὴ μεταλαμβάνομεν πάλιν τὸ συμπέρασμα καὶ
τὸ δειχθέν, ὃ ψεῦδος καὶ ἀδύνατον, εἰς τὸ ἀληθές· καὶ θῶμεν τὸ α παντὶ τῷ η.
προσλαμβάνομεν δὲ καὶ τὴν ἑτέραν πρότασιν τὴν ὁμολογουμένην ἀληθῆ εἶναι
τὴν τὸ α παντὶ τῷ η, ὁ μὲν η πάλιν μέσος ὅρος γίνεται. συνάγεται δὲ δει-
κνυμένως ἐν τρίτῳ σχήματι, τὸ α τινὶ τῷ ε ὑπάρχειν· ὃ ἐδείχθη καὶ διὰ τοῦ ἀ-
δυνάτου. ἀλλὰ καὶ ἐπὶ μερικοῦ ἀποφατικοῦ, διὰ τοῦ ἀδυνάτου δεικνυ-
μένου, ὑποθησόμεθα μὲν τὸ α παντὶ τῷ ε· τοῦτο γὰρ ἀντικείμενον τῷ τινὶ μὴ
τῷ δεικνυμένῳ· προσληψόμεθα δὲ ὅρον τὸν η· ᾧ τὸ α οὐδενὶ ἀληθῶς· συνα-
χθήσεται δὴ τὸ ε μηδενὶ τῷ η, ὅπερ ἀδύνατον· παντὶ γὰρ αὐτῷ ὑπάρχει.
ἂν δὴ μεταλαμβάνομεν τοῦτο εἰς τὸ ἀληθές· τὸ τὸ ε τῷ η παντὶ ὑπάρχειν.

προσλαμβανομένου δὲ καὶ τοῦ τὸ α οὐδενὶ τῷ γ, οὐκέτι ἀληθής· δεικτικῶς πάλιν δειχθήσεται τὸ α τινὶ τῷ ε μὴ ὑπάρχον· διὰ τοῦ β' σχήματος, μέσου ὅρου γινομένου τοῦ, ἔξωθεν προσληφθέντος· οὐ τοῦ δηλονότι καθόλου· γὰρ τὰς ἀληθεῖς εἶναι τὰς προτάσεις δι' ὧν τὰ προκείμενα συνάγονται δεικτικῶς δειχθῆναι. τούτων καὶ εἰς ἀδύνατον ἀπαγωγὴ προάγει. δέδειχεν δὲ ὅτι διὰ τῶν αὐτῶν ὅρων ὅτι δεικτικὸς καὶ ὁ διὰ ἀδυνάτου γίνεται συλλογισμὸς καὶ προσέθηκεν. +

Διαφορὰ τοῦ δεικτικοῦ καὶ τοῦ εἰς ἀδύνατον, ὅτι αἱ μὲν τοῦ δεικτικοῦ ... λήψεται ἀμφοτέρας τίθεσθαι(?)

Δείκνυσιν ὅτι καὶ τῶν διαφόρων τῶν ὅρων τε καὶ προτάσεων γίνεται ἡ διαφορὰ τοῦ δεικτικοῦ συλλογισμοῦ πρὸς τὸν διὰ ἀδυνάτου. αἱ μὲν γὰρ αὐταὶ καὶ τὰ σχήματα· καὶ οἱ τρόποι τῶν δεδειγμένων, ἐπ' ἀμφοτέροις ὅμοιοι· ἡ δὲ διαφορὰ αὐτῶν, ὅτι αἱ μὲν τοῦ δεικτικοῦ ἀμφότεραι αἱ προτάσεις ἀληθεῖς λαμβάνονται ἐξ ὧν δείκνυται τοῦ προκειμένου, ἐν δὲ τῷ διὰ ἀδυνάτου, ψευδὴς ἡ ἑτέρα λαμβάνεται. ὑπὸ τοῦ ὑποτίθεσθαι οἱ δεικνύναι βουλόμενοι τὸ ἀντικείμενον τούτῳ(?) τῆς. ἡ οὖν περὶ τῆς ὑποθέσεως λέγω ὅτι ψευδής. ἀλλὰ ὃ λέγω ἐστίν, ὅτι διὰ μὲν τῶν αὐτῶν δύο προτάσεων, τό τε δεικτικῶς δεικνύμενα γίνεται, καὶ τὸ διὰ ἀδυνάτου. ἀλλ' ἐν μὲν τῷ δεικτικῷ δέδεικται ἀμφότεραι ἀληθεῖς ληφθεῖσαι δεικνύουσι τὸ προκείμενον, ἐν δὲ τῷ διὰ ἀδυνάτου ἡ ἑτέρα αὐτῶν, ψευδής. ληφθεῖσα γὰρ ψευδὴς αὕτη συμπεραίνεται, ἀλλὰ γίνεται τοῦ ἐλεγχθῆναι τὴν ὑπόθεσιν τὴν ἀδύνατον. οὕτω δὲ ἀναιρεθείσης τίθεται τὸ προκείμενον. ὃ ἐδείκνυτο δεικτικῶς, ληφθείσης αὐτῆς ἀληθοῦς. δεικτικῶς μὲν γὰρ ἐδείκνυτο τὸ α τῷ ε οὐδενί, δι' ἀληθῶν τῶν τὸ β τῷ α παντί. τὸ β τῷ ε οὐδενί. ἐν δὲ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ, ἡ μὲν τὸ β τῷ α παντί, ἀληθὴς οὖσα λαμβάνεται. συνάπτεται δὲ αὐτῇ μετὰ τῆς ὑποθέσεως τῆς, τὸ α τῷ ε τινὶ ὑπάρχειν λεγούσης, τό, τὸ β τῷ ε τινὶ ὂν ψεῦδος. ὂν γὰρ τὸ β τῷ ε οὐδενί. ὅτῳ ψεῦδος ὂν ἐλέγχεται, ἀναιρεῖ τὴν ὑπόθεσιν. διὰ τὸ εἶναι ἀληθῆ τὴν τὸ α μηδενὶ τῷ ε ὑπάρχειν.

τοῦτο καὶ μὲν οὖν ἔσται καὶ μᾶλλον φανερὸν διὰ τῶν ἑπομένων· ὅσα περὶ τοῦ ἀδυνάτου λέγομεν.

Ἐν τῷ μετὰ τοῦτο βιβλίῳ λέγων περὶ τοῦ ἀδυνάτου ᾧ διαφέρει τοῦ δεικτικοῦ τρόπου, ἐπὶ μικρὸν ἔμπροσθεν λέγει περὶ τῆς διαφορᾶς αὐτῶν. ὅτι ὁ μὲν δεικτικὸς δει

ἀν ὑποθέσει, ἡ δὲ διὰ ἀδυνάτου ὑποθετική, καὶ αὐτὸ μὲν τὸ δεικνύμενον, οὔπω
τὸ συμπέρασμα γνώριμον· πρὸ τοῦ ληφθῆναι τὰς δεικτικὰς αὐτοῦ προ-
τάσεις, διὸ τὸ παράδοξον ἐστί· δεικνύντες δὲ τὴν ἐξ ἀδυνάτου ἀπαγωγήν,
πρὸ τῆς δείξεως δῆλον· διὸ τὸ καὶ τὸ ἀντικείμενον αὐτοῦ ὑποθέμενος, ἐπὶ τὸ
φανερὸν ἄγει ψεῦδος, καὶ ἡ μὲν δεικτική, συνάγει τοῦτο ὃ βούλεται, ἡ δὲ ἐξ
ἀδυνάτου, ἄλλο μὲν συνάγει, ἄλλο δὲ δεῖξαι βούλεται· περὶ μὲν τούτων,
ὕστερον ἐρεῖν ἐπαγγέλλεται. νῦν δὲ ἐκ τῶν εἰρημένων φησὶ γνώριμον εἶναι, ὅτι
δεῖ δεῖ τοῦ [illegible] βλέπειν· τά τε ἑπόμενα δηλονότι τοῖς ὅροις τοῦ προβλήματος.
καὶ οἷς ἕπονται αὐτοί. καὶ ἔτι τὰ μὴ ἐνδεχόμενα αὐτοῖς ὑπάρχειν, ἄν τε δει-
κτικῶς τις βούληται συνάγειν· ἄν τε διὰ ἀδυνάτου. διὰ γὰρ τῶν αὐτῶν ἐπιβλέ-
ψεων ἀμφοτέροις τοῖς τρόποις, ἡ τῶν δείξεων εὐπορία:

ἐν δὲ τοῖς ἄλλοις συλλογισμοῖς τοῖς ἐξ ὑποθέσεως, οἷον ὅσοι κατὰ μετάληψιν ἢ κατὰ ποιό-
τητα, ἐν τοῖς ὑποκειμένοις οὐκ ἐν τοῖς ἐξ ἀρχῆς ἀλλ' ἐν τοῖς μετα-
λαμβανομένοις ἔσται ἡ σκέψις.

Δείξας ὁμοίως ἐν τοῖς δεικτικοῖς καὶ τῆς ἐπιβλέψεως τῶν περὶ ἕκαστον εἰλη-
λεγμένων γινομένης τοῖς συλλογισμοῖς καὶ ἐν τοῖς διὰ ἀδυνάτου, ἐπειδὴ καὶ δοκοῦσιν
αὐτῶν καὶ οἱ διὰ ἀδυνάτου εἰσὶ τῶν ἐξ ὑποθέσεως εἶναι, φησί· ἐν δὲ τοῖς ἄλλοις
συλλογισμοῖς τοῖς ἐξ ὑποθέσεως, οὐ περὶ τῶν ὑποκειμένων καὶ ἐξ ἀρχῆς
κειμένων ἡ ζήτησις καὶ ἐκλογὴ ἔσται· ἀλλὰ περὶ τῶν μεταλαμβανομένων.
περὶ γὰρ τούτων ὁ συλλογισμὸς ὁ δεικτικὸς γίνεται, ὃν καὶ κυρίως συλλογισμὸν
λέγει. πρὸς γὰρ τὸ μεταλαμβανόμενον ὡς εἶπεν ἐν τοῖς ἐπάνω, ὁ συλλογισ-
μός· τούτων οὖν καὶ ἡ ἐκλογὴ τῶν ἐν τῷ μεταλαμβανομένῳ καὶ διὰ συλλογισ-
μοῦ δεικνυμένων ὅρων· τά γὰρ τούτοις ἑπόμενα καὶ οἷς ταῦτα ἕπεται καὶ
τὰ τούτοις μὴ ἐνδεχόμενα ὑπάρχειν, ἐκλεκτέον. ἐπειδὴ καὶ περὶ τούτων
ποιούμεθα τοὺς συλλογισμούς, ἀλλ' οὐ τῶν ὑποθετικῶς εἰλημμένων. τὸ δέ,
ἐν τοῖς ὑποκειμένοις, δύναται μὲν λέγειν καὶ ἀντὶ τοῦ ἐν τοῖς ὑποθετικοῖς
εἶναι λεγόμενον. ἐν δὲ τοῖς ἄλλοις τοῖς ἐξ ὑποθέσεως τοῖς παρὰ τοὺς δι' ἀ-
δυνάτου, οἷοι, ὅτι κατὰ μετάληψιν ἢ κατὰ ποιότητα ἀπὸ τῶν ὑποθετικῶν.
ἢ τοῦτο γὰρ καὶ οἱ ἐξ ἀδυνάτου ἀπάγοντες, ἐν τοῖς ἐξ ὑποθέσεως οὖσι μὲν τοῖς
ἐξ ἀρχῆς κειμένοις· οὐ δεῖ ἐπὶ τούτων ἡ ἐκλογὴ οὗ προειρήκαμεν τρόπον ἔσται.

ἀλλ᾿ ἐπὶ τοῦ μεταλαμβανομένου ἢ τοῖς αὐτοῖς ὑποκειμένοις οὐκ ἐπὶ τοῦ ἐξ ἀρχῆς, τὸ ἕν ἐστι τὸ σουμενον τοῖς ἐξ ἀρχῆς ὑποκειμένοις, ἀλλ᾿ οὐ τοῖς μεταλαμβανομένοις καὶ ἐπὶ τούτων ἡ ζήτησις ἔσται. εἰ γὰρ τῷ ὑποθεμένῳ τὴν ψυχὴν ἀεικίνητον ἀθάνατον εἶναι ἐστι. τῶν προειρημένων καὶ λογικῶν ποιήσομεν. οὐ ζητοῦντες εἰ ἕνα ἕπεται τῷ ἀεικίνητον εἶναι τὴν ψυχήν. ἢ εἰ ἔστι τοῦτο ἕπεσθαι. ἢ εἰ ἕνα οὐχ οἷά τε ὑπάρχειν αὐτῷ. ὁμοίως οὐδὲ τῷ ἀθάνατον εἶναι τὴν ψυχήν. ἀλλὰ ληψόμεθα τὰ ἐν τοῖς μεταληφθεῖσι ἢ προσληφθεῖσιν ὅροις. εἰ δὲ οὖν τοῖς ἥ τε ψυχὴ καὶ τὸ ἀεικίνητον. καὶ ἐπὶ τούτων τῶν προειρημένων ποιησόμεθα. τοῦτο γάρ ἐστι τὸ ὀφείλον δειχθῆναι διὰ συλλογισμοῦ. ἂν γὰρ ληφθῇ τοῖς μὲν αὐτοκινήτοις καὶ ἐξ αὐτῶν κινουμένοις, ἕπεσθαι τὸ ἀεικίνητον. τῇ δὲ ψυχῇ τὸ αὐτοκίνητον, εἴη ἂν δεδειγμένον τὸ τὴν ψυχὴν ἀεικίνητον εἶναι. λέγοιτο δ᾿ ἂν καὶ ἡ μετάληψιν μὲν, τὰ κατὰ πρόσληψιν λεγομένοις οἷα δὴ μικτοί. οἱ γὰρ νεώτεροι πρόσληψιν λέγουσι. τοῦτο οἱ περὶ Ἀριστοτέλη μετάληψιν εἰώθασι λέγειν. ὥσπερ καὶ ἤδη προειρήκαμεν. κατὰ μετάληψιν μὲν οὖν οἱ τοιοῦτοι ὡς καὶ προσθήκη ῥηθέντες. καὶ τὰ ἀπὸ ὅτι γε δὲ λέγονται, οἱ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίου δεικνύντες. ἐπειδὴ τοῦ γε τὸ ὅμοιον καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τῷ ποιῷ παρακολουθεῖ. οἳ καὶ αὐτοὶ γίνονται κατὰ μετάληψιν. καὶ γὰρ ἐπὶ τῶν οὕτως δεικνυμένων, ἄλλο μὲν ὑποτίθεται. ἄλλο δὲ ἡ δεῖξις καὶ ὁ συλλογισμὸς γίνεται. ὃ καὶ αὐτὸ μεταλαμβανόμενον λέγεται. ὁ γὰρ δεικνὺς ὅτι μὴ ἔστιν ἐν τῷ πλουτεῖν τὸ εὐδαιμονεῖν, διὰ τοῦ ὅτι μὴ δὲ ἐν τῷ ὑγιαίνειν, ὑποτίθεται μὲν ὃ μᾶλλον δοκεῖ αὐτάρκης εἶναι πρὸς εὐδαιμονίαν, τοῦτο μὴ ἔστιν αὐτάρκες, οὐδὲ ἂν ἧττον ἐκείνου εἴη ἂν αὐτάρκης. ἡ ὑγεία δὲ πλούτου μᾶλλον δοκοῦσα εἶναι αὐτάρκης πρὸς εὐδαιμονίαν, οὐκ ἔστιν αὐτάρκης. οὐδ᾿ ἄρα ὁ πλοῦτος. τὸ μὲν μὴ εἶναι τὸν πλοῦτον αὐτάρκη πρὸς εὐδαιμονίαν ὅτι μηδὲ ἡ ὑγεία, ὑποκεῖται. δειχθήσεται δὲ διὰ συλλογισμοῦ ὅτι μὴ ἔστιν ὑγεία πρὸς εὐδαιμονίαν αὐτάρκης οὕτως. οἱ ὑγιαίνοντες τινὲς κακίαν ἔχοντες. οὐδεὶς κακίαν ἔχων εὐδαιμονεῖ. οὐκ ἄρα οἱ ὑγιαίνοντες εὐδαιμονοῦσιν. οὐκ αὐτάρκης ἄρα ἡ ὑγεία πρὸς εὐδαιμονίαν. ἔστι καὶ οὕτως δεῖξαι. ἡ ὑγεία οὐκ ἔστιν αὐτάρκης πρὸς τὸ ζῆν ἀναμαρτήτως. ἡ εὐδαιμονία αὐτάρκης ἐστὶ πρὸς τὸ ζῆν ἀναμαρτήτως. ἡ ὑγεία ἄρα οὐκ ἔστιν αὐτάρκης πρὸς εὐδαιμονίαν. ἢ οὕτως.

αὐτῷ ἡ ἡδονή· νῦν οὐκ ἐσμὲν ἀναμάρτητοι. οὐδὲ τῷ εὐδαιμονεῖν ἀναμάρτητοι
ἐσμέν· οὐκ ἄρα αὐτό ἐστιν ἡ ἡδονὴ τὸ εὐδαιμονεῖν. διὰ οὖν τοῦ προειρημένου
ὁμολογίας ποιεῖσθαι τῆς τε ἡδονῆς καὶ τοῦ αὐτοῦ ἀφαίρεσιν πρὸς εὐδαιμονίαν· ταῦτα
γὰρ τὰ δεικνύμενα διὰ συλλογισμοῦ· καὶ ἔστιν ἡ δεῖξις γεγονυῖα διὰ τοῦ,
τὸ ἑπόμενον τῇ εὐδαιμονίᾳ ὅ ἐστι τὸ ἀναμάρτητον μὴ ὑπάρχειν τῇ ἡδονῇ.
τοιοῦτοι μὲν οἱ ἀπὸ τοῦ μᾶλλον, οὕτως ἀνασκευαστικοί· οἱ δὲ ἀπὸ τοῦ ἧττον,
εἰ οἱ μὲν ἔμπαλιν ἔχοντες τούτοις κατασκευαστικοὶ γάρ εἰσιν. ἔχουσι δὲ
οὕτως· εἰ τὸ ἧττον ἀγαθὸν ἀγαθόν ἐστι, καὶ τὸ μᾶλλον ἀγαθόν, ἀγαθὸν ἂν εἴη.
ἀλλὰ μὴν ἡ ὑγεία ἀρετῆς ἧττον οὖσα ἀγαθόν, ἀγαθόν ἐστι· καὶ ἡ ἀρετὴ ἄρα.
πάλιν γὰρ αὐτοῦ ὁ συλλογισμὸς τοῦ ὅτι ἡ ὑγεία ἀγαθόν, δεικτικῶς· ἐξ ὑ
ποθέσεως δὲ τοῦ τοῦ δειχθέντος, λαμβάνεται ἡ ἀρετὴ ἀγαθὸν εἶναι. τούτων
οὖν δεῖ ποιεῖσθαι τὴν ὁμολογίαν· ἧττον ἔσται, λαβόντων ἡμῶν τὸ μὲν ἀγαθὸν ἕ
πεσθαι τῷ κατὰ φύσιν. τὸ δὲ κατὰ φύσιν τῇ ὑγείᾳ πάλιν. ὁ δὲ ἀπὸ τοῦ ὁμοί
πρὸς ἄμφω χρήσιμος· καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευήν. τῶν γὰρ
ὁμοίως ἐχόντων τε, εἰ θάτερον ἔχοι αὐτό, καὶ θάτερον ἂν ἔχοι. καὶ εἰ μὴ ἔχοι
πάλιν θάτερον, οὐδ' ἂν τὸ ἕτερον ἔχοι. καὶ ἔστι τὸ μὲν δεικνύμενον διὰ συλ
λογισμοῦ καὶ ἐπὶ τούτων, τὸ ἕτερον· τὸ δὲ ἕτερον ἐξ ὑποθέσεως τὴν δεῖξιν
λαμβάνει. καὶ διὰ τὴν ὑπόθεσιν, ἐκείνου οὖν δεῖ ποιεῖσθαι τὴν ὁμολογίαν· οἷ
ον εἰ ὁμοίως οὖσα ἡ εὐγένεια τῷ πλούτῳ αἱρετὸν ἀγαθόν ἐστι· καὶ ὁ πλοῦτος
αἱρετὸν ἀγαθόν· ἡ δὲ εὐγένεια ὁμοίως οὖσα αἱρετὴ τῷ πλούτῳ, ἀγαθόν ἐστι·
τοῦ γὰρ τὴν εὐγένειαν ἀγαθὸν εἶναι, ὁ συλλογισμός· δεῖ δὲ καὶ ὑποκεῖσθαι.
ὅτι δὲ ἡ εὐγένεια ἀγαθόν, δεικνύοιτ' ἂν διὰ τῆς εὐλογίας, εἰ ληφθείη τὸ μὲν ἀγαθὸν
ἕπεσθαι τῷ αἱρετῷ· πᾶν γὰρ αἱρετὸν ἀγαθόν· τῇ δὲ εὐγενείᾳ, αἱρετόν.
οὐκοῦν καὶ ἐπὶ τῶν τοιούτων συλλογισμῶν, οὓς καὶ κατὰ ποιότητα λέγειν αὐτοῖς ἔθος,
μετὰ τῶν καὶ κατὰ μετάληψιν ὁ συλλογισμός· ἀλλ' οὐ τῶν ὑποκειμένων κ(αὶ)
ἀλλὰ τῶν μεταλαμβανομένων. τοῦτον οὖν χρὴ καὶ τὴν εὐλογίαν ποιήσασθαι.
τὸ γὰρ, ἐν τοῖς ὑποκειμένοις, εἴρηται δεῖν ἀεὶ καὶ αὐτὰ τοῦ πρώτου ὑποκειμένου
δεικνύουσιν· ἐπεὶ δὴ τούτων ἔσται ἀνάγκη συνιέναι τοῖς ἐξ ἀρχῆς. ἀλλ' ἐν τοῖς
μεταλαμβανομένοις, ἐπειδὴ ὁ συλλογισμὸς τούτων. ὁ δὲ ἐπιβλεπτικὴ καὶ ἡ
εὐλογία καὶ ἐπὶ τούτων, ἡ αὐτὴ ἔσται ὁποίαν ὑπεγράψαμεν:

ἐπισκέψασθαι δὲ δεῖ καὶ διασημῆναι ποσαχῶς οἱ ἐξ ὑποθέσεως.
οὐ τοῦ εἰρημένου ἔτι, ὡς πάντων τῶν ἐξ ὑποθέσεως, ἢ τὸ ἐπὶ πλεῖον δεικνυμένων τῇ
εἰλημμένῃ τῶν ὅρων ἐκλογῇ τε καὶ τῇ διὰ τούτων δείξει. εἰ γάρ ἐπὶ πολλὰ ποιότητα καὶ
διέλθοι, εὑρήσει τοῦτο οὕτως ἔχον. ἐπεὶ γὰρ τούς τε κατὰ μετάληψιν καὶ τοὺς κατὰ
ποιότητα, οὓς φησὶν ἐπισκέψασθαι, καὶ τοὺς ἄλλους τοὺς ἐξ ὑποθέσεως. καὶ
ἐξ ὑποθέσεως γὰρ καὶ οἱ διαιρετικοί· οἳ καὶ αὐτοὶ καὶ αὐτοὶ κατὰ μετάληψιν ἐξ ὑ-
ποθέσεως. καὶ οἱ ἐξ ὁμολογίας. διὸ οὖν φησὶ τῶν ἐξ ὑποθέσεως, προσηκόντως
ποιεῖσθαι διαίρεσιν. ἢ εἶπεν τινὰς τῶν ὑποθετικῶν. φανερῶς ὑποπίπτοντας
τῇ εἰρημένῃ μεθόδῳ· οἵ τε γὰρ δι᾽ ἀδυνάτου καὶ οἱ κατὰ μετάληψιν. ὑφ᾽ οὓς πάν-
τες οἱ λεγόμενοι ἀναπόδεικτοι. καὶ ἔτι οἱ κατὰ ποιότητα. λέγει δὲ ἐπισκέψα-
σθαι καὶ διελεῖν ποσαχῶς οἱ ἐξ ὑποθέσεως λέγονται. ἐκ γὰρ τῆς διαιρέσεως
δηλωθήσεται, ὅτι πάντες οἱ ὄντες ὑποθετικοὶ ἐν τῇ εἰρημένῃ μεθόδῳ οὐ συνδεικνυ-
νται. προσέχουσι γὰρ οἱ δι᾽ ὅλων ὑποθετικοί· οὓς Θεόφραστος κατὰ ἀναλογί-
αν λέγει. οἷοί εἰσιν οἱ διὰ τριῶν λεγόμενοι, μηκέτι ὑποπίπτοντες τῇ διὰ τῆς ἀνα-
λογίας δείξει. λέγει δὲ αὐτοὺς ὁ Θεόφραστος κατὰ ἀναλογίαν, ἐπειδή αἵ τε
προτάσεις ἀνάλογοι, καὶ τὸ συμπέρασμα ταῖς προτάσεσιν. ἐν πᾶσι γὰρ
αὐτοῖς ὁμοιότης ἐστίν. οὐδὲ συλλογισμοὶ κυρίως καὶ ἁπλῶς εἰσὶν ἐκεῖνοι. ἀλλὰ
τὸ ὅλον τοῦτο ἐξ ὑποθέσεως συλλογισμοί. οὐδὲν γὰρ εἶναι ἢ μὴ εἶναι δεικνύ-
ουσιν. αἱ μὲν γὰρ προειρημέναι ἐξ ὑποθέσεως καὶ συλλογισμοὶ δεικνύ-
ουσι γάρ τι ὑπάρχειν ἢ μὴ ὑπάρχειν. οἱ δὲ τοιοῦτοι, μηδὲν τοιοῦτον δεικνύ-
οντες, οὐκέτι· οὐδὲ ἁπλῶς συλλογισμοί. ἀλλ᾽ οὐ τοιοῦτοι οὐδὲ τῶν ἀρχαίων ἁ-
πλῶς συλλογισμοί. πάντες δ᾽ οἱ κυρίως καὶ ἁπλῶς ὄντες συλλογισμοί,
διὰ τῆς προκειμένης μεθόδου δεικνύονται. ἀνάλογον δὲ μέν τοι καὶ οἱ δι᾽ ὅλων
ὑποθετικοί, ὡς τὰ κατηγορικὰ τὰ προειρημένα ἀξιώματα, ἀλλ᾽ ὃν τρόπον καὶ
Θεόφραστος δέδειχεν αὐτοὺς ἐν τῷ πρώτῳ τῶν προτέρων ἀναλυτικῶν. ἔστι δὲ
δι᾽ ὅλων ὑποθετικὸς τοιοῦτος. εἰ τὸ α, τὸ β. εἰ τὸ β, τὸ γ. εἰ ἄρα τὸ α,
τὸ γ. τούτων γὰρ καὶ τὸ συμπέρασμα ὑποθετικόν. οἷον εἰ ἄνθρωπός ἐστι, ζῷον
ἐστίν. εἰ ζῷόν ἐστιν, οὐσία ἐστί. εἰ ἄρα ἄνθρωπός ἐστιν, οὐσία ἐστίν. ἐπεὶ τοίνυν
δεῖ καὶ ἐν τούτοις μέσον τινὰ ὅρον εἶναι, καθ᾽ ὃν συνάπτονται αἱ προτάσεις
ἀλλήλαις. ἄλλως γὰρ ἀδύνατον καὶ ἐπὶ τούτων συναχθῆναι συζυγίαν τινὰ

οὗτος ὁ μὲν τετραχῶς καὶ ἐν ταῖς τοιαύταις συζυγίαις τεθήσεται· ὅταν μὲν γὰρ ἐν ᾗ μὲν τῶν προτάσεων λήγῃ, ἐν ᾗ δὲ ἄρχηται, ἐν τῷ πρώτῳ ἔσται σχήματι· οὕτως γὰρ ἕξει, ὡς καὶ ὅτε τοῦ μὲν τῶν ἄκρων κατηγορεῖται, τῷ δὲ ὑπόκειται. ἀνάλογον γὰρ τὸ μὲν λήγειν καὶ ἕπεσθαι τῷ κατηγορεῖσθαι, τὸ δὲ ἄρχεσθαι τῷ ὑποκεῖσθαι· ὑπόκειται γάρ πως τῷ ἐπιφερομένῳ αὐτῷ· οὕτως γὰρ ληφθέντος τοῦ μέσου, συμπέρασμα ἔσται· ὃ ἄρχεται, ἀφ' οὗ ἤρχετο καὶ ἡ πρώτη πρότασις· λήγει δὲ, εἰς ὃ ἔληγεν ἡ δευτέρα. τῷ μὲν τοῦ κατηγορουμένου χώραν ἐν τῷ συμπεράσματι τοῦ ἑπομένου λαμβάνοντος. τῷ δὲ τοῦ ὑποκειμένου τοῦ ἡγουμένου· οἷον· εἰ τὸ α, τὸ β· εἰ τὸ β, τὸ γ· εἰ ἄρα τὸ α, τὸ γ. δυνατὸν ἐπὶ τῆς αὐτῆς συζυγίας, καὶ ἀνάπαλιν ληφθῆναι τὸ συμπέρασμα· ὥστε μὴ ἑπόμενον εἶναι ἀλλ' ἡγούμενον. οὐ μὴν ἁπλῶς ἀλλὰ σὺν ἀντιθέσει. συνάγεται γὰρ τοῦ εἰ τὸ α τὸ γ, συνάγεται καὶ τὸ, εἰ μὴ τὸ γ, οὐδὲ τὸ α. εἰ δὲ ἀπὸ διαφόρων ἄρχοιντο αἱ ὑποθετικαὶ προτάσεις, λήγοιεν δὲ εἰς ταὐτό, ἔσται τὸ τοιοῦτον σχῆμα δεύτερον· ἀνάλογον ὂν τῷ ἐν τοῖς κατηγορικοῖς δευτέρῳ· ἐν οἷς ὁ μέσος ὅρος ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται. ἐπεὶ γὰρ ἐν τοῖς ὑποθετικοῖς τὸ ἑπόμενον κατηγορουμένου χώραν ἔχει, κοινὸν δὲ ταῖς προτάσεσι ταὐτὸν ἑπόμενον λαμβάνεται, τὸ πρῶτον ἔσται σχῆμα· συλλογιστικὴ δὲ ἡ συζυγία· ἐὰν ἀνῃρημένως τὸ ἑπόμενον ἑκατέρῳ τῶν ἡγουμένων λαμβάνηται· οἷον εἰ τὸ α, τὸ γ· εἰ τὸ β, οὐ τὸ γ· τὸ γὰρ γ μέσος ἐστὶν ὅρος, ἀνῃρημένως, ἀλλ' ἔπεται ἑπόμενος, τοῖς ἡγουμένοις τῷ τε α καὶ τῷ β. διὸ καὶ συνάγεται, οὕτως ληφθέντων, τὸ εἰ θάτερον τῶν ἀρχομένων, οὐ θάτερον. εἰ γὰρ τὸ α, τὸ β· εἰ τὸ γ, οὐ τὸ β· εἰ ἄρα τὸ α, οὐ τὸ β. οἷον, εἰ ἄνθρωπος, ζῷον· εἰ λίθος, οὐ ζῷον· εἰ ἄρα ἄνθρωπος, οὐ λίθος. εἰ δέ γε ἀπὸ τοῦ αὐτοῦ ἄρχοιντο αἱ προτάσεις, λήγοιεν δὲ εἰς ἕτερα, ἔσται ἀνάλογον τοῦ τοῦ σχήματος τῷ τρίτῳ. τὸ γὰρ ἡγούμενον ὑποκειμένου χώραν ἔχον, ἐν ἀμφοτέραις ταῖς προτάσεσι ταὐτόν ἐστιν· ὅταν δὲ ἀνῃρημένως τοῦτο ληφθῇ, συνακτικὸν ἔσται· οἷον, εἰ τὸ α, τὸ β· εἰ οὐ τὸ β, τὸ γ, συναχθήσεται γὰρ εἰ μὴ θάτερον τῶν ληγόντων, θάτερον. εἰ γὰρ οὐ τὸ β, τὸ γ· ἢ εἰ οὐ τὸ γ, τὸ β· οἷον εἰ ἄνθρωπος, λογικόν· εἰ μὴ ἄνθρωπος, ἄλογον· εἰ μὴ λογικόν, ἄρα ἄλογον. ταύτῃ τοίνυν ὅμοιαι ἐν τούτοις αἱ συμπλοκαὶ ταῖς ἐν τοῖς κατηγορικοῖς σχήμασιν οὖσαι,

ἀνάγοντας δὲ δεικνύντας ἀνήγοντο, καὶ ἐκ τῆς γενέσεως, ἐπὶ τοῖς κατηγορικοῖς τοῦ δευτέρου καὶ τοῦ τρίτου σχήματος ἀπὸ τῶν ἀντιστροφῶν τῶν ἐν τῷ πρώτῳ προτάσεων, οὕτως δὲ καὶ ἐπὶ τούτοις τοῖς σχήμασι. τῆς μὲν γὰρ μείζονος ἀντιστραφείσης ἐν πρώτῳ σχήματι προτάσεως, τὸ πρῶτον ἐγένετο σχῆμα· τῆς δὲ ἐλάττονος, τὸ τρίτον. ἔστι δὲ τοῖς ὑποθετικοῖς μείζων μὲν ἡ β· ἐν ᾗ ἑπόμενόν ἐστι· ἐλάττων δὲ ἡ πρώτη ἐν ᾗ ἑπόμενόν ἐστι· οἷον ἡ μὲν, εἰ τὸ α, τὸ β πρώτη τε καὶ ἐλάττων· ἡ δὲ, εἰ τὸ β, τὸ γ· ἀντιστραφείσης ἔσται ἐν ἀμφοτέροις τὸ β ἑπόμενον· τὴν χώραν λαμβάνον τοῦ κατηγορουμένου· ὃ ἴδιον τοῦ πρώτου σχήματος, τῆς δὲ πρώτης, τῆς εἰ τὸ α τὸ β ἀντιστραφείσης, ἔσται πάλιν ἡγούμενον ἐν ἀμφοτέραις ταῖς προτάσεσι τὸ β· ὃ χώραν ὑποκειμένου ἔχον, ποιεῖ τὸ τρίτον σχῆμα. παραπλησίως δὲ καὶ ἀναλύονται τῶν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι, εἰς τὸ πρῶτον ἐγένετο σχῆμα· ἐξ οὗ καὶ γενέσεως αὐτοῖς· ὡς πρόσθεν ἐπὶ τῶν κατηγορικῶν. οὗτοι μὲν οὖν οἱ ἁπλοῖ τε καὶ πρῶτοι ὑποθετικοί, δι' ὅλων λεγόμενοι. ἐκ τούτων δὲ καὶ οἱ σύνθετοι, πάντες τὴν σύστασιν ἔχοντες δειχθήσονται. Θεόφραστος μέντοι ἐν τῷ προτέρῳ τῶν ἀναλυτικῶν· δεύτερον σχῆμα λέγει, ἐν τοῖς δι' ὅλων εἶναι ὑποθετικοῖς εἶναι. ἐν ᾧ ἀρχόμεναι ὑπὸ τοῦ αὐτοῦ αἱ προτάσεις, λήγουσιν εἰς ἕτερα· τρίτον δὲ ἐν ᾧ ἀπὸ διαφόρων ἀρχόμεναι, λήγουσιν εἰς ταὐτόν· ἃ δὴ πάλιν δῆλα ἐξεθέμεθα. ἀλλὰ περὶ μὲν τούτων, ἰδίως πρόσεστι λέγειν· νῦν δὲ ἐπανιτέον ἐπὶ τὴν τῆς λέξεως ἐξήγησιν:

[illegible] τούτων· [illegible] ἐπιβλέπειν [illegible] ἐξ ὑποθέσεως

Δείξας καθ' ἕκαστον πρόβλημα τίνων τῶν αὐτῶν ὄντων γίνεται τὸ συμπέρασμα, λέγει ὅτι καὶ ἐνίων τῶν καλουμένων ἐστὶ καὶ ἄλλη τις μέθοδος, ᾗ ἐφόδῳ χρωμένους, συνάγειν. προσχρωμένους μὲν τοῖς προειρημένοις ἤδη καὶ εἰρημένοις, ὑποθέσει τινί· τὰ γὰρ καθόλου καταφατικὰ καὶ ἀποφατικὰ ὅπως μὲν συνάγεται εἴρηται· ληφθέντος γὰρ τοῦ ἑπομένου τῷ ζ ταὐτοῦ, καθόλου τὸ α τῷ ε ἐδείκνυτο ὑπάρχειν· πάλιν δὲ ὧν ληφθέντος ἢ τοῦ δ τῷ ζ ταὐτοῦ· ἢ τοῦ β τῷ θ, τὸ καθόλου ἀποφατικόν· φησὶ δὲ ὅτι καὶ αὐτὰ δυνήσεται συναγόμενα δεικνύναι καὶ ἄλλως· τὸ μὲν καθόλου καταφατικόν, ἂν τὸ [illegible] τῷ [illegible] ἐπὶ τὸ α, ταὐτὸν ληφθῇ· διὰ τοῦ συνάγεται τὸ ἐπὶ μέρους καταφατικόν· ἐὰν ἐπιβλέψαι μὲν

τὰ καθ᾽ ἕκαστα, καὶ εὕροιμεν μὲν μόνῳ τῷ γ τὸ α ἑπόμενον, καὶ μηδενὶ ἄλλῳ· οἷον, εἰ εἴη
τὸ μὲν γ ἄνθρωπος· τὸ δὲ α γελαστικόν· ἐπεὶ μόνῳ τῷ γ τὸ α ἕπεται, ἀντιλαμβάνομεν αὐτὸ
ὡς μόνῳ ἑπόμενον, καὶ τὸ α παντὶ τῷ γ ὑπάρξει. ὑπάρχει μὲν γὰρ τὸ α παντὶ
τῷ γ. ἕπεται γὰρ αὐτῷ, καὶ τῷ β ἄρα· τὸ γὰρ γ ἐστὶ τῷ β τὸ β. ἀλλὰ τῷ μὲν α
μόνῳ τὸ γ ἕπεται, καὶ ἀντιστρέφει, καὶ τῷ γ τὸ β ἀκολουθήσει. καὶ ἕξει τὴν τοῦ ζ χώραν.
τὸ δὲ ἀκολουθεῖ αὐτῷ, κατὰ παντὸς αὐτοῦ κατηγορηθήσεται· ὥστε καὶ τοῦ β παντὸς
τὸ α. ἐξ ὑποθέσεως οὖν ἐκ τῶν ... τῶν αὐτῶν ληφθέντων, τὸ καθόλου συνα-
χθήσεται. ἂν γὰρ τὸ β μόνῳ ἕπηται τῷ γ. ἄλλως δέ, οὔ. τὰ δὲ ἴδια καὶ οἱ ὁρισμοὶ
ἑκάστου, ὡς προείρηται, ἐπιστημονικοῦ τὰ πράγματα, δύναται καὶ ἐν τοῖς ἑ-
πομένοις αὐτοῖς τίθεσθαι· καὶ ἐν τοῖς ἴσοις ἕπεται αὐτοῖς. καὶ πάλιν εἰ τὸ δ καὶ τὸ η
ταὐτά. διὰ τούτων δὲ τὸ ἐπὶ μέρους ἀποφατικὸν συνάγεται. τὸ γὰρ α οὐ παντὶ
τῷ ε. διὰ τῶν τὸ μὲν α οὐδενὶ τῷ η. τὸ δὲ ε παντὶ αὐτῷ. ἀλλὰ τὸ η τοιοῦ-
τον ληφθείη ὡς πάλιν μόνῳ τῷ ε ἕπεσθαι, ὡς καὶ ἐπὶ τῆς πρώτης δείξεως,
ἀντιστραφήσεται πάλιν καὶ ἔσται τῷ ε τὸ η ἑπόμενον· ὥσπερ καὶ τῷ ζ. ἐπεὶ
τὸ η τῷ δ ταὐτόν ἐστι. τὸ δὲ α οὐδενὶ τῷ δ, δηλονότι οὐδὲ τῷ η. τὸ δὲ ε
παντὶ τῷ ε. τὸ ἄρα οὐδενὶ τῷ ε. διὸ οὕτω φησὶ καὶ οὕτως ἐπιβλέποντα
καὶ ἐκλέγειν τὰ προειρημένα. ἐπεὶ καὶ διὰ τῆς τοιαύτης ἐπιβλέψεως,
δύναται δείκνυσθαι τὸ καθόλου:· +

τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ~~ἀλλ~~ ἀναγκαίων καὶ τῶν ἐνδεχομένων.

Λέγει ὅτι οὐ μόνον ἐπὶ ὑπαρχόντων ἴσως μέν· δεῖ τῶν τοιούτων ἐπιβλέψιν ποιεῖσθαι
ζητοῦντας πάντα τὰ ἑπόμενα καὶ οἷς ἕπεται καὶ τὰ μὴ ὑπάρχοντα, ἀλλὰ
καὶ ἐπὶ τῶν ἀναγκαίων ὁμοίως καὶ ἐπὶ τῶν ἐνδεχομένων. ἡ γὰρ αὐτὴ μέθοδος
~~ἐπ᾽~~ αὐτῶν. ὁ γὰρ τρόπος τοῦ συμπεράσματος ὁ ἴδιος ἐπί τε τῶν ὑπαρχόντων καὶ ἐπὶ
τῶν ἐκλεγομένων ἢ ἀναγκαῖα ἢ ἐνδεχόμενα. ἀλλ᾽ οὕτω ἄλλως καὶ ἄλλως λαμβά-
νεσθαι:· ληπτέον δὲ καὶ ἐπὶ τῶν συλλογισμῶν, ἢ ... ὑπάρχ-
δυνατὰ δὲ ὑπάρχ·

Ὅτι ἐκ λογικῆς ἐπὶ τῶν ἐνδεχομένων συλλογισμῶν δεῖ φησὶ τὰ ἑπόμενα λαμβά-
νοντας τοῖς κειμένοις ὅροις, ὧν κατὰ τὸ ἐνδεχόμενον τὴν συναγωγὴν βουλόμεθα
ποιήσασθαι πρὸς ἀλλήλους, μὴ μόνον λαμβάνειν τὰ μὴ ὑπάρχοντα μὲν
αὐτοῖς ἐνδεχόμενα δὲ ὑπάρχοντα, ἀλλὰ καὶ τὰ μὴ ὑπάρχοντα μὲν αὐτοῖς

πάντων

ἐνδεχόμενα δὲ ὑπάρχειν καὶ ταῦτα θετέον ὡς ἐν τοῖς ἐνδεχομένως ὑπάρχουσι
τοῖς ἑπομένοις· ἐνδέχεται γὰρ ὅτι καὶ διὰ τῶν μὴ ὑπαρχόντων ἐνδεχομένων δὲ
ὑπάρχειν ὁ τοῦ ἐνδεχομένου συλλογισμός· ἐχρῆτο δὲ τούτῳ, ὅτι ἐν ταῖς
μίξεσι τὸ ἐνδεχόμενον μεταλαμβάνειν εἰς τὸ ὑπάρχον ἐν ταῖς εἰς ἀδύνατον
ἀπαγωγαῖς· ὡς εἰ δὲ ψεῦδος μὲν ἀδύνατον δὲ καὶ ὁ τοῦ ἐνδεχομένου δὲ ὁρισμός
οὐκ ἐξέθετο τοιοῦτος ἦν· οὐ γὰρ μὴ ὄντος ἀναγκαίου· τεθέντος δὲ ὑπάρχειν
οὐδὲν ἀδύνατον ἔπεται, τοῦτο ἐνδεχόμενον· ἡ γὰρ καὶ διαφέρειν δοκεῖ
τὸ κυρίως ἐνδεχόμενον τοῦ κυρίως ὑπάρχοντος καὶ τὰ τοιαῦτα :·+

ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν·

Τοὺς τρόπους κατηγορίας εἴρηκεν· αἱ γὰρ κατηγοροῦνται· ἅπερ δὲ εἶδεν καὶ ἐπὶ
τοῦ ἀναγκαίου καὶ ἐπὶ τοῦ ἐνδεχομένου τὴν αὐτὴν ἐπίβλεψιν ποιεῖσθαι, προσ-
έθηκεν ὅτι καὶ ἐπὶ τῶν ἄλλων τρόπων· ὁμοίως δηλονότι πάντες οἱ συλλογισμοὶ
γίνονται, διὰ τῆς εἰρημένης μεθόδου· εἰσὶ δὲ αὗται αἱ ἄλλαι κατηγορίαι καὶ
τρόποι ὡς εἴρηκε μὲν ἤδη· τὸ δυνατόν· τὸ ἀδύνατον· τὸ ἔνδοξον, τὸ ἄδοξον·
τὸ δῆλον τὸ ἄδηλον τὸ καλὸν φύσει· τὸ καλῶς· τὸ ὠφελίμως· τὰ τοιαῦτα
γὰρ τρόποι· εἰ καὶ δοκεῖ μεταξὺ ἐμβεβλημένον, τὸ ληπτέον δὲ καὶ ἐπὶ τῶν ἐν-
δεχομένων· τὸ γὰρ ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν, ἀκολουθεῖ
τῷ, ἡ γὰρ αὐτὴ σκέψις καὶ διὰ τῶν αὐτῶν ὅρων ἔσται, τῇ λέξει τοῦ τε ἐνδέχε-
σθαι καὶ τοῦ ὑπάρχειν ὁ συλλογισμός· δυνατὸν τὸ ὁμοίως δὲ καὶ ἐπὶ τῶν
ἄλλων κατηγοριῶν, εἰρηκέναι τοῦ τε ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος, ὡς
γὰρ ἐπὶ τοῦ ἐνδεχομένου ταῦτα ἐκλέγομεν δι' ὧν ὁ τοῦ ἐνδεχομένου συλ-
λογισμός· οὕτως καὶ ἐπὶ τοῦ ὑπάρχοντος ἐκλέγειν χρὴ ταῦτα δι' ὧν ὁ τοῦ ὑ-
πάρχοντος γίνεται συλλογισμός καὶ ἐπὶ τοῦ ἀναγκαίου δι' ὧν ὁ τοῦ ἀναγκαίου:·

φανερὸν οὖν ἐκ τῶν εἰρημένων, οὐ μόνον ὅτι ἐγχωρεῖ διὰ ταύτης
τῆς ὁδοῦ γίνεσθαι πάντας τοὺς συλλογισμούς·

Οὐ μόνον φησὶν ἐνδέχεσθαι πάντας τοὺς συλλογισμοὺς γίνεσθαι κατὰ τὴν εἰρημένην
μέθοδον, ἀλλὰ καὶ ἄλλως, ἀδύνατον· ἡ δὲ αἰτία δι' ἣν ἀδύνατον ἄλλως·
πᾶς μὲν γὰρ συλλογισμός, διά τινος τῶν τριῶν σχημάτων γίνεται· καὶ γὰρ
λαμβανόμεναι προτάσεις συλλογιστικῶς κατά τι τούτων τῶν σχημάτων
λαμβάνονται· τὰ δὲ σχήματα ταῦτα καὶ τὰς ἐκ τούτων συζυγίας, οὐχ οἷόν τε

+

ἐξ ἀλλήλων συνίστασθαι ἢ ἐκ τῶν ἑπομένων αὐτοῖς, καὶ τῶν, οἷς ἕπεται αὐτά καὶ τῶν μὴ ὑπαρχόντων αὐτοῖς, καὶ τούτων παρ' ὅσον τὸ μέσον λαμβάνεται· τὸ μὲν γὰρ καθόλου καταφατικὸν ἐκ τῶν ἑπομένων, καὶ οἷς ἕπεται· τὸ δὲ καθόλου ἀποφατικὸν ἐκ τῶν ὑπαρχόντων καὶ μὴ ὑπαρχόντων· τὰ δὲ ἐπὶ μέρους τό τε καταφατικὸν καὶ τὸ ἀποφατικόν, ἐκ τῶν οἷς ἕπεται αὐτά. τούτων δὲ ἀλλήλοις συντεθειμένων, ὁ μέσος ὅρος ἐκδέχεται γινόμενος· οὐ κατὰ λέγοιτο δὲ ταῦτα περὶ τῶν δι' ὅλου ὑποθετικῶν· ὅτι μηδὲ κυρίως ἐστὶ ταῦτα τὰ τοιαῦτα συλλογισμούς· οὐδεμιᾶς ὑπάρξεως ὄντας δεικτικούς, ἀλλὰ ἀκολουθίας μόνον :- +

ἡ μὲν οὖν ὁδὸς κατὰ πάντων ἡ αὐτή

Ὃ λέγει τὸ βιβλίον ἐστίν· ἡ μὲν πρὸς τὸ συλλογίζεσθαι ὁδός τε καὶ μέθοδος, ἡ αὐτὴ ἐν πάσαις ἐπιστήμαις τε καὶ τέχναις ταῖς διὰ συλλογισμῶν ἀποδεικνυούσαις τὰ οἰκεῖα· ἀεὶ γὰρ ἐκ τῶν εἰρημένων ἀποβλέψαντες, πᾶς συλλογισμός· καὶ φιλοσόφῳ καὶ ἰατρῷ· καὶ ῥήτορι· καὶ μουσικῷ· καὶ πάντες συλλογιζόμενοι, ἀνάγκη ἀεὶ προειρημένῃ μεθόδῳ τε καὶ ὁδῷ διὰ γὰρ ταύτης ἡ τῶν προτάσεων εὕρεσις, καθ' ἃς ὁ συλλογισμός· πάντας γὰρ τοὺς συλλογιζομένους, δεῖ ἐπιβλέπειν εἰς τε τὰ ἑπόμενα τούτοις περὶ ὧν συλλογίζονται· καὶ εἰς τά, οἷς ἕπεται ταῦτα· καὶ εἰς τὰ μὴ ὑπάρχοντα αὐτοῖς, καὶ ταῦτα ὅτι πλεῖστα ἐκλέγειν· καὶ εὐπορεῖν αὐτῶν, καὶ ἔχειν πρόχειρα. ἐπιβλέπειν δὲ γὰρ τὰ ὑπάρχοντα καὶ ὅσοις ὑπάρχει περὶ ἑκάστου ἑκάτερον ἀθροίζειν, ἵνα ἐφ' ἑκατέρου τῶν ὅρων ζητῶμεν ἀμφότερα. τά τε ἑπόμενα· καὶ οἷς αὐτὸς ἕπεται, καὶ μὴ τοῦ μέν· τὰ ἑπόμενα μόνον ἐκλεγόμενοι τοῦ δέ, τὰ οἷς ἕπεται τὸ δὲ καὶ ταῦτα διὰ τῶν τριῶν ὅρων σκοπεῖν, εἴ τινές εἰσι ταῦτα, καὶ ταῦτα ἐν τοῖς τρισὶν ὅροις ἐξ ὧν ὁ συλλογισμὸς γίνεται, συντεθεῖσαι· ἄλλως μέν, ἀνασκευάζοντα· ἄλλως δὲ κατασκευάζοντα· ὑπεγράφη γὰρ πῶς χρὴ καθ' ἕκαστον πρόβλημα, τὰς προτάσεις λαμβάνειν· οὔτε ἀπὸ μιᾶς, οὔτε ἐκ τῶν αὐτῶν ἀεί. ἀλλὰ ἄλλοτε μέν, ἐκ τῶν οἷς ἀμφότερα ἕπεται· ἄλλοτε δέ, τοῦ μέν, οἷς ἕπεται· τοῦ δέ, ἐκ τῶν ἑπομένων αὐτῷ. ἄλλοτε δὲ τοῦ μέν, τὸ ὑπάρχον λαβεῖν· τοῦ δέ, ὃ αὐτὸ ἕπεται· δῆλον δὲ ὡς καὶ ἡ διαφορὰ

τῶν συλλογισμῶν καὶ τῆς διαφορᾶς τῶν ἐκλελεγμένων εἴρηται· ἐκ μὲν γὰρ
τῶν ἀληθῶν λημμάτων, ἀληθεῖς οἱ συλλογισμοὶ μόνον· αὐτὰ δὲ ταῦτα οἰκεῖα
καὶ πρῶτα καὶ ἐκλελεγμένα, ἀποδεικτικοί· ἀληθεῖς μὲν καὶ δεικτικοί,
οἷον καὶ γένους· καὶ διαφορᾶς· ἐξ ἰδίου· ἐξ ὁρισμοῦ· ἐξ αἰτίου· αὐτὰ δὲ
ἡ διὰ τῶν πρὸς δόξαν, τουτέστι διὰ τῶν ἐνδόξων, διαλεκτικοί· οἱ δὲ τῶν
ἐνδόξων προτάσεων καὶ λογική, ὁποία τίς ἐστιν εἴρηται αὐτῷ ἐν τῷ πρώτῳ
τῶν τοπικῶν ἐπὶ πλέον· ὥσπερ οὖν καὶ τῶν τοπικῶν, ἐν τοῖς ὑστέροις
ἀναλυτικοῖς: αἱ δ' ἀρχαὶ τῶν συλλογισμῶν καθόλου μὲν εἴρηνται·

Τὰς μὲν ἀρχὰς τῶν συλλογισμῶν τὰς προτάσεις ἔλεγε· καθόλου τε
οὖν καὶ κοινῶς, εἴρηται πῶς ληπτέον αὐτάς, καὶ τίνα δεῖ συγκριτέον
τῶν ἐκλελεγμένων· βουλομένοις ἢ καθόλου καταφατικόν· ἢ κα-
θόλου ἀποφατικόν· ἢ ἐπὶ μέρους πρόβλημα συλλαβεῖν· οὔτε γὰρ ἐστὶ τὰ
αὐτὰ ἀεί· οὐδὲ ἐν τοῖς αὐτοῖς τὴν ζήτησιν καὶ τὴν σύγκρισιν ποιησό-
μεθα· ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον: καθ' ἕκαστον δὲ τῶν ὄντων ἐκλέγειν·

Δεῖ φησὶ καθ' ἕκαστον τῶν ὄντων ἐκλέγειν προχειρι-
ζόμενος τίνα τὰ ἑπόμενα αὐτῷ· καὶ τίσιν ἕπεται· τίνα δὲ μὴ ἐνδε-
χόμενα ὑπάρχειν αὐτῷ· ἀπὸ δὲ τῆς ἐπιστήμης αὐτίκα τοῦ ἐπιστήμας
πλέοσι· προστέθεικεν ὅτι καθ' ἑκάστην ἐπιστήμην, ἴδιαι εἰσὶν καὶ λογικαί.
καὶ ἴδιά ἐστι τά τε ἑπόμενα καὶ τά, οἷς ἕπεται, καὶ τὰ μὴ ὑπάρχοντα.
διὸ ἑκάστης ἐπιστήμης ἐστὶ τὰς ἰδίας ἀρχὰς ἐξ ὧν αἱ προτάσεις τε
καὶ οἱ συλλογισμοί, παρέχειν τε καὶ ἐκλέγειν· τὸ δέ, ἴδιαι γὰρ καθ' ἕκαστον
λέγει ποῖαι αὗται, δηλονότι· ἵνα ᾖ, ἴδιαι δὲ καθ' ἑκάστην ἐστὶ τῶν ἐκλογῶν
αἱ πλείους, ἐπεὶ περὶ κοινὰ τινά ἐστιν αὐτάς· ἀλλὰ τὰ πλεῖστα, ἴδια.
διό, οὐ καὶ τῶν αὐτῶν περὶ πάντων τὰς προτάσεις ποιητέον· ἀλλὰ
δεῖ καθ' ἕκαστον τῶν ὄντων τὰ οἰκεῖα ἐκλέγειν τε καὶ ἔχειν παρεσκευασ-
μένα· οἷον τίνα τῷ ἀγαθῷ ἕπεται· καὶ τίσι τὸ ἀγαθόν· τίνα οὐχ ὑπάρ-
χει τῷ ἀγαθῷ· πάλιν τίνα ἐπιστήμῃ ἕπεται καὶ τίσιν ἐπιστήμη· τίνα
οὐχ ὑπάρχει τῇ ἐπιστήμῃ· καὶ καθ' ἑκάστην γὰρ ἐπιστήμην τὰ ἑκάστης
αὐτῶν οἰκεῖα καθ' ἑκάστην γὰρ ἐπιστήμην ἴδια ἐστὶ τὰ ἑπόμενα
καὶ οἷς ἕπεται· καὶ τὰ μὴ ὑπάρχοντα· τὸ δέ, αἱ πλεῖσται προστέθεικεν.

22

ὅτι ἔστι τινὰ κοινά, ἃ καὶ ἀξιώματα οἷς προσχρώμεθα· πρὸς πᾶν γὰρ τὸ δεικνύμενον
ὡς τὸ καὶ τὸ ἐπὶ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ, καὶ τὸ ἂν ἀπὸ ἴσων ἴσα ἀφαι-
ρεθῇ, καὶ τὰ καταλειπόμενα ἴσα εἶναι· τοῦτο γὰρ καὶ ἐπὶ μεγεθῶν καὶ ἐπ᾽ ἀριθμῶν
καὶ ἐπὶ χρόνων, καὶ ἐπὶ δυνάμεων ὁμοίως ἀληθές· ἀλλὰ κοινὰ μὲν ταῦτα· ἴδια
δὲ τοῦ μὲν γεωμέτρου τὸ κατ᾽ ἀρχήν· τοῦ δὲ [illegible] τὸ φέρεσθαι πᾶν τὸ αὐτοκίνητον·
ἀλλ᾽ οὐδὲ ἄλλο τι οἰκεῖον· διό φησιν ὅτι ταῖς προτάσεσι ταῖς οἰκείαις ἀεὶ ἑκάστη
ἐπιστήμη, τοῦ καθ᾽ ἑκάστην ἐπιστήμονος ἐστὶν ἐκλέξαι ἐκ τῶν οἰκείων.
ἐκ γὰρ τῶν οἰκείων ἑκάστῳ γνωρίζεται τὸ τῶν περὶ αὐτὰ καὶ γινομένων καὶ ἐμ-
πείρων· ἐκ τούτων γὰρ αἱ περὶ ἕκαστον ἀποδείξεις. ἐκ γὰρ τῆς ἑκάστης ἐμπειρίας ἀπα-
ρ᾽ ἢ τοῦ καθόλου γνωσθέντος, ὅ ἐστιν ἀρχή· τὸ μὲν οὖν ἐκλέγειν τὰ οἰκεῖα καὶ τὰ
μὴ τῶν ὑποκειμένων ὅρων τῶν περὶ ἕκαστον ἐπιστημόνων τε καὶ ἐμπείρων
ἴδιον· τὸ δέ, τούτων ληφθέντων, ἐξ αὐτῶν τούς τε συλλογισμοὺς τοὺς οἰκείους
καὶ τὰς ἀποδείξεις ποιεῖσθαι, τοῦ συλλογιστικοῦ τε καὶ ἀποδεικτικοῦ· μη-
δενὸς γὰρ αὐτοῦ δέοντος κατὰ τὴν ἱστορίαν· ἀλλὰ πάντων ἐκλελεγμένων ὁ συ-
λλογιστικός τε καὶ ἀποδεικτικός, ὧν μὲν ἐνδέχεται ἀπόδειξιν γενέσθαι,
τούτων ἀποδείξει· ὧν δὲ μὴ οἷόν τε ἀπόδειξιν γενέσθαι, τούτων τὸ δῆλον
ποιήσει ὅτι μὴ οἷόν τε ἀποδεῖξαι, εἰ καὶ δι᾽ αὐτῶν τούτων, τοῦ τε πρώτου καὶ αἰτίου
ἐπειδὴ· τὸ γὰρ καθόλου καταφατικὸν ἐπὶ τούτων, ἢ καθόλου ἀποφατικόν,
οὐχ οἷόν τε συλλογίσασθαι μηδενὸς ἑπομένου· καὶ τῶν ἄλλων δι᾽ αὐτῶν συλλο-
γιζόμεθα. ἀλλ᾽ οὐ τῶν προσεχῶν, ἀλλὰ καὶ οἱ ὁρισμοί· οὐδὲ γὰρ τούτων οἷόν
τε ἀπόδειξιν γενέσθαι, ὡς δέδεικται. ἀλλ᾽ οὐδὲ τῶν ἀτόμων· ὡς ὑπάρχον
τι αὐτῷ, ἀπόδειξις ἔσται· ἀλλ᾽ οὐδὲ ὧν μὴ ὄντα λάβοι τινὰ τῶν ἀτόπων
ἢ ἐν τοῖς οἷς ἕπεται ἢ τοῦ μὲν ὧν τῶν οἷς ἕπεται. τούτων δὲ ἑπομένων αὐτοῖς,
ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. λέγεται δὲ δι᾽ ἀκριβείας εἰρημέναι περὶ τῆς τῶν προ-
τάσεων ἐκλογῆς, ἐν τοῖς τοπικοῖς· αὕτη γάρ ἐστιν ἣν λέγει διαλεκτικὴν πρα-
γματείαν. εἴρηκε δὲ περὶ ἐκλογῆς προτάσεων, καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ τε-
λευταίῳ· ἐν μὲν τῷ πρώτῳ, ἐν οἷς λέγει· τὰ δ᾽ ὄργανα δι᾽ ὧν εὐπορήσομεν
τῶν συλλογισμῶν ἐστι τέσσαρα· ἓν μέν, προτάσεις λαβεῖν· ἐν δὲ τῷ τελευ-
ταίῳ, ἐν οἷς λέγει· περὶ τάξεως δὲ καὶ τοῦ ἐρωτηματίσαι λεκτέον· δεῖ λαβεῖν
τὰς προτάσεις τὰς βελτίους παρὰ τὰς ἀναγκαίας· ἀναγκαίας δὲ ὅσαι δι᾽ ὧν

ὁ συλλογισμὸς γίνεται: ὅτι δὲ ἡ διὰ τῶν γενῶν διαίρεσις μικρόν τι μόριόν ἐστι τῆς εἰρημένης μεθόδου, ῥᾴδιον ἰδεῖν· ἔστι γὰρ ἡ διαίρεσις οἷον ἀσθενὴς συλλογισμός.

Λείπεται μὲν περὶ τῆς διαιρετικῆς ἧς Πλάτων ἐχρῆτο· δείκνυσι δὲ αὐτὴν μικρὸν μέρος οὖσαν τῆς ὑπὸ αὐτοῦ εἰρημένης τε καὶ παραδεδομένης συλλογιστικῆς μεθόδου. τὴν δὲ εἰρημένην μέθοδον λέγοι ἂν ἤτοι τὴν πρὸς τὴν εὕρεσιν τῶν οἰκείων καθ' ἕκαστον πρόβλημα προτάσεων, περὶ ἧς ἔγραψε διὰ τῆς εἰρημένης ἐκλογῆς τε καὶ ἐπισκέψεως τῶν τε ἑπομένων καὶ τῶν οἷς ἕπεται καὶ τῶν μὴ ὑπαρχόντων τοῖς περὶ ὧν ὁ συλλογισμός· ταύτης γὰρ τῆς μεθόδου μικρόν τι μόριον φησὶ εἶναι τὴν διαιρετικὴν μέθοδον ἣν ἐχρῶντο οἱ πρὸ αὐτοῦ πρὸς τὴν τῶν προτάσεων εὕρεσιν· καὶ τὴν τῶν οἰκείων ὅρων τοῦ ζητουμένου λῆψιν, διὰ τῆς τῶν γενῶν διαιρέσεως· ἢ τῆς εἰρημένης μεθόδου λέγοι ἂν μᾶλλον τῆς συλλογιστικῆς πάσης. ταύτης γὰρ μικρὸν μόριον ἡ διαιρετική, ἐπεὶ ὥσπερ ἀσθενής ἐστι συλλογισμός. πρόκειται δὲ αὐτῷ δεῖξαι ὅτι οὐδεὶς τῶν πρὸ αὐτοῦ περὶ συλλογισμῶν τι ἔγνω τι ἢ ἐπραγματεύσατο· τοῦτο δὲ δείκνυσιν ἐκ τοῦ τὴν διαιρετικὴν ἣν ἐχρῶντο οἱ πρὸ αὐτοῦ μόνην, οὐ τοιαύτην οἱ περὶ Πλάτωνα, πρῶτον μέν, ἄχρηστον εἶναι πρὸς συλλογισμόν· δεύτερον δὲ ὅτι καὶ ἀσυγχωρηθέντα ἀξιῶσαι δείκνυσθαι διὰ τῆς συλλογιστικῆς, ἀλλὰ ὀλίγα τε καὶ οὐδὲ τὰ προκείμενα καὶ ταῦτα· μόνα μὲν γὰρ ἐπαγγέλλεται ἡ μέθοδος αὕτη δεικνύναι τὰ ἐν τῇ οὐσίᾳ ὑπάρχοντα τοῦ προκειμένου. ἔστι γὰρ ταῦτα ἡ διαίρεσις ἐκ τῶν γενῶν, ἃ οὐδὲ αὐτὰ δείκνυσιν ὡς δεῖ δειχθῆναι. οὔτε δὲ ἀνασκευάσαι τῇ μεθόδῳ χρώμενος τῇ διαιρετικῇ, οἷόν τε, οὔτε περὶ συμβεβηκότων ἢ ἰδίου συλλογίσασθαι ὡς δείξει. μικρὸν μὲν οὖν μόριον τῆς εἰρημένης μεθόδου τὴν διαιρετικὴν εἶπεν, ἢ τοιόνδε καὶ αὐτὴ λαμβάνει τὰ τῷ ζητουμένῳ ἑπόμενα, καὶ διὰ τούτων πειρᾶται δεικνύναι· τὰ γὰρ γένη λαμβάνει ἐστὶ ~~τοιαῦτα~~ ἃ ἐπεί ἐστιν ἑπόμενα αὐτοῖς, τούτων ποιεῖται τὴν διαίρεσιν· ζητουμένου πάλιν καὶ λαμβάνουσα τῶν ἐκ τῆς διαιρέσεως, ἐπεὶ ταῦτα ὑποκειμένῳ, οὗ τὸ γένος ἐλήφθη. οὐ μὴν δεικνύουσα ὡς προϊὼν ὁ λόγος δείξει· καθὸ τὸ μὲν οὖν τὰ ἑπόμενα τῷ ζητουμένῳ λαμβάνει ταύτῃ καὶ ἐκλέγει· καὶ τοῦ τὰ δεικνύουσα τούτῳ ἑπόμενα αὐτῷ τὸ γένος ἐπεὶ· καὶ ὅλως καθ' ὃ συλλογίζεται, τὶ μόριόν τι

οἱ πρὸ αὐτοῦ

οἱ περὶ Πλάτωνα

ἀνακτικῆς εἰρημένης μεθόδου· οὔτε γὰρ τά, τὰ οἷς ἕπεται τὸ ὑποκείμενον
ζητεῖ, οὔτε τὰ μὴ ὑπάρχοντα αὐτῷ· ἀλλ' οὐδὲ τὰ ἑπόμενα τῷ κατηγορουμένῳ.
οὐδὲ τὰ μὴ ὑπάρχοντα αὐτῷ. ἀλλ' οὐδὲ τὰ οἷς ἕπεται ὁ ὑποκείμενος ἢ ὁ κατη-
γορούμενος· δι' ὧν τὸ καταφατικὸν συνάγεσθαι δύναται· ἢ τὸ ἀποφατικὸν τῇ μεθόδῳ.
ἀλλ' ἐν τῇ μεθόδῳ οὐδὲ τὰ ἑπόμενα πάντα· ἀλλὰ μόνον τὰ ἐν τῇ οὐσίᾳ· τὸ γὰρ
γένος, καὶ τὰς οἰκείας διαφοράς, ἐπαγγέλλεται δεικνύναι· οὔτε δὲ τῶν ἰδίων
τι· οὔτε τῶν συμβεβηκότων καθόλου δέ, οὐδὲ τοῦτο λαμβάνουσα τὸ προκεί-
μενον αὐτῇ συλλογίζεται· ἀλλ' ὅσον δὲ καὶ ὡς δειχθήσεται, ἀσθενής ἐστι συλλογισμός.
δηλοῦται καὶ μικρόν τι μόριον τῆς συλλογιστικῆς μεθόδου εἰρηκέναι, ἐπεὶ ὅλως οὐ
συλλογίζεται. ἀνάγκη μὲν τὸ προκείμενον ὡς δεῖξαι· τὸ δὲ ἔστι γὰρ ἡ διαίρεσις οἷον
ἀσθενὴς συλλογισμός, πῶς καὶ διὰ τί εἴρηκεν, ἐξηγεῖται καὶ αὐτὸς διὰ τῶν ἐπιφερο-
μένων· ὃ μὲν γὰρ δεῖ δεῖξαι, αἰτεῖται· συλλογίζεται δὲ ἀεί τι τῶν ἄνωθεν· ἔστι
δὲ ὃ λέγει, τοιοῦτον· ὃ μὲν προκείμενον δεῖξαι τῷ ὑποκειμένῳ ὑπάρχον διὰ
τῆς διαιρετικῆς μεθόδου, τοῦτο οὐ δείκνυσιν· ἀλλ' αἰτεῖται καὶ προχείρως καὶ χωρὶς ϛ
δείξεως λαμβάνει· διὸ ἐστὶν ἀσθενής· οὐ δείκνυσι ὃ βούλεται· τὴν γὰρ δεῖξιν καὶ τὸν
συλλογισμὸν ποιεῖται, ἀεὶ ἑνὸς τῶν ἀνωτέρων τοῦ ἢ κοινοτέρου καὶ περιέχοντος
τοῦτο ὃ βούλεται λαβεῖν, προθέμενος γὰρ δεῖξαι τὸν ἄνθρωπον λογικὸν ἂν οὕτως
τύχῃ, λαβὼν τὸ γένος αὐτοῦ τὸ ζῷον· τοῦτο διαιρεῖ εἰς τε τὸ λογικὸν καὶ ἄλογον.
καὶ συλλογίζεται μὲν ὅτι ἐστὶν ἄνθρωπος ἢ λογικὸν ἢ ἄλογον· διὰ τοῦ, ὁ ἄνθρωπος ζῷον
ἐστίν· πᾶν ζῷον ἢ λογικὸν ἢ ἄλογόν ἐστιν· ἄρα ὁ ἄνθρωπος, λογικὸν ἢ ἄλογον· διὸ καὶ μό-
ριόν ἐστι τῆς προειρημένης μεθόδου· ὃ δὲ προέκειτο αὐτῷ δεῖξαι· τὸ δὲ
τοῦτο λογικόν, τοῦτο οὔτε δείκνυσιν οὔτε συλλογίζεται· ἀλλὰ συλλογισάμενος
τὸ κοινὸν καὶ καθόλου ὑφ' οὗ περιέχεται τὸ λογικόν· συνῆγε γὰρ ἢ λογικὸν
ἢ ἄλογον εἶναι τὸν ἄνθρωπον, τὸ λογικὸν αὐτὸν εἶναι καὶ μὴ ἄλογον, χωρὶς δείξεως
αἰτεῖται καὶ τίθησιν. ὅθεν καὶ ἔστιν ἀσθενὴς συλλογισμὸς ἡ διὰ τῆς διαιρέσεως
δεῖξις· μικρόν τι μόριον ἐστι τῆς ὑφ' ἡμῶν μεθόδου παραδεδομένης.
μόριον μὲν οὖν ἐστιν αὐτῆς· καθὸ ὁπωσοῦν τι καὶ συλλογίζεται· ἀνάγκη μὲν
ὃ προτίθεται οὐ βούλεται· μικρὸν δέ, ὅτι καὶ ἀσθενής, καὶ οὐχ ὃ βούλεται
δείκνυσιν· ἢ μικρὸν μέν, διότι περὶ τῶν ἐν τῇ οὐσίᾳ μόνων· καὶ κατὰ πρῶτον σχῆ-
μα μόνον· καὶ ἐν τούτῳ μοναχῶς· ἀσθενὴς δέ, ὅτι καὶ τὸ προκείμενον οὔτε

καὶ αὐτὸν συλλογίζεσθαι: πρῶτον δὲ αὐτὸ τοῦτο ἔλαθε τοὺς χρω-
Κατὰ τοῦτο δὴ καὶ τῶν τῇ διαιρετικῇ μεθόδῳ χρωμένων. μένους αὐτῇ παρὰ τοῖς
ὅτι ᾤοντο τοῦ οὐσίας τε καὶ ὁρισμοῦ ἀπόδειξιν εἶναι. καὶ διὰ τοῦτο ἐπειρῶντο ἀποδει-
κνύναι τί ἐστι ζῷον ἢ ἄνθρωπος τὸν ὁρισμόν. χρώμενοι τῇ διαιρετικῇ ταύτῃ, ὅτι μὲν
οὖν μὴ ἔστιν ὁρισμοῦ ἀπόδειξιν ἢ συλλογισμὸν ποιῆσαι, ὡς συμπέρασμα
τὸν ὁρισμὸν τῆς ἀποδείξεως δεῖ εἶναι, καθ' ἣν διαιρετικὴ ποιεῖν βούλεται,
δείξει αὐτὸς διὰ πλειόνων, ἐν τῷ τῶν ὑστέρων ἀναλυτικῶν δευτέρῳ. ὅτι δὲ μὴ
δεῖ ἢ διαιρετικῆς αὐτοῖς ἐκ τοῦ βιβλίου τοῦτο ἐδείκνυεν ὡς οἷόν τε νῦν ῥηθέν. οἴονται ἠγνόουν
οἱ χρώμενοι τῇ διαιρετικῇ ὅτι τε οὕτως, ὁρῶντα συλλογίσασθαι διαιρούμενοι.
τὸ γὰρ ὅτι, αὐτὸ τοῦτο. οὐ γὰρ τὸν ὁρισμὸν ἐξ ὧν τό τε καὶ ἐβούλοντο. ἔτι τε οὔτε
ὅτι οὕτως ἐνδέχεται τῇ διαιρετικῇ χρωμένους συλλογίζεσθαι τι ὡς εἰρήκαμεν.
εἰρήκει γὰρ ὅτι κατὰ τῶν ἄνωθεν τινός, ὁ συλλογισμὸς διὰ τῆς διαιρέσεως γίνεται,
ἀλλ' οὐ καὶ τοῦ τοῦ προκειμένου. καὶ τοῦτο οὖν ἠγνόουν. καὶ τό, ὅτι οὕτως ἐνδέχεται
ὡς προειρήκαμεν, δηλονότι ἐστὶ τοῦ ἀγνοεῖν αὐτοὺς τὸν τρόπον τοῦ πῶς οἷόν τε
ἐστὶ συλλογίζεσθαι τὸ προκείμενον μόνως, ὡς ἔδειξεν οὐ τρόπον αὐτὸς προσ-
λίπου παρέδωκεν. οὐ τρόπον κατὰ ἄγνοιαν. οὐ τὸ προκείμενον αὐτοῖς συλλο-
γίζεται: ἐν μὲν οὖν ταῖς ἀποδείξεσιν ὅταν δέῃ τι συλλογί-
σασθαι ὑπάρχειν, δεῖ τὸ μέσον ἀναπόδεικτον.

Προαπορεῖ περὶ τῆς διαιρετικῆς ἵνα ὅτι τε μικρὸν μόριον ἐστὶ τῆς συλλογιστικῆς
τε ἀσθενὴς συλλογισμός. διότι ὃ μὲν βούλεται δεῖξαι, τοῦτο αἰτεῖται. συλλο-
γίζεται δὲ ἀεί τι τῶν ἄνωθεν. καὶ ὅτι τὴν οὐσίαν καὶ τὸν ὁρισμὸν τὸν ἑκάστου ᾤοντο
δεικνύναι τῇ μεθόδῳ ταύτῃ, ὃ οὔτε ἐστὶ συλλογίσασθαι, οὔτε ἐδείκνυον ἐκεῖνοι.
τε ὅτι ἠγνόουν πῶς δεῖ συλλογίζεσθαι, νῦν ἕκαστον τούτων, οὕτως ἔχον δεικνύει.
διὰ τοῦ παραθέσθαι πῶς μὲν ποιοῦσιν οἱ ἀποδεικνύοντες καὶ συλλογιζόμενοι.
τί δὲ ἐποίουν ἐκεῖνοι. ἐν μὲν οὖν ταῖς ἀποδείξεσι καὶ τοῖς συλλογισμοῖς ὅταν
ἄλλο ἄλλῳ ὑπάρχειν δέῃ δεῖξαι καὶ συλλογίσασθαι, δεῖ τὸν μέσον ὅρον τὸν
ἐν ἀμφοτέραις ταῖς προτάσεσιν, ἔλαττον εἶναι τοῦ κατηγορουμένου καὶ ὑποκει-
μένου τῷ οὗ βούλονται ποιῆσαι τὸ συμπέρασμα. αὕτη γὰρ ἡ πρότασις ἐν πρώ-
τῳ σχήματι. διὸ οὐ ἀεὶ αἱ ἀποδείξεις κυρίως καὶ τὸ παντὶ καὶ καθόλου ἄλλῳ ἄλλο
ὑπάρχειν δεικνύουσι. ὅπερ ἐκεῖνοι δεικνύναι βούλονται. οὐ γὰρ τὸν ὁρισμὸν
ζητοῦσιν,

οὐ καὶ ἔστι κατηγορούμενα, τὰ γὰρ κατηγορούμενα, οὐχ ὅρισται. αἱ μὲν οὖν ἀποδείξεις,
διὰ τοῦ τοιούτου μέσου ὃ πάντως ὑποκείμενον τοῖς δεικνυμένοις. τοῦτο γάρ ἐστι τὸ ἔλατ-
τον αἴτιον εἶναι. διὸ καὶ ἔστιν ἢ ἔλαττον καθόλου τὸ μέσον. ἀνάγκη τῶν ποτὲ τῶν κατηγορου-
μένων λαμβάνεσθαι. τὸ γὰρ κατηγορούμενον, καὶ ἴσον καθόλου τοῦ ὑποκειμένου
αὐτῷ. ἡ δὲ διαίρεσις, τοὐναντίον. μεῖζον μὲν καθόλου τὸ μέσον λαμβάνει.
τὸ δὲ κατηγορούμενον τὸ ὃ βούλεται δεῖξαι καὶ συμπεραίνεσθαι διὰ τοῦ μέσου
ὑπάρχον τινί, ἔλαττον· καὶ ἐδείχθη κεῖν ἀσυλλόγιστον· γίνεται γὰρ ἡ μείζων
πρότασις ἐπιμερὴς ἐν πρώτῳ σχήματι. διὸ οὐ δέδεικται συλλογίζονται τὸ προκεί-
μενον. πῶς οὖν τοῦτο ποιοῦσι, δείκνυται. βουλόμενοι γὰρ δεῖξαι τὸν ἄνθρωπον
θνητόν. λαμβάνουσι τὸ ζῷον. ὃ γένος τίθενται εἶναι τοῦ αὐτοῦ. καὶ διαιροῦσιν
αὐτό, ἔστι τὸ θνητὸν καὶ τὸ ἀθάνατον· καὶ τὸ μὲν ζῷον ἐφ' οὗ τὸ α τίθενται. τὸ δὲ
θνητὸν ἐπὶ τοῦ β. τὸ δὲ ἀθάνατον ἐπὶ τοῦ γ. καὶ τὸν ἄνθρωπον οὗ ζητοῦσι τὸν ὁρισμὸν
ἢ τὸν λόγον, ἐφ' οὗ τὸ δ. θέντες δὲ ταῦτα, καὶ τάδε ποιοῦσι τοῦ ζῴου τῶν
διαιρεθέντων εἰς τὰ προειρημένα πάντα. δεικνύουσι μάλιστα αὐτῶν.
τὸ λαμβάνειν ἅπαν ζῷον ἢ θνητὸν ἢ ἀθάνατον. ὅ ἐστι τό, ὃ ἂν ᾖ α,
πᾶν, ἢ β ἐστὶν ἢ γ. διελόντες δὲ τὸ γένος τὸ ζῷον, τὸν ἄνθρωπον καὶ τοῦτο ὅς ἐστιν
ὑποκείμενος ὅρος, τουτέστι τὸ δ, λαμβάνει καὶ τίθεται ζῷον εἶναι.
ὡς τοῦτο χωρὶς δείξεως τινὸς ποιεῖ. ἀεὶ γὰρ ἐν τῷ διαιρουμένῳ ὅρῳ καὶ μέσῳ
διαλαμβανομένῳ, χωρὶς δείξεως τινὸς τίθησι τὸν ὅρον, οὗ τὸν ὁρισμὸν
ζητῶν, τῇ διαιρέσει χρῆται. ἐπειδὴ τούτων συνάγεται, τὸ δ, ἢ τὸ β ἢ τὸ γ
εἶναι, τουτέστι τὸν ἄνθρωπον, ἢ θνητὸν ἢ ἀθάνατον. καὶ τὸ μὲν δεικνύμενον συλλο-
γιστικῶς, τοῦτο. ὃ δὲ ἐβούλοντο δεῖξαι, ὅτι θνητόν ἐστιν ὁ ἄνθρωπος, ἔλαττον
ἐστὶ τοῦ μέσου, τοῦ ζῴου. διό, οὐδὲ ἐκ τῶν κειμένων συνάγεσθαι δύναται.
ἀλλὰ λαμβάνουσι καὶ τίθενται ἀναποδείκτως αὐτό. ὡς θέμενοι οὐ βουλόμενοι
συλλογίζεσθαι, συλλογίζονται. ὃ δὲ προέκειτο αὐτοῖς συλλογίσασθαι,
τοῦτο οὐ συλλογίζονται, ἀλλ' αἰτοῦνται. λαβόντες τὸν ἄνθρωπον ἐν τούτῳ τῷ μέρει
τῆς τοῦ ζῴου διαιρέσεως εἶναι. καὶ πάλιν αὖ θέλουσι τὸν ἄνθρωπον ὑπόπουν
δεῖξαι, συλλογίζονται μὲν αὐτὸν ἢ ἄπουν ἢ ὑπόπουν εἶναι. αἰτοῦνται
δὲ τὸ ὑπόπουν. ὃ προέκειτο αὐτοῖς δεῖξαι. λαβόντες γὰρ τὸν ἄνθρωπον ζῷον
θνητὸν εἶναι καὶ ἐν γένει τούτῳ. ὃ οὐδὲ αὐτὸ ἔδειξαν ἀλλ' ἔλαβον. διὸ καὶ ἐπι-

τὸν γὰρ ἄνθρωπον ζῷον θνητὸν εἶναι ἔλαβον· καὶ ἐν τοῖς ἐπάνω πάλιν τὸν ἄνθρωπον ἀεὶ διαιρούμενος ζῷον εἶναι τέθεικεν· οὐ γὰρ ἔδειξεν ἀλλ' ᾐτήσατο τό, θνητὸν καὶ τὸ εἶναι:

ἀλλ' ἴσως οὕτως φησὶ λαμβάνοντας ἃ χρήσιμα οἷόν τε πρὸς τὸ ὁρίσασθαι καὶ ταῦτα αὐτοὶ λαμβάνομεν· ἀλλ' οὐ διὰ συλλογισμοῦ δεικνύντας τὸ εἶναι τοῦτο τὸν ἄνθρωπον· ἢ ὅτι ἂν εἴη τὸ ὁριζόμενον ὑπ' αὐτῶν τὸ ἐκ τούτων οὕτως εἰλημμένων ἢ ἀθροιζομένων οὐ δεικνύουσι συλλογιστικῶς. οὐδὲ γὰρ ἀναγκαῖον οὕτως ἔχειν· οὐ γὰρ εἰ καθ' ἕκαστον τὸ ζῷον ἀληθές, καὶ θνητόν, ἤδη καὶ τὸ ὅλον ὡς ἕν· δεῖ γάρ τινος τοῦ διορισμοῦ· πότε ἄν, συντεθέντα τὰ χωρὶς κατηγορούμενα καὶ πότε οὔ. οὔτε γὰρ ἐπὶ πάντων ἀληθές· οὔτε ἀφ' ὧν ἀληθὲς ἤδη καὶ ἕν. ὁ πρὸ ὁ μὴ διαστελλόμενος· καὶ τοῦτο εἶναι καὶ ἀληθές, ἔστι προχείρως λαμβάνει· ὅτι γὰρ τὰ ληφθέντα οὕτως καὶ συντεθέντα τοῦτον τὸν τρόπον· ἢ ὡς ἓν κατηγορεῖται· ἢ ὡς ὁρισμός ἐστιν αὐτοῦ ἢ ἄλλου τινός· ὁ προτεθὲν ὁρίσασθαι, οὔτε σαφῶς λέγουσιν οὔτε δεικνύουσιν ἀναγκαῖον ὂν αὐτῶν καὶ μέν, τοῦτ' εἶναι τὸν ὁρισμὸν τοῦ προκειμένου δεικνύουσι· τὸ μέντοι ἀναγκαῖον δεῖ τά τε ἴδια ὑπάρχοντα τινὶ ταῦτα καὶ συντεθέντα ἀληθεύεσθαι κατ' αὐτοῦ, ὡς ἐπὶ τοῦ ὁμοίως τοῦ ἀγαθοῦ· ἐν τῷ περὶ ὅρων μὲν ὡς ἐδείχθη μήτε εἰ καὶ ὑπάρχοι πάντα ἅμα τῷ ὑποκειμένῳ τὰ καθ' ἕκαστον διαληφθέντα, ἤδη γνώριμον ἂν εἴη ὁ ὁρισμὸς τοῦ ὑποκειμένου ταῦτα συντεθέντα. οὐδὲ γὰρ ἡ μέθοδος ἀπαιτεῖ τούτων δεῖξιν συντελεῖ· καὶ γὰρ εἰ τὸ πάντα ὑπάρχειν ἀκολουθεῖ τῷ εἶναι αὐτῆς τοῦ εἰλημμένου διαιρέσεως ἕκαστον τῶν προλαμβανομένων· ἀλλ' ὅτι γε ὁρισμὸς ταῦτα, οὐ δείκνυσιν· ὁ πρῶτος ποιήσοντας, καὶ πρόσθεν ἐπὶ τὸ διαιρεῖν:

οὐκ ἔστι πάντως δὲ ὁ ὅρος αὐτοῖς, αὐτὴ ἡ διαιρετικὴ γίνεται· οὐδὲ τὰ ἐπὶ ἕκαστα τῶν λαμβανομένων ὑπ' αὐτῶν· ἐνδεχομένων εὐπορίας πρὸς τὸ συλλογιστικῶς δειχθῆναι αὐτοῖς, λαμβάνουσιν· εἰ ἔστι μὲν γὰρ τὸ τὸν ἄνθρωπον λογικὸν εἶναι, συλλογίσασθαι καὶ ἐξ οἰκείων προτάσεων· λαβόντες πᾶν ζῷον διανοητικὸν ἀναφέρει πᾶν· ἢ βουλευτικόν· ἢ ἀριθμητικόν· ἕκαστον δὲ τούτων τὸ λογικὸν κατηγορεῖσθαι. οὐ μὴν ἀλλὰ καὶ τὸ συλλογίσασθαι ὅτι μὴ ἐστὶν ἄλογος.

τῷ γὰρ αὐτῷ ἡ διαίρεσις ἡ τοῦ ζώου εἰς τε λογικὸν καὶ ἄλογον. ἂν μὴ διὰ συλλογισμοῦ
δειχθῇ ὅτι ἄνθρωπος μὴ ὢν ἄλογος, καὶ λόγως ἂν λαμβάνοιτο λογικὸς εἶναι. ἐπεὶ
δὲ δεῖ τὸ λογικὸν ἢ ἄλογον εἶναι· ὁ κοινὸς μὴ ἄλογος, πᾶς ἄρα ὅς διανοητικός·
οὐδὲν διανοητικὸν ἄλογον· οὐδεὶς ἄρα αὐτὸς ἄλογος· τούτων μὲν οὖν οὐδὲν προσ-
παραλαμβάνουσιν ἐν τῇ ἐκδέξει· διὸ οὐδ' ὅτι ἐστὶ διὰ συλλογισμοῦ, τῶν
ἐκ τῆς διαιρέσεως τοῦ κοινοῦ τὸ ἕτερον δεῖξαι τῷ προκειμένῳ ὑπάρχον·
διαιρούμενον δὲ τὸ κοινόν· καὶ τὸ κοινὸν καὶ τὸ γένος αἰτεῖ, ὃ βούλονται τῶν ἐκ τῆς
διαιρέσεως χωρὶς δείξεως προσλαμβάνουσι: δῆλον ὅτι
οὔτε ἀνασκευάσαι ἔστι τῷ τρόπῳ τῇ μεθόδῳ ταύτῃ, οὔτε περὶ συμβεβηκότος,
ἢ ἰδίου συλλογίσασθαι, οὔτε περὶ γένους. +
ἐπεὶ πρὸ ὀλίγου ὅτι μικρόν τι μόριον ἐστὶν ἡ διαιρετικὴ τῆς συλλογιστικῆς μεθόδου,
νῦν δείκνυσι καὶ διὰ τούτων, πρὸς γὰρ τῷ μὴ ὃ συλλογίζονται μηδὲ ἔχειν ὃ βούλονται
εἶναι· ἄλλο δέ τι· διότι καὶ ἀληθὴς ὁ συλλογισμὸς αὐτῶν, οὔτε ἀνασκευάσαι τι
οἷόν τε χρωμένους ταύτῃ τῇ μεθόδῳ. πάντα γὰρ ἀεὶ καταφατικὰ τὰ συναγόμενα
κατὰ τὴν μέθοδον ταύτην· τὸ δὲ ἕτερον τῶν ἐκ τῆς διαιρέσεως, μὴ ὑπάρχειν
τῷ προκειμένῳ προχείρως λαμβάνεται, ὥσπερ καὶ τὸ ἕτερον ὑπάρχειν· οὐδε-
τέρου γὰρ ἰδίᾳ γίνεται ὁ συλλογισμός· ἀλλ' οὐδὲ περὶ συμβεβηκότος ἢ ἰδίου
συλλογίσασθαι· οἷόν τε τῇ μεθόδῳ ταύτῃ χρωμένους· τῶν γὰρ λαμβανομένων
κοινῶν τε καὶ γενῶν ἡ διαίρεσις, οὐ κατὰ τὰ συμβεβηκότα γίνεται· ἀλλὰ
κατὰ τὰς διαφορὰς τὰς ἐν τῇ οὐσίᾳ. συμβεβηκὸς δέ, καὶ τὸ ἴδιον ἔτι τε,
οὐδὲ οἷόν τε ἐστὶ διὰ τῶν διαιρέσεων τῶν γενῶν γίνεσθαι· ἔτι δὲ· οὐδὲ εἰ γένος
τόδε τι ἢ οὔ, δείκνυσιν· ἀλλὰ λαβὼν τόδε εἶναι γένος τοῦ προκειμένου ὡς
ὂν φανερόν, τὴν διαίρεσιν αὐτοῦ ποιεῖται ὡς ἤδη προείρηται· διὸ οὐδὲ οἷόν τε
γένος κατασκευάζειν ἢ ἀνασκευάζειν ἐν τοῖς τοπικοῖς εἴρηται· ὁμοίως
δὲ καὶ δι' ὧν συμβεβηκὸς ἢ ἴδιον δείκνυται· ἀλλ' οὐδὲ ἐκ τοῦ συλλογισθέντος
αὐτὰ ταῦτα καὶ τίθησιν· ἐπεὶ δὲ τοῦ τὸ ἕτερον τῶν ἐκ τῆς διαιρέσεως, ὃ λα-
μβάνει μετὰ τοῦ διαιρεθέντος γένους, πότερον γένος ἢ ἴδιον ἢ συμβεβη-
κός ἐστι τοῦ προκειμένου δείκνυσιν· οὐδὲ γὰρ τὴν ἀρχὴν αὐτὸ ὑπάρχειν τῷ
κειμένῳ διὰ συλλογισμοῦ δεῖξαι ἔθετο· τέλεον δὲ ἄχρηστον τὴν μέθοδον
ἔδειξε διὰ τούτων τὴν διαιρετικὴν πρὸς συλλογισμόν· τὰ γὰρ ὑπαρχόντων

προβλημάτων· περὶ ὅρου· περὶ ἰδίου· περὶ γένους· περὶ συμβεβηκότος, περὶ οὐδενὸς τούτων ἔστι δεῖξαι αὐτῷ συλλογιζομένῳ· περὶ γὰρ οὗ οἴεται μόνου δεικνύναι, οὐδὲ τοῦτο δείκνυται διὰ συλλογισμοῦ: +

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν· ἐφ᾽ ὧν μὲν φανερόν ἐστι τὸ προκείμενον καὶ μὴ δεόμενον δείξεως· οἷον ὅτι ἄνθρωπος λογικός ἐστιν ἀλλ᾽ οὐκ ἄλογον· ἢ ὅτι ζῷον δίπουν ἀλλ᾽ οὐ τετράπουν· ἢ δίπουν ἀλλ᾽ οὐ πολύπουν, ἐπὶ τούτων δέ ἐξουσία καὶ λαμ- προσλαμβάνειν τὸ ἕτερον τῶν ἐν τῇ διαιρέσει, τῷ γνώριμον εἶναι καὶ μὴ ἀμφισβητούμενον, ἐφ᾽ ὧν δὲ ἄγνωστον τὸ προκείμενον ἐν ὁποτέρῳ τῶν ἐν τῇ διαιρέσει ἐστὶ καὶ δεῖται δείξεως, ἄχρηστος ἐπὶ τούτων ἡ μέθοδος αὕτη. ἀπορουμένου γὰρ τοῦ, πότερον ἄρτιοι οἱ ἀστέρες ἢ περιττοί, ἂν λαβόντες τὸν ἀριθμὸν πάντα καὶ πᾶν πλῆθος, διέλῃ εἰς τὸ περιττὸν καὶ τὸ ἄρτιον· προσλαβὴ δὲ καὶ τοὺς ἀστέρας πλῆθος εἶναι καὶ ἀριθμόν, συνάξει μὲν ὅτι ἄρτιοι εἰσὶν ἢ περιττοὶ οἱ ἀστέρες· οὔτε δὲ ὅτι περιττοὺς αὐτοὺς εἶναι· οὔτε ὅτι ἄρτιοι, ἐὰν δείκνυσθαι προσλαβεῖν· τῷ μήτε γνώριμον τι αὐτῶν εἶναι, μήτε δείκνυσθαι. πάλιν ζητουμένου τοῦ, πότερον ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος ἢ ἀσύμμετρος· λαβόντες μῆκος εἶναι τὴν διάμετρον, διελόμενοί τε πᾶν μῆκος εἰς τὸ σύμμετρον καὶ τὸ ἀσύμμετρον, συνάξομεν ὅτι ἡ διάμετρος ἢ σύμμετρον ἢ ἀσύμμετρον ἐστί. τὸ λαβεῖν μῆκος αὐτὴν εἶναι ὃ οὐκ ἦν ζητούμενον· οὐχ ἕξει δὲ δεῖξαι ἐν ὁποτέρῳ τούτων αὐτὴν θετέον· ὅτι γὰρ ἂν προσλαμβάνῃ δεόμενον δείξεως καὶ ζητούμενον, ἁπλῶς καὶ χωρὶς δείξεως λήψεται· ὃ ποιεῖν ἔξεστιν αὐτῷ καὶ μὴ διαιρέσει χρωμένῳ. ὥστε καὶ ἐφ᾽ ὅλου ἐν οἷς ζητεῖται καὶ μὴ ἔστι γνώριμον ἐν ὁποτέρῳ τῶν ἐν τῇ διαιρέσει, ἄχρηστος ἡ μέθοδος. δηλονότι ὅτι μὴ πρὸς πᾶσαν σκέψιν ἁρμόζει ὁ τοιοῦτος τρόπος τῆς ζητήσεως τοῦ ἐστὶν ὁ διαιρετικός. οὔτε γὰρ περὶ συμβεβηκότος ἢ ἰδίου περὶ ὧν ἁπλῶς ζητήσεις, οὔτε ἀπορητικόν τι ἐν ἔστι δι᾽ αὐτῆς δεῖξαι· οὐδὲ τὸ γένος τὸ λαμβανόμενον, ἀλλ᾽ οὐδὲ ἐφ᾽ ὧν δοκεῖ μάλιστα ἁρμόττειν· τοῦτο δ᾽ ἐστὶν οἱ ὁρισμοί, οὐδὲ ἐπὶ τούτων ἔχει τι χρήσιμον. οὔτε γὰρ ἐφ᾽ ὧν ἄδηλον ἐν ὁποτέρῳ τὸ προκείμενον τῶν διαφορῶν τῶν ἐν ταῖς διαιρέσεσιν ἔχει λαβεῖν· οὔτε ἐφ᾽ ὧν δῆλον ταὐτό ἐστι τοῦτο τὸ μὴ προσλαμβάνειν θάτερον καὶ δεῖξαι, οὐδὲ ἐπὶ τούτων ὅτι τὸ εὖ πᾶν

ὧν εἰλημμένων ὅσων τις θέλων, ὁρισμὸς ἐστὶ τοῦ αὐτοῦ· διὰ ταῦτα δείχνυσι τὴν μέθο-
δον. οὔτε γὰρ πάντα τὰ κατά τινος ἀληθευόμενα καὶ τινὸς ἤδη ἐστὶν ὅσα τις
θέλει, ἀληθῆ· οὐδὲ γὰρ ἄνθρωπος ἐστὶν ἀγαθός, εἰ ἤδη ἐστὶν ὅσα τις θέλει ἄνθρωπος ἀγαθός.
οὐδ' ἂν ᾖ ἀληθῆ διὰ τοῦτο ἤδη ἐστὶ τὸ ἐξ αὐτῶν ἕν· οὐ γὰρ λευκὸν ἐστὶ μουσικόν·
τὸ βαδίζον ἤδη ἐστὶ ταῦτα. τὸ λευκὸν μουσικὸν βαδίζον, ὡς ἐν τῷ περὶ
ἑρμηνείας ἐδείχθη· ἀλλ' οὐδ' ἂν ἀληθῆ τε ᾖ, ἤδη γνώριμον ὅτι ὁ ὁρισμός.
οὔτε γὰρ τὸ ἄνθος λευκὸν ἐπεὶ ὡς ἂν κατηγορεῖται τινός, ἤδη ὁρισμός,
οὔτε τὸ ζῷον πεζόν:· ἐν τῷ περὶ ... ἀποδείξεως ...

ἀξιοῖ δὲ πρὸς ἀπόδειξιν καὶ συλλογισμὸν οὐδὲν ἐστὶ χρήσιμος ἡ διαιρετικὴ
μέθοδος· ὅτι καὶ τοῦτο πρὸς τὸ προκειμένου δεῖξιν χρήσιμον ἦν, πρὸς γὰρ
τὴν κατασκευὴν τοῦ, ὅτι καὶ τὰ τῶν προειρημένων αὐτοῦ εὑρετικῶν καὶ τῶν ἀπο-
βλεψιν τῶν ἐκλελεγμένων, καθὼς ἀρκεῖ ὅπου δεῖ ποιεῖν· ἤ τι τῶν προ-
τῶν σκοπῶν λῆψις καὶ τῶν συλλογισμῶν πάντων εὕρεσις, χρήσιμον ἦν αὐτῷ
δεῖξαι, τὸ κατὰ τὴν ἄνω τὴν μέθοδον ἄχρηστον· ὃ φανερὸν ποιήσας, ἀπο-
μιμνήσκει ἡμᾶς τῶν προειρημένων· δείξας ὅτι ἐκ τούτων καὶ οὕτως ἡ
γένεσίς τε καὶ εὕρεσις τῶν συλλογισμῶν· κοινότερον γὰρ νῦν τὸ συλλογισ-
μοὺς ἀποδείξεις λέγει :· +

ἀλεξάνδρου ἀφροδισιέως, ὑπομνήματος τῶν περὶ τῶν προτέρων
προτάσεων: ἀρχὴ τοῦ β' τοῦ τμήματος :·

+ ἀλεξάνδρου ἀφροδισιέως ὑπόμνημα, εἰς τὸ περὶ ἀναλύσεως
συλλογισμῶν ἀριστοτέλους, ἀναλυτικῶν προτέρων πρώτου :·

Πῶς δ' ἀνάξομεν τοὺς συλλογισμοὺς εἰς τὰ προειρημένα σχήματα·

ἰά τούτων πρότερον φησὶ μέθοδον ἣν μὲν, δι' ἧς δυνησόμεθα πάντα τὰ προ-
βληθέντα συλλογίζεσθαι ἀναγκαστικοῖς τὸ οἰκεῖον σχῆμα· ἤ τις μέθοδος εὑρετική
ἡμᾶς ποιήσει· καὶ τοὺς τινας μὲν τῶν ἐρωτωμένων λόγων, εἰ συλλογιστικοί,
τινας δὲ φαινομένων, εἰ δὲ ἀσυλλόγιστοι· ἃ γὰρ τις ἂς μὴ δεῖ τῶν βιῶν
ἀναλύεσθαι δυνατόν, σχήματι μεθόδῳ ταύτῃ προσχρωμένων ἡμῶν παρα-
δίδωσιν· ἀναλογοῦν μὲν εἰς ταῦτα· μὴ τῶν συλλογισμῶν δὲ συζυγιῶν τινά·
δηλονότι ἀσυλλόγιστος ἂν εἴη· ἀπὸ δὲ τῆς μεθόδου τῆς νῦν παραδεδομένης

τὰ ἀναλυτικὰ ἐπιγράφεται τὰ βιβλία· οὕτως ἁπλῶς δὲ μόνων, ἀλλὰ καὶ τῶν συν-
θέτων· ὑπογράφει τῶν ἀναλύσεων· οὕτως δὲ ἔστιν ἀναγαγεῖν τοὺς λόγους εἰς τὰ
σχήματα, ὡς ἔχει τὰ Θεοφράστου τὰ ἐπιγραφόμενα, ἀνηγμένων
λόγων εἰς τὰ σχήματα, καὶ μέθοδον ὑπογράψας δι' ἧς πάντα τὰ προβλήματα
ἀναλύειν καὶ ἀνάγειν δυνησόμεθα· ὁ μὲν γὰρ τὴν μέθοδον τοῦ ἀνάγειν καὶ τὴν
ἐπιστήμην ἔχων, οἷός τέ ἐστι καὶ τοὺς μήπω γνωρίμους ἀνάγειν· ὁ δὲ τινας ἔχων
ἀνηγμένους, τούτους ἂν ἀναγινώσκοι· ὡς ἂν ἔχων τὴν ἀναλογίαν· ἀλλ' οὐ
κατ' ἐπιστήμην· ὑπογράφει δὲ τὴν αὐτὴν ταύτην μέθοδον καὶ Θεόφραστος
ἐν τῷ ἐπιγραφομένῳ περὶ ἀναλύσεως συλλογισμῶν· λοιπὸν δὲ τοῦτό φησιν
ἐν τῷ κεφαλαίῳ ἀναγκαῖον τῆς περὶ συλλογισμῶν πραγματείας· ὁ γὰρ τὴν γένεσιν
τῶν συλλογισμῶν ἀποδεικνύμενος ὑπογράψας διαφορὰς σχημάτων, καὶ τῶν κα-
θ' ἕκαστον αὐτῶν συλλογιστικῶν συζυγιῶν· ἔχοι μὲν ἂν καὶ τοῦ εὑρίσκειν τε καὶ
ποιεῖν αὐτὸς τοὺς συλλογισμοὺς μέθοδον, ἣν ἐδίδαξεν ἡμᾶς, διὰ τοῦ
διδάξαι ὅτι δεῖ λαμβάνειν ἑκατέρου τῶν ἐν τῷ προβλήματι ὅρων, τά τε ἑπόμενα
αὐτοῖς καὶ οἷς αὐτοὶ ἕπονται, καὶ τὰ μὴ ὑπάρχοντα ἑκατέρῳ αὐτῶν· καὶ ἐκ τούτων
τινῶν κατὰ τὸ οἰκεῖον τοῦ προβλήματος συντιθεμένων, τὸν μέσον ὅρον ποιεῖν·
ἔδει προσεῖναι τοῖς εἰδόσι καὶ τοὺς γεγονότας ἤδη συλλογισμοὺς ἀναλύειν
δύνασθαι εἰς τὰ συλλογιστικὰ σχήματα, τέλος ἂν ἔχοι φησὶν ἡ πραγματεία
ἡ προκειμένη· χρήσιμον δέ φησιν ἔσεσθαι τὴν γνῶσιν τῆς ἀναλύσεως τῶν συλ-
λογισμῶν καὶ πρὸς τὴν τῶν προειρημένων βεβαίωσιν· τοῦτο δέ ἐστιν,
ὅτι τε πᾶς συλλογισμὸς ἐν τρισὶ σχήμασι· καὶ ὅτι ἐξ ὅρων τριῶν καὶ προτάσεων
δύο προσεχῶν, πᾶς· εἰ γὰρ τῇ τῶν γεγονότων ἀναλύσει ὡς αὐτά, πιστότερα
ἐφάνη καὶ βεβαιότερα τὰ μὲν ἔσται· καὶ ὅτι οὐ δεῖ μηδ' ἄλλο ἀναγαγεῖν
δύνασθαι τοὺς γεγονότας συλλογισμοὺς ἢ διὰ ἐκείνων· καὶ ἐκεῖνα βεβαιωθή-
σεται: πρὸ δὲ τοῦ μέσου δεῖ πειρᾶσθαι τῆς διὰ προτάσεως ... συμβαίνει τοῦ συλλογισμοῦ
πάντας συλλογισμοὺς ἀνάγειν ἁπλῶς αὐτοὺς ὡς θέσει, ἐδείχθη ἐκ προσεχῶν
δύο προτάσεων γινόμενος καὶ ὅρων τριῶν· φησὶ δεῖν προβληθέντας συλλογισμούς,
πρῶτον τὰς δύο προτάσεις ἐκλαμβάνειν· αἳ δὴ μὲν δηλονότι ἐκ τῶν τριῶν
ὅρων· ἀλλὰ ῥᾷον εὑρεῖν τὰ μείζω μόρια τῶν ἐλαττόνων· μείζω δέ
ἐστι τὰ συγκείμενα τῶν ἁπλῶν ἐξ ὧν σύγκειται· ὁ πρὸς αἱ προτάσεις πρὸς

τοὺς ὅρους πεπόνθασιν· ἐκ γὰρ τῶν ὅρων συνίστανται :· +

ἔτι δὲ σκοπεῖν πότερα καθόλου ἢ πότερα ἐν μέρει.

λμ Ἐπειδὴ λαμβάνεται τὰς προσεχεῖς προτάσεις· φησὶ δεῖν ἐπιβλέπειν ποία καθόλου τε μείζων ἐστί· καὶ ποία ἐλάττων καὶ μερικωτέρα. ἐὰν γὰρ ἀμφότεραι καθόλου ὦσιν, ἀλλ' ἔστιν αὐτῶν καθολικώτερον σχῆμα, ἡ μέν, μείζων· ἡ δὲ ἐλάττων. μείζων μέν, ἐν ᾗ ὁ μείζων κατηγορούμενος ὅρος τοῦ συμπεράσματος. ἐλάττων δέ, ἐν ᾗ ὁ ὑποκείμενος. ἐπειδὴ οἱ συλλογίζεσθαι βουλόμενοι, ἐνίοτε οὐ τιθέασιν ἀμφοτέρας τὰς προτάσεις· ἀλλὰ τὴν ἑτέραν παραλείπουσιν, αὐτόν φησι δεῖν λαμβάνειν τὴν παραλειπομένην. καθ' ἧς ἡ καθ' ἑαυτό, τὸ προκείμενον συμπέρασμα προσεχῶς συνάγεται. ἐνίοτε γὰρ οἱ συλλογιζόμενοι, τὴν μὲν καθόλου πρότασιν λαμβάνουσι· τὴν δὲ ὑποκειμένην ὡς γνώριμον παραλείπουσιν· οἷον ἄν τις συνάγῃ ὅτι ἡ ἡδονὴ ἀγαθόν, λαβὼν καθόλου πρότασιν τὴν, πᾶν τὸ οἰκεῖον ἀγαθόν, μηκέτι δὲ τὴν ἑτέραν λαβών· ἀλλὰ παραλιπὼν ὡς γνώριμον· ἔστι δ' αὕτη ὅτι ἡ ἡδονὴ οἰκεῖον. ἢ καὶ δεόντως τοὺς βουλομένους ἀναγαγεῖν τὸν συλλογισμόν· καὶ ἀναλῦσαι εἰς τὰ οἰκεῖα σχήματα, προστιθέναι τὴν παραλειπομένην. τεθείσης γὰρ εὑρεθήσεται ἐν ᾧ σχήματί ἐστιν ὁ συλλογισμὸς ὡς ἐπὶ τοῦ προκειμένου· προστεθείσης γὰρ ἧς εἴπομεν προτάσεως, γνώριμον ἐγένετο ὅτι πρῶτον ἐστὶ σχῆμα· ὁ μέσος γὰρ ὅρος ἐν τῷ συλλογισμῷ, τὸ οἰκεῖον κατηγορούμενος μὲν τῆς ἡδονῆς. ὑποκείμενος δὲ τῷ ἀγαθῷ, μὴ τεθείσης δὲ ταύτης, οὐδὲ τῶν ἀρχῶν ἂν καὶ τὸ συναγόμενον συλλογισμός. ἢ πάλιν ἄν τις λαβὼν πᾶν τὸ αἱρετὸν ἀγαθὸν εἶναι, ἐπιφέρῃ τό, ἡ ἡδονὴ ἄρα ἀγαθόν, παραλιπὼν ὡς γνώριμον τό, τὴν ἡδονὴν αἱρετὸν εἶναι. ἢ τις ἐλάττων ἐστὶ πρότασις· ὁμοίως καὶ λαβόντες, οὐδεὶς τὰ ἀλλότρια κρύφα ἀφαιρούμενος ἀγαθός, ἐπιφέρει· οὐδεὶς ἄρα κλέπτης ἀγαθὸς ἔσται παρέντες ὡς γνώριμον τὴν ἐλάττονα τήν, πᾶς δὲ κλέπτης τὰ ἀλλότρια ἀφαιρεῖται. καὶ οὕτως μὲν ἐν τοῖς τοιούτοις ἡ ἐλάττων παραλείπεται. ἔστι δ' ὅτε καὶ πάλιν τὴν μὲν καθόλου, παραλείπουσιν ὡς γνώριμον τὴν δὲ ἐλάττονα τιθέασιν. ὡς ὁ συλλογιζόμενος ὅτι οὗτος κολάσεως ἐστὶν ἄξιος, διότι οὗτος μοιχὸς γάρ ἐστιν· ἢ κλέπτης ἢ ὑβριστής· ἀπαιτεῖ γὰρ τοῦτο ἡ καθόλου παραλείπεται ὡς φανερά· ἡ λέγουσα ὅτι πᾶς μοιχὸς κολάσεως ἄξιος· ἢ πᾶς κλέπτης· ἢ πᾶς ὑβρι-

συλλογ. ἐφ᾽ οἷς τὸ συμπέρασμα τό, οὐ τοῦ δ᾽ ἄρα ἀκολούθως ὡς ἀξιοῖ· ἢ πάλιν ἀντέλαβε τό, οὐ τὸ ἐγκαλλωπιστής· ἐπιφέρει μοιχὸς ἄρα· παραλιπὼν τὸ καθόλου τό, πᾶς ἐγκαλλωπιστὴς μοιχός· χρήσομαι τῷ ὑποκειμένῳ καὶ ἀναλύειν πειρώμενον· πάλιν τούτων τῶν προτάσεων αὐτοῦ προστιθέναι. λέγει δὲ τῶν καθόλου ἀπὼν δὲ αἴτια γὰρ τῶν καθόλου προτάσεων ταύτας, τῶν ἐν τούτῳ λαμβανομένων τὸ αὐτὸ πάλιν βουλόμενος ἀναπτύξαι, ἐπάγει μέν· ἢ τούτους μὲν προτάσεις τουτέστι τὰς καθέκαστα· δι᾽ ὧν δὲ οὗτοι περαίνονται, παραλείπουσιν· αὗται δέ εἰσιν αἱ καθόλου· διὰ γὰρ τῶν καθόλου αἱ καθέκαστα δείκνυνται καὶ πιστοῦνται· τὰς οὖν ἐκείνας εἶναι· διὸ καὶ ἔπονται αὐταῖς· ἡ γὰρ προσθήκη ἐπὶ τῆς παραλειπομένης ἐπὶ μέρους, τῶν ἐν τούτοις λαμβανομένων· ἃ δὲ ἐν τῇ καθόλου ἐν μέρει. ἀνάλογος ἂν λέγοιτο δι᾽ ἐκείνης καὶ περαίνεσθαι· εἰ δὲ ἡ καθόλου τεθεῖσα ἀναγκάζει τὸ συμπέρασμα ἀλλὰ αὐτὴ τὰς ἐν μέρει τέχνῃ ὑφ᾽ αὑτῷ πάσας, εὐλόγως λέγοιντο ἂν ἐν μέρει καὶ διὰ τῶν καθόλου περαίνεσθαι. λέγοι δ᾽ ἂν διὰ τοῦ, δι᾽ ὧν αὗται περαίνονται, καὶ περὶ τῶν συμπερασμάτων τῶν λαμβανομένων ὡς αἴτια ἐν μέρει προτάσεων· ἐν οἷς γὰρ συλλογισμοῖς ἐπὶ μέρους ἀλλήλαις προτάσεσιν ἐν τούτοις καὶ τὸ συμπέρασμα ἐν μέρει. τοῦτο δὴ τὸ συμπέρασμα, διὰ τῆς καθόλου περαίνεται· διὰ τὸ ἀδύνατον εἶναι ἄνευ τῆς καθόλου γενέσθαι συλλογισμόν· τὸ δὲ οὕτω γράφοντας οὕτως ἐρωτῶντας προσέθηκεν, ὅτι τοῦτο καὶ διαλεγόμενοι ἐνίοτε ποιοῦσι καὶ συγγράφοντες· δύναται τὸ τούτους μὲν προτάσεις δι᾽ ὧν δὲ αὗται περαίνονται παραλείπουσιν, οὐκ ἐπὶ τῆς μείζονος ἀρκεῖσθαι προτάσεως ὡς παραλειπομένης ὅταν αὐτὴ παραληφθῇ· ἀλλὰ τοῦ τὸ μὲν παραλείπειν, ὡς ἐκ μόνου τοῦ λόγου συλλογιστικοῦ. εἰ τοῦ λόγου κινουμένου ὅταν ἡ μείζων παραληφθῇ· τῷ τῆς μείζονος τεθείσης, δύναται καὶ ἐπὶ τῶν ἐλαττόνων ἀναλύεσθαι περιεχομένων ταύτῃ τῆς· μηκέτι μέντοι ἀπὸ τῆς ἐλάττονος περιέχεσθαι τὴν μείζονα· διὸ καὶ δυνατὸν γίνεσθαι συλλογισμὸν ἐκ δύνασθαι, μόνης τῆς ἐλάττονος ληφθείσης, ἢ ὡς ὁμοίως καὶ μόνης καὶ τούτων προσληφθεισῶν, ὡς περὶ τὴν ἐλάττονα, ἐπειδὰν δὲ ὅταν ἐκείνη παραλείπηται. λέγει δὲ νῦν περὶ τῶν συλλογισμῶν ἐν οἷς αἱ μὲν προσεχεῖς τοῦ συμπεράσματος προτάσεις εἰσὶν εἰλημμέναι ἀμφότεραι· παραλείπονται δὲ αἱ τούτων·

τῶν προτάσεων διαιρετικαί. δηλονότι δεόμεθα δείξεως, ἢ τούτων· ἢ οὐδὲν ἧττον δεῖ πρὸς τὴν ἀνάλυσιν τοῦ κειμένου συλλογισμοῦ, αὐτὰ ἀφαιρεῖσθαι τὰς προσεχεῖς πρὸς τὴν ἀναγωγήν. ἀλλ' αἱ δέ τινες μὲν τῶν προσκειμένων αἱ καὶ περίεργον φαντασίαν ἀποστέλλουσαι ὡς τῶν προτάσεων τῶν προσεχῶν οὐσῶν· διαιρετικαί. ὥσπερ δὲ αἱ κατασκευαστικαὶ τῶν προσεχῶν τοῦ προκειμένου προτάσεων παραλείπονται. ἀλλ' αἱ δὲ μετὰ τῶν προστεθεῖσαι, οὕτως ἐστὶν ὅτι αἱ μὲν κατασκευαστικαὶ τῶν προτάσεων τῶν προσεχῶν τεθεῖσαι. αὗται δὲ παραλείπονται αἱ προσεχεῖς· χρὴ οὖν καὶ ταύτας παραφυλάσσειν τὰς ἔξωθεν τῶν προσεχῶν εἰλημμένας. καὶ ἃ μὲν ἂν τοιαῦται ὦσι, δι' αὐτῶν περαίνεσθαι ταῦτα δύνασθαι, τὰς δ' ὅσων ἂν ἀνακεκατέρα καὶ τῶν προσεχῶν δεικνυμένου προτάσεων, ἐκείνων συμπεράσματα, καὶ ἐκείνας δηλονότι ὁμοίως εὑληψόμεθα ὅτι καὶ αὐτὰ ἔξω μέν ἐστι τῶν σχημάτων· ἃ δὲ μήτε συλλογίζοιντό τι τῶν κειμένων μήτε ἄλλως δεικνύοιέν τι· ὥσπερ δεικνύουσιν αἱ ἐπαγωγικῶς λαμβανόμεναι εἰς σύστασιν τῆς καθόλου προτάσεως· εἴτε ὅπου ἢ ἄλλου τινὸς χρείας χάριν εἶεν· οἷον περιττῶς ἢ σαφηνείας, ἀφαιρετέον καὶ ἀποκριτέον αὐτὰς ἐν τῇ ἀναλύσει τῶν συλλογισμῶν· ὥσπερ μάλιστα καὶ μὲν ὡς εἰλημμένας. ἃ δὲ ἂν ἐκείνων τινὸς χάριν παρακείμεναι, χωριστέον μὲν καὶ ταύτας τῶν κυρίων τοῦ συμπεράσματος μάλιστα προτάσεων· παραδεικνυτέον δέ, οὗ χάριν εἰσὶ κείμεναι. δεῖ γὰρ τὸ συμπέρασμα μὴ κινεῖσθαι κατὰ τὸν συλλογισμὸν γινόμενον, τῷ, τοῦτο εἶναι. τὸ δ' οὗ τὸ θέμα, οὐ τοιαύτας ἀποτελεῖ λόγου τάξεις, πᾶν αὐτοκίνητον ἀεικίνητον· πᾶν τὸ ἀεικίνητον ἀθάνατον. τὸ δ' ἄλλο τι κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει ζωῆς· οὐδὲν πρὸς τὸ συμπέρασμα· τὸ, πᾶν τὸ αὐτοκίνητον ἀθάνατον, συντελεῖ· ἀλλὰ ἔστιν αἱ πρὸ ταύτης προτάσεις αὐτοῦ σημαντικαί. καθόλου οὖν φησι δεῖν ἐπισκέπτεσθαι ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν τὰς δὲ ἐστὶ τὰ σχήματα, τί ἐστι περιττὸν καὶ ἔξωθεν προσειλημμένον· καὶ τί τῶν ἀναγκαίων παραλέλειπται· καὶ τὸ μὲν ἀναγκαῖον προσθετέον· τὸ δὲ περιττὸν ἀφαιρετέον ἕως ἂν ἔλθωμεν καὶ εὕρωμεν ζητοῦντες, τίνος χάριν ἔλιπεν· καὶ τί παρεῖται, ἃς ἐστὶ δύο προτάσεις αἱ τοῦ συμπεράσματος κυρίας.

ἀντιστρέφει γὰρ τούτων τοῖς μὲν λαβεῖν· ἀποκρίνασθαι δὲ ἢ χωρίσαι τὰς περὶ τὰς, οὐκ ἔστιν ἀναγκαῖον ἐξ ἀρχῆς μὲν, τὸ ἐξ οὗ τῶς ἠρωτημένος λόγος· οἷον ἂν λαβὼν τις καθόλου πρότασιν, πᾶν τὸ οἰκεῖον ἀγαθόν, λαμβάνῃ καὶ πᾶν τὸ καλὸν ἀγαθόν· λαμβάνει δὲ καὶ τὸ πᾶν συμφέρον ἀγαθὸν ὁμοίως, ἅτε πᾶν ἐν τῷ ἔχει συμπέρασμα τὸ, ἡ ὑγεία ἄρα ἀγαθόν· περὶ τὸ ὑγιαίνειν· παρὰ τοῖς δὲ ἢ λέγοντος εἰ ἡ δὲ ὑγεία οἰκεῖον· μετὰ γὰρ τούτης καὶ πᾶν τὸ οἰκεῖον ἀγαθόν, συνάγεται τὸ εἰρημένον συμπέρασμα τὸ, ἡ ὑγεία, ἀγαθόν· κατὰ δὲ ἢ ἀληθὲς μὲν ὅτι πᾶν τὸ οἰκεῖον καὶ τὸ ἀφυσικόν, καὶ πᾶν τὸ καλὸν φυσικόν, ἀγαθόν· καὶ ἐπὶ τούτοις συμπέρασμα τὸ, ἡ ὑγεία ἄρα ἀγαθόν. τὸ μὲν, ἡ ὑγεία οἰκεῖον ἐστὶ πάλιν ὁμοίως παραλιμπάνουσι, πᾶν τὸ οἰκεῖον, καὶ τὸ ἀφυσικόν· πᾶν τὸ καλὸν φυσικὸν ἀγαθόν, δεικνύουσιν αὐτὴν ἀληθευμένην πρότασιν, πᾶν τὸ οἰκεῖον ἀγαθόν:· ἐνίοτε δὲ λανθάνομεν οἰόμενοι συλλογίζεσθαι διὰ τὸ ἀναγκαῖόν τι συμβαίνειν ἐκ τῶν κει-

δεῖ μὴ ἁπλῶς χρὴ βλέπειν πρὸς τὸ συμπέρασμα· καὶ εἰ τοῖς κειμένοις ἀναγκαίως τι ἕπεται, ἤδη συλλογισμὸν εἶναι, ἀλλ' ἐφ' ὡς ἢ μὴ διὰ τούτων ἐφίστασθαι· οὐ γὰρ ὁ συλλογιζόμενος ἐξ ἀνάγκης δείκνυσί τι, ἤδη καὶ εὐθὺς ἂν ἢ ἐξ ἀνάγκης δεικνύμενον τοῖς κειμένοις ἕπεσθαι τοῦτο συλλογισμός ἐστι· ἐπὶ πλέον γὰρ τὸ ἀναγκαῖον τοῦ συλλογισμοῦ· διὸ οὐχ ὅταν ἕπηται ἐξ ἀνάγκης, τὸ τὸ α τῷ β ἴσον εἶναι· καὶ τὸ β τῷ γ· καὶ τὸ α τῷ γ ἴσον εἶναι, ἤδη καὶ συλλογισμὸς τοῦτο· ἔσται δὲ συλλογιστικῶς τὸ συναγόμενον, ἂν προσλαβόντες καθόλου πρότασιν λέγουσαν τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα· ταύτης ληφθείσης ἐξ ὅλου προλαμβανομένης μίαν συστάσιν προτάσεων· ἢ ἴσον ταῖς ὅλοις ὁμοίως· ἐστὶ δὲ αὕτη· τὸ δὲ α καὶ γ, τῷ αὐτῷ τῷ γὰρ β, ἴσον· συνάγεται γὰρ καὶ ὁ συλλογισμὸς οὕτως μεῖζον εἶναι τοῦ β· καὶ τὸ β τοῦ γ, λέγειν συλλογιστικῶς δείκνυσθαι τὸ καὶ τὸ α τοῦ γ μεῖζον εἶναι ἐπεὶ ἀναγκαίως τοῦτο ἕπεται· ἀλλ' οὔπω συλλογισμὸς τοῦτο, ἂν μὴ προσληφθῇ καθόλου πρότασις ἡ λέγουσα· πᾶν τὸ ἔτι τοῦ μείζονος τινὸς μεῖζον καὶ τοῦ ἄλλου τινὸς ἐκείνου μεῖζόν ἐστι· ταῦτα δὲ κείμενα, διὸ προτάσεις γὰρ εἰσι μία ἢ ἐλάττων αὐτῷ συλλογισμοῦ, λέγουσα τὸ, τὸ α τοῦ β μεῖζον ὂν τοῦ γ, μεῖζόν ἐστι· συνάγεται γὰρ οὕτως.

τὸ καὶ τὸ ᾱ τοῦ γ̄ μεῖζον εἶναι καὶ τὸν συλλογισμόν· ἐπεὶ ἀναγκαῖον πολλοὺς
ληφθέντος τοῦ ἀκολουθεῖ· καὶ παρὰ τὴν τῆς ὕλης ἰδιότητα· καὶ τὸ ἀσυ
λλογίστως κείμενον τῶν ἀφορισμῶν τὸ ἀναγκαῖον, ὡς ἀπὸ τῶν ὁρισμῶν.
ἢ τῶν ἰδίων, ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν ληφθεισῶν προτά
σεων· ὅμοιος τοῖς προειρημένοις, καὶ οὗτος ὁ λόγος· ὁ δεῖνα τῷ δεῖνι
ἐκ τῶν αὐτῶν γονέων· οἷον ὁ ᾱ τῷ β̄· ἀλλὰ καὶ ὁ β̄ τῷ γ̄, ἐκ τῶν αὐτῶν
ἐστὶ γονέων· ὁ ᾱ ἄρα τῷ γ̄ ἐκ τῶν αὐτῶν γονέων ἐστί· λείπει γὰρ πρὸς
τὸ συλλογισμὸν γενέσθαι· καθόλου πρότασις ἡ λέγουσα πάντας τοὺς
τῷ αὐτῷ ἐκ τῶν αὐτῶν γονέων ὄντας ἀδελφοὺς εἶναι, ἢ πρότασις
ἂν προστεθείη διῃρημένη μία γενομένη ἡ λέγουσα οἱ δὲ ᾱ καὶ γ̄ ἐκ τῶν
αὐτῶν γονέων εἰσὶ τῷ β̄· οὕτω γὰρ συναχθήσεται τό, τοὺς ᾱ γ̄ ἀδελφοὺς
εἶναι· ὅτι γὰρ διὰ τὴν καθόλου πρότασιν τὴν προστεθεῖσαν, ὁ συλλο
γισμός, δῆλον ἐκ τοῦ καθόλου πρότασιν ἀληθῆ· μὴ καὶ τὸ ἀληθὲς
γίνεσθαι τὸ ἐπὶ τοῖς οὕτω ληφθεῖσι συμπέρασμα· οὐ γὰρ ἔτι ἀληθὲς
ἀναγκαῖον γίνεται· ἂν λαμβάνωμεν ᾱ τοῦ β̄ ἀδελφός ἐστιν ὁ β̄ τοῦ γ̄
ἀδελφός ἐστι· τὸ καὶ τὸν ᾱ τοῦ γ̄, ἐξ ἀνάγκης ἀδελφὸν εἶναι· τὸ μὴ
εἶναι τὴν καθόλου πρότασιν ἀληθῆ, τὸ ὅτι οἱ τῷ αὐτῷ ἀδελφοί, καὶ ἀλ
λήλοις εἰσὶν ἀδελφοί· ὁ γὰρ παῖδα ἔχων καὶ ἀγαγόμενος ἄλλην γυναῖκα
παῖδα καὶ αὐτὴν ἔχουσαν, ἂν σχῇ ἐκ ταύτης παῖδα, ἑκατέρου μὲν
τῶν προϋπαρχόντων αὐτοῖς παιδίων, ἀδελφός ἐστι τοῦτο· οὐ μὴν διὰ
τοῦτο καὶ ἀλλήλων ἀδελφοί, οἱ προϋπάρχοντες· τοιοῦτοι δέ εἰσιν καὶ οὓς
λέγουσιν οἱ νεώτεροι ἀμεθόδως περαίνοντας, οὓς ὅτι μὲν μὴ λέγουσι
συλλογιστικῶς συνάγειν, ὑγιῶς λέγουσι· πολλοὶ γὰρ αὐτῶν εἰσὶ τοιοῦτοι·
ὅτι δὲ ἡγοῦνται ὁμοίους αὐτοὺς εἶναι τοῖς κατηγορικοῖς συλλογισμοῖς·
περὶ ὧν ἡ παροῦσα πραγματεία· οὕτως λαμβανομένους ὡς τίθε
ασιν αὐτούς, τοῦτο πάντες διαμαρτάνουσιν· εἰ γὰρ ἦσαν τοιοῦτοι,
ἔχρην αὐτοὺς εἶναι συλλογισμούς· νῦν δὲ οἱ μὲν πολλοὶ τῶν τοιούτων
λόγων, ἐκ πάντων ἐπὶ μέρους εἰσίν· ἡμεῖς δὲ οὐδὲ ἕξομεν μηδένα
τῶν κατηγορικῶν συλλογισμῶν γινόμενον χωρὶς καθόλου προ
τάσεως· εἰ γὰρ ἐγίνετό τι καὶ ἀσυλλογίστως συμπέρασμα ἐπὶ

: αὐγ μή

προτάσεσιν οὐ μέντοι ἀεὶ δὲ ἐπὶ πάσης ὕλης τὸ ὅμοιον γίνεσθαι συμπέρα-
σμα· τοιοῦτοι οὖν ὄντες καθ' αὑτοὺς συλλογιστικοί· προστεθείσης αὐτοῖς τῆς
καθόλου προτάσεως ὡς εἰρήκαμεν, γίνονται συλλογισμοί· ἡ γὰρ
αἰτία τοῦ τοὺς λεγομένους ἀμεθόδως περαίνειν ἔχειν τι ἐξ ἀνάγκης
τοῖς κειμένοις ἑπόμενον τὸ συνάγεσθαι, παρὰ τὸ εἶναι ἐν τούτοις
ἀληθῆ εἶναι τινὰ καθόλου πρότασιν οὐ τῶν τοιούτων λαμβανομένων
τῶν παραλειπομένων· διαφέρουσι δὲ τῷ ἐλλιπεῖν τινα εἰς διὸ προτάσε-
ως τοιοῦτοι γάρ εἰσιν οἱ τοιοίδε· λέγει Δίων ὅτι ἡμέρα ἐστίν· ἀλλὰ
καὶ ἀληθεύει Δίων· ἡμέρα ἄρα ἐστί· πάλιν λέγει Δίων ὅτι ἡμέρα ἐστίν·
ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἀληθεύει ἄρα Δίων· προσληφθείσης μὲν
γὰρ τῷ εἶναι τοῦ τὸ λέγει τις ἐπὶ τῷ εἶναι· ἐν ἑκατέρῳ γὰρ τῶν λό-
γων παραλείπεταί τις καθόλου πρότασις ἀληθὴς οὖσα· ἐν τῷ μὲν, τὸ πᾶν
ὃ λέγων τις ἀληθεύει, ἐκεῖνο ἐστίν· ἀληθεύει δὲ Δίων ὅτι ἡμέρα ἐστίν·
ὃ δὴ εἴρηται ἐστὶ τὸ λέγει Δίων ὅτι ἡμέρα ἐστί, καὶ τὸ ἀλλὰ καὶ ἀληθεύει Δίων·
ἐφ' οἷς συμπέρασμα κατὰ συλλογισμόν, τὸ ἡμέρα ἄρα ἐστὶν ὃ λέγει
Δίων· ἐν δὲ τῷ ἑτέρῳ ἡ μὲν παραλειπομένη πρότασις, οὗ τὸ ἀληθὲς
ἐστὶν ὁ τὸ ὂν λέγων ὅτι ἐστίν, ἀληθεύει· διηρημένη δὲ ἡ, Δίων δὲ
ἡμέρας οὔσης, καὶ λέγει ὅτι ἡμέρα ἐστίν· αὕτη γὰρ διῄρηται δέ τε
τῷ, λέγει Δίων ὅτι ἡμέρα ἐστί· καὶ τῷ, καὶ ἡμέρα ἐστί· συμπέρασμα
γὰρ συλλογιστικῶς οὐκ ἔτι ἀμεθόδως, οὕτως ληφθεισῶν τῶν προτάσεων,
τὸ, Δίων ἀληθεύει· ὅθεν δὴ οἱ οὕτως λαμβανόμενοι τῶν, ἐκείνως διαφέ-
ρουσι· τοσοῦτον καὶ οἱ κατηγορικοὶ συλλογισμοὶ τῶν λεγομένων ἀμεθό-
δως περαίνειν: [illegible]
[illegible]

πάντων φησὶ λεγόντων οὐ χαλεπὸν τὸ συνιδεῖν τί αὐτοῖς πρὸς τὸ πλήρη τὸν συ-
λλογισμὸν γενέσθαι· καὶ τί τὸ ἐλλιπὲς ἐλλιπεῖν· ὡς ἐφ' ὧν προειρήκα-
μεν λόγων· δῆλον γὰρ ἐν τούτοις τὸ παραλειπόμενον· ἀλλὰ καὶ ἐφ' ὧν ἄλλο τι
συμπέρασμα ἐπιγίνεται· καὶ οὐ κατὰ τῶν κειμένων συναγόμενον.
ὡς ἔχει ἐπὶ τοῦ, ἐπὶ κυρίου λόγον ἠρωτημένου· τοῦ, ὃ θέλω λέγεις; οὐ δεῖ
προσήκει τὸ γὰρ διαλυθῆναι αὐτὰ· τὸ δ' αὖ [illegible], οὐδὲ πρὸς
ζήτησις.

ἀλλ' οὐ τοῦτο, τὸ συναγόμενον· ἀλλ' ὅτι τὸ διαλυθὲν οὐδὲν πρὸς ἡμᾶς· ἐν τῷ πρώτῳ
σχήματι. ὁμοίως καὶ ἐπὶ τοῦ παρὰ μὲν ἰδίου λόγου· συνάγοντος ὅτι ἐάν
τὸ ὄν· ἐκ τῶν τὸ παρὰ τὸ ὄν, οὐκ ὄν· τὸ οὐκ ὄν, οὐδέν· καὶ γὰρ ἐν τούτῳ δεῖ τὸ
συναγόμενον φανερόν ἐστι· συνάγεται γὰρ ἐκ τῶν κειμένων, τὸ παρὰ
τὸ ὄν, μηδὲν εἶναι· ἐν πρώτῳ σχήματι. ἀλλ' οὐ τό, ἐν ἄρα τὸ ὄν ὡς ἐκεῖνος
οἴεται· δεῖ γὰρ καθόλου τὸ συμπέρασμα, ἐκ τῶν ἄκρων τῶν εἰλημμένων
ἐν ταῖς προτάσεσι ταῖς δύο συνάγεσθαι. ἄκροι δέ εἰσιν ἐν προτάσεσιν
οἱ ἅπαξ εἰλημμένοι ἐν τῇ θέσει τῶν προτάσεων. ὁ γὰρ ἐν ἀμφοτέ-
ροις κείμενος ταῖς προτάσεσι καὶ ἑκατέρῳ τῶν ἄκρων συναπτόμενος,
ὅρος μέσος ἐστίν. ἐπ' ἐνίων μὲν οὖν, ὡς ἔφην, ῥᾷον τὸ φωρᾶσαι τὸ
κατὰ τὸν λόγον ἀμφισβητεῖσθαι. ἐπ' ἐνίων δέ, οὐ ῥᾴδιον συνιδεῖν. ἀλλὰ
δοκοῦσι συλλογισμοὶ εἶναι, οὐκ ὄντες. διὰ τὸ τοῖς κειμένοις ἕπεσθαι
τὸ ἐπιφερόμενον ἐξ ἀνάγκης· ὡς ἐφ' οὗ λέγει καὶ αὐτὸς ἐρωτωμένου δῆλον
ἐστι καὶ ἐφ' οὗ αὐτὸς παρατίθεται παράδειγμα τοῦ μὴ οὐσίας ἀναι-
ρουμένης μὴ ἀναιρεῖσθαι οὐσίαν· ἐξ ὧν δέ ἐστι τὸ ἀναιρουμένων,
καὶ τὸ ἐκ τούτων φθείρεσθαι· καὶ γὰρ τούτων, ἀναγκάζονται τὸ οὐσίας μέ-
ρος εἶναι οὐσίαν· οὐ μὴν συλλογιστικῶς δέδεικται. ἀλλ' ἐλλείπουσι
τινὲς προτάσεις, πρὸς τὸ γενέσθαι συλλογισμόν· τοῦτ' ἔστιν οὐχ ἃ
ἔδει ληφθῆναι κεῖνται. ἀλλ' αἳ τὸ δύνασθαι τὸ ἐξ ὧν ἂν δει-
χθείη συλλογιστικῶς τὸ δέον, καὶ παρέθηκε. ἂν δὴ δέῃ ἐκεῖνα μετα-
ληφθῆναι δέον αὐτῶν ἐλλείπει, ἢ προσληφθῇ τὸ λεῖπον· συλλο-
γισμὸς ἔσται. τῷ μὲν γάρ, οὐσίας μὴ ἀναιρουμένης μὴ ἀναιρεῖ-
σθαι οὐσίαν, ἴσον δύναται ἢ λέγοιτο τὸ συναναιροῦν οὐσίαν,
οὐσία ἐστί· πάλιν δὲ τῷ λέγοντι ὅτι ἐξ ὧν ἐστιν ἀναιρουμένων
καὶ τὸ ἐκ τούτων φθείρεται, προσληπτέον ὡς λεῖπον, τό, καὶ διὰ τῶν
μερῶν τὸ ὅλον· ἔσται γὰρ ἀληθὲς καὶ τὸ τῶν μερῶν ἀναιρουμένων,
καὶ τὸ ἐκ τούτων φθείρεσθαι ὥσπερ εἶπεν, τό, καὶ τῶν τῆς οὐσίας μερῶν
ἀναιρουμένων, καὶ τὸ ἐξ αὐτῶν φθείρεσθαι ὡς τοῦτο, τὰ μέρη τῆς
οὐσίας, συναναιρεῖ οὐσίαν· τὸ συναναιροῦν τὸ οὐσίαν, οὐσία·
ἐκ τούτων συνάγεται συμπέρασμα τό, τὰ μέρη τῆς οὐσίας ἄρα

οὐσία· ἐν πρώτῳ σχήματι. ἀλλ᾽ αἴτιος ὢν τῶν ἄλλων προτάσεων ἑλκυ-
φθῆσαν ἐν τῷ λόγῳ καὶ παρὰ μὲν ἰδίου καὶ ἐπικύρου:·

πλὴν ἔσται ἀναγκαῖον ὄντος ἀναγκαίου ζῷον εἶναι καὶ ζῴου οὐσίαν ἀναγκαῖον
ἀνθρώπου οὐσίαν εἶναι· οὐ γὰρ ἔχουσιν αἱ προτάσεις ὡς εἴπομεν:·

Ἐπεὶ καὶ τοῦτο τὸ παράδειγμα ὡς ἔχον μὲν ἐξ ἀναγκαίων τοῖς ἐκκειμένοις ἑπόμενον τῷ γὰρ αὐτοῦ ὄντος ζῷον εἶναι· καὶ ζῴου ὄντος οὐσίαν εἶναι τό, αὐτοῦ ὄντος οὐσίαν εἶναι· οὐ μὴν συλλογιστικῶς· οὐ γὰρ ἔχουσιν αἱ προτάσεις ὡς εἴρηται δεῖν ἔχειν ἵνα μέλλῃ συλλογισμὸς ἔσεσθαι. ἔστι δὲ τοῦτο, τό, δεῖν ἢ ἀμφοτέρας εἶναι τὰς προτάσεις καθόλου, ἢ πάντως γε τὴν ἑτέραν. ἐνταῦθα δὲ οὐδεμία ἀληπτέα καθόλου. τὸ μὲν τοίνυν καθόλου ἀληθῆ εἶναι τὴν παρακειμένην· ὡς δέδεικται, συλλογισμὸς ἔσται, ἀληθὲς δοκεῖ τὸ τοῖς ἐκκειμένοις ἕπεσθαι τοῖς δυσίν. ἔστι δὲ ἡ καθόλου πρότασις· πᾶν τὸ ἑπόμενόν τινι ἕπεται καὶ ᾧ ἐκεῖνο ἕπεται· ἐν δὲ τῷ, εἰ αὐτοῦ ὄντος, ζῷόν ἐστι καὶ ζῴου ὄντος, οὐσία τῷ μὲν ζῴῳ ἕπεται ἡ οὐσία. τῷ δ᾽ ἀνθρώπῳ ἕπεται τὸ ζῷον. καὶ τῷ ἀνθρώπῳ ἄρα ἕπεται ἡ οὐσία. ἢ καὶ οὕτως· ἐν οἷς δείκνυται ὅτι ἕπεται τὸ πρῶτον τῷ δευτέρῳ· καὶ τὸ δεύτερον τῷ τρίτῳ, ἐν τούτοις ἀκολουθεῖ καὶ τὸ πρῶτον τῷ τρίτῳ. ἐν δὲ τῷ ἀνθρώπῳ καὶ τῷ ζῴῳ καὶ τῇ οὐσίᾳ δείκνυται· ἀκολουθεῖ τῷ μὲν ἀνθρώπῳ τὸ ζῷον. τῷ δὲ ζῴῳ ἡ οὐσία. ἐν τούτοις ἄρα ἀκολουθήσει καὶ τῷ ἀνθρώπῳ ἡ οὐσία. ληφθείσης γὰρ τῆς καθόλου τῆς προειρημένης τῇ προσληφθείσῃ ταύτῃ τοῦ αὐτοῦ δὲ ὄντος ζῷόν ἐστι· καὶ ζῴου οὐσία, συνάγεται συλλογιστικῶς τὸ καὶ αὐτοῦ ὄντος οὐσίαν εἶναι· ὅτι γὰρ οὐ παρὰ τῶν κειμένων ἀκολουθίαν τὸ συμπέρασμα· ἀλλὰ παρὰ τὸ τὴν καθόλου ἀληθῆ εἶναι ἣν προσελάβομεν, δῆλον ἂν γένοιτο ἐπ᾽ ἄλλων τινῶν ἀκολουθίαν προχειρισαμένοις· ἀληθῆ μὲν αὐτῶν, οὐκ ἔτι δὲ τὸ ἀληθὲς καθόλου τε λαμβανόμενον· οἷά ἐστιν ἡ τοιαύτη τὸ α τοῦ β πήχει ὑπερέχει· καὶ τὸ β τοῦ γ πήχει ὑπερέχει· οὐκ ἔτι γὰρ καὶ τὸ α τοῦ γ πήχει ὑπερέξει· ψεῦδος γὰρ τοῦτο. ἡ δ᾽ αἰτία τούτου ὅτι καὶ ἡ καθόλου ψευδής· ἡ λέγουσα ὅτι τινὸς ὑπερέχει μέτρῳ τινί· καὶ ἄλλο τοῦ αὐτοῦ, καὶ τὸ πρῶτον τοῦ τρίτου τῷ αὐτῷ ὑπερέξει·

δῆλον δὲ ἐστὶ διὰ τούτων καὶ τοῦ διὰ τριῶν λεγομένου λόγου· ἐξ ὧν μὲν λέγ-
ειν τὸ ἑπόμενον· τῷ, τοῦ πρώτου ὄντος, τὸ τρίτον εἶναι· οὐ μὴν συλλογιστικῶς·
οὐδ᾽ εἶναι τὸν διὰ τριῶν λόγον, συλλογισμόν· οὐδὲ ὅλως τὸν δι᾽ ὅλων τῶν ὑπο-
θετικὸν λεγόμενον· διὸ καὶ μᾶλλον δοκεῖ ἀληθεύειν ἐπὶ τοῦ παραδείγματος
τοῦ, πάλιν εἰ ἀνθρώπου ὄντος ἀνάγκη ζῷον εἶναι, εἰρημέναι τό, ἀλλ᾽ οὔπω
συλλελόγισται· οὐ γὰρ ἔχουσιν αἱ προτάσεις ὡς εἴπομεν· ὅτι μὲν δὲ
κατηγορικῶς μηδὲν καθόλου ἐλήφθη σαφές· ἔστι γὰρ συλλογισμὸς καὶ δεῖται τοῦ ὑπάρ-
χειν ἢ μὴ ὑπάρχειν δεικνύναι· δῆλον δὲ τὸ πάλιν τὸ εἰ ἀνθρώπου ὄντος ἀνάγκη
ζῷον εἶναι, καὶ ζῴου οὐσίαν· ἀληθεύεται ὡς μὴ συλλογιστικῶς· αἴτιον,
ὅτι ἀδιόριστοι αἱ προτάσεις· ἢ ἄνθρωπος ζῷον· καὶ τὸ ζῷον οὐσία· λεγέσθω
μὲν τὸ περὶ τούτων ἐν τοῖς ἑξῆς φανερώτερον· φανερῶς δὲ καὶ τὴν δια-
φορὰν τοῦ ἀναγκαίου καὶ τοῦ συλλογισμοῦ δηλοῖ δι᾽ ὧν ἐπενήνοχεν·
ὧν δὲ χάριν ταῦτα προσέθετο εἴπομεν, ἔστι τό, ὥστε οὐκ εἴ τι συμβαίνει
τεθέντων τινῶν, πειρατέον ἀνάγειν εὐθέως· ὅταν γὰρ συλλογιστικῶς
συμβαίνῃ τι, τότε δεῖ ἀνάγειν εἴς τι τῶν σχημάτων ὡς ὄντα συλλογισμόν.
ἀλλ᾽ οὐχ ὅταν ἁπλῶς ἐξ ἀνάγκης συμβαίνῃ τι· ἃ δὲ οὕτως ταῦτα
λέγοιτο· εἰ καὶ αὐτὸ καὶ ἐν τῷ τοῦ συλλογισμοῦ ὅρῳ, τό, τεθέντων, ἀπὸ τοῦ
κατηγορικῶς ληφθέντων εἰρημένον· ἰστέον τό, εἶναι ἢ μὴ εἶναι ληφθέν,
ἀλλ᾽ οὐχ ὑποτεθέντων· ἐπεὶ μὴ συλλογιστικῶς τοῖς ὑποθετικοῖς τὸ ἀναγ-
καῖον ὡς ἑπόμενον ἕπεται· εἰπὼν δὲ διὰ μέσου ταῦτα, ἐπανῆλθεν
ἐπὶ τὸ προειρημένον τό, ὅτι πρῶτον ληπτέον τὰς δύο προτάσεις.
ῥᾷον γὰρ ὡς εἴπομεν εἰς τὰ μεγάλα καὶ συγκείμενα διαλύειν· εἶτα οὕτως
ἐκ τῶν προτάσεων τοὺς ὅρους ἐκληπτέον· καὶ μέσον τῶν ὅρων θετέον
τὸν ἐν ἀμφοτέραις οὖν ταῖς προτάσεσιν· ὁ γὰρ δὶς λαμβανόμενος
καὶ ἑκατέρωσε τεθειμένος τῶν ὅρων ἐν πᾶσι τοῖς σχήμασιν, οὗτος
ἐστὶν ὁ μέσος ὅρος· τοιοῦτος γὰρ ὁ μέσος ἐν τοῖς τρισὶ σχήμασιν:·

ἐὰν μὲν οὖν κατηγορικὴ ᾖ κατηγορικῇ τὸ λοιπόν·

Μετὰ τὸ λαβεῖν τὰς ἐμπειρίας τοῦ συμπεράσματος καὶ τὰς προτάσεις καὶ τοὺς ὅρους
ἐκλαβεῖν ἀπ᾽ αὐτῶν ῥᾴδιόν ἐστιν ἡ ἀναγωγὴ εἰς τὸ οἰκεῖον σχῆμα
τοῦ ἀναγομένου συλλογισμοῦ· ἡ γὰρ τοῦ μέσου πρὸς τὰ ἄκρα σχέσις, τοῦτο

φανερὸν ποιεῖ. ἂν μὲν γὰρ ὁ μέσος ἐν ἀμφοτέραις ὢν ταῖς προτάσεσιν,
οὕτως ἔχῃ ὡς τοῦ μὲν κατηγορεῖσθαι αὐτῶν, τοῦ δὲ ὑποκεῖσθαι, πρῶτον
ἐστὶ σχῆμα. τοῦτο γὰρ δηλοῖ, τὸ κατηγορεῖν καὶ τὸ κατηγορεῖσθαι. τὸ γὰρ κατη-
γορεῖσθαι σημαίνει τὸ ὑποκείμενον ὅταν ᾖ τι κατηγορούμενον αὐτοῦ
καταφατικῶς. ὁμοίως κἂν αὐτὸ μὲν τινὸς κατηγορῆται, ἄλλο δὲ αὐτοῦ
ἀποφάσκηται. ἐὰν δὲ ἀμφοτέρων κατηγορῆται τῶν ἄκρων, ἀλλὰ τοῦ
μὲν καταφατικῶς, τοῦ δὲ ἀποφατικῶς, ἐν δευτέρῳ σχήματι ὁ συλλο-
γισμός. ἄλλως γὰρ ἔχοντος τοῦ μέσου πρὸς τοὺς ἄκρους ὧν κατηγορεῖται,
ἔσται μὲν ἐν δευτέρῳ σχήματι ἡ συζυγία, ἀλλ' οὐ συλλογιστική. ἐὰν δὲ
τὰ ἄκρα. τοῦτο γὰρ ἔπεται ἀλλὰ τοῦ μέσου ἀμφότερα κατηγορῆ-
ται ἢ καταφατικῶς ἢ θατέρου μὲν καταφατικῶς, θατέρου ἀποφατικῶς,
ὁ συλλογισμὸς ἐν τρίτῳ σχήματι. ὁμοίως δὲ ἂν ἀχθήσονται οἱ συλλογισμοί,
κἂν μὴ ἀμφότεραι ὦσιν αἱ προτάσεις καθόλου ἀλλ' ἡ ἑτέρα μόνον. καὶ γὰρ
καθόλου οὐσῶν τῶν προτάσεων ἀμφοτέρων, καὶ τῆς ἑτέρας μόνης,
[illegible] τοῦ μέσου πρὸς τοὺς ἄκρους ἡ σχέσις· καὶ κατὰ τὰς τῶν σχέσεων δια-
φορὰς αἱ τῶν σχημάτων διαφοραί. δῆλον δέ φησι καὶ ἐκ τῶν εἰρημένων
εἶναι τοῦτο. ὅτι ἐν ᾧ λόγῳ ὁ αὐτὸς πλεονάκις οὐ καταλήπτεται, οὗτος οὐ
κἔστι συλλογισμός. ἀδύνατον γὰρ συλλογισμὸν γενέσθαι χωρὶς μέσου ὡς
δέδεικται, μέσον δὲ ἐστὶν ἐν παντὶ σχήματι ὁ δὶς λαμβανόμενος:

ἐπεὶ δὲ ἔχομεν ποῖον ἐν ἑκάστῳ σχήματι περαίνεται τῶν
προβλημάτων.

Καὶ λοιπὸν ἦν ὁδὸν ἡμῖν τῆς ἀναλύσεως τῶν συλλογισμῶν τῆς εἰς τὰ σχήματα,
ὑπογράφει. ἐπεὶ γὰρ τῶν τεσσάρων ὄντων τῶν προβλημάτων ἔχομεν
ποῖον ἐν ἑκάστῳ σχήματι δείκνυται, λαβόντας χρὴ τὸ πρόβλημα καὶ τὸ
συμπέρασμα, δι' οὗ σχήματος τοῦτο συνάγεσθαι πέφυκεν, ἐν τούτῳ
ζητεῖν ἢ μὴ ἐν πᾶσιν. ἐπὶ μὲν τοῦ καθόλου καταφατικοῦ, ῥᾴδιον τοῦτο.
ἐν γὰρ τῷ πρώτῳ σχήματι μόνῳ τοῦτο δείκνυται τὸ πρόβλημα. τῶν δὲ ἄλ-
λων προβλημάτων, τὸ μὲν καθόλου ἀποφατικὸν διά τε τοῦ πρώτου δεί-
κνυται σχήματος καὶ διὰ τοῦ δευτέρου. μοναχῶς μὲν διὰ τοῦ πρώτου, διχῶς
δὲ διὰ τοῦ δευτέρου. τὸ δὲ ἐπὶ μέρους καταφατικὸν πάλιν διά τε τοῦ
πρώτου.

ἢ διὰ τοῦ β΄ ἴσον. μοναχῶς μὲν διὰ τοῦ πρώτου, β΄ χῶς δὲ διὰ τοῦ β΄ ἴσου. τὸ δὲ
ἐπὶ μὲν β΄ ... ἀποφαντικοῦ, ἢ διὰ τοῦ πρώτου ἢ διὰ τοῦ δευτέρου· ἢ διὰ τοῦ γ΄·
μοναχῶς μὲν διὰ τοῦ πρώτου· διχῶς δὲ διὰ τοῦ δευτέρου· β΄ χῶς δὲ διὰ τοῦ γ΄·
ἐπὶ δὲ τῶν πλεόνων σχημάτων δεικνυμένων προβλημάτων· ἐπιβλεπτέον
μὲν ἢ ἐκ δυοῖν μὲν ἄλλων δὲ ... πολλάκις· οὐ μὴν ἀλλ' ἢ γνώριμον
ποιήσει τὸ σχῆμα, ἡ τοῦ μέσου θέσις· ὁ μὲν γὰρ ὁ αὐτὸς ὑποκείμενος καὶ κατη-
γορούμενος ἦν, τὸ πρῶτόν ἐστι σχῆμα· ὁ δὲ μόνον κατηγορούμενος, τὸ δεύ-
τερον· ὁ δὲ μόνον ὑποκείμενος, τὸ γ΄ ἴσον:· πολλάκις μὲν ἀπατᾶσθαι
συμβαίνει περὶ τοὺς συλλογισμοὺς διὰ τὸ ἀναγκαῖον ὥσπερ εἴρηται πρότερον·
ἀ πο ἐπιζητήσας τις αἰτίαν τοῦ φαινόμενος, πῶς ἐν ὁρισμὸς τοῦ συλλογισμοῦ ἀ-
ποδεδομένος λόγος ἐστὶν ἢ ἄλλοι οἱ λόγοι ἐν οἷς τεθέντων τινῶν ἕτερόν τι
λ τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει· ἢ λέγει περὶ τούτοις τοῖς λόγοις ὡς προείρη-
ται ἐπάνω ... ἀπατᾶσθαι· οὐ γὰρ διὰ τὰ κείμενα τὸ ἀναγκαῖον ἐν
τούτοις ἀλλὰ παρὰ τὸ ἀληθὲς εἶναι τὸ καθόλου παραλειπόμενον πρὸς τὴν ...,
ἵν' εἴη συλλογισμὸς ἢ αὐτός· ὁ δὲ δι' ὅλων ὑποθετικὸς ἢ αὐτὸς ἀποκρίνοιτο
:τσ αὐτὸ συλλογισμοῦ τεθέντων· ἐπεὶ ἄχρι τούτου τὸ ἐπὶ τοῖς κειμένοις
συμπέρασμα· ἀλλ' οὐ ταὐτὸν τὸ εἶναι δὲ ἐξ ἀνάγκης τί ποτ' ἐχρῆν τῶν ἄλλων
τῶν συλλογισμῶν ποιεῖσθαι. νῦν ὑπογράφει ἵνα δὲ φυλάττεσθαι ὡς
δεικνύμενα ἢ ἐξαπατᾷ πρὸς τὸ οἴεσθαι τοὺς μὴ συλλογισμοὺς εἶναι
λέγειν παρωνυμίας ... τοὺς μὴ συλλογισμούς· πρῶτον μὲν οὖν οὐ χρὴ πρὸς τὸ
ἀναγκαίως ἕπεσθαι τοῖς κειμένοις τὸ ἐπιφερόμενον, βλέπειν μόνον, οἴεσθαι
ἢ δεῖσθαι συλλογισμὸν εἶναι τὸν λόγον· ἅπαντι γὰρ ἦν ... παρὰ τοῦ τὸ
εἰρημένον δὲ περὶ τούτου ... ἐπὶ πλέον τὸ ἀναγκαῖον τὸ ἐν λόγοις,
τοῦ ἐν συλλογισμοῖς· αὐτὸ γὰρ ἀπατώμεθα, διὰ τὴν ὁμοιότητα τῆς τῶν ὅρων
θέσεως· οὐ δεῖν γὰρ ... διαφέρειν· ἢ ἀδιορίστως θεῖναι τὴν πρότασιν,
ἢ καθόλου· διὸ ἢ προτείνοντας τινὸς ἀδιόριστον πρότασιν, συγχωροῦμεν
ὡς οὐδὲν διάφορον οὖν ... τῇ καθόλου· τοιούτων δὲ ληφθεισῶν, οὐ γί-
νεται συλλογισμός· ἢ ὅλως ἢ διὰ παρὰ ... σημειωτέα· λέγει
ἐπὶ μὲν τοῦ α΄· τὸ ἀεὶ εἶναι· ἐπὶ δὲ τοῦ β΄· διανοητὸν ἀριστομένων· ἐπὶ δὲ
τοῦ γ΄· ἀριστομένω· οἱ ὅροι κατηγορήσας τὸ μὲν ἅπαν τοῦ β΄· ἀδιορι-

τὸ ἀεὶ εἶναι καὶ τοῦ διανοητοῦ ἀφωρισμένως ἀληθές ἐστιν· διανοητὸς γὰρ ἀφωρισμένως
ἀεὶ ἔστιν· τουτέστιν, οἷόν τε ἀεὶ διανοεῖσθαί τινα ἀφωρισμένως· ἢ διανοεῖσθαι
τινὰ περὶ ἀφωρισμένως. τὸ δὲ β καὶ τὸ τοῦ γ· καὶ γὰρ τοῦτο ἀληθές, τὸ τὸν ἀφωρισμένον
ἀδύνατον τὸ β· οὐκέτι φημὶ ἀληθὲς γίνεσθαι τό, τὸ ἀκολουθεῖν τοῦ γ τὸ ἀεὶ εἶναι καὶ τοῦ
ἀφωρισμένως, ὅπερ ἐστὶ τὸ ζῷον σῴζεσθαι διηνεκῶς· οὐ γὰρ ἀεὶ ἔστιν ἀφωρισμένως,
φθαρτὸς γάρ· οὕτως δὴ δεῖ ἐκδιαβάλλεσθαι τοῦ πρώτου σχήματος ἐν πρώτῳ συ-
μπλοκή· καὶ ὁ πρῶτος συλλογισμὸς εἶτε ἀληθῶν οὐσῶν τῶν προτάσεων τὸ συμπέ-
ρασμα ψεῦδος· ἀλλὰ τούτου αἴτιον, τὸ μὴ συλλογιστικῶς ληφθῆναι τὰς προ-
τάσεις· ἀδιορίστως μὲν γὰρ λαμβανομένη ἡ α β πρότασις ἀληθὴς εἶναι
δύναται· ἡ λέγουσα διανοητὸν ἀφωρισμένως ἀεὶ εἶναι· ἂν μὲν καθόλου διαληφθῇ
ἢ τ' αὐτὴ πᾶς ὁ διανοητὸς ἀφωρισμένως ἀεί ἐστι, ψευδής· ὁ γὰρ λέγων πᾶς ὁ δια-
νοητὸς ἀφωρισμένως ἀεί ἐστιν· οὐκέτι λαμβάνει πάντα τὸν διανοητὸν ἀφωρισμένως,
ἀεὶ εἶναι δύνασθαι· ἀλλ' ἀφωρισμένως ὧν ὑπάρχει διανοητῷ εἶναι, ἀεὶ εἶναι· ὁ γὰρ
διανοητὸς ἀφωρισμένως καὶ ἡ ἀδιόριστος ἡ λέγουσα διανοητὸς ἀφωρισμένως ἀεί ἐστι,
ψευδὴς ἂν εἴη αὕτη· τῷ μηδένα ἀφωρισμένως ᾧ συμβέβηκε διανοητῷ
εἶναι, δύνασθαι ἀεὶ εἶναι· νῦν δὲ ἄλλο μὲν ἐπ' ἐκείνης τῆς ἀδιορίστου ἐσημαίνετο.
ἄλλο δὲ τὸ σημαινόμενον καὶ ἀλλοῖον ἐγένετο, τοῦ, πᾶς προστεθέντος· ἐπεὶ
ἀεὶ προστεθέντος τοῦ, πᾶς· τοῦτο ἐσημαίνετο· ἣν ἂν καὶ ἡ καθόλου ὁμοί-
α τῇ ἀορίστῳ ἀληθής· πᾶς γὰρ ἀφωρισμένως ἀεὶ διανοητός ἐστι· διὸ οὐ ταὐτὸν τὸ
νῦν εἰρημένον τῷ πρὸ ὀλίγου· ὅτε ἔλεγε πάλιν ἀεὶ οὐσίαν τὸν
ἀναγκαῖον εἶναι· οὕτως δὲ λαμβανομένης ἀναγκαίου συλλογιστικῆς γίνε(ται)·
ἀλλ' οὐκ ἀδιορίστως: δεῖ γὰρ ἐν τῷ πρώτῳ σχήματι τὴν μείζονα πρότασιν
ἀεὶ καθόλου εἶναι. χρῆται δὲ καὶ ἄλλῳ παραδείγματι πρὸς τὴν αὐτοῦ ἀπόδειξιν.
λαμβάνει γὰρ ἐπὶ τοῦ γ Μίκκαλον· ἐπὶ δὲ τοῦ β, μουσικὸν Μίκκαλον· ἐπὶ δὲ
τοῦ α, τὸ φθαρήσεται αὔριον. ἐπεὶ τὸ μὲν β, τοῦ γ κατηγορεῖται· μουσικὸν γὰρ Μί-
κκαλον Μίκκαλον· ὡς ἀληθές ἐστι· τὸ γὰρ εἷς ἔστιν ὁ Μίκκαλος μουσικός· τὸ δὲ
α τοῦ β· φθαρήσεται αὔριον καὶ ὁ μουσικὸς Μίκκαλος· ὡς ἐνδεχόμενον δὲ
λαμβάνει τοῦτο, ὡς καὶ τὸ διανοητὸν ἀφωρισμένως ἀεὶ εἶναι. ἢ ὡς Μικκάλου
μουσικοῦ φθαρομένου αὔριον· τῷ ἀποβαλεῖν τὴν μουσικήν· τούτων γὰρ ὄν-
των ἀληθῶν, οὐκέτι φημὶ ἀληθῶς τὸ α τοῦ γ κατηγορεῖσθαι· τὸ φθαρήσεται αὔριον

διὰ τὸ τοῦ μικκάλου ἐξ ὑποθέσεως γὰρ ἀληπτέα καὶ τὸ μὴ φθείρεσθαι αὔριον μουσικὸν μίκκαλον ἀποβαλεῖν αὔριον τὴν μουσικήν. οὐ γὰρ δεῖ φησὶν ἀξιοῦν εἶναι τὸ ἀδιόριστον ληφθῆναι τὴν μείζονα πρότασιν. τῷ ἐγχωρεῖ λέγοι τὸ πάντα μουσικὸν μίκκαλον αὔριον φθαρῆναι ὡς ἀδιορίστως μὲν αὐτῆς λαμβανομένης ἀληθοῦς οὔσης, καθόλου δὲ ἐμμένει ἀληθοῦς. μὴ γὰρ ἀληθὲς τὸ πάντα τὸν μουσικὸν μίκκαλον αὔριον φθαρῆναι ὡς ἀδιορίστως μὲν αὐτῆς λαμβανομένης. ἐνδέχεσθαι αὔριον φθαρῆναι. τοῦτο δὲ ἦν ἀληθῶς λέγων, ψεῦδος εἶναι. ἢ διὰ τὸ ἀληφθῆναι ὑπόθεσιν τοιαύτην τινὰ ἢ ὅσα φησὶ μικρῷ ὕστερον. λαμβάνουσι γὰρ ὑποθέσεις οὐ καὶ δυνατάς. τό τε μὴ φθείρεσθαι αὔριον τὸν μουσικὸν μίκκαλον καὶ τὸ ἀποβαλεῖν αὐτὸν αὔριον τὴν μουσικήν. ὥστε γὰρ δυνατὰ ταῦτα οὖσι τοῖς ἐν ἀμφοτέραις ταῖς προτάσεσι λαμβάνειν ὄντος δεδυνῆσθαι ἀδύνατον ἑπόμενον. ἢ λέγοι ἂν ψεῦδος εἶναι πάντα τὸν μουσικὸν μίκκαλον ἐνδέχεσθαι φθαρῆναι αὔριον, ὅτε ἐνδέχεται τινὰ καὶ μηδέποτε εἶναι μουσικὸν μίκκαλον. ἔσεσθαι δὲ οὐ τέθεικε μὲν ὁ λέγων πάντα τὸν μουσικὸν μίκκαλον ἐνδέχεσθαι μὴ προστεθεὶς τὸ, οὕτως ὡς ἐνδεχόμενον καὶ αὐτὸν φθαρῆναι, οὐ μὴν ἐνδεχόμενον. οὕτω φθαρῆναι, ἕως ὑπόθεσιν ἔλαβε. τό τινα μουσικὸν μίκκαλον φθείρεσθαι. τοῦτο γὰρ ὑποτεθὲν τὸ ἀληθοῦς εἶναι, οὐ πάντως ἕπεται καὶ τοῦ μίκκαλον αὔριον φθείρεσθαι. ζητήσαι δ' ἄν τις διὰ τί οὐκ ἔστιν ἀληθὲς τὸ συμπέρασμα ὡς ἐνδεχόμενον, τὸν μίκκαλον αὔριον ἐνδέχεσθαι φθαρῆναι. καὶ γὰρ ἡ μείζων πρότασις, ἐνδεχομένη ἐλήφθη καὶ οὔσης ἐνδεχομένης, ἐνδεχόμενον ἔσται καὶ τὸ συμπέρασμα, ἢ τὸ α τοῦ γ ψεῦδος εἶπεν, ὡς εἰ ὄντως, τὸ δὲ λέγειν ἐπὶ τούτοις συλλογιστικῶς τὸ α τοῦ γ κατηγορεῖσθαι ψευδές. καὶ γὰρ εἰ ἄλλως ἀληθὲς, ἀλλ' ὡς ἐν συλλογισμῷ, ψεῦδος. οὐ γὰρ περὶ τοῦ συμπεράσματος ἀκριβολογεῖ τηνικαῦτα. ἀλλὰ μόνον ἡμῖν ἐνδείκνυται τὴν τοῦ ἀδιορίστου καὶ τῆς καθόλου προτάσεως διαφοράν. διὰ τοῦ λαβεῖν τῆς λεγούσης μουσικὸν μίκκαλον αὔριον φθείρεσθαι ἀληθοῦς οὔσης, μὴ πάντως ἀληθῆ γίνεσθαι τὴν λέγουσαν πάντα μουσικὸν μίκκαλον αὔριον φθείρεσθαι. τὸ γὰρ καθόλου μίκκαλος μουσικός, τὴν πᾶς μίκκαλος μουσικός σημαίνει. ἔστι δὲ τὸ λεγόμενον δεῖξαι καὶ διὰ φανερωτέρων παραδειγμάτων. ἔστω ἐπὶ μὲν τοῦ α ἀγαθοῦ.

ἐπὶ τοῦ β, οἰκεῖον· ἐπὶ δὲ τοῦ γ, ἡδονή· τὸ δὴ α καὶ κατὰ τοῦ β κατηγορείσθω· τὸ ἀγαθὸν
καὶ κατὰ τοῦ οἰκείου. ἀλλὰ καὶ τὸ β, καὶ κατὰ τοῦ γ· τὸ οἰκεῖον καὶ κατὰ τῆς ἡδονῆς· ἀληθῶν
δὴ τῶν προτάσεων οὐσῶν, οὐ πάντως τὸ ἀγαθὸν κατὰ τῆς ἡδονῆς· ἀληθῶν
δὴ τῶν προτάσεων οὐσῶν, οὐ πάντως τὸ ἀγαθὸν κατὰ τῆς ἡδονῆς· ὅτι μὴ εἰλήφθη
τὸ ἀγαθὸν κατὰ παντὸς τοῦ οἰκείου ἀλλ' ἀδιορίστως. ἀλλὰ κἂν λαμβάνηται ὅτι ἡ
ποιότης, ποιὰ τὸ ποιοῦν σῶμα, οὐ συλλογίζεται ἡ ποιότης ὁρατὸν σῶμα· οὐδὲ
γὰρ εἴληπται πᾶν τὸ ποιοῦν σῶμα, ψεῦδος γάρ· ἀδιορίστως γὰρ ληφθέν, ἀληθὲς
μέν, ἀσυλλόγιστον δέ· ὁμοίως δὲ καὶ τὸ μὲν ἄλογον, λαμβάνῃ ζῷον εἶναι· τὸ δὲ ζῷον
γένος· οὐ γὰρ καὶ τὸ ἄλογον γένος, κἂν κατά τε τοῖς τοιούτοις ἢ ἅπαντα. διὰ τὸ τὸ καθόλου
ἐφαρμόζειν τὸ ἀδιόριστον· ἡ γὰρ τοῦ ἀδιορίστου ἴσον τῷ καθόλου δυνάμενον,
συγχωροῦσιν ἐνδέχονται· πλεῖστον δὲ διαφέρει· τὸ μὲν γὰρ καθόλου καὶ ἀδιορίστως
ἐστὶν ἀληθές· τὸ δὲ ἀδιορίστως ἀληθές, οὐ καὶ τὸ καθόλου ἐξ ἀνάγκης. τοιούτων
οὖν καὶ τούτων ἀπάτην γίνεσθαι φησὶ διὰ τὸ παράμικρον· ὡς γὰρ οὐδὲν
διαφέρον καθόλου προτεῖναι λαμβάνειν ἢ ἀδιόριστον· συγχωρήσαντες τῷ καθόλου
ὡς ἀδιόριστον ἀπατῶνται:

πολλάκις δὲ διαψευδόμεθα [illegible]
[illegible] παρὰ τὸ μὴ καλῶς ἐκτίθεσθαι τοὺς ὅρους·

[Π]αρὰ λόγον ἀναλύοντας τοῦτο, ἡ ἄγνοια οὐδὲν ἡ νόσος αὐτῷ· τὸ νοσεῖν ὑπάρχει καὶ ἀγνοῶ·
αὐτίκα φαμὲν οἱ τοὺς ὅρους μὴ τὸ καὶ ἄγνοιαν καὶ τὸ νοσεῖν λαμβάνοιμεν ἀλλ' ἀνόητον
τε καὶ ἄγνοιαν, εἴ γε αὐτοῦ τὴν μὲν ἀπάτην ἐς ἄλλον· ἀλλ' ἂν γὰρ ἀπάτης φῆ γίνεσθαι,
καὶ τινὰ αὐτοὺς τῶν ὅρων ὅταν μηδὲ ὄντως γένηται· ὅταν γὰρ ἀντὶ τῶν καθ' ἕξεις
ἕξεις, αὐτὰς τὰς ἕξεις αὐτοῖς ὅροις λαμβάνωμεν· ὡς μηδὲν διαφέρειν οὕτως
ἢ ἐκείνως λαμβάνειν, ἀσυλλογίστους ποιήσομεν τοὺς λόγους· ἐπεὶ γὰρ οὐκ ἔστιν
ἀληθὲς οὐδὲ δυνατόν, ἄνοσος καὶ ὑγιαίνειν· ἡ ἄνοσος νόσος ἐστίν· δύναται μὲν
ἀληθὲς εἶναι τὸ ἄνοσος νοσεῖν εἰ τὸ ὑπάρχειν νοσεῖν ἢ τὸ νοσεῖν ἀγνοεῖ· ἢ πάλιν
τὸ, ἄνοσος καὶ ἀγνοεῖ· ἡ μὲν ὑγίεια καὶ ἡ νόσος αἱ ἕξεις εἰσίν· τὸ δὲ καὶ ἀγνοεῖ καὶ τὸ νοσεῖν
διαθέσεις κατὰ τὰς ἕξεις· ὅταν οὖν τοὺς ὅρους τούτους ἐκτιθώμεθα, καὶ κατη-
γορήσαντες τοῦ ἀνόσου, οὐ τὰς ἕξεις αὐτὰς χρὴ λαμβάνειν· ἀλλὰ τάς, καὶ
τὰς ἕξεις διαθέσεις· εἰ γὰρ ψευδὴ πρότασιν ληψόμεθα, ἢ ἀσυλλόγιστος
ὁ λόγος ἔσται. ἔστω γὰρ λαμβανόμενον ἐπὶ τοῦ α ὑγιαίνειν· ἐπὶ δὲ τοῦ β νόσον· ἐπὶ δὲ
τοῦ γ ἄνθρωπον· ἐπεὶ τὸ α ἐξ ἀνάγκης μηδενὶ τῷ β λαμβανόμενον ἀληθές ἐστιν· ἐξ ἀνάγκης γὰρ

οὐδεμία νόσος ὑγίεια ἐστίν· τὸ δὲ β τῷ γ ὑπάρχειν παντὶ ἐνδεχόμενον, τουτέστι νόσον
παντὶ ἀνθρώπῳ· οὐ γὰρ ἀδύνατον τοῦτο ἔχει· ἐπειδὴ πᾶς ἄνθρωπος δεκτικός ἐστιν
νόσου, δεικνύσθω μὲν συμπεραίνεσθαι τὸ α ἐξ ἀνάγκης τῷ γ ὑγίειαν μηδενὶ ἀνθρώπῳ· ἐπειδὴ
ἀληπτικὴ αὕτη πρώτῳ σχήματι ἀναγκαία μὲν ἡ μείζων· ὑπάρχουσα δὲ
ἡ ἐλάττων· ἐδείκνυτο δὲ αὐτὸ διὰ τῆς τοιαύτης μίξεως· ἀναγκαῖον γίνεσθαι
τὸ συμπέρασμα· ὅπερ ψευδές ἐστιν ἐπὶ τοῦ προκειμένου· τὸ γὰρ ὑγίεια
ἐξ ἀνάγκης μηδενὶ ἀνθρώπῳ, ψεῦδος· τοῦτο δὴ τὸ ἄτοπον φησὶν ἠκολουθηκέναι,
παρὰ τὸ τοὺς ὅρους μὴ καλῶς ληφθῆναι· οὐ γὰρ τὰς ἕξεις ἐν τοῖς ὅροις δεῖ
τεθῆναι· τοῖς α β γ ὑγίειαν καὶ τὴν νόσον· ἀλλὰ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν· ἅ ἐστι
κατὰ τὰς ἕξεις· οὕτω γὰρ ληφθέντων οὐκέτι γίνεται ἀληθὲς τὸ ὑγιαίνειν ἐξ ἀνάγκης
μηδενὶ νοσοῦντι· οὕτως δὲ δεῖ λαμβάνειν· ὅτι τὸ μὲν παντὶ ἀνθρώπῳ νοσεῖν,
ἀδύνατον· ὡς ὑπάρχον ἀληθὲς ληφθῆναι καθ' ὑπόθεσιν· τὸ παντὶ ἀνθρώπῳ
νόσον εἶναι, ἀδύνατον· ὅσον τοῦ ἀνθρώπου κατηγορεῖται, τοῦτο δεῖ μέσον ὅρον τεθῆναι.
ἔστι δὲ τὸ νοσεῖν· οὕτω γὰρ ἀληθὲς τὸ νόσον παντὶ ἀνθρώπῳ εἶναι· ὅτι νοσεῖν οἷόν τε
αὐτόν· οὐχ ὅτι νόσον εἶναι· καὶ γὰρ ὁμοίως τοῦ ἀνθρώπου τὸ ζῷον· καὶ ἡ νόσος κατηγορεῖται.
τὸ μὲν γὰρ τὸν ἄνθρωπον ζῷον εἶναι, ἀληθές· τὸ δὲ νόσον εἶναι, οὐκ ἀληθές· ὅτι
μὴ ἐν τῷ τί ἐστιν αὐτοῦ τῶν τοιούτων τι κατηγορεῖται· οὐδεμία δὲ νόσος ὑγίεια
ἐξ ἀνάγκης καθὸ νόσος· οὐχ οἷόν τε τὴν νόσον ὑγίειαν εἶναι· καὶ ἄλλως τὸ ἀληθὲς καθ'
τῆς πρώτης προτάσεως· ἄλλως ἐπὶ τῆς δευτέρας· ἐπὶ μὲν γὰρ τῆς πρώτης,
τὴν νόσον εἴληφθαι· ἐπὶ δὲ τῆς δευτέρας· ἐπὶ μὲν γὰρ τῆς πρώτης τὴν
νόσον εἴληφθαι· ἐπὶ δὲ τῆς δευτέρας τὸ νοσοῦν· τοῦ δὴ νοσοῦντος
ἂν μὲν τὸ ὑγιαίνειν κατηγορῆται, ἐνδεχόμενον ἀποφατικὸν ἔσται, ἀλλ' οὐ
καὶ ἀναγκαῖα· καὶ τὸ συμπέρασμα τοιοῦτον· τὸ γὰρ ὑγιαίνειν, ἐνδέχεται μη-
δενὶ ἀνθρώπῳ· εἰ δὲ ὑγίεια ἐστὶ καὶ τὸ συμπέρασμα ἀναγκαῖον ἀποφατικόν·
ἐξ ἀνάγκης γὰρ οὐδεὶς ἄνθρωπος ὑγίεια ἐστίν· οὐ μὴν ἀληθὲς ἔτι, ἡ τὴν νόσον
παντὸς ἀνθρώπου κατηγορουμένου οὕτως, ὡς λέγειν τὸν ἄνθρωπον νόσον εἶναι· εἰ δὲ
τὸ ὑπάρχειν πρὸς θάτερα, οὐ τὸν ἄνθρωπον λήψεται μέσον· καλῶς ληφθέντων
γὰρ τῶν ὅρων ἀπὸ τῶν ἕξεων εἰς τὰ κατὰ τὰς ἕξεις, οὐκέτι σταθήσεται συλλο-
γισμὸν τοῦτον ὃν ἔλεγεν· ἐξ ἀναγκαίας ἀποφατικῆς τῆς μείζονος καθόλου
καὶ καταφατικῆς ὑπαρχούσης τῆς ἐλάττονος ἐν πρώτῳ σχήματι· οὐκέτι γὰρ

ἡ ἐλάττων ἡ καθόλου ἀποφατικὴ ἀναγκαία· ἀλλ' ἐνδεχομένη. ὅτι τοῦ μὲν ἀναγκαίου
συλλογισμὸς οὐκ ἔσται· τοῦ δὲ ἐνδεχομένου ἔσται. κείσθω γὰρ ἡ μὲν μείζων,
ἐνδεχομένη ἀποφατικὴ καθόλου· τὸ ὑγιαίνειν οὐδενὶ νοσοῦντι ἐνδέχεται ὑπάρ-
χειν. ἡ δὲ ἐλάττων καθόλου καταφατική· ἡ ἐνδεχομένη καὶ αὐτή· τὸ νο-
σεῖν παντὶ ἀνθρώπῳ. ὅπως δ' ἂν ἔχῃ, συλλογιστικὴ μὲν ἡ συζυγία ἐν πρώτῳ
σχήματι· οὐ μὴν ἔσται ἀλλὰ τοῦ ἐνδέχεσθαι τὸ συμπέρασμα. ὡς καὶ αὐτὸς ἀπο-
ἐνδέχεται γάρ φησι μηδενὶ ἀνθρώπῳ ὑπάρχειν ὑγείαν. ὅτι δὲ ἔστι, τῷ ἐνδέχεσθαι
μηδένα ἄνθρωπον ὑγιαίνειν· τὸ γὰρ ὑπάρχειν ὑγείαν ἢ νόσον, τὸ ὑγιαίνειν ἢ νοσεῖν ση-
μαίνει: λιν ἐπὶ τοῦ μέσου σχήματος, ὁμοίως ἔσται τὸ ψεῦδος·
ἀνακύπτει ἐπὶ τοῦ β σχήματος παρὰ τὴν τῶν ὅρων ὁμοίαν θέσιν, τὸ δοκοῦν συμ-
πέρασμα ψεῦδος γινόμενον διὰ τὸ τὴν πρότασιν τὴν ἐλαμβανομένην ὡς ἀλη-
θεῖαν. ἂν γὰρ λαμβάνωμεν ὑγείαν νόσῳ μὲν μηδεμιᾷ ἐξ ἀνάγκης, ἀνθρώπῳ δὲ
ὑπάρχειν, συνάγεσθαι μὲν δόξει τὸ νόσον ἐξ ἀνάγκης μηδενὶ ἀνθρώπῳ. ψεῦδος
δὲ τοῦτο. ἐπειδὴ ἐπὶ δεκτικοῦ ὄντος νόσου, ὥσπερ καὶ ὑγείας. ἀλλ' οὐχ ὁ-
μοίως ἀληθής, ἡ λέγουσα ὑγείαν μηδεμιᾷ νόσῳ. οὕτως ἀληθὴς ὡς λέγουσα,
οὐδεμίαν νόσον ὑγείαν εἶναι· τοῦτο γὰρ σημαίνει. ἡ δὲ ὑγείαν παντὶ ἀνθρώπῳ. οὐχ ὅτι
ὡς λέγουσα πᾶς ἄνθρωπος ὑγεία ἐστίν, ἀλλ' ὡς λέγουσα πᾶς ἄνθρωπος ὑγιαίνει. ἂν οὖν
μεταλαμβάνωμεν ἀντὶ τῆς ὑγείας καὶ τῆς νόσου, τὸ ὑγιαῖνον καὶ τὸ νοσοῦν, οὐκέτι
ἀναγκαία καθόλου ἀποφατικὴ ἀληθής, ἡ λέγουσα τὸ ὑγιαίνειν ἐξ ἀνάγκης
οὐδενὶ νοσοῦντι. ἔνεστι δὲ καὶ ἀποφατικὴν ἀληθῆ, ἡ λέγουσα τὸ ὑγιαίνειν
ἐξ ἀνάγκης οὐδενὶ νοσοῦντι. φασὶ δὲ καὶ ἐπὶ ταύτης τῆς συζυγίας, τὸ αὐτὸ
εἶναι, ὅτι οὐδὲ ἡ πρότασις ἁπλῶς, ἡ λέγουσα ὑγεία καὶ τὸ παντὸς ἀνθρώπου.
ὅτι μηδὲ ἀληθὴς εἶναι δοκεῖ, τὸ πᾶς ἄνθρωπος ὑγεία ἐστίν· ὥστε διὰ τοῦτο,
οὐ καλῶς οἱ ὅροι εἰλημμένοι. ἀλλὰ χρὴ μεταλαμβάνειν τὰς ἕξεις,
εἰς τὰ κατὰ τὰς ἕξεις. ὅταν γὰρ λέγω παντὶ ἀνθρώπῳ ὑγείαν ὑπάρχειν, τοῦτο λέγω
τῷ, πᾶς ἄνθρωπος ὑγιαίνει· ὅρον οὖν τὸ ὑγιαίνειν θετέον· οὐ τὴν ὑγείαν.
εἰ δέ τις ἐκεῖνο παραδέξεται ὡς ἀληθῆ, ἔσται καὶ τὸ συμπέρασμα ἀληθές,
τὸ νόσον μηδενὶ ἀνθρώπῳ. ἀλλ' οὐ καὶ ἀναγκαῖον ἀλλ' ὑπάρχον, ὅτι ὥσπερ εἰλη-
μμένον αὐτῷ ἐπὶ τῆς προκειμένης λέξεως ἀναγκαῖον γίνεσθαι τὸ συ-
μπέρασμα: + + +

καὶ ἐν τῷ τρίτῳ σχήματι καὶ τὸ ἐνδέχεσθαι

Δείξας ἐπὶ τοῦ πρώτου καὶ δευτέρου σχήματος, ἀναγκαίας τῆς μείζονος λαμβανομένης, ὑπαρχούσης δὲ τῆς ἐλάττονος, μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα, παρὰ τὸ μὴ γίνεσθαι τὴν εὐθεῖαν τῶν ὅρων οἰκείως, ἐπὶ τοῦ τρίτου σχήματος, οὐκέτι καὶ τὸ ἐξ ἀρχῆς μὲν ἀναλαμβάνεσθαι τῶν προτάσεων. ἀνόμοιον δέ τι τῇ τοιαύτῃ προτάσει γίνεσθαι τὸ συμπέρασμα, τὸ ἄτοπον γίνεσθαι λέγειν· ἀλλ᾽ ὅτε ἐνδεχομένων ἀμφοτέρων λαμβανομένων τῶν προτάσεων, ἀκολουθεῖ τὸ συμπέρασμα. καὶ πάλιν γὰρ ἐπὶ τούτου τοῦ σχήματος, τὸ συμβαῖνον· ἀναγκαῖον γὰρ τὸ ἀποφατικὸν συναγόμενον δείκνυται τὸ συμπέρασμα, ἐξ ἐνδεχομένων καταφατικῶν, ἐὰν οὕτως οἱ ὅροι λαμβάνοιντο. ἐνδεχομένων γὰρ οὔσης καθόλου καταφατικοῦ συναγεται ἐκ τῆς τοιαύτης συζυγίας, οὔτε ἐπὶ μέρους ἐνδεχόμενον ἀποφατικόν· ἀλλ᾽ οὐδὲ καθόλου καταφατικὸν ἐνδεχόμενον· οὔτε ἀποφατικόν· ἀλλ᾽ ἀναγκαῖον ἀποφατικὸν καθόλου· διὸ καὶ οὕτως εἶπεν· ἐν δὲ τῷ τρίτῳ σχήματι, καὶ τὸ ἐνδέχεσθαι συμβαίνει τὸ ψεῦδος· ἐν μὲν γὰρ τῷ πρώτῳ καὶ δευτέρῳ σχήματι, καὶ τὸ ἀναγκαῖον ὡς ἄτοπον· ἀναγκαίας γὰρ δοκούσης εἶναι τῆς μείζονος, οὐκ ἐγίνετο τὸ συμπέρασμα τοιοῦτον. ἐν δὲ τῷ τρίτῳ, καὶ πάλιν· αἱ μὲν γὰρ προτάσεις ἐνδεχόμεναι· τὸ συμπέρασμα ἀναγκαῖον. οὕτως γὰρ κειμένων τῶν ἄκρων, ἐξ ἀνάγκης οὐδενὶ ὁ ἕτερος τῷ ἑτέρῳ· εἰ δὲ τοῦτο, ἀσυλλόγιστος ἂν γένοιτο ἡ τοιαύτη συζυγία. τὸ φθάσας ἔδειξεν οὐ τὸν συλλογισμόν· ὑγίειαν γὰρ ἐνδέχεται παντὶ ἀνθρώπῳ, καὶ νόσον ἐνδέχεται παντὶ ἀνθρώπῳ· ὑγίεια ἐξ ἀνάγκης οὐδεμιᾷ νόσῳ. ἄτοπον δὲ τοῦτο πάλιν, τὸ μὴ καλῶς εἰλῆφθαι τοὺς ὅρους τοὺς ἄκρους τοὺς κατηγορουμένους τοῦ αὐτοῦ· οὐ γὰρ τὴν ὑγίειαν χρὴ λαμβάνειν καὶ τὴν νόσον· ἀλλὰ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν. οὕτως γὰρ λαμβανομένων αὐτῶν, ἀληθεῖς αἱ προτάσεις ἐνδεχόμεναι καταφατικαὶ καθόλου. ἐκ δὲ τούτου· ὅτε γὰρ λέγομεν τὴν ὑγίειαν ἐνδέχεσθαι παντὶ ἀνθρώπῳ, τοῦτο λέγεται, πάντα ἄνθρωπον ἐνδέχεται ὑγιαίνειν. τὴν ὑγίειαν γὰρ ἀντὶ τοῦ ὑγιαίνειν λαμβάνειν. οὕτως γὰρ ἀληθεῖς ἑκατέρα τῶν προτάσεων, ἀλλ᾽ οὐχ ὅτι ἐνδέχεται τὸν ἄνθρωπον ἢ νόσον ἢ ὑγίειαν εἶναι· ὥστε ἐν τῇ τῶν ὅρων ἐκθέσει, τὸ ὑγιαίνειν χρὴ τιθέναι. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ νοσοῦντος· ληφθέντων δὲ αὐτῶν τῶν ἕξεων, τῶν καὶ τὰς ἕξεις,

ὁμοίως ἄρ' εἴτε πρὸ λύσεως ἀληθὲς εἴη τὸ ἐπαγόμενον συμπέρασμα· εἴτε γὰρ καὶ ἂν ἐνδέχεται πάντα αὐτῷ· ὁμοίως καὶ τὸ νόσον· καὶ τὸ γὰρ αἰεὶ ἐνδέχεται τινὰ νοσεῖν τι. ὅπερ ἐστὶ τῆς προκειμένης συζυγίας συμπέρασμα· ὁ δ' αὐτὸς λόγος, κἂν ἀλλαχῇ τινὰς ἐξ ἧς ἂν αἰτίας ληφθῶσι· καὶ ἔοικεν ἅπερ ἀνωτέρω παρόντα βεβλῆσθαι ἢ τοιαύτην τῶν ὅρων λῆψιν ἐπὶ τοῦ βίτου σχήματος, ἢ ἐπὶ τῶν πρὸ αὐτοῦ· ἐπεὶ δὲ γὰρ προσβάλλει τοῦ ἀποκειμένῳ τῇ λέξει τῆς μείζονος, καὶ τοῦ ἀρχούσης τῆς ἐλάττονος, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα· ὁ οὐκέτι συγχωρούμενον ἐπὶ δὲ τοῦ βίτου ὁμολογούμενον οὖν, ἀναιρεῖται, τὸ ἐξ ἐνδεχομένων γίνεσθαι τὸ συμπέρασμα ἐνδεχόμενον· ἀξιοῖ δὲ καθόλου καὶ ἐν ταῖς τῶν τοιούτων συλλογισμῶν ἀναλύσεσι, τοὺς ὅρους ἐκτιθεμένους, μὴ τὰς λέξεις αὐτὰς ἐκτίθεσθαι· ἀλλὰ τὰ κατὰ τὰς λέξεις· σημειωτέον δέ, ὅτι γίνεταί ποτε ἀπάτη καὶ παρὰ τοῦτο καί τοι μὴ τὸ αὐτὸ ἐν ἀμφοτέραις εἰλῆφθαι ταῖς προτάσεσιν ἢ τὴν λέξιν μόνον, οἷον ἂν ληφθῇ τὸ χρῶμα κατὰ παντὸς λευκοῦ· τὸ λευκὸν κατὰ παντὸς κύκνου· οὐκ ἄν γὰρ τὸ χρῶμα κατὰ παντὸς κύκνου· οὐ γὰρ ὁ κύκνος χρῶμα. αἴτιον δὲ ὅτι τὸ λευκόν, οὐ ταὐτὸν ἐν ἀμφοτέραις ταῖς προτάσεσιν ἐλήφθη. ἀλλ' ἐν μὲν τῇ πρώτῃ, ἡ ποιότης ὡς λευκότης· ὅπερ ἐστὶν ἡ ἕξις αὐτή· ἐν δὲ τῇ δευτέρᾳ τὸ ποιότητα ἔχον· ὥσπερ τὸ κατὰ τὴν ἕξιν· οὐ γὰρ τὸ λευκὸν τὸ ὡς λευκότης ἀληθὲς κατὰ κύκνου· πῶς γὰρ ἂν παρωνύμως, λευκότης, ἀλλ' ὡς τὸ λευκότητα ἔχον· ἢ καὶ τοῦτο τὸ εἶδος, ὑπάγεται τῷ τὴν μείζονα, ἀδιόριστον μὴ καθόλου λαμβάνεσθαι, οὐ γὰρ ἀληθὴς ἡ λέγουσα, τὸ χρῶμα κατὰ παντὸς λευκοῦ· ψευδὴς γὰρ τὸ πᾶν λευκόν, χρῶμα· οὕτω γὰρ καὶ Παρμενίδης παραλογίζεται ἑαυτόν· λέγων, τὸ παρὰ τὸ ὄν, οὐκ ἔστιν ὄν· τὸ μὴ ὄν· οὐδέν ἐστι· τὸ μὲν γὰρ πρῶτον, οὕτως ἀληθὲς λαμβάνει· ὅτι ἄν τι τῆς οὐσίας ὄντι ἐχρήσατο· τὸ γὰρ παρὰ τὴν οὐσίαν, οὐκ ἔστιν οὐσία· διὰ γὰρ τό, οὕτως λαμβάνειν τὸ ὄν, παρεῖται ἐπιφέρειν τό, οὐκ ἄρα τὸ ὄν· τὸ δὲ β· οὐκέτι τῆς οὐσίας φυλάσσεται τὸ ὄν· οὐ γὰρ ἀληθές, τὸ παρὰ τὴν οὐσίαν, μηδὲν εἶναι. ἀλλ' ὡς λαβὼν τὸ πρῶτον τὸ παρὰ τὸ ὂν πᾶν, οὐκ ὂν εἶναι, οὕτω τὸ δεύτερον προστίθησι· τό, τὸ οὐκ ὄν, οὐδέν· οἷς οὕτως εἰλημμένοις, ἕπεται συμπέρασμα τὸ παρὰ τὸ ὂν πᾶν, μηδὲν εἶναι· διὸ οὐ συμπεραίνεται, ὃ ὁμολογεῖται ὑπὸ ἔναντι ὄντα· τὸ γὰρ πάντα, πολλαχῶς λεγόμενον· τοιοῦτό ἐστιν ὁ λέγων· τὸ

πεπερασμένον, ἀρχὴν ἔχει· τὸ ἀρχὴν ἔχον γέγονε· τὸ πεπερασμένον ἄρα, γέγονεν· οὕτως ἀνήκοός τις ὁ κόσμος πεπερασμένος, γέγονε· τὸ γὰρ ἀρχὴν ἔχον, ὅπου μὲν ἀληπτέαν τὴν κατὰ μέγεθος· οὕτως γὰρ ἐπὶ τοῦ πεπερασμένου, καὶ τοῦ κόσμου. ἐν δὲ τῷ γεγονότι, τὴν κατὰ χρόνον· τὸ γὰρ τὴν κατὰ χρόνον ἀρχὴν ἔχον, γέγονεν· οὐ τὸ τὴν κατὰ μέγεθος· διὰ τοῦτο πανταχοῦ λέγει. δεῖν φυλάττεσθαι τὰς ὁμωνυμίας, οὐδ᾽ ἂν τὴν θέσιν δὲ ἡ μείζων πρότασις ἐκτεθῇ, οὐ γὰρ ἀληθές, τὸ πᾶν τὸ ἀρχὴν ἔχον γεγονέναι:+ οὐ δεῖ δὲ τοὺς ὅρους ἀεὶ ζητεῖν ὀνόματι ἐκτίθεσθαι· πολλάκις γὰρ ἔσονται οἱ συλλογισμοί·

Πολλῶν δὲ συλλογισμῶν τοὺς ὅρους, ἢ τινὰς ἢ πάντας, λόγῳ δηλοῦσθαι καὶ μὴ εἶναι ὀνόματα· ἐφ᾽ ὧν, οὐ δεῖ φησὶ τοὺς ἀναλύειν βουλομένους, ζητεῖν πάντως τοὺς ὅρους δι᾽ ὀνομάτων ἐκτίθεσθαι· ἀλλὰ τοὺς λόγους αὐτοὺς τοὺς κειμένους, εἰ καὶ θετέον αὐτὴν τῶν ὅρων λῆψιν· παρὰ γὰρ τοῦτο, πολλάκις χαλεπὴ καὶ δυσχερὴς ἡ ἀναγωγὴ γίνεται· τὸ μὴ εὑρίσκεσθαι τῶν ὅρων ὀνόματα, οἷον, εἴ τις συλλογίσαιτο τὸν ἀνδρεῖον τιμῆς ἄξιον εἶναι, διὰ μέσου τοῦ· καταφρονεῖν τῆς ἑαυτοῦ σωτηρίας, ὑπὲρ τοῦ κοινῇ συμφέροντος· πᾶς ὁ καταφρονῶν τῆς ἑαυτοῦ σωτηρίας ὑπὲρ τοῦ κοινῇ συμφέροντος, τιμῆς ἄξιος· ὁ ἄρα ἀνδρεῖος, τιμῆς ἄξιος· τὸν γὰρ βουλόμενον ἐκλαμβάνειν τοὺς ὅρους τούτου τοῦ συλλογισμοῦ, οὐ δεῖ τὸν μέσον ὅρον, ὀνόματι ζητεῖν· λόγος γὰρ ἐστὶν οὗ φυλαχθέντος, ἢ καὶ διαιρεθέντος, εἰς τοὺς ὅρους, φανερὰ καὶ ἡ τοῦ συλλογισμοῦ ἡ εἰς τὸ πρῶτον σχῆμα ἀνάλυσις· πάλιν ἔστω λαβεῖν ὅτι ἡ τοῦ ὄντος ἐπιστήμη ἧ ὄν, ἐπιστήμη ἐστὶ τοῦ πρώτου αὐτοκινοῦντος· ἡ δέ γε ἐπιστήμη ἡ τοῦ πρώτου αὐτοκινοῦντος, ἡ πρώτη ἐστὶ φιλοσοφία· καὶ συναγάγοι ἐκ τούτων· ὅτι ἡ τοῦ ὄντος ᾗ ὂν ἐπιστήμη, ἡ πρώτη ἐστὶ φιλοσοφία· καὶ γὰρ οὕτω συλλογισάμενος, τοὺς ὅρους οὐκ ὀνόματα, ἀλλὰ λόγους εἴληφε πάντας· οὓς εἰ μὴ ὁ βουλόμενος ἀναλύειν τὸν λόγον, λάβοι· ὀνόματα δὲ ζητοίη αὐτῶν, οὐκ ἂν εὕροι τὴν ἀνάλυσιν τοῦ συλλογισμοῦ εἰς τὸ οἰκεῖον σχῆμα, ὃ τὸ πρῶτον:· ἐνίοτε δὲ δεῖ ἐξαπατᾶσθαι συμβήσεται διὰ τὴν τοιαύτην ζήτησιν·

Ἐνίοτε περὶ τὴν τοιαύτην ζήτησιν τῶν ὅρων συμβήσεται γίνεσθαι τὴν ἀπάτην· πολλοὺς γὰρ τῶν συλλογισμῶν, ἐπεὶ οὐκ ἔστι μέσον ὅρον δι᾽ ὀνόματος λαβόντας δεῖξαι

τῶν ἄκρων συμπέρασμα καὶ ἰσάζεται ταῦτα· ἀμέσους εἶναι καὶ ἀναποδείκτους
οὔτε καὶ ἡ ἀπόδειξις μὲν ἄλλο, οὐχ ὑπὸ ὄνομα δὲ ληφθῆναι δυνάμενον τοῦ μέσου κδ/
ὅρου· οὐδ᾽ ὁ συλλογισμὸς προσλαμβάνοντες δεῖ εἶναι τὰ τοιαῦτα ἀναπόδεικτα,
τοῖς βουλομένοις αὐτὰ διὰ τοῦ οἰκείου μέσου δεικνύναι· ἀνόητον γὰρ λέγουσι καὶ λέγειν
οὔτε καθ᾽ ὃ ἀποδεικτικὰ καὶ ἄμεσα τοῖς βουλομένοις ἀποδεικνύναι τὰ ἢ συλλογίζεσθαι. αι
τοῦ τὸ δεῖ ἐστὶ τὸ λεγόμενον διὰ τούτων· οἷον ὅτι τῶν ἀμέσων οὐ συλλογισμός.
τὸ δὲ παράδειγμα ᾧ κέχρηται τοιοῦτον· ἔλαβε τὸ ἰσοσκελὲς τρίγωνον ἔστω
εἶναι μέσον· ἢ πᾶν τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας,
τιθεὶς δὲ ἐπὶ μὲν τοῦ γ, τὸ ἰσοσκελὲς δηλονότι τρίγωνον· ἐπὶ δὲ τοῦ β, τὸ
τρίγωνον· ἐπὶ δὲ τοῦ α, τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας· τὸ μὲν
οὖν συμπέρασμα καθόλου μέν, διὰ μέσου ὀνόματος ὄντος, δείκνυται.
ἀδύνατον δὲ ἐπὶ τοῦ αβ· ὅτι μηκέτι ἔστι μέσον ὅρον διὰ ὀνόματος λαβεῖν, ἤγουν
τὸ γ, πᾶν τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι· ἄμεσον τὴν
πρότασιν εἶναι καὶ ἀναπόδεικτον· καὶ ἀνάγκη τοὺς οὕτως δεικνύναι αὐτὸ
πειρωμένους, ἀπατᾶσθαι· τὸ ἀποδεικτὸν ἀναπόδεικτον ἡγούμενοι.
ἔστι γὰρ καὶ τούτου ἀπόδειξις, ἀλλ᾽ ὁ μέσος ὅρος, λόγος ἐστὶν οὐκ ὄνομα.
λόγου τοῦ τριγώνου αἱ τρεῖς γωνίαι ταῖς ἐφεξῆς
ἀλλήλαις ἴσαι ἐφεξῆς
ἴσαι ἀλλήλαις καὶ δυσὶν ὀρθαῖς ἴσαι· τοῦτο δὲ ἐπεὶ πᾶσα εὐθεῖα ἐπ᾽ εὐθεῖαν
σταθεῖσα, τὰς ἐφεξῆς γωνίας ἢ δύο ὀρθὰς ἢ δυσὶν ὀρθαῖς ἴσας ποιεῖ.
ἔστι γε αἱ τοῦ τριγώνου ἄρα γωνίαι τρεῖς, δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ὅτι μὲν οὖν
ἀποδεικτόν, δῆλον· ὁ δὲ μὴ οἰόμενος αὐτὸ ἀποδεικτὸν ὅτι μὴ ὁ μέσος
ὅρος ὄνομα κύριον ἐστιν, ἀπατᾶται ἀγνοίᾳ τοῦ μὴ πάντας τοὺς ἐν τοῖς
συλλογισμοῖς ὅρους, ὀνόματι ὀφείλειν δηλοῦσθαι· αὐτὸς μὲν τοίνυν λβου θεώρημα τοῦ πρώτου στοιχείου τῶν Εὐκλείδου
ἀποδεικτικὸν εἶναι τὸ αβ· τουτέστι τὸ τὰς τοῦ τριγώνου τρεῖς γωνίας δυσὶν
ὀρθαῖς ἴσας εἶναι, οὐκ ἐκτίθεται τοῦ μέσου ὅρου· λόγου ὄντος, τὸ παρά-
δειγμα, διὸ δεικνύναι τὸ ἄμεσον εἶναι δοκοῦν· ἡ δὲ δεῖξις· τρίγωνον
λαμβάνεται τὸ αβγ· καὶ ἐκβάλλεται ἡ βγ ἐπὶ τὸ δ· καὶ δείκνυται
ἡ ἐκτὸς γωνία τοῦ τριγώνου ἡ γ· τῶν ἐντὸς τοῦ τριγώνου καὶ ἀπεναντίον
αὐτῆς οὐσῶν δυσὶ γωνίαις ἴση· ἀχθείσης γὰρ διὰ τοῦ γ σημείου παραλλή- λδ/



τῇ βα τῆς γδ· ἐπεὶ παράλληλοι ἡ αβ γδ· καὶ εἰς αὐτὰς εὐθεῖα ἐμπέπτω-
κεν ἡ αγ· αἱ ἐναλλὰξ γωνίαι ἴσαι αἱ ὑπὸ αγδ· γαβ· πάλιν ἐπεὶ παρ-
άλληλοι ἡ αβ· γδ· καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ βε ἡ ἐκτὸς γωνία ἡ κατὰ
τὸ γ, τῇ ἐντὸς καὶ ἀπεναντίον ἴση τῇ β γωνίᾳ· ὅλη ἄρα ἡ γ ἡ ἐκτὸς τοῦ τρι-
γώνου ἴση ἐστὶ ταῖς α β γωνίαις τοῦ τριγώνου ταῖς ἀπεναντίον αὐτῆς γωνίαις·
διὰ δὲ τὴν ἐκτὸς τοῦ τριγώνου τὴν γ κοινὸν ταῖς ταῖς δύο
ταῖς ἐφεξῆς αἱ τοῦ τριγώνου γ ἴσαι εἰσί· αἱ δὲ ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσί·
ὥστε καὶ αἱ γ τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσαι εἰσί:· +

Τὸ τέλος [illegible] τὸ πρῶτον τὸ [illegible] καὶ τοῦ τε τοῦ ἄκρου [illegible]
τοὺς [illegible] ὁρισθέντων ἀλλήλων ὁμοίως τό τε πρῶτον τοῦ
μέσου καὶ τοῦ τε τοῦ ἄκρου·

Δεῖ δὲ καὶ ἡμᾶς διὰ τούτων, ὅτι μὴ δεῖ τοὺς ὅρους, ὡς ἀσύνθετοι μένουσι,
οὕτως αὐτοὺς καὶ ταῖς προτάσεσι καὶ ταῖς πρὸς ἀλλήλους συμπλοκαῖς
σχηματίζειν καὶ τὰς προτάσεις· τοὺς μὲν γὰρ ὅρους αὐτοὺς ἐν ταῖς ἐκθέσεσι
ἀδιακρίτους θεωρητέον· τὰς δὲ συμπλοκὰς αὐτῶν, καθ' ἃς ἂν τύχῃ
γίνεσθαι ποιητέον, καὶ τὰ ταύτῃ ποιητέον· ἐπειδὴ καὶ αἱ πᾶσαι προτάσεις
αἱ κατηγορίαι τῶν ὅρων γίνονται· οὐ γὰρ πάντα τὰ κατηγορούμενα, ὡς
καθ' ὑποκειμένου κατηγορεῖται· ἐπεὶ πᾶσαι αἱ εἰδικαὶ προτάσεις,
τοὺς ὅρους ἔχουσι καθ' ἑαυτοὺς συντεταγμένους· ὡς ἐπὶ τοῦ ὁ ἄνθρωπος
ζῷόν ἐστιν· ἡ γραμματικὴ ἐπιστήμη ἐστίν· τὸ χρῶμα, ποιότης ἐστίν·
ἐπεὶ δὲ οὐ μόνα τὰ καθ' ὑποκειμένου λεγόμενα κατηγορεῖται· ἀλλὰ
καὶ τὰ συμβεβηκότα καὶ ἐν ὑποκειμένῳ ὄντα· ὡς οὐκ ἀεὶ κατὰ τὸ ὀρθὸν πτῶ-
σιν ἡ κατηγορία· ἀλλὰ ποτὲ μὲν κατὰ τὸ ὀρθὸν ὡς ὅταν λέγωμεν τὸ σῶμα
λευκόν ἐστιν· ἡ ἡδονή, ἀγαθόν· ποτὲ δὲ κατὰ τὴν γενικήν· ὁ ἀδελφὸς τοῦ ἀδελφοῦ
ἀδελφός ἐστι· ποτὲ δὲ κατὰ τὴν δοτικήν· ὡς τὸ ὅμοιον ὁμοίῳ ὅμοιον· ποτὲ
δὲ κατὰ τὴν αἰτιατικήν· ὡς ὅταν λέγωμεν, τὸ μέγα, πρὸς μικρὸν λέγεται·
ἢ πλεοναζόντων ἀπαιτεῖ σωματικήν· ἐπεὶ τοίνυν αἱ κατηγορίαι τῶν κατηγορουμένων,
καὶ ἐπὶ πάσας γίνονται τὰς προτάσεις, αἱ τῆς κατηγορίας, δεῖ ὑφ' ἣν τοὺς
μὲν ὅρους ἐκτίθεσθαι τοὺς τῶν προτάσεων καὶ συλλογισμῶν· ὅταν αὐτὰ λέγωμεν
αὐτούς, καθ' ἑαυτοὺς ἀδιακρίτως· τὰς δὲ κατηγορίας αὐτῶν καὶ τὰς προτάσεις

ἐν τῇ πρὸς ἀλλήλας συνθέσει ἕξει, οὕτω ποιῆσαι ὥστε εἶναι χωρίς· κατηγορουμένοις
δι' ἀλλήλων, τοῖς κατ' εὐθεῖαν πλεῖον λέγει· ὅτι αὐτὸ τὸ ὑποκείμενον πρὸς τὸ μὴ
ὑποκειμένου τῆς εὐθείας δηλοῦται. ὅταν οὖν τὸ κατηγορούμενον, κατ' εὐθεῖαν κατη-
γορῆται, τότε κυρίως καὶ τὸ τοῦ ὑποκειμένου κατηγορεῖται. ἢ γὰρ τὸ ὑποκεί-
μενον τὸ κατ' εὐθεῖαν λαμβάνεται· αὐτὸ δὲ καὶ τὸ τοῦ ὑποκειμένου κατη-
γορεῖται. ἢ γὰρ τὸ ὑποκείμενον τὸ κατ' εὐθεῖαν λαμβάνεται· αὐτὸ δὲ καὶ τὸ
πλεῖον, οὐκ ἄλλο καὶ τὸ αὐτοῦ τούτῳ, τῷ πλεῖον, μὴ τὸ ὑποκείμενον αὐτὸ σημαίνειν·
τοῦ δὲ σημαινομένου ὑποκειμένου τῆς πλαγίως κατηγορεῖται, ἀλλ' οὐ δὴ ὁμοίως
ὡς τὸ πρῶτον τοῦ δευτέρου κατηγορούμενον ληπτέον. ἢ καθ' ἓν πλεῖον,
καὶ ταὐτὸν αὐτῷ ἢ τὸ β τοῦ γ ληπτέον πάντως κατηγορεῖσθαι· οὕτω γὰρ τὸ
πρῶτον τοῦ δευτέρου κατ' εὐθεῖαν· διὰ ἢ τοῦ τὸ τοῦ ἐσχάτου ἄκρου κατ' εὐθεῖαν
πλεῖον κατηγορεῖν. τῷ γὰρ κατ' εὐθεῖαν βουλόμενος δηλῶσαι κατηγορεῖσθαι,
ἁπλῶς ὡς ἂν κατηγορηθήσομεν ἀλλήλων· ἄκρον δὲ ἁπλῶς τὸν ἔσχατον
ὅρον, πρὸς ἀντιδιαστολὴν τοῦ μέσου· ἄκροι γὰρ οἱ παρὰ τὸν μέσον. ἐπεὶ οὖν δὴ
ἐπὶ τῆς εὐθείας πτώσεως μὴ ὁμοίως ἐν ἀμφοτέραις ταῖς προτάσεσι τὰς
κατηγορίας ἔσεσθαι καὶ ταὐτὸν πλεῖον, ἐπὶ γὰρ καθολικώτερον τό, μὴ
δι' ὁμοίως τό τε πρῶτον τοῦ μέσου μηδὲ καθ' αὑτοῦ τὸ πλεῖον, κατ' εὐθεῖαν
πάντως ἢ τὸ μέσον ἢ τοῦ τὸ τοῦ ἐσχάτου· τὸ δ' αὐτό, οὐ μόνον φησὶν ἐπὶ τῶν κατα-
φατικῶν τοῦτ' ἔστι καταφατικῶς κατηγορουμένων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀποφατικῶν
ποιητέον:· ἀλλ' ὁσαχῶς τὸ εἶναι λέγεται καὶ τὸ ἀληθὲς εἰπεῖν τοῦτο
Τ τουτέστι καθ' ὅσους τρόπους ἢ καθ' ὅσας πτώσεις ἄλλο ἄλλῳ συντάττοντες, τὸ
εἶναι ἢ τὸ ἐστὶ χρώμεθα ἐπ' αὐτῶν· ἢ ὁσαχῶς συντασσομένων ἀλλήλοις
τῶν ὅρων, ἔστιν ἀληθὲς εἰπεῖν ἀναγκαίαν πρότασιν· τοσαυταχῶς χρὴ τοὺς ὅρους
ἐν ταῖς προτάσεσιν παραλαβεῖν συμπλέκοντας ἀλλήλοις καὶ λέγειν ὑπάρχειν
τὸ ἕτερον τῷ ἑτέρῳ δεικνὺς δὲ διὰ τί ἐπιφέρει, πῶς μὲν χρὴ τὴν εὐθεῖαν
τῶν ὅρων τῶν ἐν ταῖς προτάσεσι κατ' εὐθεῖαν ποιεῖσθαι· πῶς δ' αὖ τὰς
ἐν τῇ γενέσει τῶν προτάσεων συμπλέκειν ἀλλήλοις. λαβόντας γὰρ πρότασιν τὸ
τῶν λεγόντων ἐναντίων μὴ εἶναι ἐπιστήμην, εὑρεθήσονται μὲν τοὺς ὅρους,
μία ἐστὶν ἐπιστήμη καὶ τὰ ἐναντία ἀλλήλοις, εὑρήσομεν. λαβόντας τοὺς
ὅρους ἐν τῇ προτάσει τὰ ἐναντία, μία ἐπιστήμη ἐστὶ ἐροῦμεν· ἀλλ' οὔτε

τούτων ἐναντία ἐστὶ μία τῷ σχήματι λέγοντες, ποιήσομεν τῶν ἐναντίων ἐστὶ μία ἐπιστήμη· οὕτω γὰρ ἀληθὴς ἡ πρότασις· ὡς γὰρ ὑπάρχει ὁσαχῶς ἄλλο ἄλλου κατηγορούμενον, ἀληθεύεσθαι δύναται κατὰ τὸν τῆς λέξεως σχηματισμὸν καὶ καταφατικῶς τε καὶ ἀποφατικῶς, τοσαυταχῶς καὶ τὰς προτάσεις· καὶ τὰς τῶν ὅρων κατηγορίας ποιεῖσθαι χρή· ὡς ἂν ὑπάρχωσιν οἱ κείμενοι ὅροι ἐν τῇ πρὸς ἀλλήλους συμπλοκῇ, πρὸς τὸ κατὰ φύσιν γίνεσθαι τὴν κατηγορίαν, καὶ πρὸς τὸ ἀληθές. τοῦτο γὰρ σημαίνει ἡ λέξις, ἢ δὲ ἄλλ' ὁσαχῶς τὸ εἶναι λέγεται ἢ τὸ ἀληθὲς εἰπεῖν τοῦτο· τὸ μὲν οὖν ζῷον κατὰ τοῦ δίπου· καὶ ὁ αὐτὸς γραμματικός· καὶ τὸ ζῷον γραμματικόν, ὁμοίως πάντως κατηγορεῖται· καὶ γὰρ εὐθεῖαν πτῶσιν ὅτε γραμματικός, αὐτός ἐστι· καὶ ὁ αὐτὸς ζῷον· καὶ διὰ τοῦτο γραμματικὸν ζῷον· οὐ μὴν ἐπὶ πάντων τῶν συλλογισμῶν, οἷόν τε οὕτως κατηγορεῖσθαι τὰ κατηγορούμενα· οἷον οὐδὲ τὴν πρότασιν αὐτὸς ἐξέθετο τὴν λέγουσαν τῶν ἐναντίων ἀλλήλοις μίαν εἶναι ἐπιστήμην· κατηγορούμενον μὲν ἐστὶ τὸ μία ἐπιστήμη ἐστί· διὸ καὶ ἐπὶ τοῦ α ἔθηκεν αὐτό· ὑποκείμενον δέ, τὸ τῶν ἐναντίων ἀλλήλοις ὅτι θησὶν ἐπὶ τοῦ β. οὕτως ὑπάρχει τὸ α τῷ β ἐν τούτῳ, ὡς δύνασθαι λέγειν, τόδε τόδε ἐστίν. ὡς λεγόμενος γραμματικός, αὐτός ἐστιν. οὐ γάρ ἐστιν ἡ πρότασις ἡ λέγουσα τὰ ἐναντία μία ἐστὶν ἐπιστήμη· ἀδιανόητον γὰρ καὶ ἀσύστατον λέγειν τὰ ἐναντία ἀλλήλοις, μία ἐπιστήμη ἐστίν· ἀλλ' ὅτι τῶν ἐναντίων ὅπερ ἐστὶ γενικὴ ἡ πτῶσις, μία ἐστὶν ἐπιστήμη· οὕτως γὰρ συντεθειμένων αὐτῶν, ἀληθές ἐστιν ἐπὶ παντὸς τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη· ἐν μὲν οὖν τῇ θέσει τῶν ὅρων, ὑποκείμενον τὰ ἐναντία, καὶ μία ἐπιστήμη· ἐν δὲ τῇ προτάσει, οὐ τὰ ἐναντία κρίνεις λαβεῖν· ἀλλὰ τῶν ἐναντίων :·

συμβαίνει δέ ποτε τὸ μὲν ἐπὶ τοῦ μέσου τὸ πρῶτον λέγεσθαι· τὸ δὲ μέσον ἐπὶ τοῦ τρίτου μὴ λέγεσθαι

Δείξας πῶς ἐν ταῖς προτάσεσιν οὐ κατ' εὐθεῖαν αἱ τῶν ὅρων κατηγορίαι γίνονται ἐπὶ παραδείγματος τοῦ, τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη, νῦν καθόλου ἐπὶ τῶν ἐν τοῖς συλλογισμοῖς προτάσεων δείκνυσιν ὅτι μὴ ἀεὶ αἱ κατηγορίαι τῶν ὅρων ὅμοιαι, καὶ κατὰ τὴν αὐτὴν πτῶσιν· ἀλλ' ἐνίοτε μὲν ὁ πρῶτος ὅρος κατὰ τοῦ μέσου λέγεται τοῦτ' ἔστι κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖται, οὐκέτι δὲ ὁ μέσος, τοῦ τρίτου· ὡς ἐφ' οὗ παρέθετο αὐτός, ἔχει παραδείγματος, ἢ τοῦ

ἀγαθοῦ γνῶσις, σοφία δ' ἐστίν· ἡ σοφία ἐπιστήμη ἐστίν· ἡ τοῦ ἀγαθοῦ ἄρα γνῶσις,
ἐπιστήμη ἐστίν· ἡ μὲν γὰρ μείζων πρότασις ἡ λέγουσα ἡ σοφία ἐπιστήμη ἐστί,
καὶ ταύτῃ ἀνάπαλιν ἔχει τοὺς ὅρους. οὐ κατὰ τὸ δέον ἡ ἐλάττων, ἡ λέγουσα τοῦ
ἀγαθοῦ τὴν σοφίαν εἶναι· γενικὴ γὰρ ἡ πτῶσις ἡ τοῦ ἀγαθοῦ. ἐν δὲ τῇ εὐθείᾳ
τῶν προτάσεων, συνέλαξε τὴν ἐλάττονα πρότασιν αὐτὸν μείζονα καὶ κατη-
γορούμενον. συνθεὶς αὐτὸν τὸν μέσον. ἀπὼν τοῦ δ' ἀγαθοῦ ἐστὶν ἡ σοφία ἐπι-
στήμη. τῷ γὰρ ἡ πρότασις ἡ τοῦ ἀγαθοῦ γνῶσίς ἐστι σοφία· ἡ γὰρ ἐπιστήμη
οὐ τῇ σοφίᾳ συνῆπται· οὐδὲ ἔστι τοῦ μέσου ὅρου μέρος. ἀλλ' ἔστιν ὁ κατηγο-
ρούμενος καὶ μείζων ὅρος. ἡ γὰρ σοφία, ἐπιστήμη· παρὸ καὶ ἀσαφὴς ἡ βραχυλέ-
ξις γέγονεν. ὅτι γὰρ ὁ κατηγορούμενος ὅρος ἐστὶν ἡ ἐπιστήμη, ἐδήλωσε
διὸ ὑπέτεινε τὸ συμπέρασμα τοῖς· γίνεσθαι γὰρ εἶπε συμπέρασμα τό,
τοῦ ἀγαθοῦ ἐπιστήμην εἶναι. ὅ, οὐκ ἂν ἦν συμπέρασμα, εἰ ἡ ἐπιστήμη
συνῆπτο τῇ σοφίᾳ. ὡς ἐν ἄκρῳ μέσον ὅρον, τὸ ὅλον εἶναι. διὰ τοῦτο, ἐπιστή-
μην προστεθεικέναι, ὑπὲρ τοῦ δεῖξαι ὅτι καὶ κατὰ γενικὴν πτῶσιν λαμβανο-
μένου τοῦ ἀγαθοῦ, ἡ σοφία κατηγορεῖται. ὅτι γὰρ ἐπιστήμη αὐτῆς ἐστιν ἡ σοφία,
διὰ τοῦτο, ἐπιστήμην καὶ ἀντὶ τοῦ γνῶσις, εἰρηκέναι. τῷ γὰρ ἡ τοῦ ἀγαθοῦ
γνῶσις σοφία. ὡσαύτως ἂν εἴποι, τοῦ ἀγαθοῦ ἡ σοφία ἐστὶν ἐπιστήμη. ἀντὶ
τοῦ, τοῦ δ' ἀγαθοῦ ἡ γνῶσίς ἐστιν σοφία. ὡς καὶ δηλοῦσθαι τὴν γνῶσιν δ' ἐπι-
στήμην ἢ ἀμφότερα ἔλαβεν ἅμα. καὶ τὸν μέσον ὅρον τὴν σοφίαν, καὶ τὸν μείζονα
ἄκρον τὴν ἐπιστήμην. ὑπὲρ τοῦ δεῖξαι ὅτι καὶ ἡ πρότασις ἡ ἐλάττων, καὶ τὸ
συμπέρασμα, τὴν αὐτὴν πτῶσιν ἔχει κειμένην. ὥσπερ δὲ ἡ ἐλάττων πρό-
τασις οὐκ ἔχει κατ' εὐθεῖαν τὴν κατηγορίαν, οὕτως οὐδὲ τὸ συμπέρασμα:

τὸ μὲν οὖν ἀγαθοῦ· οὐκ ἔστιν ἐπιστήμη

Διὰ τοῦτο δείκνυσιν ὅτι μηδὲ αὐτῷ συμπέρασμα, κατ' εὐθεῖαν ἡ κατηγορία.
ἀλλ' ὥσπερ ἔχει ἡ ἐλάττων πρότασις. ἄλλο τι καὶ αὐτὸ πάλιν φησὶ τὴν μὲν
ἐλάττονα πρότασιν κατ' εὐθεῖαν ἔχειν τὴν κατηγορίαν τοῦ μέσου κατὰ τοῦ
ἐσχάτου ὅρου. τὴν δὲ μείζονα, μηκέτι κατ' εὐθεῖαν, τὸν μείζονα ὅρον,
μηκέτι τοῦ μέσου οὕτως κατηγορεῖσθαι. ὃ καὶ αὐτὸ διὰ παραδείγματος δείκνυσιν
ἐκτιθέμενος συλλογισμὸν τοιοῦτον, τοῦ ἐναντίου παντὸς ἐπιστήμη ἐστί, τὸ ἀγαθὸν
ἐναντίον. συμπέρασμα μὲν τό, τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστίν· ἐν δὲ ταῖς προτά-
σεσι.

τοῦ μὲν ἐλάττονος τοῦ ὑποκειμένου ὅρου ὁ μέσος ὅρος κατ' εὐθεῖαν πτῶσιν κατη-
γορεῖται· οὕτως γὰρ ἔχει ἡ πρότασις ἡ λέγουσα τὸ ἀγαθὸν ἐναντίον· οὐκέτι δὲ
τοῦ μέσου ὁ μείζων ἄκρος, οὕτως. ἐν γὰρ τῇ προτάσει τῇ μείζονι τῇ λεγούσῃ
ἐναντίον εἶναι, οὐ τὸ ἐναντίον ὑποκείμενόν ἐστιν ὅπερ ἦν εὐθεῖα πτῶσις· ἀλλὰ
τοῦ ἐναντίου ἐστὶν ἡ γενική. λαμβάνεται δὲ μέσον ποτὲ ἐναντίον, ποτὲ
δὲ ποιόν· ὁπότερον γὰρ ἂν ληφθῇ, αἱ προτάσεις ὅμοιαι· ἔσται γὰρ τὸ ἀγαθὸν
ποτὲ μὲν ποιόν· τοῦ ποιοῦ ἐπιστήμη ἐστί· ποτὲ δὲ τὸ ἀγαθὸν ἐναντίον, τοῦ
ἐναντίου ἐπιστήμη ἐστίν. ἀλλ' οὐδὲ τὸ συμπέρασμα κατ' εὐθεῖαν κεῖται πτῶσιν.
τοῦ γὰρ ἀγαθοῦ ἐπιστήμην εἶναι συνάγεται, ἀλλ' οὐ τὸ ἀγαθόν, ὥσπερ οὐ
δὲ τὸ ποιὸν ἐλέγετο ἢ τὸ ἐναντίον, ἐπιστήμην εἶναι· ἀλλ' ἢ οἱ μέσοι ὅροι.
ἀλλὰ τούτων ἐπιστήμην· τὸ μὲν γὰρ ἀγαθὸν ἐκεῖ τὸ ἢ ἐναντίον εἶναι ἢ ποιόν
κατ' εὐθεῖαν πτῶσιν· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν· ἀλλὰ τὸ ἀγαθόν.
τούτων οὐ ἐμνημόνευσε· τὸ γὰρ ἀγαθὸν ἐναντίον ἢ ποιόν, ἄμφω κατ' εὐ-
θεῖαν:· ἔστι δέ φησιν ὅτε μήτε τοῦ πρώτου κατὰ τοῦ μέσου μήτε τούτου
κατὰ τοῦ τρίτου κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖται. τὴν γὰρ κατ' εὐθεῖαν
οὕτως κατηγορίαν καὶ ἁπλῶς κατηγορίαν ὡς ἔθος λέγει· ὅταν ἢ εἰπεῖν·
τόδε, τόδε εἶναι τὸ ὑποκείμενον, ὅπερ τὸ κατηγορούμενον· τὸ δὲ πρῶτον
τοῦ τρίτου· οὕτως ἐχουσῶν τῶν προτάσεων· ὅτε μὲν κατ' εὐθεῖαν ὅτε δὲ
οὐ κατ' εὐθεῖαν κατηγορεῖται. παράδειγμα δὲ πάλιν παρέθετο τοῦ μὲν
ἐν ᾧ συλλογισμῷ μήτε τῶν προτάσεών τις κατ' εὐθεῖαν εἴληπται, μήτε
τὸ συμπέρασμα, τὸ λέγον, οὗ ἐστιν ἐπιστήμη, ἔστι τούτου γένος. τοῦ δὲ
ἀγαθοῦ, ἔστιν ἐπιστήμη· τοῦ ἄρα ἀγαθοῦ ἔστι γένος. οὔτε γὰρ ἐν ταῖς προ-
τάσεσιν εἴληπται ὅρος ὅρου κατ' εὐθεῖαν πτῶσιν κατηγορούμενος.
τε γὰρ ἐν τῇ μείζονι εἴληπται οὗ ἐστιν ἐπιστήμη, τούτου γένος εἶναι, τοῦ
ὃ ἐστὶν ἐπιστήμη, τούτου τὸ γένος, καὶ ἐν τῇ ἐλάττονι, τοῦ ἀγαθοῦ εἶναι
ἐπιστήμην· οὔτε ἀγαθὸν καὶ ἐν τῷ συμπεράσματι, πάλιν τοῦ ἀγαθοῦ
γένος εἶναι οὐ τὸ ἀγαθόν· οὐ γὰρ τοῦτό ἐστιν εἰπεῖν τὸ ἀγαθὸν γένος, ἀλλ'
τοῦ ἀγαθοῦ γένος εἶναι. τοῦ δὲ ἐν ᾧ, ἐν μὲν ταῖς προτάσεσιν οὐδε-
τέρα αὐτῶν κατ' εὐθεῖαν ἡ κατηγορία, ἐν μὲν τῷ τοιούτῳ συμπεράσματι
κατ' εὐθεῖαν, τοῦ δὲ τοιούτου συλλογισμοῦ παράδειγμα παρέθετο,

τοιοῦτον συλλογισμόν· οὐκ ἔστιν ἐπιστήμη, γένος ἐστὶ τοῦτο· τοῦ δ' ἀγαθοῦ ἔστιν ἐπιστήμη συμπέρασμα τὸ ἀγαθόν, ἄρα γένος; αὐτὸ μὲν καὶ τοῦ εὐθεῖαν πτῶσιν, οὐ τῶν δύο προτάσεων, μηδετέρας τοῦτο ἐχούσης· ἄκρον δὲ πάλιν ἐστι τὸν ἔσχατον ὅρον τὸν ὑποκείμενον ἐν τῷ συμπεράσματι, ἀεὶ τὸ ἀγαθόν, καὶ τὰ μὲν γὰρ τοῦτο τὸ γένος αὐτὸ εἶναι κατηγορεῖται· οὐδὲ τῆς προτάσεως· οὔτε τοῦτο ἡ ἐπιστήμη, οὔτε τῆς ἐπιστήμης τὸ γένος· τοῦτο γὰρ δηλοῖ τό, καὶ τὸ ἀλλήλων δὲ οὐ λέγεται: τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν ληπτέον·

Λέξας ἐπὶ τῶν καταφατικῶν προτάσεων οὐ καθ' αὐτὸ τῶν κατηγορίαν ὁμοίως καὶ τὰς πτώσεις κινουμένων, φησὶν ὅτι ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀποφατικῶν προτάσεων τῶν συμπερασμάτων, κατὰ τὰ ἁρμόζει καὶ ἀληθὲς πλεῖον τοῦ ἀποφατικοῦ τὴν κατηγορίαν ποιεῖσθαι· ὃ καὶ αὐτὸ προστέθεικε πῶς· οὐ γὰρ ἀεὶ ὁ λέγων τόδε τῷδε μὴ ὑπάρχειν, λέγει τόδε τοῦδε οὐκ ἔστιν ὥσπερ ἐπὶ τοῦ ὁ ἀετός, ἵππος οὐκ ἔστιν· ἀλλ' ἐνίοτε ὅτε μὴ ἐστὶ τόδε τοῦδε. ὡς ὅταν λέγῃ ἐπὶ τῶν ἐπιστημῶν μὴ ὑπάρχειν γαλήνην τί, ὁ γὰρ τοῦτο λέγων, οὐ τοῦτο λέγει ὅτι τὸ μὴ ὂν οὐκ ἔστιν ἐπιστήμη· ἀλλ' ὅτι τόδε τῷδε οὐχ ὑπάρχει· ὁ γὰρ τὸ γένος δεῖ ἀποφήσας αὐτῷ, οὐ τοῦτο λέγει ὅτι ὁ ἀετὸς οὐκ ἔστιν ὄρνις· ἀλλ' ὅτι τῷ ἀετῷ οὐχ ὑπάρχει τὸ γένος ἢ τὸ κινεῖσθαι καὶ τὰ τοιαῦτα· δείκνυσι δὲ καὶ αὐτὸς τὸ εἰρημένον ὑπάρχον τοῦτο, πρῶτον ἐπὶ συλλογισμῶν ἀποφατικῶν δύο ἐν πρώτῳ σχήματι ἠρωτημένων· ἐν γὰρ ἀμφοτέροις, τὸ καθόλου ἀποφατικὸν δείκνυται ἐν πρώτῳ σχήματι. ἔστι δὲ τὸ μὲν πρῶτον παράδειγμα, τοιοῦτον· οὐκ ἔστι κινήσεως κίνησις· οὐκ ἔστι γενέσεως γένεσις· ἡ ἡδονὴ δὲ ἐστὶ γένεσις ἢ ἡδονὴ ἐστὶ κίνησις· οὐκ ἄρα ἡ ἡδονὴ ἢ γένεσις ἢ κίνησις· τῶν μὲν γὰρ προτάσεων, οὐδεμία κατ' εὐθεῖαν πτῶσιν ἔστε κεῖται· τὸ μέντοι συμπέρασμα, τὸ, οὐκ ἔστιν ἡ ἡδονὴ ἢ γένεσις, τοιοῦτον· τὸ δὲ δεύτερον παράδειγμα τοιοῦτον· γέλωτος ἐστὶ σημεῖον· σημείου δὲ οὐκ ἔστι σημεῖον· ὥστε οὐ σημεῖον ὁ γέλως· καὶ γὰρ ἐπὶ τούτων, τῶν μὲν προτάσεων οὐδετέρα οὔτε ἡ ἀποφατική, οὔτε ἡ καταφατική, κατ' εὐθεῖαν πτῶσιν ἔστε κεῖται, τὸ μέντοι συμπέρασμα:

ὅροι ὡς δ' εἰ ἐν τοῖς ἄλλοις ὅροις ἀναγράφεται τὸ πρόβλημα·

Λεκτέον πῶς πρὸς αὐτὸ τὸ γένος

Δείξας ἐπὶ δὲ τῶν συλλογισμῶν ἠρωτημένων ἐν πρώτῳ σχήματι· μήτε τῶν ἀπο-
φατικῶν προτάσεων καὶ τοῦ θέσαν ἀναλαμβανομένου· μήτε τῶν κατα-
φατικῶν· ἀλλὰ καὶ τὰ γενικῶν, ἢ τὸ συμπέρασμα ἀποφατικὸν γινό-
μενον καὶ τεῦθεν πλεῖον ὂν ὁμοίως φησὶν ἕξειν ἢ ἐπὶ τῶν ἄλλων οἷς
ἀποφατικὸν τὸ συναγόμενον· τοῦτο παρέστι, τὸ ἀναιρεῖν τὸ πρόβλημα,
κατὰ τὸ ποιὰν σχέσιν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον
ἤτοι κατὰ σχέσιν πως ἢ κατὰ τὴν ποιὰν πλεῖον οὐ τὰ ἀποφατικὴν
πρότασιν σώζεσθαι λέγεσθαι τὸν ὑποκείμενον τῷ κατηγορουμένῳ τε ἢ
τῷ μέσῳ· ὅπερ συμβαίνει ἐν τῷ μέσῳ σχήματι· οὔτε ἢ τὸ συμπέρασμα ἀπο-
φατικὸν γενήσεται· ἐν γὰρ τῷ δευτέρῳ σχήματι, ὁ μέσος ἐστὶν ὁ κατη-
γορούμενος ἀμφοτέρων· τῷ γὰρ λέγεσθαι πῶς πρὸς τὸ ὑποκείμενον
τὸ κατηγορούμενον ἀποφατικῶς· καθ' ὃ δή ποτε πλεῖον ἁρμόζει.
τὸ συμπέρασμα ἀποφατικὸν ἔσται· ἡ δὲ λέξις, ἀσαφής· ὅτι ἂν τι τοῦ
κατηγορούμενον λαβεῖν ἢ μάθῃ, γένος ἄπειρον· ὃ οὔτε ἐπὶ πάντων
τῶν καταφατικῶς κατηγορουμένων ἀληθές, οὔτε τι μᾶλλον κατ' αὐτῶν,
ἀποφατικῶς· ἡ χρῆσις δ' οὕτως, ὅτι ἢ τὸ γένος ἀεὶ κατηγορεῖται
οὗ ἐστι γένος· ἢ ἐν τῷ μέσῳ σχήματι, ὁ μέσος παρ' ἀμφοῖν τῶν ἄκρων κα-
τηγορεῖται· ἢ καὶ τοῦτο, τοῦτον τὸν τρόπον θατέρῳ γένει· πλεῖον γὰρ χώρας
ὁ μέσος ἐν τῷ σχήματι τῷ δευτέρῳ ἔχει· καθότι πάντων κατηγο-
ρεῖται· ὅτι γὰρ ἐπὶ τοῦ β΄ σχήματος τὸ μέσον ἢ κατηγορούμενον,
γένος ἄπειρον· ὥστε ὅπως ἂν ἢ ὁποιανοῦν πλεῖον συλλεχθῇ τῷ ἑτέρῳ τῶν
ἄκρων, ἀποφατικῶς ἀναιρεῖ τὸ πρόβλημα, δῆλον δι' ὧν ἐπιφέρει,
μετὰ γὰρ τό, τοῦ τὰ πάντα, πάλιν ἀποφατικοῦ συλλογισμοῦ παράδει-
γμα ἐν τρίτῳ σχήματι αὐτίκα φησίν· ὥστε οὐκ ἔτι ἐπὶ τούτου τοῦ παραδείγματος
τοῦ μέσου ὅρου, γένος τὸ ἐξὸν ἔχοντος ὅτι μηδὲ κατηγορεῖται· ἢ, οὐκ ἐπὶ
τῆς ἀποφατικῆς προτάσεως ὡς ἐπιμένης, τὸ λέγεσθαι πῶς πρὸς
αὐτὸ τὸ γένος· ἀλλ' ἐπὶ τοῦ προβλήματος ὅλου· ὁ γὰρ μέσος ἐν τῷ δευτέρῳ
σχήματι ἀμφοτέρων τῶν ἐν τῷ προβλήματι ὅρων κατηγορούμενος,
αἴτιος τοῦ ἀποφατικοῦ συμπεράσματος· ἐν πᾶσι δὲ ἐν οἷς ἀποφατι-

τὸ σῶμα τῷ τε λευκῷ καὶ τῷ σχήματι συντεθὲν ἢ καὶ τὰ ἐπὶ πτῶσιν συντίθεσθαι τῷ κατηγο-
ρουμένῳ αὐτῷ προβλήματι τὸν μέσον ἢ καταφατικῶς ἢ ἀποφατικῶς.
οὐκ ἔτι γὰρ οἱ ὅροι πάντως κατὰ τὴν εὐθεῖαν πτῶσιν ἀλλήλοις συντεθήσονται.
ἀλλ' αὕτως ὡς ἐπὶ τῶν προειρημένων παραδειγμάτων δέδεικται. καὶ τὸ
ἀπ' ἀρχῆς παρεωρᾶσθαι καὶ ἀναιρεῖσθαι μοι αὐτὴ ἡ λέξις. γράφει τοίνυν,
τὸ λέγεσθαι πως πρὸς αὐτὸ μέσον, τουτέστι λέγεσθαι πρὸς αὐτὸ τὸ γένος.
ἔστι δὲ καὶ τὸ ἐν τῷ βιβλίῳ παράδειγμα καὶ αὐτὸ τοιοῦτον. τὸ μὲν συμπέρασμα
ἔχον ἀποφατικὸν ἐπὶ μέρους κατὰ τὴν εὐθεῖαν πτῶσιν. τῶν μέντοι προτάσεων,
οὔτε τῶν καταφατικῶν οὔτε τῶν ἀποφατικῶν κατὰ τὴν εὐθεῖαν. θεῷ γὰρ
καιρός ἐστιν. θεῷ χρόνος δέων οὐκ ἔστι. ἐξ ὧν συνάγεται ὅτι ὁ καιρὸς
χρόνος δέων οὐκ ἔστιν. ἐξηγούμενος δὲ τὴν δευτέραν τὴν ἀποφατικὴν
πρότασιν, καὶ δείκνυς ἅμα ὅτι ἐστὶν ἀληθής, προστίθησι τὸ, διὰ τὸ
μηδὲν εἶναι θεῷ ὠφέλιμον, ὡς τῆς προτάσεως τῆς λεγούσης θεῷ χρόνος
δέων οὐκ ἔστι, σημαινούσης ὅτι θεῷ χρόνος ὠφέλιμος οὐκ ἔστι. τοῦ τε
δέοντος ὁριζομένου εἶναι τὸν καιρόν· χρόνον ὠφέλιμον. τοὺς μὲν οὖν
ὅρους ἐκλέγοντα φησὶ δεῖν αὐτὰ τὰ ὀνόματα κατ' αὐτὰ ἐκτίθεσθαι. ὀνόματα
δέ ἐστι τὰ κατὰ τὴν εὐθεῖαν λεγόμενα· καιρός· χρόνος· δέων· θεός.
τῶν μέντοι προτάσεων λέγοι δ' ἂν τῆς ἀποφατικῆς ἢ προτάσεων αὐτῆς,
τοῦ, προτάσεις· ἐπὶ γὰρ ἀμφοτέρων τῶν προτάσεων ἐπὶ τοῦ τοιούτου
παραδείγματος, ὁμοίως λαμβάνεται κατὰ δοτικὴν πτῶσιν, θεῷ
γὰρ οὐ θεός, οὐ κατὰ τὸ ὄνομα εἶναι τουτέστιν· οὐ κατὰ τὴν εὐθεῖαν
πτῶσιν ληπτέον· λέγοντες θεὸς χρόνος δέων οὐκ ἔστιν. ἀλλὰ κατὰ
τὴν πτῶσιν τοῦ ὀνόματος. τῇ γὰρ δοτικῇ θεῷ γὰρ ληπτέον ἐν τῇ προ-
τάσει τὸ ὄνομα. καὶ καθόλου παραινεῖ δεῖν ποιεῖν. τοὺς μὲν ὅρους ἐκτίθεσθαι
κατὰ τὰς κλήσεις τῶν ὀνομάτων, τουτέστι κατὰ τὰ ὀνόματα. τὰς γὰρ
πτώσεις, οὐκ εἶναι ὀνόματα ἁπλῶς, ἐν τῷ περὶ ἑρμηνείας. συμπλέκειν
δὲ αὐτοὺς ἐν ταῖς προτάσεσιν κατὰ τὰς ἁρμοζούσας πτώσεις. τὰς δὲ
διαφορὰς τῶν πτώσεων, διὰ τῆς τῶν πρός τι παραθέσεως ἐδήλωσε.
τὰ μὲν γὰρ αὐτῶν, πρὸς δοτικὴν πτῶσιν λέλεκται ὡς τὸ ἴσον ἢ τὸ ὅμοιον.
ἴσον γὰρ τῷ ἴσῳ ἴσον· ὁμοίῳ τὸ ὅμοιον, ὅμοιον· τὰ δὲ πρὸς γενικὴν ὡς τὸ
διπλάσιον.

ἢ μὴ στοχαστέον γὰρ τὸ δεῖ, ὡς πρὸς ἀγγεῖα καλεῖν· ὡς τὸ τύπτειν· τὸ γὰρ τύπτον τοῦ τυπτομένου τύπτει· τὸ δὲ τυπτόμενον, κοινὸν ἐφ᾽ οὗ ἐνθάδε ἀεὶ τῆς ἀγγειακῆς πέφασαι· οὐ πάντως δὲ ἐπαγαγεῖν, πρὸς πλεονάζον καὶ τὰ πλεονάζοντα τὰς προτάσεις συντάσσειν· ἀλλ᾽ ὅταν οὕτως ἁρμόζῃ. ὅταν δὲ καὶ τοῦ ἐνθάδε ἀεὶ τῆς ἐνθάδε χρηστέον· ὁ ἀδήλως παρατιθέμενος καὶ τοῦ τὸν παράδειγμα τό, ἢ ὅτι οὕτως· οἷον ὁ ἄνθρωπος, ζῷον: Τὸ δ᾽ ὑπάρχειν τὸ διαφέρει τοῦ δοκεῖν καὶ τὸ ἀληθὲς εἶναι τὸ δὲ καὶ τὰ τοιαῦτα, τὸ ζητούμενα ὑπάρχειν λοιπὸν ἐστιν, ὁσαχῶς αἱ κατηγορίαι διῄρηνται:

Ἐπὶ πάντων τοῖς προειρημένοις, ὁσαχῶς τὸ ἀγαθὸν λέγεται καὶ τὸ ἀληθὲς ἐπὶ τούτου. τὸ ὁσαχῶς ὑπάρχειν χρὴ καὶ τὸ ὑπάρχειν· οὐ γὰρ τοῖς ὁμωνύμοις τῶν ὀνομάτων πλεονάσαι προσέχοντας, χρὴ τὰς κατηγορίας ἐν ταῖς προτάσεσι ποιεῖσθαι· ὡς ἀδελφῶν καὶ τοῦ ἐνθάδε ἀναλόγως καὶ δηλοῦν καθ᾽ ἑκάστην κατηγορίαν· ἀν δὲ καὶ τὰ πλεονάζοντα μικρέτι· ἀλλὰ πρὸς τὰ πράγματα ἀποβλέπειν χρὴ καὶ τὰς ὑπάρξεις αὐτῶν· ἐνδέχεσθαι τοῦ τὰς σημαίνεσθαι καὶ δηλοῦν πλεονάσεως οὕτως καὶ τὰς προτάσεις σχηματίζειν νῦν λέγει. ποσαχῶς ἀληθές ἐστιν ἄλλο ἄλλῳ ὑπάρχειν· ὁσαχῶς γὰρ αἱ κατηγορίαι καὶ τὰ τῶν ὄντων γένη διῄρηνται· εἰ γὰρ ὡς οὐσίαν τὸ κατηγορούμενον τοῦ ὑποκειμένου καὶ αὐτοῦ τι ἐστιν ὂν αὐτοῦ, ληπτέον ἐν ταῖς προτάσεσι· ὡς ἐν τῷ ὁ ἄνθρωπος ζῷόν ἐστιν· ἢ ὡς ποσὸν τι καὶ αὐτοῦ δηλοῦν· ὡς ἐν τῷ ὁ ἄνθρωπος, δίπηχύς ἐστιν· ἢ ὡς ~~ποιὸν τι καὶ αὐτοῦ δηλοῦν~~ ὅτι καὶ αὐτὸ λευκὸς ἀναφέρηται· ἢ ὡς πρός τι· ἐν δεξιός· ἢ πατήρ· ἢ ὡς ὑπάρχειν ἐν διαλέγεσθαι ἢ γράφειν· ἢ ὡς πάσχειν αὐτὸ τύπτεσθαι ἢ σχίζεσθαι, ἢ ὡς τόπον ἂν ἐν Λυκείῳ ἀναφέρηται· ἢ ὡς χρόνον, ἂν λέγηται ὅτι χθὲς ἢ πέρυσιν· ἢ ὡς κεῖσθαι, ὅταν καθῆσθαι λέγοιτο· ἢ ὡς ἔχοντός τι, ἂν ὑποδέδεσθαι ἢ ὡπλίσθαι λέγοιτο· τοσαῦται γὰρ αἱ κατηγορίαι· καὶ τοσαυταχῶς οἷόν τε ἄλλο ἄλλῳ ὑπάρχειν καὶ ἀληθεύεσθαι κατ᾽ αὐτοῦ, καὶ τούτων τῶν κατηγορουμένων καὶ ἀληθευομένων κατά τινος, ἢ ἁπλῶς καὶ καθόλου ληπτέον τὰ κατηγορούμενα, κατηγορεῖσθαι ἢ πῇ· τὰ μὲν γὰρ γένη καὶ αἱ διαφοραὶ καὶ τὰ ἴδια καὶ οἱ ὁρισμοὶ, ἁπλῶς κατηγοροῦνται ὧν ἐστὶ καὶ ἀληθεύονται κατ᾽ αὐτῶν· τὸ δὲ συμβεβηκός, ποτὲ μὲν ἁπλῶς, ὡς ἐπὶ

τῆς χιόνος, τὸ λευκόν· ποτὲ δὲ ἐπὶ ὡς τοῦ ὀφθαλμοῦ, τὸ λευκόν· ἔτι δὲ ἢ ἁπλῶς τε
καὶ ἄνευ συνθέσεως κατηγορητέον τοῦτο ἐστὶν μία ἡ κατηγορία, ἢ συμπεπλεγμένως
τε καὶ συντεθειμένα· ἡ μὲν γὰρ σωκράτης ἄνθρωπος ἐστὶν, ἁπλοῦν ἔχει· ἡ δὲ λέγουσα σω-
κράτης, ἄνθρωπος λευκός ἐστιν, ἢ σωκράτης καθήμενος διαλέγεται, συντεθέντα καὶ συμ-
πεπλεγμένον· ἐπισκεπτέον δὲ τοῦτο, καὶ διοριστέον βέλτιον· ἐπεὶ τῶν συντιθεμένων
ἐν ταῖς κατηγορίαις, τὰ μὲν μίαν προσκείμενα ποιεῖ, τὰ δ' οὐ ποιεῖ μίαν· ἔστι δὲ τῶν ἴδια
κατηγορουμένων ἀληθῶς, τὰ μὲν, καὶ συντεθέντα ἀληθῶς κατηγορεῖται, τὰ δὲ
συντεθέντα, οὐκ ἔστιν ἀληθῶς κατηγορεῖν· περὶ τούτων ἀξιοῖ τὰ μὲν οὖν δεῖν ἐπισκέ-
ψασθαι· ἀλλὰ καὶ περὶ τῶν ἄλλων ὧν τὰ κεφάλαια ἐκτέθειται· καὶ αὐτὸς μὲν γὰρ
ἐν τῷ περὶ ἑρμηνείας· ἐπὶ πλέον δὲ θεόφραστος ἐν τῷ περὶ καταφάσεως καὶ ἀποφάσεως θεόφρα(στος)
περὶ τούτων λέγει: τὸ δ' ἐπαναδιπλούμενον ἐν ταῖς προτάσεσι πρὸς τῷ
πρώτῳ ἄκρῳ θετέον οὐ πρὸς τῷ μέσῳ.

τὸ δὲ ἐπαναδιπλούμενον, ὅ ἐστι τὸ δὶς λαμβανόμενον, οὐχ ἁπλῶς τὸ προστιθέ-
μενον καὶ προσκατηγορούμενον· τοῦτο γὰρ καὶ αὐτὸ τὸ ὄνομα δηλοῖ τὸ τῆς ἐπανα-
διπλώσεως· ἔστι δὲ ὁ ἐπαναδιπλούμενος ἐν ταῖς προτάσεσιν, ὁ μέσος
ὅρος· οὗτος γὰρ γίνεται προσκατηγορούμενος ἐπαναδιπλωθείς· οὔ φησι
δὲ δεῖν ἐν ταῖς ἀναλύσεσι τῶν τοιούτων συλλογισμῶν, τῷ μέσῳ ὅρῳ τὸ δεύτερον
λαμβανόμενον καὶ ἐπαναδιπλούμενον συντιθέναι, ὡς δι' ἐκείνου ὂν μὴ
λεγόμενον· ἀλλὰ τῷ πρώτῳ, τουτέστι τῷ μείζονι καὶ κατηγορουμένῳ· ὃ δὲ λέγει,
διὰ τοῦ παραδείγματος σαφὲς πεποίηκεν· εἰ γὰρ γίνοιτο συμπέρασμα
διὰ συλλογισμῶν, ὅτι τῆς δικαιοσύνης ἐστὶν ἐπιστήμη, ὅτι ἀγαθόν, τὸ μὲν ἐ-
παναδιπλούμενον ἐστὶ τὸ ἀγαθὸν ὃ προσκεῖται τῇ ἐπιστήμῃ· ἐπαναδιπλού-
μενον δέ, ὅτι καὶ ὁ μέσος ὅρος τὸ ἀγαθόν· ὁ γὰρ συλλογισμὸς οὗτος· ἡ δικαιοσύνη
ἀγαθόν· τοῦ ἀγαθοῦ ἐστὶν ἐπιστήμη ὅτι ἀγαθόν· τῆς δικαιοσύνης ἄρα ἐστὶν
ἐπιστήμη ὅτι ἀγαθόν· οὕτως γὰρ εἰρημένων τῶν ὅρων, καὶ τοῦ μείζονος μὲν ἄκρου,
ἐπιστήμης ὅτι ἀγαθόν· μέσου δὲ, ἀγαθοῦ· ἐλάττονος δὲ ἄκρου, δικαιοσύνης,
δεῖ ἔσται τὸ εἰρημένον συμπέρασμα· τὸ τῆς δικαιοσύνης ἐπιστήμην εἶναι ὅτι
ἀγαθόν, καὶ ἡ ἀνάλυσις εἰς τοὺς εἰρημένους ὅρους ἔσται τοῦ συλλογισμοῦ· ἐὰν
δὲ τὸ ἐπαναδιπλούμενον τοῦτο δέ ἐστι τὸ ἀγαθόν, μὴ τῷ μείζονι ἄκρῳ συντε-
θῇ, ἀλλὰ τῷ μέσῳ, καὶ γένηται ὁ μέσος, ἀγαθὸν ὅτι ἀγαθόν, οὔτε ἐπὶ συ-
μπέρασμα ἔσται τό,

τῷ δικαιοσύνην ἐπιστήμην εἶναι ὅτι ἀγαθόν· τῷ μὴ εἶναι τῷ κατηγορουμένῳ προσ-
κείμενον τὸ ἀγαθόν, ὅπερ ἐστὶ τὸ ἀναδιπλούμενον· ἀλλ' οὐδ' ἡ ἐλάττων πρότασις
συστῆναι· ἔσται γὰρ ἡ δικαιοσύνη ἀγαθὸν ὅτι ἀγαθόν, ἢ περιττῶς ἔσται προσκεί-
μενον τῷ ἀγαθῷ τὸ ὅτι ἀγαθόν· καὶ οὐ συμβαίνων· ἢ ἀσύνηθες ἡ πρότασις
ἔσται ἡ λέγουσα· ἡ δικαιοσύνη ἀγαθὸν ὅτι ἀγαθόν· ἢ σημαίνει ὅτι διὰ τοῦ τὸ
τῷ δικαιοσύνῃ ἀγαθὸν εἶναι ὅτι μόνη ἀγαθόν ἐστιν ἢ ταὐτὸν τῷ ἀγαθῷ· καὶ
διὰ τὸ λεγόμενον ἄν· σημαίνοιτο δ' ὅτι ψεῦδος ἢ τὸ μὴ συνήθως λέγεται·
οὐδὲ τῷ μέσῳ ὅρῳ χρὴ προσκεῖσθαι τὸ ἐπαναμετρούμενον· ὡς τοῦ μέσου
ὅρου εἶναι δεῖ τὸ αὐτὸ λαμβανόμενον, ἀλλὰ ἢ τῷ κατηγορουμένῳ· τὸ δὲ ἡ γὰρ
δικαιοσύνη ὅτι ἀγαθόν, δηλοῖ καὶ ἅμα ἐστὶ τοῦ κεῖσθαι πῶς ἀληθής
ἐστιν ἡ πρότασις· τὸ γὰρ ὅτι τοιοῦτον αὐτῷ δηλωτικόν ἐστιν· διὰ τοῦτο οὖν
ἀληθὴς ἡ ἐλάττων πρότασις ἡ λέγουσα ἡ δικαιοσύνη ἀγαθὸν ὅτι ἀγαθόν
ἐστι· τουτέστιν ὅτι ὡς εἶδός τι τῷ ἀγαθῷ ἐστιν· τοῦτο δέ, ἐπεὶ περιέχει τὸ αὐτὸ
τοῦ· ἅμα δὲ ἐσήμαινε τὸ ὅτι προσκείμενον, τοῦ κεῖσθαι κατηγορεῖσθαι
τὸ ἀγαθόν τῆς δικαιοσύνης· οὐχ οὕτως δὲ τοῦτο προσκείμενον τῇ ἐπιστήμῃ·
τοῦ γὰρ ἀγαθοῦ ἐπιστήμη· ἀλλ' οὐ τὸ ἀγαθὸν ἐπιστήμη· οὕτως μὲν οὖν τῆς
δικαιοσύνης κατηγορεῖται τὸ ἀγαθὸν ἁπλῶς ὑγιές τε καὶ ἀληθές· τὸ γὰρ γένος
τοῦ εἴδους, καὶ τὸ περιέχον ὅλως τοῦ περιεχομένου κατηγορεῖται· διὸ καὶ ἁπλῶς
οὐκέτι μὲν τὸ ἀληθές, τὸ ἡ δικαιοσύνη ταὐτὸν τῷ ἀγαθῷ ἐστιν· ὃ δηλοῖ τὸ λέγειν
ἡ δικαιοσύνη ἀγαθόν ἐστιν ὅτι ἀγαθόν· κοινότερον δὲ νῦν τὸ ἀγαθόν, τὸ μὲν
ἀναδιπλούμενον ἐστὶ τὸ ἀγαθόν· ἡ δ' ἀνάλυσις ἔσται καὶ τοῦ τοῦ συλλογισμοῦ
δεῖ τοὺς ὅρους καὶ τὰς προτάσεις, ἐὰν ἢ τῷ μείζονί τε καὶ κατηγορουμένῳ ὅρῳ
προσκείμενον τὸ ἢ ἀγαθόν· ἵνα ἡ μὲν μείζων ἄκρος, ἐπιστητὸν ἢ ἀγαθόν· μέσος
δέ, ἀγαθόν· ἔσχατος δέ, τἀγαθόν· ἔσονται γὰρ αἱ μὲν προτάσεις, τἀγα-
θόν, ἀγαθόν· τὸ ἀγαθὸν ἐπιστητὸν ἢ ἀγαθόν· ἐὰν δὲ καὶ τῷ κατηγορουμένῳ
τὸ ἐπαναδιπλούμενον αὐτὴν ἀνάλυσιν προστεθῇ· ἀλλὰ αὐτῷ μέσῳ, οὔτε
τὸ συμπέρασμα ἔσται δειχθήσεται τὸ προσκείμενον· τὸ τἀγαθόν, ἐπιστητὸν
ἢ ἀγαθόν· οὔτε ἡ πρότασις ἀληθής ἐστιν ἢ συνήθης ἡ λέγουσα τἀγαθόν,
ἀγαθὸν ἢ ἀγαθόν· ὅμοιον τούτοις ἐστὶ καὶ τό, ὁ τραγέλαφος, δοξαστὸν ἢ μὴ ὄν·
σφόδρα δὲ ἀσαφῶς τὸ μὲν εἰρημένον ἀσαφῆ φράσιν ἔχει· μόνον γὰρ ἔλαβε τὸ ἐπανα

†



διπλούμενον τοῦ ἄνευ προσκειμένου κατηγορουμένου· παραλιπὼν τὸ ἐν κατηγορουμένῳ προσκεῖσθαι αὐτὸ δεῖν· ἔστι γὰρ τὸ συμπέρασμα τὸ τραγέλαφος δοξαστὸν ᾗ μὴ ὄν· ὁ δὲ συλλογισμὸς ὁ τραγέλαφος μὴ ὄν· τὸ μὴ ὂν δοξαστὸν ᾗ μὴ ὄν· ἀφαιρεῖ τὸ πρό τερον τὸ συμπέρασμα καὶ τὸ ὁ τραγέλαφος δοξαστὸν ᾗ μὴ ὄν· τραγέλαφος ἄρα μὴ ὂν ᾗ μὴ ὄν· ὅμοιον παράδειγμα τοῖς προειρημένοις, ἤτοι, ὁ θεὸς ἄφθαρτον ᾗ ἀγαθόν· ἔστι γὰρ συμπέρασμα καὶ ἔχον ἐπαναδιπλούμενον τὸ ἀγαθόν. δῆλον ὡς ἐκ τοῦ μέσου ὅρου τοῦ ἀγαθοῦ γεγονότος καὶ ἐνδεδειγμένου· ὁ γὰρ θεὸς ἀγαθόν· τὸ ἀγαθὸν ἄφθαρτον, ἄφθαρτον ᾗ ἀγαθόν· ἐφ' οἷς τὸ κείμενον συμπέρασμα τοῦ ἀγαθοῦ ἐπαναδιπλουμένου καὶ δεύτερον ληφθέντος τῶν κατηγορουμένων ἄκρῳ συντεταγμένου τῷ φθαρτῷ, ἀλλ' οὐ τῷ μέσῳ· τὸ δὲ ἐπαναδιπλούμενον, ἐπικατηγορούμενον ἔπλεον· ἐπὶ τῶν κατηγορουμένων συνάπτεται· καὶ ἔστιν ἐν τοῖς συμπεράσμασι προσκατηγορούμενόν τι καὶ ἐπικατηγορούμενον. δύναται δὲ καὶ καθολικώτερον εἰρημένα γνῶναι, ὅτι ἐν πᾶσι τοῖς συλλογισμοῖς ἐν οἷς ἐστι προσκείμενόν τι τῶν κατηγορουμένων, καὶ ἐπικατηγορούμενον ἐν τῷ συμπεράσματι· αὐτὸ δὶς ἢ τοῦτο τὸ εἰλημμένον καὶ ἐπαναδεδιπλωμένον ὡς ἐφ' ὧν εἰρήκαμεν ἔχειν· τῷ γὰρ τῷ μέσῳ τούτου, ἢ δύναται δὲ καὶ τῶν κατηγορουμένων τούτων ὡς ἐπὶ τοῦ τραγελάφου· ἐὰν τὸ συμπέρασμα λαμβάνηται ὅτι ὁ τραγέλαφος μὴ ὂν ᾗ μὴ ὄν, αὐτὸ καὶ ἄλλως ἢ ἔξωθεν προσειλημμένον, δεῖ ταῖς ἀναλύσεσι ποιουμένοις ἐν ταῖς τῶν ὅρων ἐκθέσεσι τὸ τοιοῦτον συντάττειν τῷ μείζονι ἄκρῳ· ὃς κατηγορεῖται ἐν τῷ συμπεράσματι. οὕτως ἐπικατηγορούμενόν τε καὶ προσκατηγορούμενον ἔσται ἐν τῷ συμπεράσματι. ἔοικε μὲν τοιοῦτον λέγειν ἐπικατηγορούμενόν τε καὶ ἐπαναδιπλούμενον. ἐπιλώσιμα γὰρ τό, πρὸς τῷ ἄκρῳ τῷ ἐπαναδιπλωθὲν θετέον:· +

ὅτι χρὴ ἐν τῇ διαλύσει τοὺς ὅρους ὅλους ἁπλῶς συλλογισθῆναι ὅτι τόδε, ἢ πῆ ἢ πῶς·

Ὑφηγεῖται δὲ ἐν ταῖς τῶν συλλογισμῶν ἀναλύσεσι, τίνα αὐτῶν καὶ ὁμοίαν θέσιν καὶ ζήτησιν τῶν ὅρων ποιεῖσθαι, ὅταν τι ἁπλῶς ἐν τῷ συμπεράσματι τὸ κατηγορούμενον εἰλημμένον, καὶ ὅταν μετά προσθήκης τινὸς ἐπικατηγορουμένου τῷ κατηγορουμένῳ συντεταγμένου· ὡς ἐν δείξει αὐτοῖς, τὸ ἐπαναδιπλούμενον, προσκατηγορούμενον ἔχουσι συμπεράσμασιν· ὃ δὴ δῆλος διὰ τοῦ, ὅτι τόδε ἢ πῆ ἢ πῶς.

τῶν γὰρ προσκατηγορουμένων· τὸ μὲν τί ἐστι τὸ ὑποκείμενον δηλοῖ, ὡς ἐπὶ τοῦ συμπεράσματος τοῦ τὸ ἰσοσκελὲς δυοῖν ὀρθαῖς ἴσας ἔχειν ᾗ τρίγωνον· τὸ γὰρ προσκατηγορούμενον ἐστὶ δὲ τὸ ᾗ τρίγωνον, τί ἐστι τὸ ἰσοσκελὲς δηλοῖ. ὅ ἐστιν ὑποκείμενον ἐν τῷ συμπεράσματι· τὸ δὲ ποιόν, ὡς ἐπὶ τοῦ τὸ ἡδύ, ἐπιστητὸν ᾗ ἀγαθόν· πῇ γὰρ τὸ ἡδύ, ἐπιστητόν· καθὸ γὰρ ἐπιστητόν· ὅταν δὲ τραγέλαφος δοξαστὸν ᾗ μὴ ὄν, τὸ πῶς· οὕτω γὰρ δοξαστὸν ὡς μὴ ὄν. τοιαῦτα μὲν τὰ συμπεράσματα ἐν οἷς προσκατηγορεῖταί τι· καὶ τοιούτων τινὰ δηλοῦται καὶ τὰ δὲ ἁπλᾶ, ὅταν τὸ κατηγορούμενον, ἁπλῶς ἄνευ προσθήκης τινὸς τοῦ ὑποκειμένου ἐν τῷ συμπεράσματι κατηγορηθῇ· οἷον ἂν ᾖ συμπέρασμα· τὸ ἡ δικαιοσύνη, ἐπιστητόν· ἢ τὸ ἀγαθόν, ἐπιστητόν· τὸ γὰρ ἐπιστητὸν ἐνθάδε μὲν τοῦ ἀγαθοῦ· ἐνθάδε τῆς δικαιοσύνης ἁπλῶς κατηγορεῖται, οὔσης τοίνυν τοιαύτης διαφορᾶς ἐν τοῖς συλλογιστικοῖς τε καὶ συμπεράσμασιν, οὔ φησι δεῖν τοὺς ὅρους ὁμοίως ζητεῖν, ἔν τε τοῖς ἁπλῶς κατηγορουμένοις, καὶ ἐν τοῖς μετὰ προσθήκης· ἀλλ᾽ ὅταν μὲν ἁπλοῦν ᾖ τὸ συμπέρασμα οἷον ὅτι ἡ δικαιοσύνη ἢ τὸ ἀγαθὸν ὡς αὐτὸς λέγει, ἐπιστητόν· τὸν μέσον ὅρον ζητητέον καὶ θετέον κοινότερόν τινα· οὐχ ἁπλῶς ὑπάρχοντα τῷ ὑποκειμένῳ ὅρῳ· τῇ δικαιοσύνῃ ἢ τῷ ἀγαθῷ· καθ᾽ οὗ δηλονότι καὶ ὁ κατηγορούμενος ἀληθεύεται κατηγορηθήσεται· οἷον τὸ ὄν· καὶ γίνεται ὁ συλλογισμός· ἡ δικαιοσύνη ἢ τὸ ἀγαθόν, ὄν· τὸ ὄν, ἐπιστητόν· ἡ δικαιοσύνη ἄρα. ὅταν δὲ ᾖ τὸ συμπέρασμα μὴ ἁπλοῦν, ἀλλ᾽ ἔχον προσκείμενόν τι καὶ προσκατηγορούμενον· δεῖ καὶ καὶ τὸν μέσον ὅρον, μὴ κατὰ ἁπλῶς ἢ κοινῶς ζητεῖν· ὑπάρχοντα τῷ ὑποκειμένῳ· ἀλλὰ προσεχέστερον καὶ κατὰ τὸν τρόπον τοῦτον ὑπάρχοντα· καθ᾽ οὗ ληφθέντος αὐτοῦ, ἀληθὴς ὁ μείζων ἄκρος ἔσται κατ᾽ αὐτοῦ· μετὰ τοῦ προσκειμένου κατηγορούμενος· τὸ μὲν γὰρ ἐπιστητὸν ἁπλῶς, κατὰ τοῦ ὄντος ἀληθές ἐστι κατηγορεῖν· οὐκέτι δὲ τὸ ἐπιστητὸν ᾗ ἀγαθόν, ἀληθὲς κατὰ τοῦ ὄντος ἐπεὶ κοινότερον τὸ ὂν καὶ ἐπὶ πλέον τοῦ κατηγορουμένου· οὐ γὰρ ἀληθὴς ἡ πρότασις ἡ λέγουσα τὸ ὄν, ἐπιστητὸν ᾗ ἀγαθόν· οὔτε γὰρ τὸ ὂν πᾶν, ἀγαθόν· οὔτε μὴν πάντα τῶν ὄντων τὰ ἀγαθά, ἐπιστητά· ἅτε καὶ αὐτῆς ἐπιστήμης τῶν ἀντικειμένων. οὐκέτι τοίνυν ὁ μέσος ὅρος ἔσται τὸ ὂν ἁπλῶς· ἀλλὰ τί ὄν· τουτέστιν οἰκειότερόν τι τῷ ὑποκειμένῳ καὶ προσεχέστερον, καὶ οὐχ ὁμοίως κοινόν· ἀλλὰ οὕτως ὄν

ὡς κατηγορεῖσθαι αὐτοῦ ὁ μείζων ἄκρος δύναται· ἔστω δὲ ὁ μείζων ἄκρος, ἐπιστητὸν
ᾗ ἀγαθόν· τὸ δὲ τούτοις λαμβανόμενον ὃ οἰκειότερον ἐστὶ τῇ δικαιοσύνῃ τὸ ἀγαθόν,
κατηγορηθήσεται καὶ τὸ αὐτοῦ τὸ ἐπιστητὸν ᾗ τὸ ἀγαθόν· ἀλλὰ εἰ καὶ κατὰ τῆς δικαιο-
σύνης ᾗ τοῦ ἀγαθοῦ· ἀληθές ἐστι τὸ μείζω ἓν κατηγορῆσαι· ἀληθὲς γάρ, τό, ἡ δικαι-
οσύνη ἀγαθόν· ἢ τὸ ἀγαθόν, αἱρετόν· καὶ οἰκειότερόν γε καὶ προσεχέστερον·
τὸ τῆς δικαιοσύνης τὸ ἀγαθὸν ἢ τὴν ἀρετὴν κατηγορῆσαι, ἤπερ τὸ ὄν· τὸ γὰρ ὄν,
κοινότερον καὶ τοῦ ἀγαθοῦ πάλιν, τὸ αἱρετόν· ὅσον λέγεται ἐστίν· ὅτι ἐν οἷς συμπε-
ράσμασι τὸ κατηγορούμενον ἔχει προσκείμενόν τι δηλωτικόν· τοῦ δέ τι, τόδε
ἢ πῇ, ἢ πώς· ἀκριβέστερον περιλαβὼν δηλοῖ διὰ τοῦ, ᾗ ὄν, δι' οὗ τοῦ τοῖς τοῖς
συλλογισμοῖς· καὶ τὸν μείζονα ὅρον ἤτοι τὸν αὐτὸν τῶν προκειμένων λαμβάνει.
δυνατὸν γὰρ τοιοῦτον συμπέρασμα γίνεσθαι, διὰ τοῦ μέσου ἐπαναδιπλα-
σιασθέντος ὡς ἐδείχθη· ἐδήλωσε δὲ καὶ αὐτός, καθόλου διὰ τῶν παραδειγμάτων·
ἔστω γὰρ τὸ μὲν α, ἐπιστητὸν ὅτι ἔστιν· διὰ τοῦ ὅτι ἔστι, τὸ προσκείμενον δη-
λώσας, φησίν· ἐφ' οὗ δὲ τὸ β, ὅτι. ὅτι οὖν ἔχει προσκείμενον ἐπὶ τοῦ α, τὸ ὅτι ἐστι, ἐν
τῷ οὖν λαμβάνει ἐπὶ τοῦ β ὅτι· τὸ γὰρ ὅτι καὶ τὸ ὅτι ἐστὶ ταὐτά· τὸ γὰρ ἐφ' οὗ τὸ γ ὅτι,
ἀντὶ τοῦ, τοῦ γὰρ γ τὸ β κατηγορεῖται ὅτι ἐστὶν ὅτι· ἀλλ' οὐχ ἁπλῶς ὄν· δυνατὸν
καὶ αὐτοῦ τοῦ, ἐστὶν μείζονι τῷ ὅρου προσλαμβανομένου καὶ πάλιν προσκατηγορου-
μένου, συλλογισμὸς γενέσθαι· ἔτι δὲ τὸ αὐτὸν εἶναι καὶ μὴ τοῦτον ἢ τῶν προκειμένων
τὸ λαμβανόμενον μέσον· ἀλλ' οὖν οἰκειότερόν γε καὶ προσεχέστερον ὑπάρχον
τῶν ὑποκειμένων ὡς αὐτὸ εἶναι· οὐ κοινῶς ὑπάρχον τὸ δέ, ἦν γὰρ τὸ ὅτι ἐστὶ, τῆς ἰδί-
ου σημαντικὸν οὐσίας, δηλωτικὸν ἐστί· οἷον δὲ τὸν μέσον ὅ ἐστι τὸ β. λαμβάνεσθαι
ὃ ἁπλῶς δεῖ εἰλῆφθαι ὅτι· οὐχ ἁπλῶς ὄν· τῆς γὰρ ἰδίου σημαντικὸν οὐσίας αὐτὸ
δεῖν εἶναι τοῦ ἐσχάτου ὅρου· ἀλλ' οὐ κοινῶς καὶ ἁπλῶς κατηγορούμενον· τοιοῦτο
γὰρ ὄντι αὐτῷ, πάντως ὑπάρξει, καὶ τὸ προσκατηγορούμενον ὑπάρχοντι
τῶν ὑποκειμένων· τοιοῦτον δὲ γίνεται, ὅταν ληφθῇ ἤ, τι, τὸ μέσον ταὐτὸν εἶναι
τῶν προσκειμένων τε καὶ ἐπικατηγορουμένων, ἢ προσεχὲς τῶν ὑποκειμένων.
τὸ γὰρ ἀγαθόν, τῆς ἰδίου οὐσίας ἐστὶ σημαντικὸν τῆς δικαιοσύνης· ὁμοίως δὲ καὶ ἡ
ἀρετή· καὶ τὸ δι' αὐτὸ αἱρετόν· ἐν γὰρ τῷ λόγῳ αὐτῆς, ἀλλ' οὐ κοινὸν ὡς τὸ ὄν· ὁμοί-
ως καὶ τὸ αἱρετὸν τοῦ ἀγαθοῦ· τὸ γὰρ ὄν, καὶ κατὰ τῆς ἀδικίας ἀληθές· καὶ κατὰ
τοῦ κακοῦ· οὐ λέγει δὲ ὅτι ὁρισμὸν δεῖ εἶναι τὸν μείζονα ὅρον, διὰ τὸ ἐπεὶ τῆς ἰδ-

σημαίνοντος οὔσης· ἀλλ' ὅτι ἀμφοτέρων μᾶλλον ἢ οἰκειότερον αὐτὸν δεῖ τοῦ προσκει-
μένου ἐν τοῖς τοιούτοις συλλογισμοῖς, καὶ οὐ κοινὸν καὶ καθόλου ὁμοίως ὡς ὅταν
ἁπλῶς ᾖ τὸ κατηγορούμενον· δείκνυσι δὲ ὅτι ἂν μὴ τοιοῦτον ληφθῇ τὸ μέσον
ἀλλὰ κοινόν, οὐ σώζεται τὸ ἀξιούμενον συμπέρασμα· τὸ ἔχον προσκατη-
γορούμενον· εἰ γὰρ εἴη τὸ ὂν φησὶ μέσος ὅρος, καὶ μὴ τὸ τί ὄν, οἷον τὸ ἀγαθόν, καὶ
τὸ αἱρετόν· ἀλλ' ἡ ἀρετή, οὐκ ἂν ἦν συμπέρασμα· ὅτι ἐστὶν ἡ ἐπιστήμη τοῦ
ἀγαθοῦ ἢ τῆς δικαιοσύνης· ὅτι ἐστὶν ἀγαθόν· ἀλλ' ὅτι ὄν· εἰ γὰρ τὸ ἄκρον
τοῦτ' ἐστὶ τὸ κατηγορούμενον ὡς τὸ ὄν· ἀλλ' οὐ τὸ τί ὄν· οὐδέ, τὸ ἀγαθὸν προσκεί-
μενον· οὐδὲν διαφέρει· εἴτε δικαιοσύνη ἐστὶν εἴτε τὸ ἀγαθὸν εἴη τὸ κεί-
μενον· ἔθηκε γὰρ αὐτὸς τούτων τοῖς προειρημένοις παραδείγμασιν· ὅτι καὶ ἦν
τὸ ὂν κατηγορούμενον κατὰ τῆς δικαιοσύνης ἢ κατὰ τοῦ ἀγαθοῦ, ἀλλ' ἐγένετο
συμπέρασμα· ὅτι ἡ δικαιοσύνη ἐπιστητόν· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ, ἀλλ' οὐ
τὸ ὄν· οὐκ ἂν ἔτι δὲ ἐπιστητόν, ὅτι ἀγαθόν τῷ μὴ εἶναι ἀληθῆ πρότασιν τὴν λέ-
γουσαν, τὸ ὂν ἐπιστητὸν ἢ ἀγαθόν· εἰ γὰρ ὅλως δεῖ προσκεῖσθαί τι, προστε-
θῆναι δεῖ τούτῳ ὃ ἦν μέσος ὅρος τὸ ὄν· καὶ ἔσται συμπέρασμα, ἢ ἡ δικαιοσύνη,
ἢ τὸ ἀγαθὸν ἐπιστητὸν ἢ ὄν· ἀλλ' οὐχὶ ἢ ἀγαθόν:· φανερὸν οὖν ὅτι ἐν τοῖς
ἐν μέρει συλλογισμοῖς, οὕτως ληπτέον τοὺς ὅρους.

Ἐν μέρει συλλογισμοὺς εἶπε τοὺς οὐχ ἁπλῶς ἔχοντας τὸ κατηγορούμενον· ἀλλὰ
μετά τινος προσθήκης τῆς δηλούσης τὸ τί ἢ πῆ ἢ πῶς· τὰ γὰρ ἤτοι ταῦτα δηλω-
τικὰ προσκείμενα τῷ κατηγορουμένῳ, μερικώτερον αὐτὸ ποιεῖ· οὐ γὰρ
ὁμοίως καθόλου ἐστὶ τὸ ἀγαθόν, ἐπιστητόν· ἢ τὸ ἀγαθὸν ἢ ἡ δικαιοσύνη,
ἐπιστητὸν ἢ ἀγαθόν· ἐν τοῖς τοιούτοις οὖν συλλογισμοῖς· καὶ οὕτως ἐν μέρει,
φανερὸν φησὶν εἶναι ὅτι οὕτως δεῖ λαμβάνειν τοὺς ὅρους· τὸ γὰρ μέσον, οὐ κοινὸν
ληπτέον· ὅτι τὸ μερικώτερον τοῦ συμπεράσματος διὰ τὸ προσκατηγορού-
μενον· ἀλλὰ προσεχῆ καὶ τῆς ἰδίας οὐσίας δηλωτικόν· ἢ καὶ τὸν αὐτὸν τῷ προσ-
κειμένῳ· οὕτως γὰρ αὐτῷ ὑπάρξει ὁ μείζων ἄκρος· προσειπὼν δὲ καὶ περὶ
τοῦ κατηγορουμένου περὶ τοῦ ἐπαναδιπλουμένου ὅτι δεῖ αὐτὸ προσκεῖ-
σθαι τῷ κατηγορουμένῳ μᾶλλον τῷ ἄκρῳ ἐπέκεινα μέσον ὅρον χρὴ λαμβάνειν ἐν
ἐν οἷς ἐπικατηγορούμενόν τι προσκεῖται τῷ κατηγορουμένῳ καὶ ἀεὶ δείξας
ὅτι καὶ τὸ προσκείμενον, ἢ οἰκεῖον τὰ ἕνα καὶ προσεχῆ τῷ ὑποκειμένῳ:

Δεῖ δὲ καὶ μεταλαμβάνειν ἃ τὸ αὐτὸ δύναται.

Ἐφ' ἧς ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν ὑποθέσεως, εὐκολώτερον ἀναλύειν μεταλαμβάνειν δεῖ ἐν τοῖς ὅροις καὶ μεταλαμβάνειν τὰ τὸ αὐτὸ δυνάμενα. τὸ αὐτὸ δὲ δύναται, καὶ ὀνόματα ὀνόμασι καὶ λόγοι λόγοις καὶ ὀνόματα λόγοις. ἐπειδὴ οὐκ ἐν ταῖς λέξεσιν ὁ συλλογισμὸς τὸ εἶναι ἔχει, ἀλλ' ἐν τοῖς σημαινομένοις. σημαίνει δὲ λόγοι ὀνόματα ταυτόν, ὅταν ὦσιν οἱ ὅροι διὰ λόγων εἰλημμένοι, ἀναλύοντας χρὴ ἀντὶ τῶν λόγων ὀνόματα δυνάμενα καὶ σημαίνοντα ταὐτὸν προηγουμένως μεταλαμβάνειν τοὺς ὅρους. ῥᾴων γὰρ ἡ ἀνάλυσις τῶν συλλογισμῶν καὶ τῶν προτάσεων καὶ ἡ εὕρεσις τοῦ σχήματος καθ' ὃ ἠρώτηται γίνεται, ὀνομάτων ὄντων ὅρων καὶ μὴ λόγων. οἱ γὰρ λόγοι διὰ τὸ μῆκος ἀσάφειαν παρέχουσιν ἐν ταῖς τῶν προτάσεων ἐκθέσεσι τοὺς ὅρους διαιρέσεσί τε καὶ συμπλοκαῖς. οἷον ἂν ᾖ κείμενον κατὰ Σωκράτους ζῷον πεζὸν δίπουν, καὶ κατὰ ζῴου πεζοῦ δίποδος οὐσία ἔμψυχος αἰσθητική, μεταληπτέον· μεταληφθήσεται γὰρ τῶν λόγων τὸν μὲν ἀντὶ τοῦ δίπουν, τὸν δὲ ἀντὶ τοῦ ζῷον. πάλιν ἂν ᾖ κείμενον τὴν αὐτοῦ φύσιν ἀγαθόν μεταληπτέον ἀντὶ τὸ δι' αὐτὸ ἀγαθόν· καὶ ὄνομα δὲ ἀντὶ τοῦ ὀνόματος· οἷον ἀντὶ χαρᾶς ἡδονήν. συνηθέστερον γάρ. ὁποίαν δὲ χρὴ τὴν μετάληψιν τῶν ὅρων ποιεῖσθαι, καὶ πῶς, αὐτὸς διὰ τοῦ παραδείγματος ἐδήλωσεν. ἃ γὰρ ταὐτὸν σημαίνει τῷ λόγῳ τῷ λέγοντι τὸ ὑποληπτὸν τοῦ δοξαστοῦ μὴ εἶναι γένος, ὁ λέγων τὸ δοξαστόν, μὴ εἶναι ὅπερ ὑποληπτόν· ληπτέον τὸ δοξαστὸν ὅρον καὶ τὸ ὅπερ ὑποληπτόν. ὁ γὰρ αὐτὸς ἔσται συλλογισμός. διὰ γὰρ τῶν σημαινομένων ὑπὸ τῶν λεγόντων ὡς ἔφαμεν ὁ συλλογισμὸς γίνεται, οὐ διὰ τῶν λέξεων. ὅταν γοῦν μηδὲν σημαίνωσιν ἢ ἀμφιβόλως ὦσιν, οὐ γίνεται συλλογισμός, οὐδ' ὅταν ταὐτὰ σημαίνηται ὑπὸ διαφόρων λέξεων προηγουμένως καὶ ὁμοίως λαμβάνηται, ὁ αὐτὸς ἔσται συλλογισμός; ταὐτὸν δὲ σημαίνει τῇ λέξει τῇ λεγούσῃ τὸ ζῷον αἴτιον εἶναι τῇ οὐσίᾳ ἡ λέγουσα λέξις τὸ ζῷον ὅπερ οὐσία ἐστίν. γέγονε δὲ οὕτως λόγου ἀντὶ λόγου μετάληψις, ὥστε ἡ μετάληψις αὐτῶν ἀντ' ἀλλήλων καὶ τοῦ δεῖν ἀλλοιοτέρους ποιήσει τοὺς συλλογισμούς. οὐκ ἔτι δὲ τό, νῦν εἰρημένον, μαχόμενον τοῖς εἰρῆσθαι πρὸ ὀλίγου τῷ, οὐ δεῖ δὲ τοὺς ὅρους ζητεῖν ὀνόμασιν ἐκτίθεσθαι. ἐκεῖ τὸ γὰρ εἶπεν, οὐκ ἀεὶ δεῖ ζητεῖν· διότι ἐπ' ἐνίων οὐχ οἷόν τε ἐστὶν εὑρεῖν.

ἀγαπᾶσθαι ἀξιοῖ τοῦτο ποιεῖν, ἐφ' ὧν οἷόν τε εὑρεῖν τὰς ἰδίως σημαινούσας τοῖς
ὀνόμασι. Ἀριστοτέλης μὲν οὖν, οὕτω περὶ τῶν κατὰ τὰς λέξεις μεταλήψεων
φαίνεται. οἱ δὲ νεώτεροι ταῖς λέξεσιν ἐπακολουθοῦντες, οὐκέτι δὲ τοῖς σημαινο-
μένοις, οὐ ταὐτόν φασι γίνεσθαι ἐν ταῖς εἰς τὰς ἰσοδυναμούσας λέξεις μετα-
λήψεσι τῶν ὅρων· ταὐτὸν γὰρ σημαίνοντος τοῦ, εἰ τὸ α΄ τὸ β΄, τῷ ἀκολουθεῖν τῷ α΄
τὸ β΄· συλλογιστικὸν μὲν λόγον φασὶν εἶναι τὸν διὰ τῆς ληφθείσης τῆς λέξεως·
εἰ τὸ α΄ τὸ β΄· τὸ α΄· τὸ ἄρα β΄· οὐκέτι δὲ συλλογιστικὸν ἀλλὰ περαντικὸν· τὸ
ἀκολουθεῖ τῷ α΄ τὸ β΄· τὸ δὲ α΄· τὸ ἄρα δεύτερον:·

[...] τὸ εἶναι τὴν ἐπιστήμην ἀγαθόν, ἢ τὸ εἶναι τὴν ἐπιστήμην τἀγαθόν

Οἷς μὲν ταὐτὸν ἡ λέξις σημαίνει καὶ ὧν παρ' ὀλίγον ἡ τῆς λέξεως μετάληψις
ἢ ἀκριβολογεῖσθαι πρὸς τὸ σημαινόμενον· ἡγούμενος δεῖν βλέπειν οὐκ εἰς
τὴν λέξιν ἀλλ' εἰς τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως καὶ τοῦτο σκοπεῖν τίθεσθαι.
δηλοῖ δὲ διὰ τοῦ νῦν λεγομένου· ἀξιοῖ γὰρ ἐπεὶ μὲν γὰρ ταὐτὸν σημαίνει τὸ λέ-
γειν τὴν ἐπιστήμην, ἀγαθὸν εἶναι καὶ τὴν ἐπιστήμην τἀγαθὸν εἶναι· ὁ μὲν ἀγαθὸν
τὴν ἐπιστήμην λέγων, ἁπλῶς αὐτῆς κατηγορεῖ τὸ ἀγαθόν· ὁ δὲ τἀγαθὸν
λέγων, αὐτὴν τὴν ἐν τοῖς ἀγαθοῖς ὑπεροχὴν αὐτῆς κατηγορεῖ· ἐν δὲ ταῖς τῶν
συλλογισμῶν ἀναλύσεσι φησὶ δεῖν παραφυλάττειν καὶ μὴ ἢ τἀγαθὸν
ἢ ἐπιστήμην κείμενον, ὅρος τὴν ἐπιστήμην καὶ τἀγαθὸν ληπτέον· ἐὰν δὲ ἢ, ἁπλῶς
ἢ ἐπιστήμην ἀγαθόν, ἢ ἐπιστήμην καὶ ἀγαθόν· ὁμοίως τοῦτο καὶ ἐπὶ τοῦ ἐστὶ λαβεῖν
τὸν ἄνθρωπον ζῷον εἶναι ἢ τὸ ζῷον· τὸ μὲν γὰρ εἰπεῖν τὸν ἄνθρωπον ζῷον εἶναι,
ἀληθές· τὸ δὲ τὸν ἄνθρωπον τὸ ζῷον οὐκ ἀληθές· παρὰ τοῦτο γὰρ καὶ ὁ παραλο-
γισμὸς ἐν τῷ λόγῳ τῷ, ὁ ἄνθρωπος ζῷον· τὸ ζῷον γένος· οὐκέτι γὰρ ὁ ἄνθρωπος
γένος· ὅτι μὲν δὴ τὴν ἀρχὴν ἐλήφθη ὁ ἄνθρωπος τὸ ζῷον εἶναι ἀλλ' ἁπλῶς
ζῷον· οὐχ ἁπλῶς δὲ ζῷον, γένος· ἀλλὰ τὸ ζῷον· οὐ γὰρ πᾶν ζῷον γένος.
διὸ καὶ τοῦτο ὁ λόγος ἀληθὴς γίνεται καὶ ἔχει μὲν ληφθείσης καθόλου τῆς μείζονος
προτάσεως· ὁμοίως καὶ τὸ μὲν ἅπαν ὃ ἐκ χιόνος λευκόν ἐστιν, ἀληθές· τὸ
δὲ ἐκ χιόνος τὸ λευκόν, οὐκ ἀληθές· φησὶν οὖν δεῖν ἐν ταῖς τοιαύταις προσθήκαις
ἀκριβολογεῖσθαι, καὶ πρὸς τὸ σημαινόμενον βλέποντας, τοὺς ὅρους ἐν
ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν ἐκλαμβάνειν καθ' ἃ ἐτέθησαν· οὕτως
καὶ ἐπὶ τῆς διαβολῆς τῆς διαφόρου φερομένῳ λόγῳ· ταῦτα μὲν δὴ ἐστίν, οὐ δεῖ

νυξ'

ἡμέρα ἐστίν· εἰ μηδὲ ἄρα ἐστίν, ἡμέρα ἐστίν· χρὴ ποιεῖν ἐπεὶ γὰρ ἕπεται τῷ μηδὲν εἶναι, οὐχ ἁπλῶς τὸ μὴ ἀναγνῶναι, ἀλλὰ τὸ μηδὲ νύκτα, τοῦτο χρὴ τῆς δευτέρας συνεχείας ὅρον ἡγούμενον λαμβάνειν· τόν, εἰ μηδὲ νὺξ ἐστίν· οὗ οὕτως ληφθέντος, οὐκέτι ἀκολουθήσει τὸ ἡμέραν εἶναι ἔτι. καθ' αὑτὸ μὲν λαμβανόμενον τὸ εἰ μὲν νὺξ ἐστίν, ἡμέρα ἐστίν, ἀληθὲς αὐτὸ δὲ ἐπὶ προκειμένῳ συνημμένῳ τῷ, εἰ μηδὲν ἐστίν, οὐδὲ νὺξ ἐστίν, οὐκέτι ἀληθές, τῷ τὸ μὲν τὸ ἑπόμενον μὲν αὐτῷ πρώτῳ συνημμένῳ, ἡγούμενον δὲ αὐτῷ δευτέρῳ μέν, ὁμοίως ἐν ἀμφοτέροις λαμβάνεσθαι· ἐλήφθη γὰρ ἐν τῷ πρώτῳ συνημμένῳ τὸ οὐδὲ νύξ· ὡς εἶναι τούτῳ, πρὸ τοῦ ἐξ ἀλλήλοις μηδὲ νύκτα ἔσεσθαι· ὥστ' οὐκέτι ἕπεται τό, ἡμέραν εἶναι: +

οὐκ ἔστι δὲ ταὐτὸν οὔτ' εἶναι οὔτ' εἰπεῖν, ὅτι ᾧ τὸ β ὑπάρχει, τούτῳ παντὶ τὸ α ὑπάρχει: +

Ἐπεὶ ἔνεστι καὶ παρὰ τὸν τρόπον τῆς κατηγορίας, τὸ σημαινόμενον διάφορον εἶναι, δεῖ καὶ τοῦτο παραφυλάττειν αὐτοὺς ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν, ὅπως ἡ κατηγορία γέγονε. καὶ ὅτι γε παρὰ τὸν τρόπον τῆς κατηγορίας τὸ σημαινόμενον διάφορον γίνεται, δείκνυσι. λέγει γὰρ ὅτι οὔτε αὐτὴ ὕπαρξις ταὐτὸν ταῖς διαφερομέναις λέξεσίν ἐστιν. οὔτε αὐτὴ ἡ φωνὴ τὴν σημαινουσαν τό, τό, ὅτι ᾧ τὸ β ὑπάρχει, τούτῳ παντὶ τὸ α, ὑπάρχει· καὶ τό, ᾧ παντὶ τὸ β ὑπάρχει, τούτῳ καὶ τὸ α ὑπάρχει παντί. τοῦτο γάρ ἐστιν ὃ λέγει. καὶ ὅτι μὴ ταὐτὸν σημαίνει ταῦτα ἀλλήλοις, δείκνυσιν. ἂν μὲν γὰρ εἴπωμεν, ᾧ τὸ β ὑπάρχει μὴ προστιθέντες τό, παντί, τούτῳ παντὶ τὸ α ὑπάρχει, ἀδιορίστως εἰλήφαμεν τὸ β κατηγορεῖσθαι· οὐ κατηγορεῖται οἷ τοῦ = ἃ τοῦ τοῦ κατηγορεῖται· τὸ δὲ ἀδιόριστον ἐφαρμόζει καὶ τῷ ἐπὶ μέρους. διὸ ἂν ᾧ τὸ β τινὶ τῷ = κεῖσθαι ὑπάρχειν· καὶ εἰ γάρ τινι αὐτῷ ὑπάρχει, ἀληθὲς τὸ ὑπάρχειν αὐτῷ τὸ α. καὶ γίνεται τὸ ἀδιορίστως λεγόμενον, εἰ τοῦτο, ᾧ τινὶ τὸ β ὑπάρχει, τούτῳ παντὶ τὸ α. τοῦτο δὲ ὂν τοῦ κειμένου γίνεται τὸ α τινὶ τῷ β ὑπάρχον. ὅταν γὰρ ᾧ τινὶ τὸ β ὑπάρχει, τούτῳ ληφθῇ τὸ α ὑπάρχειν, εἴτε ἁπλῶς εἴτε παντί, συλλαμβάνεται τῷ, τὸ α τινὶ τῷ β. ὥσπερ καὶ ὅταν ληφθῇ ᾧ παντὶ τὸ β ὑπάρχει, τούτῳ ὑπάρχειν τὸ α παντί, καὶ τὸ ἀπὸ παντὸς τοῦ β ἀληπτέον τὸ α. εἴτε καὶ τὰ πάντα ἐστίν, τό, μηδὲν εἶναι λαμβάνειν τοῦ ἑτέρου καθ' οὗ θάτερον οὐ ῥηθήσεται. ταὐτὸν γάρ ἐστι τό, καθ' οὗ παντὸς τὸ β, καὶ τὸ ἐκείνου τὸ α παντός, τῷ κατὰ παντὸς τοῦ β, τὸ α εἶ

+

δέ, ἡ μὲν μείζων πρότασις αὕτη ἐν τῇ ἐκκειμένῃ συζυγίᾳ, οὖσα ἐν πρώτῳ σχήματι.
γίνεται οὖν οὕτως λαμβανομένης τῆς προτάσεως ἐν πρώτῳ σχήματι ἡ μείζων
πρότασις ἐπὶ μέρους· ἀσυλλόγιστος δὲ ἡ τοιαύτη συζυγία. αὐτὲ τὸ β τῷ γ παντί
ὑπάρχει. αὐτὲ τινί· ἔσται γὰρ ἡ ἐλάττων αὕτη πρότασις. ἔσται δὲ ἐπὶ ὅρων
σαφέστερον τὸ λεγόμενον· καὶ ἔστω ἐπὶ τοῦ β, πτηνόν· ἐπὶ δὲ τοῦ α λευκόν· ἂν δὴ
ῥηθῇ ᾧ πτηνῷ ὑπάρχει, τούτῳ παντὶ λευκόν, κύκνου μὲν δὴ ληφθέντος
τοῦ πτηνοῦ, ἀληθὲς τὸ εἰρημένον· καὶ γὰρ πτηνὸν ὁ κύκνος καὶ λευκὸν ἂν δέξαιτο
φησί· ἀλλὰ κόρακι τὸ μὲν πτηνὸν ὑπάρχει· τὸ δὲ λευκὸν οὐκέτι, ῥητέον
ὅτι οὐκ ἐρρέθη α παντὶ τῷ β· ἀλλ' ἁπλῶς ᾧ ὑπάρχει ὅτι τινὶ δυνατὸν τὸ εἶναι
τῷ τινὶ τῷ β τὸ α· οὕτω δὲ λαμβανόμενον, ἀσυλλόγιστος ἡ συζυγία· καὶ γὰρ
ὑπάρξει τὸ α τῷ ὑπὸ τὸ β τινὶ καὶ οὐχ ὑπάρξει· γίνεται γὰρ ἐπὶ τῆς ἐκκει-
μένης συμπλοκῆς, τὸ λευκὸν τινὶ πτηνῷ καὶ τὸ λευκὸν παντὶ κύκνῳ· καὶ παντὶ
κόρακι· οὐ τὸ μὲν κύκνῳ παντί, τὸ λευκόν· τῷ δὲ κόρακι οὐδενί. ἔστω μὲν
πάλιν ἐπὶ μὲν τοῦ α, λογικόν· ἐπὶ δὲ τοῦ β, ἔμψυχον· καὶ εἰλήφθω ᾧ τὸ ἔμψυχον
ὑπάρχει, ἐκείνῳ παντὶ τὸ λογικόν· ἂν οὖν μὲν ληφθῇ τὸ ὑπὸ τὸ ἔμψυχον,
ἀληθές· ἵππου δέ, οὐκέτι. γίνεται μὲν τὸ λογικόν, τινὶ ἐμψύχῳ· τὸ δὲ ἔμψυχον
τε ἀνθρώπῳ παντί, καὶ ἵππῳ παντί· ὅτι δὲ ἀσυλλόγιστοι αἱ τοιαῦται συζυγίαι, δῆλον.
ἔτι οὐδὲ ἂν ἀναλυθεῖεν ὡς συλλογιστικὰς χρή, τὸ δὲ ὡς ἀδιόριστον τῆς
βγ προτάσεως, δεῖ καὶ ἐν τῇ τοιαύτῃ λήψει παραθέσθαι ὅρους. ἔστω μὲν
τοῦ β, καλόν· ἐπὶ δὲ τοῦ γ, λευκόν· ἂν δὲ ὑπάρχῃ τινὶ καλόν, ἀληθὲς
μὲν ἔσται ἀπὸ ἀδιορίστως ὅτι λευκῷ ὑπάρχει καλόν· καὶ ᾧ ὑπάρχει τὸ β
ἀδιορίστως χωρὶς τοῦ τινὶ ἢ παντί, οὐκέτι ἀληθές, τό, παντὶ λευκῷ ὑπάρχει
καλόν· τὸ δὲ ἴσως προσέθηκε, λέγων ἀλλ' οὐ παντὶ ἴσως, οὐ διὰ τοὺς ἐκκει-
μένους ὅρους, ἀλλὰ διὰ τό, τὸ ἀδιόριστον ἀληθεύεσθαι καὶ ἐπὶ τοῦ καθόλου
ὡς προεῖπε καὶ ἐπὶ τοῦ ἐπὶ μέρους: · Εἰ μὲν οὖν τὸ α τῷ β ὑπάρχει μὴ
παντὶ δὲ καθ' οὗ τὸ β, οὔτε εἰ παντὶ τῷ γ τὸ β, οὔτε εἰ τινὶ μόνον ὑπάρχει,
ἀνάγκη τὸ α· οὐχ ὅτι οὐ παντί, ἀλλ' οὐδ' ὑπάρχειν τῷ γ:
Τὸ λεγόμενον ὑπ' αὐτοῦ τοῦτό ἐστιν, ὅτι ἂν τὸ α τινὶ τῷ β ὑπάρχῃ,
καὶ μὴ παντί· ἐὰν γὰρ παντί, ἃ καθ' οὗ τὸ β παντός, κατὰ τούτου παντὸς τὸ α
κατηγορεῖται. τὸ γὰρ μὴ παντὶ δὲ καθ' οὗ τὸ β· τοῦτ' ἔστιν τῷ μὴ κατὰ παντός

λευκ

δὲ τοῦ β λέγεται, καὶ καθόλου παντὸς τὸ β. οὐ μόνον φησὶν οὐ παντὶ ὑπάρξει τὸ α τούτῳ τὸ β, ἀλλ' ἐνδέχεται τὸ αὐτὸ μηδὲ ὅλως αὐτῷ ὑπάρχειν. αὐτὸ τὸ β καὶ κατὰ παντὸς τινὸς ληφθῇ κατηγορούμενον· οἷον τοῦ γ· ὡς τὸ λευκὸν κατὰ τινὸς μὲν ἀψύχου κατὰ πάσης δὲ χιόνος· αὐτὸ καὶ τὸ τινὸς· ὡς τὸ πτηνὸν κατὰ τινὸς μὲν μέλανος, κατὰ παντὸς δὲ κόρακος· ἢ οὐδετέρῳ αὐτῷ τὸ λευκόν· καὶ τῷ τινὶ πτηνῷ. οὐ γὰρ περὶ τοῦ μὴ παντὶ τὸ α τῷ γ ἢ ὑπάρχειν παντί, ὁ λόγος ἔσται ἐν τοῖς αὐτῆς συζυγίᾳ. δύναται γὰρ καὶ μηδ' ὅλως αὐτῷ ὑπάρχειν. ἡ γὰρ μείζων πρότασις ἐν πρώτῳ σχήματι ἐπὶ μέρους οὖσα, ἀσυλλόγιστον τὴν συμπλοκὴν ποιεῖ. ὅπως ἂν ἡ ἐλάττων ἔχουσα ληφθῇ. τὸ δέ, οὔτε ἃ παντὶ τῷ γ τὸ β. οὔτε ἃ τινὶ μόνον ὑπάρχει, εἰ μὴ συναρίθμηται. τὸ γὰρ τοιοῦτο, οὔτε ἐπὶ μέρους ἂν ἡ ἐλάττων λαμβανομένη πρότασις, οὔτε ἂν καθόλου. τὸ δὲ καθ' οὗ τὸ β ἢ ἔλαβεν, οὐκ ἔστιν ἴσον τῷ τοῦ καθόλου. τὸ μὲν γὰρ καθόλου διωρισμένον ἐστίν. δηλωτικὸν οὖν τοῦ καθόλου, ὅπερ ἴσον ἐστὶ τῷ κατὰ παντὸς τὸ δὲ καθ' οὗ, ἀδιόριστον· τὸ δὲ ἀδιόριστον, ἐφαρμόζεται ἐπὶ μέρει:

τὸ δὲ καθ' οὗ αὐτὸ τὸ β λέγεται ἀληθῶς, τούτῳ παντὶ ὑπάρχει.

Προσυπακουστέον ὅτι τὸ α. ἔστι δὲ τὸ καθ' ὅτου ἂν ὡς εἰ φαμὲν ἴσον τῷ κατὰ παντὸς καθ' οὗ τὸ β· προσέκειτο δέ, τὸ ἀληθῶς. ἐπεὶ δύναται καὶ κατὰ παντὸς μὲν κατηγορεῖσθαι, ψευδῶς δέ. ἔστιν οὖν ἡ λέξις. ἃ δὲ καθ' οὗ παντὸς τὸ β λέγεται, κατ' ἐκείνου πάντως λέγεσθαι. ἐδήλωσε δὲ ὅτι τὸ καθ' ὅτου ἂν τὸ β, ἴσον ἐστὶ τῷ καθ' οὗ παντὸς τοῦ β, μεταλαβὼν αὐτὸ εἰς τοῦτο αὐτό. γίνεται γὰρ οὕτω ληφθείσης τῆς προτάσεως, τὸ α κατὰ παντὸς τοῦ β. ἔστω γὰρ ἐπὶ μὲν τοῦ α, ζῷον· ἐπὶ δὲ τοῦ β, γελαστικὸν ἢ λογικόν. ἀλλ' ἂν τὸ λογικὸν ὁμοίως ἂν τοῦτο ληφθείη οὕτως καὶ κατὰ παντὸς ἀνθρώπου. καὶ κατὰ παντὸς γὰρ αὐτοῦ, καὶ τὸ ζῷον ἄρα. ἴσον γάρ ἐστι τοῦ τοιούτῳ τὸ ζῷον καὶ κατὰ παντὸς γελαστικοῦ· τὸ γελαστικὸν κατὰ παντὸς ἀνθρώπου, τὸ ζῷον ἄρα κατὰ παντὸς ἀνθρώπου. κἂν κατὰ τινὸς δὲ ληφθῇ ἢ τὸ γελαστικὸν ἢ τὸ λογικόν, οὐδὲν ἧττον καὶ ἀνθρώπῳ τινί, τὸ ζῷον συλλογιστικῶς ὑπάρξει. ἃ μέντοι τὸ α λέγεται καθ' οὗ ἂν τὸ β λέγεται κατὰ παντός, ἀδιόριστον πάλιν λαμβάνει τὴν ἐλάττονα. τοιοῦτον γάρ ἐστιν τὸ, καθ' οὗ ἄλλο οὖν, τοῦ καθ' ὅτου ἄν. ὥσπερ καὶ τὸ καθ' οὗ, τοῦ καθ' ὅτου, καὶ ἔστιν ἡ αὐτὴ ἡ αὐτῇ τῇ ἐν ἀρχῇ εἰρημένῃ. τῇ ᾧ τὸ β ὑπάρχει, τούτῳ παντὶ τὸ α ὑπάρξει.

ἂν δὴ οὕτως ἡ πρότασις ληφθῇ ἀδιορίστως, καὶ ἡ ἀληθής, τῷ τὸ ἐπὶ μέρους ἀληθὲς
εἶναι· τῷ ᾧ τὸ Β τινί, τὸ Α παντί, ὡς τὸ Β τινὶ τῷ Γ ὑπάρχειν· μὴ δὲ ἀλλὰ μὴ παντί·
τοῦτο γὰρ δηλοῖ τὸ τί. οὐδ' ἡ καθόλου δέξεται ἀσυλλόγιστος· ὅταν τὸ ἀδιορίστως εἰλημμένον,
διὰ ἐπὶ μέρους ἐφαρμόζει· τὸ γὰρ ᾧ τὸ Β τὸ Α παντί, ἀσυλλόγιστον· ὅταν ἢ τοῦ ἢ τῷ ᾧ τὸ Β
τὸ Α παντί· ὅτι ἐνέστιν τῷ ᾧ τὸ Β τινί, τὸ Α· τότε γὰρ γίνεται τὸ Α τινὶ τῷ Β· τοῦτο δὲ γίνεται
ὅταν ἢ τοῦ ἢ τῷ ᾧ τὸ Β τινί, τὸ Α παντί, ἀδιορίστως εἰρημένον· τὸ ᾧ τὸ Β τινί, τὸ Α παντί
ὡς προείρηται· ὃ ἐδήλωσε διὰ τοῦ, ἃ τῷ Γ ὑπάρχει τὸ Β· μὴ παντὶ δέ· γίνεται γὰρ οὕ-
τως τῆς τοιαύτης, ἡ μείζων ἡ ΑΒ, ἐπὶ μέρους λαμβανομένη ὡς προείρηται· καὶ
πάντα τὰ προειρημένα· οὕτως γὰρ ληφθείσης τῆς ΚΓ· οὐκ ἔτι ἀληθὲς τὸ Α τῷ Γ
ὑπάρχειν· οὕτως γὰρ ληφθείσης γίνεται ἡ μείζων ὡς ἔφαμεν ἐπὶ μέρους :~

ἐν δὲ τοῖς τρισὶν ὅροις δῆλον ὅτι τὸ καθ' οὗ τὸ Β παντὸς τὸ Α λέγεσθαι
τοῦτ' ἔστι καθ' ὅσων τὸ Β λέγεται, κατὰ πάντων λέγεσθαι καὶ τὸ Α :.

Ὃ λέγει τοιοῦτόν ἐστιν· ὅτι ἐν ταῖς τοιαύταις προτάσεσιν· ἀλλ' ὁμοίως μετὰ τοὺς τρεῖς ὅρους
ἐν αὐταῖς ἔχουσιν· ὁποῖαι εἰσὶν αἱ ἐξ ἐκθέσεως καὶ ὁποῖαι εἰσὶν αἱ κατὰ πρόσληψιν
ὑπὸ Θεοφράστου λεγόμεναι· αὗται γὰρ τοὺς τρεῖς ὅρους ἔχουσί πως· ἐν γὰρ τῇ
καθ' οὗ τὸ Β παντός, κατ' ἐκείνου καὶ τὸ Α παντός· ἐν τοῖς δύο ὅροις τῷ τε Β καὶ τῷ Α τοῖς
ὡρισμένοις ἤδη πως περιείληπται καὶ ὁ τρίτος καθ' οὗ τὸ Β κατηγορεῖται· πλὴν οὐ
χ' ὁμοίως ἐκείνοις ὡρισμένος φανερός· ἐν δὴ ταῖς τοιαύταις προτάσεσιν, κατὰ τὴν λέξιν
μόνον τῶν κατηγορικῶν διαφέρειν δοκοῦσιν· ὡς ἔδειξεν ἐν τῷ περὶ καταφάσεως Θεό-
φραστος· φησὶν ὅτι ἡ οὕτως λαμβανομένη ὅτι καθ' οὗ τὸ Β παντός, κατ' ἐκείνου τὸ Α
παντός, σημαίνει ἃ τὸ Β λέγεται, κατὰ πάντων τούτων λέγεσθαι καὶ τὸ Α· τοῦτο γὰρ
ἐδείχθη διὸ εἰ μὲν εἴη τῷ Β τὸ κατὰ παντὸς προκείμενον, καὶ τὸ Α κατὰ παντὸς ἔσται
τοῦ Β· οὕτως δὲ καὶ καθ' ὧν κατηγορεῖται τὸ Β, κατηγορηθήσεται καὶ τὸ Α· εἰ δὲ μὴ εἴη τὸ Β
τὸ κατὰ παντὸς προκείμενον αὐτῇ κατὰ πρόσληψιν προτάσει, ἀλλ' ἀδιορίστως
λαμβάνοιτο, οὐκ ἔτι τὸ Α κατὰ παντὸς κατηγορηθήσεται τοῦ Β· οὕτως δὲ ἂν προς-
ληφθῇ, ἀσυλλόγιστος ἡ συμπλοκή :. καὶ ὅταν μὲν κατὰ παντὸς τοῦ Β, καὶ τὸ Α οὕτω·

Λαβὼν ἐν τῷ καθ' οὗ τὸ Β παντὸς τὸ Α λέγεσθαι, τὴν μείζονα πρότασιν τὴν ΑΒ καθόλου
εἶναι γὰρ τὸ καθ' οὗ τὸ Β παντὸς τὸ Α, τῷ κατὰ παντὸς τοῦ Β τὸ Α· ἐπειδὴ τῆς ἐλάττονος
προτάσεως, καὶ ἐπὶ μέρους οὔσης καταφατικῆς· καὶ καθόλου συλλογιστικὴ ἡ συζυγία·
ἀλλὰ καθόλου μὲν οὔσης, καὶ τὸ συμπέρασμα καθόλου· ἐπὶ μέρους δέ, τοιοῦτον

ἑτέρου μὲν πέρας ᾖ, διὰ τοῦτο προσέθηκε τὸ τοῦ ὅλου δηλωτικόν, τό, καὶ ἀεὶ μὲν κατὰ παντὸς τοῦ β ὑπάρχει τὸ α οὕτως. εἰ δὲ μὴ κατὰ παντὸς ὡς ἂν εἶναι τῷ πρὸ τούτου ἰδίῳ αὐτῶν καθ' ὅσον ἂν τὸ β, ὑπὸ παντὸς τὸ α οὕτως. εἰ γὰρ τὸ δὲ β κατά τινος τοῦ γ, καὶ τὸ α ἄρα. ἡ τὸ δὲ β κατὰ παντὸς τοῦ γ ὥστε καὶ τὸ α. τὸ δέ, οὐκ ἀναγκαῖον καὶ τὸ α κατὰ παντός, ἴσον ἐστὶ τῷ, οὐδὲ τὸ α κατὰ παντὸς συλλογιστικῶς τοῦ γ ὑπὸ τὸ β κατηγορηθήσεται. εἰ τὸ β αὐτῷ τινὶ ὑπάρχει. ὃ μέντοι θεόφραστος, αὐτῷ περὶ καταφάσεως, τῶν καθ' οὗ τὸ β, τὸ α, ὡς εἰ τὸ ἐνδώσαμεν καὶ λαμβάνει τῇ, καθ' οὗ παντὸς τὸ β, καὶ τὸ κατὰ παντὸς τὸ α:·

θεόφρα(στος)

οὐ δεῖ δ' οἴεσθαι παρὰ τὸ ἐκτίθεσθαι συμβαίνειν ἄτοπον:·

Ἐκτίθεσθαι μὲν λέγει τὸ τῶν ὅρων καταγραφεῖν. ἐπειδὴ δὲ αὐτὴ τῶν συλλογισμῶν πραγματεία καὶ ἐχρήσατο τοῖς στοιχείοις ἀντὶ τῶν ὅρων. ἐπ' αὐτῶν δὲ δείκνυσι τάς τε συλλογιστικὰς συζυγίας καὶ τὰς ἀσυλλογίστους, νῦν λέγει περὶ τούτου. ὅτι μὴ παρὰ τὴν ἰδίαν τῶν λέξιν τῶν ὅρων καὶ ἔκθεσιν. ὑπολαμβάνειν χρὴ ἄτοπόν τι καὶ ψεῦδος συμβαίνειν, ὡς τῆς τῶν στοιχείων λέξεως αἰτίας γινομένης τοῦ ψεῦδος καὶ δείκνυσθαι ἀσύνακτον τὸ μὴ δείκνυσθαι. ὡς πολλάκις δείκνυσθαί τινα παρὰ τὴν ὕλην συναγόμενον τότε. οὐκ ὄντα συλλογιστικά. οὐδὲ γὰρ προσχρώμεθα τῇ διὰ τῶν στοιχείων λήψει. ἐκ δὲ τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα, ἡ κατὰ τὰς συλλογιστικὰς δείξεις. ὃ γὰρ μέντοι τὸ β, τὸ α μέν, ὡς ὅλον, τὸ δέ, ὡς μέρος τῇ οἰκειότητι τῇ πρὸς ἄλληλα τῶν ὅρων ὡς διὰ τούτου δείκνυται τὸ συναγόμενον. οἷον ὅτι τόδε τοῦδε ἐστὶ γένος. τὸ δὲ τοῦδε ἐστὶν ἴδιον ἢ ὁρισμός. ὥσπερ ἂν ἐπὶ τῶν ὑλῶν παρατιθέμεθα. τὰ γὰρ στοιχεῖα, αὐτὸ μόνον σημαίνει τῶν ὅρων ἀληπτεῖ, οὐδὲ παρ' αὐτῶν συντελοῦντα, εἰς τὸ ἢ συνακτικῶς δειχθῆναι τὴν συζυγίαν, ἢ ἀσυνάκτως. ὥσπερ ὁ γεωμέτρης ὑπογράφων τὰς τῆς καταγραφῆς διασκαλίας, καταγραφὴν ποιεῖται, καὶ λέγει. ἔσω δὴ κύκλος ὅδε. ἢ ἔστω εὐθεῖα ἥδε. οὔτε τῷ ποδιαίαν ποδιαίαν λαμβάνων. οὔτε τῷ εὐθείαν, εὐθεῖαν. οὐδὲ τοῖς καταγεγραμμένοις προσχρώμενος, δείκνυσιν αὐτὸ τὸ ἀποκείμενον. ἀλλὰ τούτοις σημείοις χρῆται οὐδέν συντελοῦσιν ἢ συναφοροῦσιν, πρὸς τὸ δεικνύμενον. οὐδὲ γὰρ ἔλαττον ἢ μὴ καταγράψας τούτους μηδὲ προσχρησάμενος αὐτοῖς, δυνατὸν δεῖξαι τὸ προκείμενον. ἀλλ' ὑπὲρ τοῦ α παρακολουθῆσαι. τοῦτον τοῖς λεγομένοις τὸν λαμβάνει. ἵν' ἔχοι σαφέστερον τὴν διάνοιαν ἐπαναπαύεσθαι, τοῦ ἱστοροῦν παρακολουθεῖ, οὕτως ἡμεῖς τὴν ἔκθεσιν τῶν στοιχείων παρ' αὐτῶν συμφερόντων. οὐ γὰρ παρὰ τό, τὸ μέν, α αὐτὸ εἶναι, τὸ δὲ β ἢ γ, ἢ συναγωγή. τὸ γὰρ

αὐτὸ γίνεται καὶ ἄλλοις αὐτὰ τούτων χρησόμεθα ὃ οὐ γίνεται ἐπὶ τοῦ, πᾶς ἄνθρωπος ζῷον· πᾶν γελαστικὸν ζῷον· εἰ γὰρ τούτων συνάγεσθαι δοκεῖ τὸ πάντα ἄνθρωπον γελαστικὸν εἶναι· ἀλλὰ τοῦτο, διὰ τὴν τῶν εἰλημμένων ὅρων σχέσιν ποιὰν πρὸς ἀλλήλους· οὐ διὰ τὸ σχῆμα· ἄλλων γὰρ ὅρων τῇ τοιαύτῃ συζυγίᾳ ληφθέντων, οὐ δεῖ συνάγεται· ὥσπερ ἐπὶ τῶν, πᾶς ἄνθρωπος ζῷον, πᾶς ἵππος ζῷον· ἐπὶ δὲ τῆς τῶν στοιχείων ἐκθέσεως, οὐχ οὕτως ὅτι δείξει αὐτὸς ἄλλοτε ἄλλοις χρησάμενος καθ' ἕκαστον σχῆμα· οὐ γὰρ ἐστὶν ἐπὶ τῶν στοιχείων· ἵνα τὸ μὲν ὡς ὅλον· τὸ δ' ὡς μέρος τούτου ληφθῇ, ὡς ἔχει τὸ ἔμψυχον, καὶ τὸ ζῷον· τὸ μὲν γὰρ ὡς ὅλον ἐστίν, ἐπὶ πλέον γὰρ καθόλου τὸ ἔμψυχον τὸ δ' ὡς μέρος τούτου ἐλήφθη· καὶ πάλιν δὲ ἄλλο τι πρὸς τοῦτο τὸ ζῷον ὅπερ ὡς μέρος εἰλημμένον ἐν τῇ α΄ προτάσει, ὡς μέρος πρὸς ὅλον ληφθῇ· οἷον, ὁ ἄνθρωπος· μέρος γὰρ τοῦ ζῴου ὁ ἄνθρωπος τοῦ ἐμψύχου καὶ τῶν οὕτως ἐχόντων τουτέστιν

ὡς τὸ μέρος κατηγορεῖσθαι· τὸ δὲ, ὑποκεῖσθαι τῶν ὅρων ἐν ταῖς προτάσεσιν· αἱ δείξεις ἐξ οὐδενὸς γὰρ τῶν, ἃ μὴ ἔχει πρὸς ἄλληλα οἰκειότητα, οἷόν τέ τι δειχθῆναι συναγόμενον συλλογιστικῶς· τὰ δὲ στοιχεῖα, οὐδεμίαν τοιαύτην ἔχει σχέσιν πρὸς ἄλληλα· οὐ κωλύει παρὰ ταῦτα, ἢ συμβαίνειν τι· ἢ οὐ συμβαίνει διότι ἐπὶ τούτων αἱ δείξεις ὃ οὐκ ἄτοπον λέγειν, ἐπὶ πολλῆς ἡμῖν ἐρῶν χρώμεθα τοῖς συλλογισμοῖς· αἱ δείξεις ἐγίνοντο· παρὰ γὰρ τὴν τοιαύτην διαφορὰν πολλάκις συναπτικόν τι φαίνεται, οὐκ ὂν τοιοῦτον· ὥστε οὐδὲ γίνεται συλλογισμός· ὅτι γὰρ ἐπὶ τῶν τοιούτων στοιχείων δείξεις ὑπογραφαὶ συλλογιστικῶν τρόπων· οὐ μὴν ἤδη συλλογισμοί, ἐδήλωσεν· ὅτι γὰρ συλλογισμὸς μετὰ τῆς ὕλης ἐφ' ἧς τι δείκνυται:· ὅλως γὰρ ὃ μὴ ἔστιν ὅλον πρὸς μέρος· καὶ ἄλλο πρὸς τοῦτο ὡς μέρος πρὸς ὅλον·

Ἡ μὲν τίθεται ἀκολουθία καὶ συμπλοκὴ προτάσεων, ἐν πρώτῳ σχήματι. [illegible] δεῖ τινα, καὶ ἐν τοῖς ἄλλοις σχήμασιν ἡ αὐτὴ πρόθεσις· τῶν καὶ δύνασθαι συλλογιστικῆς, διὰ τοῦ πρώτου σχήματος· λέγεται δὲ ὡς ὅλον μὲν τὸν κατηγορούμενον ὅρον, ὡς μέρος δὲ τὸν ὑποκείμενον· τὸ ὡς προστεθέν, ὅτι μήτε πάντως ὁ κατηγορούμενος ἐπὶ πλέον· μήτε πᾶν τὸ ἐπὶ πλέον τινὸς ὄν, ὡς μέρος αὐτοῦ ὑπάρχει· οὐ γὰρ δὴ τὸ λευκὸν ἐπὶ πλέον τοῦ ἀνθρώπου, ἤδη ὁ ἄνθρωπος μέρος ἐστὶ τοῦ λευκοῦ:· Τῷ δ' ἐκτίθεσθαι χρώμεθα, ὥσπερ καὶ τὸ αἰσθάνεσθαι τὸν μανθάνοντα λέγοντες·

Εἰπὼν ὅτι οὐ παρὰ τοὺς ἐκτιθεμένους ὅρους δείκνυται· οὐδὲ γὰρ τὰ στοιχεῖα πρὸς τὰ δεικνύμενα συντελεῖ παρ' αὐτῶν, νῦν λέγει διὰ τί ὅλως αὐτοῖς προσχρώμεθα· διὰ

γὰρ τὸ, εὐπαρακολουθητότερα τὰ λεγόμενα ἐπὶ τῆς καταγραφῆς ἀναγκαῖον πρῶτον ἐπὶ τῶν γεωμετρικῶν δείξεων, ἃ δὴ τινὰ λαμβανόμενα ἐπὶ τῆς καταγραφῆς· οὕτω δι' αὐτῶν τὰς ἀποδείξεις ποιούμενοι. τὸ πρότερον δὲ τοῦ, εὐπαρακολουθητότερα τοῖς μανθάνουσι τὰ δεικνύμενα γίνεσθαι· ἐπεὶ οὐδὲν ἔλαττον ἡ λέξις καλῶς διεξιόντες ταῦτα δεικνύουσιν ἢ χωρὶς καταγραφῆς. τὸ οὖν ὥσπερ καὶ τὸ ἀγαθὸν ἔσεσθαι τὸν μανθάνοντα λέγοντες, σημαίνει ὅτι πολλάκις διὸ προσποιοῦντες ὅτι οὐκ ἀγαθὸν, τὰς δείξεις ποιούμεθα τοῖς μανθάνουσιν ἐπὶ ἀγαθῶν παραδειγμάτων· διὰ τούτων ἐφιστῶντες αὐτοὺς εἰς τὴν τῶν ἀγαθῶν νόησιν· οὕτω γὰρ ὅτε χρώμεθα ταῖς τῶν ἀγαθῶν παραβολαῖς, ὡς ἐπὶ ἀναγνωστῶν διὰ ἀναγνωσκομένης τῆς λέξεως, οὔτε τι τῶν στοιχείων εὐθὺς δεῖ, ὡς ἄνευ τούτων μὴ δυναμένου γενέσθαι τοῦ συλλογισμοῦ. τὰ δὲ στοιχεῖα, οὐδέν ἐστι τῶν δεικνυμένων μέρος, ἢ ἐκεῖνα ἵνα τὸ εἰρημένον τὰ ὥσπερ καὶ τὸ πρότερον τοῦ ἀγαθὸν ἔσεσθαι τὸν μανθάνοντα λέγοντες ἐπὶ τοιούτων:

μὴ λανθανέτω δ' ἡμᾶς ὅτι ἐν τῷ αὐτῷ συλλογισμῷ, οὐχ ἅπαντα τὰ συμπεράσματα δι' ἑνὸς σχήματός ἐστιν.

Ἐπειδὴ ὁ λόγος αὐτῷ περὶ ἀναλύσεως συλλογισμῶν· εἰσὶ δέ τινες καὶ σύνθετοι συλλογισμοὶ ἐν οἷς πλείω τὰ συμπεράσματα, ἢ πλείους οἱ συλλογισμοί, μὴ λανθανέτω ἡμᾶς φησὶν ὅτι ἐν τοῖς ἐκ πλειόνων συλλογισμῶν ἢ συμπερασμάτων συγκειμένοις συλλογισμοῖς, οὐχ ἅπαντα τὰ συμπεράσματα καὶ τοὺς συλλογισμοὺς ἅπαντας ἀναγκαῖόν ἐστιν ἐν τῷ αὐτῷ γίνεσθαι σχήματι· ἀλλ' ἐγχωρεῖ τὸ μὲν τι συμπέρασμα καὶ τὰ πρῶτον σχήματι γενέσθαι, τῶν δὲ ἐν τῷ αὐτῷ. τὸ δὲ ἕν, καὶ τὰ β̄ ἢ γ̄ ἐν ἄλλῳ. εἰ μὲν γὰρ τοιοῦτο, τὸ ᾱ κατὰ παντὸς τοῦ β̄· τὸ β̄ κατὰ παντὸς τοῦ γ̄· τὸ γ̄ κατὰ παντὸς τοῦ δ̄, καὶ οὕτω προσληφθῇ κατὰ τῶν αὐτῶν προτάσεων πάντα τὰ συμπεράσματα ἐκ τοῦ δι' αὐτοῦ σχήματος· διὰ γὰρ τοῦ ᾱ, ὑποκειμένων τῶν α β, β γ, συναγομένου τοῦ α γ ἐν πρώτῳ σχήματι. πάλιν δὲ τοῦ α γ συναγομένου μετὰ τοῦ γ δ, τὸ α δ ἐν τῷ αὐτῷ σχήματι. ἐὰν δὲ ᾖ τὸ ᾱ τῷ μὲν β̄ οὐδενί, τῷ δὲ γ̄ παντί, τῷ δὲ β̄ παντὶ τῷ δ̄· τὸ ἄρα γ̄ οὐδενὶ τῷ δ̄· συνθέτως μὲν γὰρ οὐ τοσοῦτος ὁ συλλογισμὸς ἢ τὸ συμπέρασμα τὰ ἐν τῷ αὐτῷ σχήματι πάντα. ἀλλ' οὐ κατὰ τὸ ᾱ· ἀλλ' ἐν τῷ β̄, ἐκ τῶν α β· α γ, συναγομένου τοῦ β γ· τοῦ, τὸ β̄ οὐδενὶ τῷ γ̄ ἀποφατικοῦ ἐν τῷ β̄ σχήματι. πάλιν δὲ ἐκ τοῦ β γ ἀποφατικοῦ, μετὰ τοῦ β δ καταφατικοῦ συναγομένου τοῦ, τὸ γ̄ οὐδενὶ τῷ δ̄· ὁ τῶν κειμένων ἐν τῷ αὐτῷ σχήματι ὁμοίως ἢ ἐπὶ τοῦ τοιούτου συνθέτου συλλογισμοῦ· τὸ ᾱ καὶ τὸ β̄, παντὶ τῷ γ̄· ἀλλὰ καὶ τὸ δ̄ παντὶ τῷ β̄· τὸ ἄρα δ̄ τινὶ τῷ ᾱ.

πάλιν γὰρ καὶ οὗτος συνθετὸς ὢν ὁ συλλογισμός, ἔχει πάντα τὰ συμπεράσματα ἐν τῷ γ σχήματι. ἐκ μὲν γὰρ τῶν αβ, βγ καταφατικῶν καθόλου, συνάγεται τὸ α τινὶ τῷ β ἐν τρίτῳ σχήματι. τοῦτο δὲ τοῦ συμπεράσματος μετὰ τοῦ, τὸ δ παντὶ τῷ β συνάγοντος, ἐν τῷ αὐτῷ σχήματι τὸ δ τινὶ τῷ α. ὁ δὲ συλλογισμὸς οὕτως ἔχει. τὸ α παντὶ τῷ β, τὸ β παντὶ τῷ γ, τὸ α οὐδενὶ τῷ δ, συνάγεται τὸ δ οὐδενὶ τῷ γ. ὁ μὲν συλλογισμὸς συνθετὸς καὶ οὗτος, ἀλλ' οὐκ ἐν τῷ αὐτῷ σχήματι τὰ συμπεράσματα πάντα. ἀλλ' ἔστιν αὐτῶν τὸ μέν, ἐν πρώτῳ σχήματι, τὸ δέ, ἐν δευτέρῳ. ἐκ μὲν γὰρ τῶν αβ, βγ, ἐν πρώτῳ σχήματι συνάγεται τὸ αγ. τοῦτο δὲ μετὰ τοῦ, τὸ α ἢ τοιοῦτος· τὸ α παντὶ τῷ β. τὸ β παντὶ τῷ γ. τὸ δ παντὶ ἤ τινὶ τῷ γ. τὸ ἄρα α τινὶ τῷ δ ἐν τρίτῳ σχήματι. πάλιν ἂν ᾖ συλλογισμὸς τοιοῦτος, τὸ α οὐδενὶ μὲν τῷ β, παντὶ δὲ τῷ γ, ἀλλὰ καὶ τὸ δ παντὶ τῷ γ. τὸ ἄρα β οὐ παντὶ τῷ δ, τὸ μὲν ἕτερον συμπέρασμα ἐν δευτέρῳ σχήματι, τὸ δ' ἕτερον ἐν τρίτῳ. τὸ μὲν γὰρ β οὐδενὶ τῷ γ, συνάγεται ἐν δευτέρῳ σχήματι ἀπὸ τῶν αβ, αγ. τοῦτο δὲ μετὰ τοῦ, τὸ δ παντὶ τῷ γ, συνάγει τὸ κείμενον· τὸ τὸ β οὐ παντὶ τῷ δ. μικτὸς δ' ἂν γένοιτο καὶ τῶν τριῶν σχημάτων, ἐν τῷ τοιούτῳ συλλογισμῷ· τὸ α παντὶ τῷ β. τὸ β παντὶ τῷ δ. τὸ α οὐδενὶ τῷ δ. τὸ ε παντὶ τῷ γ. τὸ ἄρα δ οὐδενὶ τῷ ε. συναγομένου μὲν ἀπὸ τοῦ αβ, βγ, τοῦ, τὸ α παντὶ τῷ γ ἐν πρώτῳ σχήματι. τούτου δὲ μετὰ τοῦ, τὸ α οὐδενὶ τῷ δ, συνάγοντος τό, τὸ δ οὐδενὶ τῷ γ ἐν δευτέρῳ σχήματι. τούτου δὲ μετὰ τοῦ, τὸ ε παντὶ τῷ γ, συνάγοντος τὸ κείμενον· τό, τὸ δ οὐ παντὶ τῷ ε ἐν τρίτῳ σχήματι. κειμένου μὲν τοῦ πρώτου σχήματος, ἢ τέλειον παρὸ λόγος, οὐ τὸ συμπέρασμα, ἀλλ' οὐ λήμματά ἐστιν. ἑπομένου δὲ παντὸς τοῦ τρίτου σχήματος μετὰ τοῦ δευτέρου τοῦ β. πάλιν δεδόσθω ἢ τίθεσθαι τὸ β, πάντων, ἐν τῷ τοιούτῳ συλλογισμῷ· τὸ α οὐδενὶ μὲν τῷ β. παντὶ δὲ τῷ γ. ἀλλὰ καὶ τὸ γ παντὶ τῷ δ. ἀλλὰ καὶ τῷ ε παντὶ τῷ δ. τὸ ἄρα β, οὐ παντὶ τῷ ε. συναγομένου μὲν ἀπὸ τῶν αβ, αγ, τοῦ, τὸ β οὐδενὶ τῷ γ ἐν δευτέρῳ σχήματι. τούτου δὲ μετὰ τοῦ, τὸ γ παντὶ τῷ δ, συνάγοντος τὸ β οὐδενὶ τῷ δ ἐν πρώτῳ σχήματι. τούτου δὲ μετὰ τοῦ, τὸ ε παντὶ τῷ δ, συνάγοντος τὸ κείμενον· τὸ β οὐ παντὶ τῷ ε. ἐν τρίτῳ σχήματι ἑπομένου μὲν παντός

οὐ χρὴ μόνον ὅτι ὅσα οἷόν τε ἀμφότερα δεῖξαι, ἀλλὰ καὶ τὸν ἕτερον φθὼν προτάσεων-
καὶ οὐ χρὴ ὁμοίως ἀνατρέπειν· ἐλέγχεται γὰρ ὁ ὁρισμὸς οὐ καθ᾽ ἓν μόνον· ἢ τῷ ὅταν μὴ δεικνύναι
τὸ ὂν ὑπάρχειν ταὐτὰ τῷ ὁρισμῷ καὶ τῷ ὁριστῷ, ὅ ἐστι τοῦ βοηθήματος· ἢ ὅταν μὴ ὑπάρ-
χειν ταὐτὰ ἀλλήλοις· ὅτε ὁρισμὸς καὶ τὸ ὁριστόν· ὡς εἰ θάλαττα τὸ μὲν ὁριστὸν τὸ ὕδωρ
ὑπάρχει· τῷ δὲ τῷ ὁρισμῷ τὶ ὑπάρχει· τὸ γὰρ ποτόν, ὅ ἐστιν ἀβίωτον σχήματι. οὕτως
μὲν οὖν ἢ ἑνὶ ἢ πλείοσι μὴ παντὶ τῷ ὁριστῷ ὑπάρχοι ὁ ἀποδοθεὶς ὁρισμός, καὶ ἀνα-
σκευάζοιτο· ἀναιρεῖται δὲ ἀνασκευαστικῶς ὅρου, καὶ διὰ τὸ δεῖξαι ὅτι μὴ μόνῳ ὁ ἀποδοθεὶς 55
ὅρος ὑπάρχει· οἷον εἴ τις τὴν φρόνησιν ὁρίσαιτο, ἕξιν ποιητικὴν ἀγαθοῦ ἢ τῶν
ἐπαινετῶν, ἕξιν ἢ δεικνῦσαν κρατίστων· καὶ διὰ ταύτης τῶν ὅρων ἀνασκευῆς, καὶ αὕτη ἂν τῷ
γίνεται σχήματι. τῷ γὰρ αὐτῷ ὅρῳ οἷον τῇ σωφροσύνῃ, ὁ μὲν ἀποδοθεὶς ὁρις-
μὸς τῆς ἐγκρατείας ὑπάρχει· ἡ δὲ ἐγκράτεια ἐστὶ τὸ ὁριστόν, οὐχ ὑπάρχει·
ὥστε οὐχ ὁρισμὸς τῆς ἐγκρατείας ὁ ἀποδοθεὶς λόγος· οὐ γὰρ πᾶσα ἕξις ἡ δεικνῦσα
κρατίστων, ἐγκράτεια: ὅτε δὲ τις ἐξ ὑποθέσεως συλλογισμὸς οὐ περαίνεται

οὐ γάρ ἐστιν ἐκ τῶν κειμένων ἀναγαγεῖν:

Φησὶν ὅτι τοὺς ἐξ ὑποθέσεως δεικνύντας λόγους, οὐ χρὴ πειρᾶσθαι ἀναλύειν· ἡ γὰρ ἀνάλυσις εἰς τὰ σχήματα· οὐδὲ γὰρ οἷόν τέ ἐστιν ἐκ τῶν κειμένων ἢ ληφθέντων, ἀναλύειν αὐτούς· ἡ γὰρ ἀναγωγὴ εἰς τὰ σχήματα ποιήσεσθαι· τούτου δὲ τὸ αἴτιον προστέθεικεν αὐτός· εἰπὼν οὐ γὰρ διὰ συλλογισμοῦ δεδειγμένοι εἰσίν· ἀλλὰ διὰ συνθήκης ὡμολογημένοι πάντες. ἅπαντες γὰρ οἱ ἐξ ὑποθέσεως, οὐ τοῦ τεθέντος καὶ δεικνυμένου ὁ συλλογισμὸς γίνεται· ἀλλὰ τοῦτο μὲν διά τινος ὑποθέσεως τε καὶ συνθήκης λαμβάνεται· ὁ δὲ συλλογισμὸς πρὸς ἄλλο τι καὶ ἄλλου τινὸς γίνεται. πρὸς γὰρ τὸ μεταλαμβανόμενον ὡς εἶπε· συλλογισμοὺς δὲ ἁπλῶς καὶ κυρίως λέγει, τοὺς κατηγορικούς· ὅτι δὲ τοιοῦτοι οἱ συλλογισμοί, οὓς λέγει ἐξ ὑποθέσεως, δῆλον· ὅτι δὲ ἐξ ὁμολογίας καὶ συνθήκης δεικνύς τι ἐξ ὑποθέσεως ὤν, ὁ μὲν βούλεται δεῖξαι, ὑποτίθεταί τε καὶ συντίθεται καὶ οὐ συλλογίζεσθαι· ἄλλο δέ τι ἀλλ' οὐχ ὃ ὑποτίθεται, συλλογίζεται· οἷον ὁ βουλόμενος τὴν ἀρετὴν ἐπιστήμην δεῖξαι· εἶτα συντιθέμενος ἂν δείξῃ τὴν ἀρετὴν διδακτὴν τι, καὶ ἐπιστήμην αὐτὴν δεδεῖχθαι· ἔπειτα δεικνὺς καὶ συλλογιζόμενος ὅτι διδακτὸν ἡ ἀρετή, διὰ τοῦ, πᾶσα ἕξις λογική, διδακτή· ἡ δὲ ἀρετή, ἕξις λογική· ὁ γὰρ συλλογισμὸς γίνεται τούτῳ, οὐ πρὸς τὸ προκείμενον, ἀλλὰ πρὸς τὸ μεταλαμβανόμενον, ὡς αὐτὸς προείρηκεν, ἐξ ὑποθέσεως δέ ἐστι· καὶ οἱ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεικνύντες τι, ἐφ' ὧν οὐδ' αὐτῶν ὁ συλλογισμὸς τοῦ δεικνυμένου γίνεται· ἀλλ' ὁ μὲν συλλογισμός, πρὸς τὸ ὑποτεθὲν καὶ τὸ ψεῦδος· τῇ δὲ ἀναιρέσει τοῦ διὰ τοῦ συλλογισμοῦ δειχθέντος ἀδυνάτου, τίθεται τὸ προκείμενον· οὐδενὸς πρὸς αὐτὸ συλλογισμοῦ προηγουμένως γενομένου· ἀλλὰ καὶ ἐπὶ τῶν διὰ τοῦ συνεχοῦς ὑποθετικοῦ· ὁμοίως δὲ καὶ τοῦ διαιρετικοῦ, τὸ μὲν τεθὲν οὐ διὰ συλλογισμοῦ λαμβάνεται· ἀλλὰ διὰ τῶν ὑποθέσεων· ὁ δὲ συλλογισμὸς ἄλλου γίνεται· τοῦ γὰρ προσλαμβανομένου ἢ μεταλαμβανομένου· σαφῶς δὲ διὰ τοῦ παραδείγματος, ὃ λέγει γνώριμον ποιεῖ· ἂν γὰρ ὑποθώμεθα καὶ συνθώμεθα. ἂν μὴ ᾖ μία δύναμις πάντων τῶν ἐναντίων, μηδὲ ἐπιστήμην εἶναι μίαν πάντων τῶν ἐναντίων· εἶτα συλλογισώμεθα· καὶ ἐπιδεικνύμενοι ὅτι μὴ ἔστι μία δύναμις τῶν ἐναντίων πάντων· λαβόντες τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες, ἐναντία· τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους, οὐ μία δύναμίς ἐστιν· οὕτως ἂν καὶ αὐτὸ διὰ συλλογισμοῦ δ'

χθῇ· αὐτὴ ἡ αὐτὴ δύναμις, τούτου τε τοῦ αὐτοῦ ποιητική· εἰ γὰρ τὸ τοῦ θερμαίνειν δύναμιν
ἔχον τὰ θερμαντικά· καὶ τὰ τοῦ ψύχειν, ψύχει· τὸ δὲ μὴ ἀνομογενοῦς ὄντος, οὐκ ἔστι
τοῦ αὐτοῦ ποιητικά· οὐκ ἄρα τοῦ μὴ ἀνομογενοῦς ὄντος, δύναμις ἡ αὐτή· αὐτὸ
μὲν τὸ διὰ τοῦ ἀπαγωγῆς ἀδύνατον ἔσται τὸ αὐτὸ μὴ ἀνομογενοῦς, ἔοικε μὲν οὕτως
προειρῆσθαι δεδεῖχθαι· διότι μὴ ἔστιν ἡ αὐτὴ δύναμις τοῦ μὴ ἀνομογενοῦς ὄντος,
ἀλλ' ἐξ ὑποθέσεως αὐτὸ δέδεικται αὐτῆς· εἰ τοῦ μὴ ἀνομογενοῦς ὄντος ἡ αὐτὴ δύναμις,
ἀδύνατον ἔσται τὸ αὐτὸ μὴ ἀνομογενοῦς· οὐ χεῖρον τὰ δὲ τούτῳ διὰ συλλογισμοῦ δεδει-
γμένον· ἀλλὰ καὶ αὐτὸ ἐξ ὑποθέσεως· τὸ μὲν δὴ μὴ εἶναι τῶν ἐναντίων πάντων
μίαν δύναμιν, ἔσται διὰ συλλογισμοῦ δεδειγμένον· καὶ ἔσται γε τούτων τῶν ἀνα-
λυσιν ποιεῖσθαι· ἔστι γὰρ ὁ μὲν, πρῶτος ἐν τρίτῳ σχήματι τῶν εἰρημένων· ὁ δὲ,
δεύτερος ἐν δευτέρῳ· οὐδαμοῦ μὲν τὸ διὰ συλλογισμοῦ δέδεικται, ὅτι μὴ ἔστι
ἐπιστήμη μία τῶν ἐναντίων, ἀλλ' εἰ καὶ ἀνομολογηθέντος, τούτου συγχωρεῖται διὰ τῶν
ὁμολογίαν· τὸ δὲ, εἴ τι διαλεχθείη ὅτι οὐκ ἔστιν μία δύναμις τῶν ἐναντίων, ἴσον
ἐστὶν, τῷ δεῖξαι συλλογίσασθαι ὅτι μὴ ἔστι τῶν ἐναντίων μία δύναμις, τοῦτο
γὰρ συμβαίνει, τὸ, οὐ πᾶσα δύναμις τῶν ἐναντίων μία· τὸ γοῦν τέως δὴ πρὸς αὐτὸ συλ-
λογισμοῦ, οὐδὲ ἀναλυθεῖς ἀνάγοιτο· τοῦτο δὲ καὶ αὐτὸς διὰ τοῦ, τοῦτον μὲν οὖν
οὐκ ἔστιν ἀναγαγεῖν τὸν λόγον, εἴρηκεν συλλογισμὸς γὰρ οὐκ ἔστιν ἔθηκεν μὲν οὖν
αὐτὸν ἀναγκαῖον· οὐ μὴν διὰ συλλογισμοῦ γὰρ ἐκεῖνο ἐδείχθη· ὡς ἡ μετ' ἔφα-
σκε μὲν δεδεῖχθαι· καὶ τοῦτο ἀναλυθῆς ἂν δή· τοῦ ὅτι μία δύναμις ἐστίν· τοῦτο
δ' εἰρηκὼς ὥς ἐστι τό, ὅτι μία δύναμις ἐστίν· λέγει ποιοῦντι τὴν λέξιν καὶ τό, τῶν ἐναν-
τίων τὸ δ' ὅπως προσέθηκεν, ὅτι μὴ πάντως τοῦτο διὰ συλλογισμοῦ δείκνυται.
ἀλλ' ἔστιν καὶ αὐτὸ ὡς ἐν ἀρχῇ, δι' ὑποθέσεως καὶ διὰ συνθήκης λαβεῖν, οἷον
εἴ τις πάλιν βουλόμενος λαβεῖν· ὅτι μὴ ἀνομογενοῦς οὐχ ἡ αὐτὴ δύναμις,
ὑπόθοιτο· εἴπερ ἐστι τῶν ἐναντίων οὐκ ἔστιν ἡ αὐτὴ δύναμις, οὐδὲ μὴ ἀνομογε-
νοῦς ὄντος· εἶτα ἐπὶ τῶν ἀντικειμένων, τὸν λόγον ποιήσαιτο· ὁ γὰρ συλλογισμὸς
ἔσται περὶ τὸ μὴ εἶναι περὶ τῶν ἀντικειμένων δύναμιν μίαν· ἀλλ' οὐ πρὸς τό,
τοῦ μὴ ἀνομογενοῦς ὄντος μὴ εἶναι δύναμιν μίαν· ἢ ὡς αὐτὸς ἐσόμενος δεδειχέναι,
τῶν ἐναντίων ἡ αὐτὴ δύναμις, ἀδύνατον ἔσται τὸ αὐτὸ μὴ ἀνομογενοῦς ὄντος εἶναι.
εἰ γὰρ ἡ αὐτὴ δεῖξις, ἐξ ὑποθέσεως μὲν, οὐ μὴν διὰ συλλογισμοῦ· ὃ ἔοικε
καὶ αὐτὸς τεθεικέναι ὡς εἶπον, διὰ τοῦ οἷον εἰ τοῦ μὴ ἀνομογενοῦς ὄντος ἀδύ-

γὰρ ἔσται τὸ αὐτὸ ὑγιεινὸν καὶ νοσῶδες. ἀλλὰ γὰρ διὰ τοῦ τοῦ δεικνύοιτο τὸ μὴ εἶναι μίαν τῶν
ἐναντίων δύναμιν, διὰ συλλογισμοῦ ἂν δεικνύοιτο, ἀλλὰ καὶ αὐτὸ ἐξ ὑποθέσεως.
οὔτε γὰρ ὡς ἐναργὲς λαμβάνοιτο μὴ εἶναι ταὐτὸ ὑγιεινὸν καὶ νοσῶδες, οὐκ
ἀδιὰ παντως ἢ πιστοῦται τὸ καὶ μὴ διὰ συλλογισμοῦ τὸ προσλαμβανόμενον,
εἰ καὶ διὰ συλλογισμοῦ γέγονεν ἡ δεῖξις, τοῦ μὴ εἶναι τῶν ἐναντίων μίαν ἐπι-
στήμην, ἀλλ᾽ ἐξ ὑποθέσεως μόνον. διὸ οὐδὲ ἀναλύσεως ὁ τοιοῦτος δεῖται λόγος
συλλογιστικῆς, ἐπεὶ οὐκ αὐτὸς διὰ τούτου ἐδείχθη, διὰ τοῦ τὸ προστίθεσθαι, οὔτε
γὰρ ὁ συλλογισμός, τὸ ἴσως. ὅτι μὴ δεῖ πάντως τὸ μεταλαμβανόμενον, διὰ κα-
τηγορικοῦ δείκνυσθαι συλλογισμοῦ, ἀλλ᾽ ἔστιν πολλάκις καὶ δι᾽ ἐναργείας τιθέ-
μενον, ὡς ἐπὶ τοῦ προειρημένου παραδείγματος δῆλον. τὸ γὰρ μὴ δύνασθαι
συνυπάρχειν ὑγείαν καὶ νόσον, οὔσας ἐναντία, ὡς ἐναργὲς προσλαμβάνεται.
ἀλλ᾽ οὐχ ὡς δεδειγμένον διὰ συλλογισμοῦ. καὶ Θεόφραστος δὲ ἐν τῷ πρώτῳ τῶν
προτέρων ἀναλυτικῶν, λέγει τὸ προσλαμβανόμενον, τὸ δὲ ἐπὶ πάντως τῆς τίθεσθαι
ἢ καὶ αὐτὸ ἐξ ὑποθέσεως ἢ δι᾽ ἐναργείας. ἢ διὰ συλλογισμοῦ τοῖς τοιούτοις τοῦτο
ποιούμενος τὸν προσληπτικὸν λόγον. πρῶτον μὲν Ἀριστοτέλης λέγει. καὶ
τὸ προκείμενον οὐ μὴν διὰ συλλογισμοῦ εἶναι. τὸ δέ, εἰ τὸ διαλεχθεὶ
ὡς οὐκ ἔστι πᾶσα δύναμις τῶν ἐναντίων. εἴρηκε τό, εἰ τὸ διαλεχθεὶ καὶ
δείξειεν ὅτι οὐκ ἔστι πάντων τῶν ἐναντίων δύναμις ἡ αὐτή. ὡς καὶ ἤδη προείρηται.
εἰπὼν δὲ περὶ τῶν ἐξ ὁμολογίας ὑποθετικῶν, καὶ δείξας ὅτι μὲ γίνεται τοῦ τιθε-
μένου ὁ συλλογισμὸς ἀλλ᾽ ἑτέρου ἄλλου τινός, ἑξῆς λέγει περὶ τῶν διὰ ἀδυνάτου.
οἱ γὰρ αὐτοί τῶν ἐξ ὑποθέσεως εἰσί. φησὶ γὰρ ὅτι μηδὲ τούτους ἐστὶν ἀναλύειν.
ὅτι μηδ᾽ ἐπὶ τούτων, προστιθέμενον ὁ συλλογισμός, ἀλλ᾽ ἄλλου τινός. διὰ γὰρ
τὸ τεθὲν κείμενον αὐτὸ ὑποτεθῆναι, ἀδύνατόν τι συμβαίνειν, δείκνυται
διὰ συλλογισμοῦ. τὸ δὲ προκείμενον, τῇ τοῦ ἀδυνάτου διὰ συλλογισμοῦ δειχθέν-
τος ἀναιρέσει, τίθεται, ἀλλ᾽ οὐ διὰ οἰκείου καὶ πρὸς αὐτὸ γεγονότος συλλογισμοῦ.
ὁμολογουμένου γάρ, τοῦ, πᾶσαν ἀρετὴν καλὸν εἶναι. ἔτι δὲ τοῦ, πᾶν τὸ καλὸν
ἐπαινετόν, πρὸς τὸν μὴ συγχωροῦντα πᾶσαν ἀρετὴν ἐπαινετὸν εἶναι. ὁ δεικνὺς
τοῦτο διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, αὐτὸ μὲν οὐ συλλογίζεται. ὑποθέμενος
δὲ τὸ ἀντικείμενον αὐτῷ. τὸ μὴ πᾶσαν ἀρετὴν ἐπαινετὸν εἶναι καὶ προσλαβὼν
τοῦτο, τὸ πᾶσαν ἀρετὴν καλὸν εἶναι συλλογίζεται διὰ τοῦ σχήματος, τὸ μὴ

πάντη καλεῖν, ἐπαγγελτὸν εἶναι· καὶ ὁ μὲν συλλογισμὸς τούτου, τὸ δὲ ἐξ ἀρχῆς δείκνυται, διὰ τὸ τὸ συλλογισθὲν ἀδύνατον εἶναι:· διαφέρουσι δὲ τῶν προειρημένων.

Λέγει τίς ἡ διαφορὰ καθ' ἣν διαφέρουσιν, ὡς διὰ ἀδυνάτου τῶν ἐξ ὁμολογίας· ἀμφότεροι μὲν γάρ, ἐξ ὑποθέσεως· ἀλλ' ἐπ' ἐκείνων μέν, δεῖ καὶ πρὸ τοῦ ὁμολογίαν γενέσθαι, ὡς ἐπὶ τοῦ δεικνυμένου ἔχει· οὕτως δὲ καὶ ἐπὶ τοῦ προκειμένου ἔσεσθαι δεικτικόν, οὐ πάντως δειχθέντος ἐκείνου τοῦ καὶ τεθεῖσθαι, καὶ γὰρ ἔδειξεν ὅτι καὶ μὴ πάντων τῶν ἐναντίων ἡ αὐτὴ δύναμις ἐστὶν ἐξ ἀνάγκης ἑπόμενον τό, οὐδὲ ἐπιστήμη μία· ἀλλ' ὅμως προσωμολόγηται περὶ αὐτοῦ· ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, μηδεμιᾶς ὁμολογίας γενομένης, τῇ δείξει τοῦ ἀδυνάτου τίθεται τὸ ἀντικείμενον αὐτῶν διὰ τὴν τῆς ἀντιφάσεως ἀνάγκην:· οἷον τεθείσης τῆς διαμέτρου συμμέτρου, τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις:·

Παραδείγματι πάλιν τούτῳ χρῆται τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οὗ τὴν δεῖξιν ἐν τοῖς ἔμπροσθεν, ἤδη ἐστὶν εἰρημένον· ἐπεὶ δὲ περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὅτι καὶ μὴ προδιομολογησάμενοι, συγχωροῦσι διὰ τὸ φανερὸν εἶναι τὸ ψεῦδος τὸ ἑπόμενον τῇ ὑποθέσει, παρέθετο παράδειγμα τοῦτο· τὸ ὑποτεθείσης τῆς διαμέτρου, συμμέτρου εἶναι τῇ πλευρᾷ, ἕπεσθαι τὸ τὰ περιττὰ τοῖς ἀρτίοις ἴσα τῆς οὐχ ὡς ἀφανοῦς ἀλλὰ γνωρίμως ἑπομένου τούτου τῇ ὑποθέσει· ἧς ἀναιρεθείσης διὰ τὸ τοῦ ἑπομένου ἄτοπον, τὸ ἀντικείμενον αὐτῇ τίθεται. ὅτι ὑποκειμένου πῶς δὲ ἕπεται τῷ, εἰ ἡ διάμετρος σύμμετρος ἡ τῇ πλευρᾷ, τὸ τὰ περιττὰ τοῖς ἀρτίοις εἶναι ἴσα, διὰ τῶν πρώτων ὡς ἐπὶ ἐδείξαμεν:· πολλοὶ δὲ καὶ ἕτεροι περαίνονται ἐξ ὑποθέσεως· οὓς ἐπισκέψασθαι δεῖ καὶ διασημῆναι καθαρῶς.

Εἰπὼν περὶ τῶν ἐξ ὁμολογίας καὶ τῶν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, λέγει καὶ ἄλλους πολλοὺς ἐξ ὑποθέσεως περαίνεσθαι· περὶ ὧν ὑπερτίθεται μέν, ὡς ἐρῶν ἐπιμελέστερον· οὐ μὴν φέρεται αὐτοῦ σύγγραμμα περὶ αὐτῶν. Θεόφραστος δὲ αὐτῶν ἐν τοῖς ἰδίοις ἀναλυτικοῖς μνημονεύει· ἀλλὰ καὶ Εὔδημος καί τινες ἄλλοι τῶν ἑταίρων αὐτοῦ. λέγοι δ' ἂν τούς τε διὰ συνεχοῦς, ὃ καὶ συνημμένον λέγεται, καὶ τῆς προσλήψεως ὑποθετικούς, καὶ τοὺς διὰ τοῦ διαιρετικοῦ τε καὶ συνεζευγμένου ἢ καὶ τοὺς διὰ ἀποφατικῆς συμπλοκῆς· εἰ ἄρα οὗτοι τῶν προειρημένων· παρὰ τοὺς εἰρημένους εἶεν ἂν καὶ οἱ ἐξ ἀναλογίας καὶ οὓς λέγουσι κατὰ ποιότητα· τοὺς ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίως· καὶ ἄλλαι τινὲς ἄλλαι τῶν ἐξ ὑποθέσεως

διαφοραὶ πρὸ τούτων εἰσί· περὶ ὧν ἐν ἄλλοις εἴρηται· ἐκεῖνα δὲ ἄξιον ἐπὶ τῆς
λέξεως ἐπισημειώσασθαι· ὅτι συλλογισμοὺς μὲν ἁπλῶς, οὐ λέγει τοὺς ὑποθε-
τικοὺς εἶναι· περαίνειν μέντοι καὶ αὐτοὺς λέγει ὥσπερ προειρήκαμεν. εἰ δὲ καὶ ἐπὶ,
πολλοὶ δὲ καὶ ἕτεροι περαίνονται ἐξ ὑποθέσεως καὶ τὸ ὅλον ἐξ ὑποθέσεως
συλλογισμούς· τοῦτ' ἔστιν, οἱ τοιοῦτοι συλλογισμοί· ἀλλ' οὐ περαίνοντες
μὲν μόνον, ὧν ἡ πρόσληψις, οὐ διὰ συλλογισμοῦ δείκνυται· ἐξ ὑποθέσεως δὲ
συλλογισμοί, οἱ τὴν πρόσληψιν ἔχοντες δεικνυμένην διὰ συλλογισμοῦ· ὥστε
ἀνάπαλιν καὶ τοῦτον, ἢ ὡς οἱ νεώτεροι ἀξιοῦσιν· οἱ ὑποθετικοὶ λόγοι περαν-
τικοὶ μέν, οὐ συλλογιστικοὶ δέ, ὥσπερ φθάνομεν εἰρηκότες· συλλογισμοὶ δὲ
οἱ κατηγορικοί· διὸ καὶ ὁ [illegible] λεγόμενος καὶ τοιοῦτον, λόγος περαντικὸς ἀλλ' οὐ
συλλογιστικός: ὅσα δ' ἐν πλείοσι σχήμασι δείκνυται τῶν προβλημάτων,
ἂν ἐν θατέρῳ συλλογισθῇ, ἔστιν ἀναγαγεῖν τὸν συλλογισμὸν εἰς θάτερον:

Κεῖται ὅτι τὰ μὲν τῶν προβλημάτων, ἐν ἑνὶ μόνῳ δείκνυται σχήματι· ὡς τὸ καθόλου
καταφατικὸν ἐν γὰρ τῷ πρώτῳ μόνῳ· τὰ δέ, ἐν δύο ὡς τὸ καθόλου πάλιν ἀπο-
φατικόν· ἐν γὰρ τῷ α καὶ β· ὁμοίως δὲ ἐν δύο, καὶ τὸ ἐπὶ μέρους καταφατικόν·
ἐν γὰρ τῷ α καὶ τῷ γ· τὸ δ' ἐπὶ μέρους ἀποφατικόν, ἐν τοῖς τρισίν, οὕτως τοίνυν
ἐχόντων τούτων, φησὶν ὅτι τῶν προβλημάτων μὲν πλειόνων δείκνυται σχημάτων,
ἐὰν συλλογισθῇ ἔν τινι, δυνατὸν ἀναγαγεῖν τὸν συλλογισμόν, καὶ εἰς τὸ ἄλλο σχῆμα.
ἢ εἰς τὰ ἄλλα ἐν ὧν ἐν οἷς καὶ αὐτοῖς τὸ αὐτὸ πρόβλημα δείκνυται, οἷον εἰ εἴη
ἐν πρώτῳ σχήματι τὸ καθόλου ἀποφατικὸν δεδειγμένον, ἐν ἔστι τὸν συλλο-
γισμὸν τοῦτον γινόμενον ἀναγαγεῖν καὶ εἰς τὸ δεύτερον σχῆμα, ἀντιστρέψαντας
τὴν ἀποφατικὴν πρότασιν· ἐπεὶ δὴ καὶ ἐν τούτῳ τῷ σχήματι δείκνυται μόνον τὸ καθόλου
ἀποφατικόν, ἔνεστι τὸν συλλογισμὸν ἀναγαγεῖν εἰς τὸ πρῶτον τῇ τῆς ἀποφατικῆς
ἀντιστροφῇ· οὐ πάντας δέ φησιν οἷόν τε ἀναχθῆναι, τοὺς δεικνυμένους ἔν τινι
σχήματι συλλογισμούς, εἰς τὰ ἄλλα σχήματα· ἐν οἷς καὶ αὐτοῖς τὸ αὐτὸ πρόβλημα
δείκνυται· λέγει δὲ τοῦτο περὶ τοῦ δ τοῦ ἐν δευτέρῳ σχήματι· ὃς ἐκ καθόλου κα-
ταφατικῆς τῆς μείζονος καὶ ἐπὶ μέρους ἀποφατικῆς τῆς ἐλάττονος, ἐπὶ
μέρους ἀποφατικὸν συνάγει· καὶ περὶ τοῦ ς τοῦ ἐν τῷ γ σχήματι· ὃς καὶ αὐτὸς
ἐκ καθόλου καταφατικῆς τῆς ἐλάττονος, καὶ ἐπὶ μέρους ἀποφατικῆς τῆς
μείζονος, ἐπὶ μέρους ἀποφατικὸν συνάγει· δείκνυται μὲν γὰρ τὸ ἐπὶ μέρους ἀποφατικὸν

πρόβλημα, ἐν τοῖς τρισὶ σχήμασι· ἀλλ' οἱ προειρημένοι συλλογισμοί. οὐ δύναται τινὰς
ἄλλα σχήματα ἀναχθῆναι· τῶν τινῶν μὲν ἀναγωγὴν καὶ τῶν ἄλλων ἀνάλυσιν τὴν ἐκεῖνος [illegible]
σχήματος εἰς ἄλλο σχῆμα διὰ ἀντιστροφῆς γίνεσθαι· τούτων δὲ μηδέτερον. δύναται
δύνασθαι διὰ ἀντιστροφῆς· ἀλλ' ἀμφοτέρους, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὡς
ἐδείχθη· τοῦτο καὶ αὐτὸς προϊών, γνώριμον ποιήσει. δείκνυσι δὲ πρῶτον ἐπιών..
πῶς τοὺς ἐξ ἄλλου σχήματος συλλογισμούς, ἔστιν ἀναλύειν εἰς ἄλλο σχῆμα· καὶ ἔστι
καὶ ἐφόδους ποιεῖται· γνωρίμως λεγομένη. διὰ δὲ τούτων τῶν ἐφόδων καὶ αὐτὸς
προεῖπε· μέγιστον περὶ τῆς τῶν συλλογισμῶν εἰς τὸ σχῆμα ἀναγωγῆς λέγειν. ἀγνώ-
ἐστι γινόμενον εἰδέναι· ἔπειτα γὰρ συμβαίνει τὸ [illegible] καὶ τὰ πρότερον εἰρημένα,
ἐπιβεβαιοῦσθαι καὶ φανερώτερα εἶναι:· ἐὰν δὲ τὸ κατηγορικὸν ᾖ πρὸς τῷ
β̄ ἐν τῷ β̄ σχήματι τῶν, ὅτι τὸν μείζονα ἔχ[ει] :· β̄· τὸ δὲ στερητικὸν πρὸς τῷ γ̄:·

Ὁ καθόλου καταφατικόν· τὸν δὲ ἐλάττονα. καθόλου ἀποφατικόν· δείκνυμεν
διὰ τὸ ἀντιστροφῶν τῆς ἀποφατικῆς προτάσεως καὶ τοῦ συμπεράσματος. δείκνυσι
δὲ πῶς τοῦτο ἀνάξομεν εἰς τὸν ἐν πρώτῳ σχήματι καθόλου ἀποφατικόν· φησὶ δὲ δεῖν,
τὸν ἐλάττονα ὅρον πρῶτον τεθῆναι ὡς μείζονα· καὶ πρὸ τοῦ μείζονος ἐν τῷ συμπεράσματι
[illegible] κατηγορῆσαι. καὶ τὴν καθόλου ἀποφατικὴν πρότασιν καὶ ἀντιστρέψαντες
αὐτήν, προσλαμβάνειν τὴν μείζονα πρότασιν· τὴν καθόλου καταφατικὴν ὡς
ἐλάττονα. οὕτω γὰρ ἔστι τὸ πρῶτον σχῆμα. καὶ ἔσται συναγόμενον τὸ τὸν ἐλάττονα
μηδενὶ τῷ μείζονι· τὸ δὲ συμπέρασμα ἀντιστρέψαντες. ἡ γὰρ καθόλου ἀποφατικὴ
ἀντιστρέφει· ἕξομεν τὸ προκείμενον δεδειγμένον· τὸ τὸν μείζονα μηδενὶ τῷ
ἐλάττονι. ὥσπερ μάθοις ὅτι ἐν τῷ συλλογισμῷ τῷ ἐν δευτέρῳ σχήματι μείζων δὲ ὁ β̄.
πρὸς ὃν ἡ καταφατικὴ ἢ καθόλου ἐκεῖ τό. ἐλάττων δὲ ὁ γ̄· πρὸς ὃν ἡ καθόλου
ἀποφατική:· ὅταν δὲ τὸ κατηγορικόν, οὐκ ἀναλυθήσεται:·

Εἰπὼν περὶ τοῦ γ̄ ἐν β̄ σχήματι· οὗτος ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος.
καὶ ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος· καὶ δείξας αὐτὸν ἀναγόμενον, διὰ τῆς μεί-
ζονος προτάσεως ἀντιστραφείσης εἰς τὸν ᾱ σχήματι· νῦν λέγει περὶ τοῦ δ̄
συλλογισμοῦ τοῦ ἐν τῷ β̄ σχήματι· φησὶ δὲ ὅταν ᾖ τὸ καταφατικόν, πρὸς τῷ μείζονι
ἄκρῳ· τὸ δὲ στερητικὸν πρὸς τῷ ἐλάττονι. οὕτως δὲ ἐχόντων ἐξ ἀναγκαίων [illegible]
[illegible] συλλογισμός, ἐχόντων τῶν ἑτέρων ἐπὶ μέρους· τῶν δὲ ἑτέρων καταφατικῶν
καθόλου. μείζων γὰρ αὕτη. ἀδύνατον γὰρ ὡς ἐδείχθη, ἐν δευτέρῳ σχήματι μέσου

τῆς μείζονος καθόλου συλλογισμὸς γίνεσθαι· γίνεται γὰρ οὖν ἡ ἀποφατική, ἐπὶ μέρους· ἡ δὲ οὕτως ἐχούσης συζυγίας ὁ ἐκ τοιούτων προτάσεων συλλογισμὸς ἐν δευτέρῳ σχήματι· ἔχων ἐπὶ μέρους ἀποφατικὸν τὸ συμπέρασμα, οὐ καὶ ἀναχθήσεται εἰς τὸ πρῶτον σχῆμα· καὶ γὰρ τοῦ ἐπὶ μέρους ἀποφατικοῦ, καὶ ἐν πρώτῳ δεικνυμένου σχήματι ὅτι μὴ δείκνυται ὁ συλλογισμὸς οὗτος, διὰ τῆς ἀντιστροφῆς. ἀλλὰ διὰ μόνης τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· ἡ δὲ ἀνάλυσις τῶν ἐξ ἄλλου σχήματος εἰς ἄλλο σχῆμα συλλογισμῶν, δι' ἀντιστροφῆς ὡς ἔφαμεν γίνεται· τὸ δὲ οὔτε γὰρ ἀντιστρέφει τὸ α β, εἴρηκεν, οὐχ ὅτι οὐδόλως ἀντιστρέφει ἡ καθόλου· καθόλου γὰρ καταφατικὴ ἡ α β καταφατική. τῆς δὲ καταφατικῆς καθόλου, ἡ ἐπὶ μέρους καταφατικὴ ἀντιστρέφει. ἀλλ' ὅτι αὐτῇ οὐκ ἀντιστρέφει· αὗται γὰρ κυρίως ἀντιστρέφειν λέγονται, αἱ αὐταῖς ἀντιστρέφουσαι. διὸ μάλιστα ἀντιστρέφειν δοκεῖ, ἡ καθόλου ἀποφατική· τῇ γὰρ χρησαμένῃ καὶ ἀναστροφῇ ἡ ἐπὶ μέρους καταφατική. ἡ δὲ καθόλου καταφατικὴ εἰ καὶ ἔχει τινὰ ἀντιστρέφουσαν αὐτῇ, ἀλλ' οὐ πρὸς ἑαυτὴν ἀντιστρέφει διὰ τοῦτο δεῖ εἰπεῖν, οὔτε γὰρ ἐπιδέχεται ἀντιστροφήν, οὔτε καὶ [illegible] ἀντιστροφήν, καὶ ληφθεῖσαν ἐπιδέχεται ἡ καθόλου καταφατικὴ ἀντιστροφήν. ἐπιδέχεται δὲ τὴν τῆς ἐπὶ μέρους καταφατικῆς, ἀσυλλόγιστος ἔτι ἡ συζυγία. γίνεται γὰρ ἐν πρώτῳ σχήματι συζυγία, ἔχουσα ἐπὶ μέρους καταφατικὴν τὴν μείζονα τὴν β α. ἐπὶ μέρους δὲ ἀποφατικὴν τὴν ἐλάττονα τὴν α γ. ἥτις ἀσυλλόγιστός ἐστιν. δεικνύντες καὶ οὕτως ἀνάλυσιν τοῦτο, οὔτε γὰρ γινομένης ἔσται συλλογισμός, ἀλλὰ τοῦ οὔτε εἰ μὴ συγχωρηθείη τὴν καθόλου καταφατικὴν ἀντιστρέφειν αὐτῇ, οὐδ' οὕτως ἔσται συλλογισμός· καὶ γὰρ καὶ οὕτως ἀσυλλόγιστος ἡ συζυγία. ἔσται γὰρ ἐν πρώτῳ σχήματι, ἡ μὲν μείζων πρότασις καθόλου καταφατικὴ ἡ α β. ἡ δὲ ἐλάττων ἐπὶ μέρους ἀποφατική. ἀδύνατον δὲ τῆς ἐλάττονος ἀποφατικῆς οὔσης, συλλογισμὸν ἐν πρώτῳ γενέσθαι σχήματι:·

Πάλιν οἱ ἐν τρίτῳ σχήματι οὐ καὶ ἀναλυθήσονται πάντες εἰς τὸ πρῶτον· οἱ δ' ἐν τῷ πρώτῳ πάντες, εἰς τὸ τρίτον:·

Τινὲς μὲν οἱ ἐν τῷ τρίτῳ οὐ καὶ ἀναλυθήσονται πάντες εἰς τὸ πρῶτον, [illegible] συλλογισμοὶ ἐν αὐτῷ. οἱ καθόλου καταφατικῆς τῆς ἐλάττονος, καὶ ἐπὶ μέρους ἀποφατικῆς τῆς μείζονος· οὐ δυνάμενος διὰ ἀντιστροφῆς δειχθῆναι· ὥσπερ οὐδὲ ὁ ἐν δευτέρῳ σχήματι καὶ γὰρ αὐτὸς διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς μόνης ἐδείκνυτο· ὡς προϊὼν δηλώσει. τὸ δὲ εἰρημένον ὅτι οἱ ἐν τῷ πρώτῳ πάντες εἰς τὸ

τρίτον, οὐχ οὕτως εἴρηται· ὅτι ἁπλῶς πάντες. οὔτε γὰρ ὁ καθόλου καταφατικὸν
ἔχων συμπέρασμα. οὔτε ὁ καθόλου ἀποφατικὸν εἰς τὸ τρίτον ἀνάγονται σχῆμα.
ἀλλ' ἐπάντες οὗτοι ὅσοι δεικνύμενοι ἔχουσι πρόβλημα· ὃ καὶ ἐν τῷ τρίτῳ σχήματι
δείκνυνται. περὶ γὰρ τούτων ὁ λόγος αὐτῷ. εἰσὶ δὲ οὗτοι οἱ δύο, οἱ ἔχοντες ἐπὶ μέρους
τὸ συμπέρασμα καταδείκνυνται, καὶ προτεινόντων ἀλλ' ὅσοι ποιοῦνται τοῦ, ἐκ καθόλου
καταφατικοῦ τῆς μείζονος, καὶ ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος, ἐπὶ μέρους
καταφατικὸν συνάγοντες. ἀντιστραφείσης γὰρ τῆς ἐλάττονος τῆς ἐπὶ μέρους κατα
φατικῆς, τὸ γ' γίνεται σχῆμα· ἡ συζυγία ἡ ταὐτὸν συνάγουσα τῷ δεικνυμένῳ ἐν πρώτῳ
σχήματι· καὶ τὸν ἐπὶ μέρους δὲ ἀποφατικὸν συνάγοντα ἐν πρώτῳ σχήματι, ἀνάγει
εἰς τὸ τρίτον καὶ αὐτὸν τῆς ἐπὶ μέρους καταφατικῆς πάλιν ἀντιστροφῇ, ἥτις ἐστὶν ἐλάτ
των. ὁ γὰρ συλλογισμὸς οὗτος, ἀποφατικῆς ἐστι τῆς μείζονος, καὶ ἐπὶ μέρους κατα
φατικῆς τῆς ἐλάττονος· ἧς ἀντιστραφείσης πάλιν τὸ τρίτον σχῆμα γίνεται· καὶ ἐν αὐτῷ
συζυγία, ἐπὶ ἀποφατικὸν δεικνύουσα:· Τοῦ δὲ αὐτοῦ τελευταίου σχήματος
ὅτι εἷς [illegible] μόνος οὐ κατάγεται:·

Δέξαι τοὺς ἐν τῷ πρώτῳ, τοὺς τὸ ἐπὶ μέρους συνάγοντας δύο συλλογισμούς, ἀγομένους εἰς τὸ
τρίτον σχῆμα, λέγει πάλιν περὶ τῶν ἐν τῷ τρίτῳ σχήματι· καὶ τοὺς μὲν ε' τῶν ἐν τούτῳ τῷ
σχήματι, φησὶν ἐνδείκνυσθαι εἰς τὸ πρῶτον ἀγομένους σχῆμα. καὶ γὰρ καὶ ἀπεδείχθησαν
ὄντες συλλογιστικοί, τοῦτον τὸν τρόπον. τὸν δὲ ς' μηκέτι. δι' ἣν εἰρήκαμεν αἰτίαν. πρῶ
τον δὲ ἀνάγει τὸν ἐκ δύο καθόλου καταφατικῶν. ἐπεὶ γὰρ αἱ καταφατικαὶ αἱ
καθόλου, ἀντιστρέφουσι πρὸς τὰς ἐπὶ μέρους, κατηγορουμένων. τοῦ τε α καὶ τοῦ β
κατὰ παντὸς τοῦ γ. ἐὰν ἀντιστρέψωμεν τὴν βγ, ἔσται τὸ γ τινὶ τῷ β. ἦν δὲ τὸ α
καὶ τὸ α παντὶ τῷ γ. γίνεται ἐν πρώτῳ σχήματι τὸ α τινὶ τῷ β. ὃ καὶ δεικνύμενον
ἦν διὰ τῆς εἰρημένης συζυγίας τῆς ἐν τῷ τρίτῳ σχήματι. τὸ δ', οὕτως· ἐπεὶ ἂν
ἀντιστραφῇ τὸ γ πρὸς ἑκάτερον, ἴσον ἐστὶν τῷ ἐπεὶ ἀμφότεραι αἱ προτάσεις οὖσαι
καθόλου καταφατικαὶ ἀντιστρέφουσι. δύναται μὲν ὁποτέρα ἂν θατέρα ληφθεῖσα αὐτῶν,
ἀντιστραφῇ, καὶ ἀναγαγεῖν τὸν συλλογισμὸν εἰς τὸ πρῶτον σχῆμα. ὁ δὲ ἑξῆς
ἀνάγεται, ἐκ καθόλου καταφατικῆς τῆς μείζονος, καὶ ἐπὶ μέρους καταφατικῆς
τῆς ἐλάττονος ἐν τρίτῳ σχήματι. ἀντιστρέψας πάλιν τὴν ἐπὶ μέρους καταφα[τικήν]. ζ'.
τρίτον ἀνάγει τὸν ἐκ καθόλου καταφατικῆς τῆς ἐλάττονος, καὶ ἐπὶ μέρους κατα
φατικῆς τῆς μείζονος, δι' ἀντιστροφῆς μὲν καὶ τούτων τῆς ἐπὶ μέρους καταφατικῆς
προτάσεως.

ἐπειδὴ δὲ καὶ οὗτος διὰ τῆς ἀντιστροφῆς δεικνύμενος· καὶ γὰρ τὸ συμπέρασμα
ἀντιστρέφει τὸ αὐτοῦ. πρὸς τῇ ἐπὶ μέρους προτάσει. οὕτως γὰρ ἐδείκνυτο τὸ προ
κείμενον· φησὶν ὅτι ἐν πρώτῳ καὶ μείζονα ὅρον ληπτέον τὸ β. ἐπεὶ γὰρ ἡ βγ πρό
τασις ἐστὶν καθόλου. δεῖ δὲ ἐν πρώτῳ σχήματι τὴν μείζονα, καθόλου εἶναι,
φασὶ δὲ τὴν ταύτην μείζονα ποιεῖν πρότασιν καὶ τὴν αβ ἐπὶ μέρους οὖσαν κατα
φατικήν. ἐλάττονα ἐξ ἀντιστραφείσης, ἔσται τὸ β παντὶ τῷ γ. τὸ γ παντὶ τῷ α.
καὶ συναχθήσεται τὸ β τινὶ τῷ α, συμπέρασμα. ὃ ἀντιστρέψαντες, οὕτως ἕξομεν
τὸ προκείμενον. δεδειγμένον τὸ συμπέρασμα. ὁμοίως καὶ διὰ τῆς προκειμένης
τοῦ γ' τοῦ σχήματος συζυγίας δεδειγμένον. ἐπὶ τούτοις, τέταρτον ἀναλυθήσεται
ἐπὶ μέρους συνάγοντα. τὸν ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος, τῆς αγ.
τε ἐπὶ μέρους καταφατικῆς τῆς ἐλάττονος τῆς βγ· ὁμοίως καὶ τοῦτον τῇ τῆς κατα
φατικῆς ἀντιστροφῇ:· ἐὰν δὲ ἐπὶ μέρους ληφθῇ τὸ στερητικόν: +

Ἐν τούτοις λέγει περὶ τοῦ ς'. ἐν ᾧ τὸ ἀποφατικὸν ἐπὶ μέρους ἐστίν. οὔ φησι δὲ τοῦτον
εἰς τὸ πρῶτον ἀναλυθήσεσθαι καὶ ἀναχθήσεσθαι σχῆμα. ὅτι ἡ μὲν ἐπὶ μέρους ἀπο
φατική, οὐκ ἀντιστρέφει. ἐὰν δὲ ἡ καθόλου καταφατικὴ ἀντιστραφῇ, αἱ δύο
ἐπὶ μέρους ἔσονται προτάσεις. διὰ τῆς ἀντιστροφῆς δὲ ἡ ἀνάλυσις:· φανερὸν οὖν ὅτι
τὸ αὐτὸ πρὸς τὸ ἀναλύειν εἰς ἄλληλα τὰ σχήματα, ἡ πρὸς τῷ ἐλάττονι πρό

Εἰς ἄλληλα λέγει ἀνιών, ἐπεὶ τοῦ πρώτου καὶ τοῦ γ' τασις ἀντιστραπτέα:
τε γὰρ οἱ ἐν τῷ πρώτῳ εἰς τοὺς ἐν τρίτῳ. καὶ οἱ ἐν τρίτῳ εἰς τοὺς ἐν πρώτῳ. διὰ τῆς ἐλάττονος
καταφατικῆς οὔσης ἀντιστρεφομένης γίνονται. οὐκ ἔχει δὲ οὕτως ἐπὶ τοῦ α' καὶ τοῦ β'.
τε γὰρ ἐν ἑκατέροις εἰς ἀλλήλους ἀνάγονται. τῆς μείζονος ἀντιστρεφομένης τῆς καθόλου
ἀποφατικῆς:· τῶν δ' ἐν τῷ μέσῳ σχήματι ὁ ἕτερος μὲν ἀναλύεται. ὁ ἕτερος
δ' οὐκ ἀναλύεται εἰς τὸ τρίτον: +

Τὸ ἐπὶ μέρους ἀποφατικόν, διχῶς μὲν ἐν δευτέρῳ σχήματι δείκνυται. διχῶς
δὲ ἐν τρίτῳ. δείκνυσιν οὖν καὶ ἐπὶ τούτων τῶν σχημάτων, πῶς, τοὺς τοῦτο ἔχοντας
τὸ συμπέρασμα συλλογισμούς, οἱ μὲν ἐν τῷ β' σχήματι ἠρωτημένοι, ἀνάξομεν
εἰς τὸ γ'. οἱ δ' ἐν γ', εἰς τὸ β'. ἐπειδὴ περὶ τῆς ἐκ τοῦ πρώτου εἰς τῶν λοιπῶν σχημάτων
τε τούτων εἰς τὸ α', ἀναλύσεως εἶπε. λέγει δὲ ὅτι ἐν τῷ β' σχήματι δύο, ἐπὶ μέρος
ἀποφατικὸν συναγόντων, τὸν μὲν ἕτερον ἀναλύομεν εἰς τὸ γ' σχῆμα. τὸν δὲ ἕτερον, οὔ.
τὸν μὲν γὰρ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος, καὶ ἐπὶ μέρους καταφατικῆς
τῆς ἐλάττονος, ἀναλύομεν, ἀμφοτέρας τὰς προτάσεις ἀντιστρέψαντες. καὶ γὰρ

ἢ καθόλου ἀποφατική, ἀντιστρέφει αὐτῇ· ἢ ἡ ἐπὶ μέρους καταφατική, ὁμοίως.
ὥστε εἰ ληφθείη τὸ α τῷ μὲν β οὐδενί· τῷ δὲ γ τινί, ἔσται τὸ β τῷ α οὐδενί· τὸ γ
τῷ α τινί, ἐν β΄ τῷ σχήματι συζυγία· ἐπὶ μέρους ἀποφατικὸν συνάγουσα· ὅταν δὲ
ἕτερος ὅτι τὴν μείζονα ἔχων καθόλου καταφατικήν· τὴν δὲ ἐλάττονα ἐπὶ μέρους
ἀποφατικήν· ὥσπερ οὐδὲ εἰς τὸ πρῶτον ἀναλύεται σχῆμα, οὕτως οὐδὲ εἰς τὸ γ΄.
δεῖ μὲν γὰρ ἀμφοτέρας ἀντιστραφῆναι· εἰ μέλλοιεν ἀναλύειν εἰς τὸ γ΄ τὸ σχῆμα.
συλλογισμὸν ἠρωτημένον ἐν β΄ σχήματι. τῶν δὲ κειμένων προτάσεων, ἡ μὲν ἐπὶ
μέρους ἀποφατική, οὐδόλως ἀντιστρέφει· ἡ δὲ καθόλου καταφατική.
ἀντιστραφεῖσα, ἐπὶ μέρους γίνεται· αὐτὰς δὲ ταχέως ἀπαιτῶ αἰτίαν. οὐδετέρα
γὰρ τῶν προτάσεων, ἐκ τῆς ἀντιστροφῆς καθόλου. δεῖ μὲν γὰρ εἰ μέλλοι συλλογισμὸς
ἔσεσθαι, καθόλου τινὰ πρότασιν εἶναι. οὐ γίνεται δὲ καθόλου πρότασις,
ἀντιστραφείσης τῆς καθόλου καταφατικῆς· τῷ μόνῳ οἷόν τε ἀντιστρέψαι.
καίτοι, οὐδ' εἰ αὐτὴ ἡ καθόλου ἀντιστρέφει, ἡ δεικνύναι ἢ ἀναλυθῆναι γίνεσθαι
εἰς γ΄ τὸ σχῆμα. ἐν τούτῳ δεῖ μὲν ἀμφοτέρας ἀντιστραφῆναι, μὴ ἀντιστρέφειν
δὲ τὴν ἑτέραν:· καὶ οἱ ἐν τῷ τρίτῳ δὲ σχήματι δέ, ἀναλυθήσονται εἰς τὸ
μέσον· ὅταν ᾖ καθόλου τὸ στερητικόν: +

Τριῶν ὄντων ἐν γ΄ τῷ σχήματι τῶν τὸ ἐπὶ μέρους ἀποφατικὸν συναγόντων· δύο
μὲν οἱ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος, ἢ ἐκ καθόλου καταφατικῆς
τῆς ἐλάττονος ἢ ἐπὶ μέρους· εἷς δὲ ἀποφατικῆς τῆς μείζονος. τῶν δὲ τριῶν
τούτων, τοὺς μὲν δύο φησὶν ἀναλύεσθαι εἰς τὸ μέσον σχῆμα· τοὺς ἔχοντας τὸ καθόλου
ἀποφατικόν· ἀντιστραφεισῶν ἀμφοτέρων τῶν προτάσεων. ἂν γὰρ ᾖ κατὰ μὲν
τὸ α τῷ γ οὐδενί· τὸ β τῷ γ ἢ παντὶ ἢ τινί, ἀντιστραφεισῶν ἀμφοτέρων· γίνεται
τὸ γ τῷ α οὐδενί, τὸ γ τῷ β τινί, ἐν δευτέρῳ σχήματι συζυγία, ἐπὶ μέρους ἀπο-
φατικὸν συνάγουσα. τὸν δὲ τρίτον τὸν τὴν ἐπὶ μέρους ἀποφατικὴν ἔχοντα, φησὶν
οὐ δύνασθαι ἀναλύεσθαι εἰς τὸ δεύτερον· ὡς πρὸ οὐδὲ ὁ ἐν δευτέρῳ ὁ ἔχων τὴν ἐπὶ μέρους
ἀποφατικὴν εἰς τὸ τρίτον ἀνήγετο, καὶ ἡ αὐτὴ αἰτία. δεῖ μὲν γὰρ ἀμφοτέρας ἀντι-
στραφῆναι τούτων· δεῖ ἡ μὲν οὐδόλως ἀντιστρέφει· ἡ δέ, ἀντιστραφεῖσα, ἐπὶ μέρους
γίνεται· μηδεμιᾶς δὲ καθόλου προτάσεως, ἀδύνατον συλλογισμὸν γενέσθαι.
ἀμφότερα δὲ ἔδειξε διότι οὔτε οἱ συλλογισμοὶ οἱ τὴν ἐπὶ μέρους ἀποφατικὴν
ἔχοντες, οὐκ ἀναλύονται εἰς ἄλλο σχῆμα. ἐπὶ μὲν τοῦ ἐν δευτέρῳ σχήματι, ἄλλα

Θέμενος,

τὴν καθόλου καταφατικὴν ἐὰν ἀντιστραφῇ, ἐπὶ μερικῆς κινεῖσθαι· ἢ ἐπὶ μερικῆς γινομένης
τε ἀντιστρεφομένης τῆς ἑτέρας καὶ μὴ ἀντιστρεφομένης, ὁ συλλογισμὸς ἢ συζυγία.
τῶν ἀμφοτέρας ἐπὶ μερικῆς κινεῖσθαι· ἐπὶ δὲ τοῦ ἐν γ̄, ὅτι μὴ οἷόν τε τῶν ἐπὶ μερικῆς
ἀποφατικῶν ἀντιστρέψαι· ἀμφότερα αἴτια καθ' ἑκάτερον τῶν συλλογισμῶν
ἐστὶ τοῦ μὴ δύνασθαι αὐτοὺς εἰς θάτερον ἀναχθῆναι σχῆμα. ὅτι δὲ οὐδὲ εἰς τὸ πρῶτον
ἀνάγονται σχῆμα, οὕτως ἔτι ἐστὶ προσθετέον. ὑπομνηστέον δὲ ἡμᾶς καὶ ὅτι τῶν
ἄλλων καὶ τῶν ἐν τῷ δευτέρῳ σχήματι καὶ τῶν ἐν τῷ τρίτῳ συλλογισμῶν ἀναλυομένων
εἰς τὸ πρῶτον σχῆμα διὰ ἀντιστροφῆς· καὶ τῶν πᾶσιν τούτοις ὡσαύτως ἀντιπαρακειμένου λαμβα-
νόντων, οὗτοι μόνοι οἱ δύο, διὰ μὲν ἀντιστροφῶν οὐκ ἀνάγονται εἰς τὸ πρῶτον σχῆμα
ἐπιδεικνύμενοι δὲ συνάγοντες, διὰ μόνης τῆς εἰς ἀδύνατον ἀπαγωγῆς:· Διαφέρει
δὲ ἐν τῷ κατασκευάζειν ἢ ἀνασκευάζειν, τὸ ὑπολαμβάνειν ταὐτὸν ἢ ἕτερον σημαίνειν τὸ μὴ εἶναι τόδε, καὶ εἶναι μὴ τοῦτο: +

Πρὸς τὸ συλλογίζεσθαι ἢ κατασκευάζειν τι ἢ ἀνασκευάζειν δύνασθαι διὰ συλλογισμοῦ,
διαφέρειν φησὶ τό, εἰδέναι διακρίνειν καὶ χωρίζειν τὰς προτάσεις τὰς ἀποφατικὰς
μὲν ἐχούσας τὸ σχῆμα, οὔσας δὲ καταφάσεις, ἀπὸ τῶν ἀποφάσεων. λέγει δὲ
περὶ προτάσεων ἃς Θεόφραστος κατὰ μετάθεσιν λέγει. ἐρρήθη δὲ καὶ αὐτῷ περὶ τούτων
ἐν τῷ Περὶ ἑρμηνείας. δείκνυσιν ὅτι οὐκ εἰσὶ καταφάσεων ἀποφάσεις. ἢ τὸ διὰ
τοῦ οὕτως ἂν πολλάκις, ἢ τὸ συλλογιστικὸν καὶ ἀδύνατον κινοῖ, ὑπολαμβάνειν
ἀσυλλόγιστα ὡς ἐκ δύο ἀποφατικῶν συγκείμενα· ἢ ὡς ἐν πρώτῳ σχήματι
ἤ τινι τῶν ἄλλων τὴν ἐλάττονα πρότασιν ἀποφατικὴν ἔχοντα, τὸν λόγον τὸν λέγοντα ὅτι ὁ λίθος
ἐστὶν οὐκ ἔμψυχον· πᾶν τὸ οὐκ ἔμψυχον ἀναίσθητον. ἀπεδείχθη τὸ οὐκ ἔμψυχον τὸ καθόλου
κατηγορούμενον. ἔχει γὰρ ἀποφατικὴν τὴν ἐλάττονα ἐν πρώτῳ σχήματι.
Ἔτι οὐδὲ ὁ μέσος ὅρος αὐτοῖς ἐν ἀμφοτέραις ταῖς συμπλοκαῖς. καθόλου δὲ ἐδήλωσε
περὶ ὧν ποιεῖται τὸν λόγον· ἀπὸ τοῦ τὸ μὴ εἶναι τόδε καὶ εἶναι μὴ τόδε. περὶ ὧν καὶ ἐν τῷ
Περὶ ἑρμηνείας φθάνει εἰρηκέναι ὡς ἔφαμεν. δείκνυσι δὲ ὅτι μόνως τότε ἐστὶ τοῦ
ἀποφατικοῦ μορίου συντασσομένου ἀπόφασις γίνεται· ἐν αἷς προτάσεσι
μόριόν πως προσκατηγορεῖται ὑπάρξεως· τὸ δὲ μὴ τῷ ἐστὶν ἀσυντετάγμενον
ἄλλῳ δέ τινι τῶν πρὸ τοῦ ἐστὶ κειμένων, οὐκ ἀπόφασις ἀλλὰ κατάφασις γίνεται.
περὶ τούτων δὲ καὶ νῦν διαλέγεται· καὶ δείκνυσιν ὅτι μὴ ταὐτὸν σημαίνει τὸ μὴ εἶναι
λευκόν τῷ εἶναι μὴ λευκόν· οὐδὲ ἐστὶν ἀπόφασις τοῦ, ἐστὶ λευκόν, τό, ἐστὶν οὐ
λευκόν· ἀλλὰ τὸ οὐκ ἔστι λευκόν. τοῦτο δὲ ποιεῖ, ἐπεὶ φαντάζονται ἀποστέρησιν

ὡς οὖν ταῖς τοιαύταις, ἀεὶ αὗται τῶν ἀποφάσεων. ὥσπερ γὰρ ἀδύνατον τὸν Σωκράτην ἅμα ἀγαθὸν
εἶναι καὶ εἶναι μὴ ἀγαθόν· οὕτω καὶ εἶναι ἀγαθὸν καὶ εἶναι μὴ ἀγαθὸν δυνατὸν συνῶν ὅτι
μὴ τὸν ἐναλλήλαις αἱ οὕτω λαμβανόμεναι προτάσεις σημαίνουσι· μήτε δ' οὖν
ἀποφάσεις. ἡ δὲ δεῖξις, διὰ τῆς ἀναλογίας. ἡ γὰρ ἐστὶ δεῖξις, ἐξ ὑποθέσεως καὶ αὕτη.
ἡ δὲ ἀναλογία, τοιαύτη. λαβὼν ὁμοίως ἔχειν πρὸς ἀλλήλας τό, ἔστι λευκόν,
πρὸς τό, ἔστιν οὐ λευκόν· καὶ τό, δύναται βαδίζειν, πρὸς τό, δύναται μὴ βαδίζειν.
καὶ τό, ἐπίσταται τὸ ἀγαθόν· πρὸς τό, ἐπίσταται τὸ οὐκ ἀγαθόν· ὥσπερ γὰρ ἔχει πρὸς τό,
ἔστι λευκόν· ἡ λέγουσα ἔστιν οὐ λευκόν· οὕτως ἔχει πρὸς μὲν τό, δύναται βαδίζειν,
ἡ λέγουσα δύναται μὴ βαδίζειν· πρὸς δὲ καὶ τό, ἐπίσταται τὸ ἀγαθόν, ἡ, ἐπίσταται
τὸ οὐκ ἀγαθόν, ἔδειξεν ὅτι ὁμοίως ἔχουσι πρὸς ἀλλήλας, διὰ τοῦ λαβεῖν ὅτι τὸ
μὲν ἐπίσταται τὸ ἀγαθόν, ταὐτόν ἐστι τῷ ἐστὶν ἐπιστάμενος τὸ ἀγαθόν, τὸ μὲν περιέχεται
γὰρ τὸ ἐστίν, τῷ ἐπίσταται· τὸ δὲ δύναται βαδίζειν, τῷ ἐστὶ δυνάμενος βαδίζειν,
ἐν πάσαις γὰρ ταῖς αὐταῖς θέσεσι, τὸ ἐστὶ προστίθεται, οὕτως ἔχει καὶ ἐπὶ τῆς ἔστι λευκὸν
καὶ ἔστιν οὐ λευκόν· καὶ γὰρ ἐν ταύτῃ προστίθεται τὸ ἔστιν ἐν ἀμφοτέραις· ὁμοίως ἄρα
ἔχουσι πρὸς ἀλλήλας, κατὰ τὴν τοῦ ἔστι θέσιν καὶ τὴν λέξιν. ἀλλὰ μὴν οὐκ ἔστιν αὐτῆς
δύναται βαδίζειν, οὔτε τοῦ, ἐπίσταται τὸ ἀγαθόν, τὸ ἐπίσταται τὸ μὴ ἀγαθόν, ἀπό-
φασις· σημεῖον· ὅτι αὗται μὲν ἅμα ἀληθεῖς εἰσὶν ἥ τε δύναται βαδίζειν, καὶ
ἡ, δύναται μὴ βαδίζειν· τοιοῦτον γὰρ τὸ δυνατόν· ὁμοίως καὶ ἡ ἐπίσταται τὸ ἀγαθόν,
καὶ ἡ ἐπίσταται τὸ μὴ ἀγαθόν· ἀεὶ γὰρ αὐτὴ ἐπιστήμη τῶν ἐναντίων· ταῖς δὲ ἀποφάσεσιν
ἀδύνατόν ἐστι ταῖς καταφάσεσι συναληθεύεσθαι· οὐδὲ ἄρα τῆς ἔστι λευκόν,
ἀπόφασις τό, ἐστὶ ταῖς καταφάσεσι συναληθεύεσθαι· οὐδ' ἄρα τῆς ἔστι λευκόν,
ἀπόφασις τό, ἔστιν οὐ λευκόν· τὸ μὲν ὡς ἐπὶ πάντων, οὕτως ἔχειν καὶ ἐπὶ τούτων τῶν
δύο προφορῶν αὐτοῦ καταφάσεις ὁμοίως ἔχουσι πρὸς ἀλλήλας, δι' ὑποθέσεως ἔλαβε,
δείξας τε ὅτι ὁμοίως ἔχουσι πρὸς ἀλλήλας, δι' ὑποθέσεως λαβών· δείξας
τὰ ὅτι ὁμοίως ἔχουσι πρὸς ἀλλήλας, δι' ὑποθέσεως λαβών· διὰ τοῦ, ἐν πάσαις
αὐταῖς, τὸ ἐστὶν ὁμοίως τετάχθαι, ἐν αἷς δὲ τὸ ἔστιν ὁμοίως τέτακται, ταύτας ὁμοίως
πρὸς ἀλλήλας ἔχειν, δείξας δὲ καὶ τὸ μὴ εἶναι ἀποφάσεις, μήτε τὴν δύναται μὴ
βαδίζειν τῆς δύναται βαδίζειν· μήτε τήν, ἐπίσταται τὸ μὴ ἀγαθὸν τῆς, ἐπίσταται
τὸ ἀγαθόν, διὰ τοῦ ταύτας ἅμα ἀληθεῖς εἶναι ταῖς καταφάσεσι· ταῖς δὲ ἀντικει-
μένας, μὴ ἧττον. ἀλλὰ φησὶ δεῖν λέγοντα ἐξῆς ὅτι δείξας αὐτὸ δύνασθαι βαδίζειν.

καὶ ἐπίστασθαι τὸ ἀγαθόν, τὸ περιεχόμενον δύναμαι μετὰ τοῦ ἔστι, ἐφεξῆς προσείληφεν· ὥστε
τὰ κατηγορούμενα· ὡς οὖν κάλλιον τὸ ὅλον τὰ κατηγορούμενα λαβεῖν, περὶ ὧν λέγει αὐτὸς
προσκεῖσθαι· ἢ ταῦτα ὡς ἀληθευόμενα ἃ οὐκ ὄντα κατηγορούμενα. φανερὸς ἂν ἀντικει-
μένων παρέχει· τῷ δὲ τοῦ τό, τό, τε δύνασθαι μὴ βαδίζειν καὶ τὸ ἐπίστασθαι τὸ μὴ ἀγαθόν·
παραλιπὼν δὴ καὶ τὸ δεῖξαι εὐθέως ὅτι καὶ τούτων ἑκάτερον· τὸ μὲν δύνασθαι μὴ βαδίζειν
ἴσον ἐστὶ ἐπιστάμενος τὸ μὴ ἀγαθόν, οἷς ὅμοιον ἐστὶ τὸ ἐστὶ οὐ λευκόν, πρῶτον ἔλαβ(εν)
αὐτὰς τὰς κυρίως ἀποφάσεις τάς, οὐ δύνασθαι βαδίζειν καὶ οὐκ ἐπίστασθαι τὸ ἀγαθόν·
τε δεῖξαι ὅτι ἡ, οὐ δύνασθαι βαδίζειν, ἴση ἐστὶ τῇ, οὐκ ἔστι δυνάμενος βαδίζειν· ὁμοί-
ως ἡ οὐκ ἐπίστασθαι τὸ ἀγαθόν, τῇ οὐκ ἔστιν ἐπιστάμενος τὸ ἀγαθόν· τῷ οὖν καὶ παραθεῖ-
ναι, ὡς δείκνυσιν αὐτὴν ἀντὶ τοῦ εἰπεῖν περὶ τῆς οὐ δύνασθαι βαδίζειν, βουληθεὶς πάσας
τὰς ἀντικεῖσθαι δοκούσας, δεῖξαι πῶς ἔχουσι πρὸς ἀλλήλας· καὶ ὁ τὸ ὁμοίως
συναληθεύεσθαι· μνημονεύσας δὲ τῆς κυρίως ἀποφάσεως, ὡς καὶ δείξας ὅτι ἴσον δύνα(σθαι)
μετὰ τοῦ τε παραθεῖναι καὶ περὶ τῆς προκειμένης λέγει αὐτός. τῆς δοκούσης καὶ αὐτῆς ἀντι-
κεῖσθαι· ἐπειδὴ καὶ ἔστι δυνάμενος βαδίζειν καὶ μὴ βαδίζειν· ἴσον λέγονται, καὶ αὐτοὶ
ἴσον δύνασθαι καὶ τοῦ τὸ σημαινόμενον· ἥ, τε ἔστιν δυνάμενος βαδίζειν καὶ ἡ δύνασθαι
μὴ βαδίζειν, οὐ μὴν ἀχρήστως οὐδὲ ἀργῶς ἐμνημόνευσε καὶ τῆς ἀποφάσεως·
ἀλλ' ὥσπερ τὸ δεῖξαι ὅτι καὶ αὐταὶ ἥ, τε οὐ δύνασθαι βαδίζειν, καὶ ἥ, οὐκ ἐπίστασθαι
τὸ ἀγαθόν, ὅμοιαι εἰσὶ τῇ οὐκ ἔστι λευκόν· ὥσπερ γὰρ αὕτη οὐκ ἔστι λευκόν, τὸ ἔστιν ὡς
τι κατηγορεῖ, τὸ ἀποφατικὸν προσαυτοῦ κείμενον· ὥσπερ οὕτω καὶ ἐν ταῖς οὐ δύνα(σθαι)
βαδίζειν καὶ οὐκ ἐπίστασθαι τὸ ἀγαθόν· ὥστε τῶν ὅλων ἀποφάσεις αὐταί· ἡ μὲν
τοῦ δύνασθαι βαδίζειν· ἡ δέ, τοῦ ἐπίστασθαι τὸ ἀγαθόν, ἀποφάσεις εἰσὶ καὶ ἡ οὐκ ἔστι
λευκοῦ τῆς ἔστι λευκὸν ὁμοίως ἐκείναις ἔχουσαι, ἀλλ' οὐχ ἡ ἔστιν οὐ λευκόν· ἐπεὶ
δὲ τὸ γὰρ ἐπίστασθαι τὸ ἀγαθόν· ἢ ἔστιν ἐπιστάμενος τὸ ἀγαθόν, οὐδὲν διαφέρει·
οὐδὲ τὸ δύνασθαι βαδίζειν· τοῦ ἔστι δυνάμενος βαδίζειν· ὅ τε καὶ μέσον παρα-
θέμενος τε, ὅτι καὶ ἐπὶ τῶν κατηγορουμένων τούτοις ἀποφατικῶν, ὁμοίως τό, ἔστι
περιέχει τὸ δύναμαι· τὸ γὰρ οὐ δύνασθαι βαδίζειν, ἴσον ἐστὶ τό, οὐκ ἔστι δυνάμενος
βαδίζειν· ἐπὶ τῶν ἑτέρων πρόσθεσιν τοῦ δύνασθαι μετὰ τὴν [illegible] ἀντιλογία
[illegible] ἡ τε τῷ δύνασθαι μὴ βαδίζειν, καὶ δείκνυσιν ὅτι καὶ αὕτη τὸ ἔστι περιέ-
χειν, καὶ ἔστιν ἴσον τό, δύνασθαι μὴ βαδίζειν, τῷ ἔστι δυνάμενος μὴ βαδίζειν· ὁ
αὐτὸς οὕτως ἀπεῖπεν· ἡ μὴ βαδίζειν, χωρὶς τοῦ δύνασθαι τοῦτο δηλοῖ ἴσον καὶ αὐτὸ ἐστὶ τῷ,

ἐστὶ δυνάμενος μὴ βαδίζειν. οὕτως γὰρ ὅμοιον οἶμαι λεχθήσεσθαι τῷ ἔστιν οὐ λευκόν.
ὁ δείξας, καθὸ διαφέρει τούτων τὰ δὲ ἅμα ὑπάρχειν τῷ αὐτῷ· εἰ τὸν λέγοντα, ἀλλ' ἅμα μὲν
τούτων τὰ ἅμα ὑπάρχειν οἷα τῷ αὐτῷ· τό τε δύνασθαι βαδίζειν. καὶ τὸ δύνασθαι μὴ βα-
δίζειν. καὶ πάλιν τὸ ἐπίστασθαι τὸ ἀγαθόν, καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν. καὶ τοῦ τε ἅμα
ὑπάρχειν αὐτὰς τῆς αἰτίας παραδέδοται· ἐπειδὴ ὁ γὰρ αὐτὸς δύναται βαδίζειν καὶ
μὴ βαδίζειν. καὶ ὁ ἐπιστήμων τοῦ ἀγαθοῦ, καὶ τοῦ μὴ ἀγαθοῦ ἐστι. πεπεισμένος
δέ τινι προτάσεων, τούτων τὰς δὲ ἅμα ὑπάρχειν τῷ αὐτῷ, προσλαμβάνει αὐτὰς ἀντι
προτάσεων, ἡ φάσις δὲ καὶ ἀπόφασις οὐχ ὑπάρχουσιν ἅμα ἀλλ' ἀντικείμεναι.
ἅμα τῷ αὐτῷ. ἐξ ὧν ἐν δευτέρῳ σχήματι συνάγεται ὅτι τὰς προειρημένας προτάσεις
μὴ ἀντικεῖσθαι ἀλλήλαις ὡς φάσιν καὶ ἀπόφασιν. ὃ συμπέρασμα καὶ νῦν ἔτι προσ-
θεὶς ὡς γνώριμον μετὰ τὴν ὑπὸ τὸ προειρημένον, καὶ δηλῶν ὅτι οὐ μὴ τούτων ἐν σημαῖνον
τὸ ἔστιν οὐ λευκόν· καὶ τὸ οὐ λευκόν· οὐδέ ἐστιν ἀπόφασις ὅλως τό, ἔστιν οὐ λευκόν
τελευτᾷ. ὥσπερ οὐ τούτων ἐστὶ τὸ μὴ ἐπίστασθαι τὸ ἀγαθόν. καὶ τὸ ἐπίστασθαι τὸ μὴ ἀγαθ(όν),
ἐδείχθη γὰρ τὸ ἐπίστασθαι τὸ μὴ ἀγαθόν, συναληθευόμενον τῇ καταφάσει τῇ, ἐπί-
στασθαι λεγούσῃ τὸ ἀγαθόν· οὐκ ἔτι δὲ συναληθεύειν οἷόν τε τῇ καταφάσει, τῷ
οὐκ ἐπίστασθαι τὸ ἀγαθόν. οὕτως δὲ εἶναι μὴ ἀγαθόν, τούτων, καὶ μὴ εἶναι ἀγαθόν.
ἢ εἶναι μὴ λευκόν, καὶ μὴ εἶναι λευκόν. ὁ γὰρ αὐτὸς λόγος ἐπὶ πάντων τῶν ὁμοίων,
τῶν ἀνάλογον ἐχόντων πρὸς ἄλληλα. καθόλου γὰρ οὐ τούτων ἐστὶ τὸ μὴ εἶναι τόδε,
τῷ μὴ εἶναι τόδε, τῷ μὴ εἶναι μὴ τόδε. ἐπεὶ δὲ τῶν ἀνάλογον, ἂν θάτερον ᾖ ἕτερον,
καὶ τὰ ἕτερα. ἀνάλογον δὲ τούτων τοῦ ἐπίστασθαι τὸ ἀγαθόν. καὶ τοῦ εἶναι λευκόν. καὶ
εἶναι μὴ λευκόν. ἐπίστασθαι τὸ μὴ ἀγαθόν. ἄλλο ἐστὶ τοῦ μὴ ἐπίστασθαι τὸ ἀγαθ(όν).
τὸ μὲν γὰρ ἐπίστασθαι τὸ μὴ ἀγαθόν, τῷ ἐπίστασθαι τὸ ἀγαθὸν συνυπάρχει ἐπὶ
τοῦ αὐτοῦ. τὸ δὲ μὴ ἐπίστασθαι τὸ ἀγαθὸν καὶ τὸ εἶναι ἄρα μὴ λευκόν, ἄλλο ἐστὶ τοῦ μὴ
εἶναι λευκόν:· οὐδὲ τὸ εἶναι μὴ ἴσον καὶ μὴ εἶναι ἴσον· τῷ μὲν γὰρ ὑπόκειταί τι:
Δείξας καὶ διὰ τῆς ἀναλογίας τῆς πρὸς τὸ δύνασθαι βαδίζειν. καὶ δύνασθαι μὴ βαδίζειν.
τὸ ἐπίστασθαι τὸ ἀγαθὸν καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν, μὴ οὐ τὸ αὐτὸ τὸ εἶναι μὴ ἀγαθ(όν),
τῷ μὴ εἶναι ἀγαθόν τῇ ἀποφάσει καὶ καθόλου τὸ εἶναι μὴ τόδε, ἕτερον ὂν τοῦ μὴ
εἶναι τόδε, νῦν καὶ ἄλλο τι προστίθησι. διὸ οὐ δηλοῖ ὅτι μὴ ταὐτόν ἐστιν ἀλλήλοις
τό τε εἶναι μὴ τόδε, καὶ τὸ μὴ εἶναι τόδε. τὸ μὲν γὰρ ἀόριστον, ὑποκείμενόν τι. ὁ γὰρ λέ-
γων οὐκ ἴσον εἶναι μὲν λέγει. καὶ κατηγορεῖ τινος τὸ εἶναι. οὐ μὴν ἴσον αὐτό φησιν.

ὅπερ λέγων ἔστιν οὐκ ἴσον, τὸ ὡς τὸ εἶναι, τὸ ἴσον αὐτοῦ χωρίζει· καὶ ἀορίστου μὲν οὔσης ἐνοικίας τῆς κατηγορίας ἢ ὑποκειμένου. οὔσπερ ἀληθεύειν καὶ τὸ ὑποκείμενον λέγοντες, κατηγοροῦντες ἔστιν οὐκ ἴσον. τὸ δὲ οὐκ ἔστιν ἴσον, οὐδὲ τὸ ὑποκείμενον ἀφορισμένον. ὁ δὲ ἐπὶ οὐδενὶ καὶ μόνον τὸ λέγεσθαι δύναται τὸ ὑπάρχουσιν ἴσον, οὐκ ἐπὶ ποιῶν μόνον ἀληθεύει ἢ ποσῶν οἷον τῶν ἀνίσων, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν πάντων ἐπὶ παντὸς τὸ ὑπάρχειν ὄντος, ἀληθὲς τὸ μὴ εἶναι αὐτὸ μὴ ἴσον. διὰ τὸ μηδὲ ἴσον ἢ οὐκ ἴσον, ἐπὶ παντὸς ὅσ διαιρεῖ τὸ ἀληθὲς τὰ καὶ ψευδῆ. ἀλλ' ἐπὶ ὄντων τε καὶ ποσῶν:· **ἔτι τὸ ἔστιν οὐ λευκὸν ξύλον καὶ οὐκ ἔστι λευκὸν ξύλον, οὐχ ἅμα ὑπάρχει** τι μὴ τοῦτο τὸ ἐστὶν. μὴ τοῦτο τὸ σημαίνει, τό τε τὸ ἀποφατικὸν τὸ εἶναι ἔχοντα προκείμενον. ἢ τὸ μὴ τοῦτο ἔχοντα συντεταγμένον αὐτό, δείκνυσί τε καὶ ἐκ τοῦ μὴ ἅμα αὐτὰ ἀληθῆ εἶναι. προχειρισάμενος προτάσεις οὕτως ἐχούσας· τό τε ἔστιν οὐ λευκὸν ξύλον· καὶ τὸ οὐκ ἔστι λευκὸν ξύλον. ἡ μὲν γὰρ λέγουσα ἔστιν οὐ λευκὸν ξύλον, ἀληθής ἐστιν ἐπὶ ξύλου μὴ λευκοῦ. τὸ δὴ γὰρ εἶναι τὸ ξύλον. ἡ δὲ λέγουσα οὐκ ἔστι ξύλον λευκόν, ἀληθὴς εἶναι δύναται καὶ μὴ ὄντος ξύλου. διὸ ἐξ ἀνάγκης διὰ τούτων, ὅτι μὴ τοῦ ὄντος ἐστὶν, οὐ τοῦ μὴ ὄντος, οὐκ ἔστι τοῦ τὸ μὴ οὐδὲ τούτῳ τοῦ τὸ οὐκ ἀποφατικοῦ. οὐ δ' ἀπόφασις ἂν εἴη ἀπαντοῦ ἐπὶ φθορᾷ καὶ δῆλον ὅτι ὁ κατάφασίς ἐστιν πάντη τὸ οὕτως λεγόμενον αἰ φησίν:·

**ὥστε καὶ κατὰ παντὸς ἢ φάσις ἢ ἀπόφασις ἀληθής, εἰ μὴ ἔστιν ἀπόφασις, δῆλον ὅτι ἡ κατάφασις ἄν πως εἴη:**

Τὸ λεγόμενον τοιοῦτόν ἐστι. πᾶσα ἀντίφασις ἢ πᾶς λόγος ἀποφατικὸς ἀληθεύει κατά τινος, ἢ ὡς κατάφασις ἢ ὡς ἀπόφασις. ἀληθεύει δὲ οὕτως τὸ λεγόμενα κατά τινων, ἢ οὐχ ὡς ἀπόφασις. δῆλον οὖν ὡς κατάφασις ἂν εἴη. τὸ δὲ πως προσέθηκεν, ὅτι μὴ ὁμοία τοῖς ἁπλαῖς ἐστὶ μορίῳ κατάφασις ἀλλ' ἡ ἐκ μεταθέσεως. οἷον ἢ λέγουσα ἔστιν οὐ λευκὸν· ἢ λέγουσα ἔστιν ἀγαθόν· αἱ τοιαῦται λεγόμεναι ἐκ μεταθέσεως, τὸ εἶναι κατηγοροῦσι τῶν ὑποκειμένων, καὶ κατὰ τοῦτο καταφάσεσιν ἐοίκασιν, ἀναιροῦσι δ' αὐτῶν τὸ κατηγορούμενον. ὥσπερ ἀποφάσεις· οἷον τὸ ἕν. τοιαύτη γάρ ἐστιν οὐ λευκὸν· καὶ ἔστιν οὐκ ἀγαθόν· εἶναι μὲν τοιοῦτον τὸ ὑποκείμενον λέγουσι. διὸ καὶ τοιοῦτον εἶναι, ὥστε καὶ κατὰ παντὸς ἢ φάσις ἢ ἀπόφασις. ἐπεὶ καὶ πάσης προτάσεως ἢ κατὰ παντὸς ἀποφατικοῦ λόγου ἀληθεύειν ἢ καταφατικὸν αὐτὸ ἢ ἀποφατικὸν εἶναι. τὸ δ' οὕτως λεγόμενα, ὄντα ἀποφατικοὶ λόγοι τῆς προτάσεως, οὐκ εἰσὶν ἀποφάσεις. ἐξ ἀνάγκης ἄρα τοῦ τε ἔστιν καὶ τοῦ κειμένου,

οὐδ᾽ ἄλλου τινός, καταφάσεως δὲ ἀεί· ἐπ᾽ αὐτῶν πάσης καταφάσεως ἀπόφασις ἔστι.
τὸ τῶν οὕτως λεγομένων ἔστιν οὐ τοῦτο, ἀποφάσεις εἶναι λέγουσαι οὐκ ἔστιν οὐ τοῦτο, καὶ ἐπὶ
τῆς μὲν γὰρ ἔστιν οὐ λευκόν, ἡ οὐκ ἔστιν οὐ λευκόν· τῆς δὲ ἔστιν οὐκ ἀγαθόν, ἡ οὐκ ἔστιν οὐκ ἀγαθόν.
καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἐχουσῶν. Ἀριστοτέλης μὲν οὖν τῆς, Σωκράτης λευκός ἐστι κατα-
φάσεως, ἀπόφασιν λέγει· τινὲς Σωκράτης οὐκ ἔστι λευκός· οὔ τινες Σωκράτης ἔστιν οὐ λευκός·
εἰσὶ δὲ οἱ ζητοῦντες μηδέποτε μηδὲ ἡ οὕτως λαμβανομένην, ἀπόφασιν εἶναι· μὴ γὰρ
ὀφείλειν τὸ ἀποφατικὸν πρὸ τοῦ ἔστι· μηδὲ πρὸ τοῦ κατηγορουμένου τίθεσθαι μόνου.
ἀλλ᾽ ἀπόφασιν, ἢ τὸ ἀποφατικὸν πρὸ πάσης τῆς καταφάσεως τεθῇ προτάσεως
ἔχουσαν κείμενον· τῆς γὰρ Σωκράτης ἔστι λευκός, ἀπόφασιν εἶναι ἡ, οὐχὶ Σωκράτης
ἔστι λευκός· φασὶ γάρ τινες εἶναι τὸ μὴ περιπατεῖν Καλλίαν· ὅτι μὲν, ὅλῳ τῷ περιπατεῖν
Καλλίαν, προστεθειμένου τοῦ ἀποφατικοῦ μορίου· ὅτι ἀπόφασιν εἶναι· ὅτι δὲ μόνῳ
τῷ περιπατεῖν προστεθειμένου, ὁ θέσιν οὐδὲν ἧττον εἶναι, καταφατικὸν λόγον.
Καλλίας οὐ περιπατεῖ· πῶς οὖν ταῦτα δὲ τοῦτο, τῷ ἅμα μὲν δύνασθαι ψευδῆ ποτε εἶναι,
τό, τὸν Καλλίαν περιπατεῖν· καὶ τὸ Καλλίας οὐ περιπατεῖ· μηδέποτε δὲ τὴν ἀντικειμένην
ἀποφατικῶς, ἅμα γίνεσθαι ψευδῆ· μὴ γὰρ ὄντος Καλλίου, οὐδὲν ἧττον φασὶ τῆς,
Καλλίας περιπατεῖ, ψευδῆ εἶναι τήν, Καλλίας περιπατεῖ· ἐν ἀμφοτέραις γὰρ αὐτῆς
εἶναι τὸ σημαινόμενον, ὅτι ἐστὶ τις Καλλίας· τούτῳ δὲ ὑπάρχει ἡ τῷ περιπατεῖν· τὸ μέν τό, ἢ τὸ μὴ περιπατεῖν
οὐ Καλλίας περιπατεῖ· οὐδέποτε δύναται ψευδὴς εἶναι σὺν τῇ καταφάσει τῇ,
Καλλίας περιπατεῖ, ψευδὴς εἶναι καὶ αὐτό· ἔτι τοῦ μηδὲ οὕτω τὴν ἀπόφασιν ποι-
εῖσθαι, πιστοῦνται διὰ τῶν προφερομένων· οὗτος περιπατεῖ· οὗτος οὐ περιπατεῖ.
δεικνυμένου θήλεος· ἄμφω γὰρ πάλιν οὕτως λαμβανόμενα, ψευδῆ γίνεσθαι
φασὶν εἴτε περιπατοίη τὸ δεικνύμενον εἴτε μή. ὁμοίως τούτοις ἔχειν καὶ τὰ τοιαῦτα
φασί· Καλλίας ὁ γραμματικὸς περιπατεῖ· Καλλίας ὁ γραμματικὸς οὐ περιπατεῖ.
τέ γὰρ τοῦ ταῦτα ἄμφω ψευδῆ, μὴ ὄντος γραμματικοῦ τοῦ Καλλίου, ὧν τὸ μέν, κατα-
πάφασιν μοχθηρόν· τὸ δὲ δεύτερον καὶ παραλλήλως λέγουσιν· οὐκ ἄν γε μέντοι
ἄμφω ψευδῆ γίνεσθαι, εἰ πρὸ πάσης τῆς προτάσεως τεθείη τὸ ἀποφατικόν· τοῦ
δὲ καὶ τὰ τούτων ἅμα γίνεσθαι ψευδῆ τὰ οὕτως ἀντικείμενα, αἴτιον φασὶ τὸ αὐτό.
οὕτως γὰρ τὸν λέγοντα· οὗτος οὐ περιπατεῖ· ἴσον λέγειν τῷ, ἔστιν ὁ δεικνύμενος οὗτος
οὐ περιπατεῖ· τὸ αὐτὸ καὶ ἐπὶ τῆς μοχθηρᾶς παραλλήλως φασὶ γίνεσθαι· καὶ γὰρ
πάντως τὸν λέγοντα Καλλίας ὁ γραμματικὸς οὐ περιπατεῖ, ἴσον λέγειν τῷ, ἔστι τις

καλλίας γραμματικὸς ὃς οὐ περιπατεῖ. ἔτι φασὶν ἀληθεύουσιν ὄντος τοῦ σωκράτης περι-
πατοῦντος, οὐδ' εἰ μή τις ἀληθὲς εἶναι τό, σωκράτης οὐ περιπατοῦντος· ἢ γὰρ περιπατεῖ τὸ
τὸ οὐ περιπατοῦντος· ἀξιῶσαι δὲ ὅπερ συμψεύδεσθαι τὰ ἀντικείμενα, οὕτως δὲ
τὸ ἀληθὲς εἶναι· ἀλλ' ὃ ζητούμενον τούτων, ψεῦδος ἐστὶν ἢ οὐ σημαίνει τὸ ὄνομα
ἐν ταῖς προτάσεσι ταῖς χωρὶς τοῦ ἀποφατικοῦ λαμβανόμεναις τὸ εἶναι τὸ ὀνομα-
ζόμενον, μάλιστα δῆλον ἐκ τῶν καταφάσεων· ἅμα καὶ τῶν γινομένων ἢ κινουμέν-
δὲ πως οὕτως κατηγορουμένων· ἀληθὲς μὲν τό, ἐπὶ τῆς οἰκοδομουμένης οἰκίας,
ἀπαντᾷ, οἰκία οἰκοδομεῖται· καὶ ἐπὶ τῆς γινομένης ἔτι χαλκεύσεως· τὸ χαλκεύ-
ὑφαίνεται· οὐκ ἀληθὲς δέ, οὔτε τό, ἔστιν οἰκία ἢ ἔτι οἰκοδομουμένη ἐπὶ τῆς οἰκο-
δομουμένης ἔτι, οὔτε τὸ ἐστί τις χαλκὸς ἢ τις ἀφαίνεται, ἐπὶ τῆς ὑφαινομένης
ἔτι· πῶς γὰρ ἂν εἴη· πῶς γὰρ ἂν εἴη ἤδη, τὸ γινόμενον ἔτι· μάχεται γὰρ εἶναι τε, τὸ
γίνεσθαι αὐτό, ὥστε οὐ σημαίνει τὸ ὄνομα τὸ ἐν ταῖς καταφάσεσιν, οὐδὲ ἐν ταῖς
ἀποφάσεσι τοῦτο σημαίνει, ταῖς οὐκ ἐχούσαις πρὸ τοῦ ὀνόματος τὸ ἀποφατι-
κὸν μόριον κείμενον· ἐπεὶ διὰ τοῦτο ψεῦδος ἐστὶ τὸ λεγόμενον ἀπόφασιν ἢ λέγουσα σωκράτης οὐ
ζῇ· ὅτι σημαίνει τό, ἔστι τις σωκράτης ὅστις οὐ ζῇ· διὰ τὸ αὐτὸ τοῦτο ψευδής ἐστι καὶ ἡ λέγουσα
σωκράτης ἀποτεθνάναι· ἔσται γὰρ καὶ αὕτη σημαίνουσα, τό, ἔστι σωκράτης ὃς ἀποτέθνηκε· τὸ δὲ
λέγειν ὅτι σωκράτης ἀποτέθνηκε, διότι ἔστιν, ἓν μέν, ὃ συγκεῖται ἐξ ὀνόματος αὐτοῦ, σωκράτους
ῥήματος δέ, τοῦ ἀποτεθνάναι· ἔσται γὰρ καὶ αὕτη σημαίνουσα, τό, ἔστι σωκράτης ὃς ἀπο-
τέθνηκε, διότι ἔστιν, ἓν μέν, ὃ συγκεῖται ἐξ ὀνόματος αὐτοῦ· ὃ καὶ ψεῦδος ἐστίν.
ἄλλο δὲ ὅ ἐστι καὶ κλιτικὸν λόγον, ἀπὸ τοῦ σωκράτης ἀποθνήσκει· ὃ καὶ ἀληθές,
οὐχ ἧττον ὡς λέγομεν· τὰ γὰρ κατὰ τοὺς χρόνους ἐκκλινόμενα, τὰ ῥήματα ἐστίν.
ὃ δὲ μὴ χρόνου ἐστί, σημαντικόν· οὐδ' ἐγκλίνεται κατὰ χρόνον· τοιαῦτα
δὲ τὰ ὀνόματα, ὥστε οὐδ' ἔτι συγκεῖται ἐξ ὀνόματος καὶ ῥήματος, τοῦ θεο-
λογ ἐκκλινομένου, ἀλλὰ κατὰ χρόνον εἶναι· ἢ διὰ τό, θάτερον τῶν ἐν τῇ συνθέσει·
ἀνέκκλιτον εἶναι· ἀλλὰ τὸ σωκράτης ἀποτεθνάναι ὅλον ὡς ἐκκλινόμενον, οὐκ ἂν εἴη τῶν
ἀποφατικῶν, τὸ σωκράτης τεθνάναι, οὐκ ἔστιν ἀποφατικὸς λόγος· ὅτι ὅλου
ἡ ἔκκλισις ὁμοῦ γεγονέναι· τὸ δὲ σωκράτης ἀποτεθνάναι, ἀποφατικὸς λόγος·
ὅτι τὸ μὲν ἕτερον μέρος τὸ ὄνομα ἀνέκκλιτον, τὸ δὲ θάτερον τὸ ῥῆμα· οὐ τοῦτον
μὲν οὖν σημαίνει τὸ σωκράτης ἐστὶ τῷ ἀποθνήσκει· ἢ οὕτω ἀποτεθνάναι· ἐπὶ μὲν
γὰρ τοῦ σωκράτης ἀποθνήσκει, τοῦ ὄντος σωκράτους ἐστὶ δηλωτικόν· ἐπὶ δὲ τοῦ σωκράτης ἀποτεθνάναι

καὶ τὴν ἀναφορὰν λέγεται· σημαίνει γὰρ τότε τὸ, Σωκράτης, τοῦ τινὸς ὄντος Σωκράτους. οὐχ ὅσα ἐστὶν ἤδη διά
τοῦτο ἀληθὴς ἐστὶν ἡ πρότασις· Σωκράτης ἀπέθανεν· οὐ γὰρ ἐσήμαινε τὸ, Σωκράτης ὀνομαζομένου τοῦ
ἀπέθανε· τοιοῦτον δὲ ἐστὶ καὶ τὸ, τεχθεὶς τοῖς μὴ οὖσιν υἱὸς· οὐ γὰρ ὅς ἐστιν υἱός· ἀλλ' ὃς ἔσται
τε τεθέσται μονοικία· οὐ γὰρ τοῦτο λεγόμενόν ἐστι ἡ οἰκία ἥτις ἐστί· ἀλλ' οὐδὲ ἀπὸ τοῦ
ἐπικαλεῖται· οὕτως μὲν λαμβανομένου τοῦ ὑποκειμένου, ἀληθεῖα ἐστὶν ἑκάστη
τῶν προειρημένων προτάσεων· οὐ μὴν ὁ λέγων τὴν πρότασιν· αὐτὸ τὸ ὄνομα
λέγειν· προσδιορίζει τοῦτο, ὁ καὶ ἄλλως ἔχοντος τοῦ ὑποκειμένου ὅρου αὐτὴ πρό
τασις· ἀληθὴς ἡ πρότασις γίνεται ἢ οὕτως ἐχόντων λαμβάνεται· ἐν μὲν οὖν τινὶ
τῶν ὑποκειμένων μὴ ὑπάρχοι τὸ κατηγορούμενον, οὕτως· ὅδε δὴ ὅτι μὴ
ἐστίν, ἐκείνως· τὸ γὰρ ὄνομα αὐτὸ καθ' αὑτὸ λεγόμενον ὑπάρχον, οὔτε τὸ εἶναι
σημαίνει· οὔτε τὸ μὴ εἶναι· τὸ γὰρ σημαινόμενον ὑπάρχον, οὔτε τὸ μὴ εἶναι προ
σημαίνει, οὔτε τοῦ ὄντος μᾶλλον ἢ γεγονότος ἢ ἐσομένου δηλωτικόν ἐστιν καθ'
αὑτό· ἀλλ' αὐτὸ τοῦτο μόνον ἐστὶ πρᾶγμα τὸ, ὁ ἦν ἢ ἔσται τὸ σημαινόμενον
αὐτὸ δηλοῖεν· οὕτως τὸ ἡνωμένον, ἔζησε Σωκράτης ἢ ἀπέθανεν· ἢ ἐφιλοσόφησε,
πάντα πρὸς ἀναφορὰν λέγεται, τὰ κατὰ πρὸς τὰ θέματα τῶν ὀνομάτων,
δηλοῦντα ὅτι τὸ σημαινόμενον ὑπὸ τοῦ ὀνόματος πρότερον ἦν· διὸ ἐπὶ ἑκάστου
τούτων ἀληθὲς, ψεῦδος τὸ ἀντικείμενον· τὸ οὐκ ἀπέθανεν ἢ οὐκ ἔζησεν ἢ οὐ
κ' ἐφιλοσόφησεν· ὁ καὶ δὲ ἀληθὲς μὲν ἐστὶ τὸ, ἐστὶ δοξαστὸν, ἀδιανόητον δὲ τὸ ὂν
καὶ τὰ τοῦ τοῦ ἐστί· ἀπαρέμφατον ἀντὶ τοῦ εἶναι τὸ, ἐστὶ τὸ ὄν· οὐ δὲ τὸ μὴ ὂν οὐκ ἔστιν.
εἶναι τὸ ἐστὶ τὸ μὴ ὂν μὴ ἐστί, οὐ δηλῶς γὰρ ἢ καὶ τῆς φάσεως τοῦ τὸ λέγει· ὅτι
ἐστὶ τόδε, ὦ τόδε ὑπάρχει· οὐδὲ ἀφώνηται, τὸ εἶναι γίνεται ἡ κατηγορία·
ὡς ἐπὶ τοῦ τὸ ὄν, ἐστὶν ἢ οὖν τοῖς ζῶσιν ἢ οὖν τοῖς ἐστὶ ἢ θεοῖς· πάντα γὰρ ταῦτα
καὶ τὰ τοιαῦτα ἀληθῆ μὲν οὕτω λεγόμενα· μὴ λαμβανόμενα δὲ, ἄτοπα
καὶ ἀδιανόητα, ἤτοι ἀληθὲς μὲν τὸ ἅπαν τὸ ἐστί· ἐστὶ παντελῶς δὲ ἀδύνατον
τὸ ἅπαν ὅτι ἐστὶ ἐστὶν ὑπάρχει τὸ εἶναι· ἢ ἀληθὲς μὲν, ἀδύνατον καὶ ἀδύνατον
εἶναι ψεῦδος δὲ τὸ, ἐστὶ καὶ ἀδύνατον οὐ ὑπάρχει τὸ, ἀδύνατον αὐτὸ εἶναι.
καὶ ἀναγκαῖον μὲν πάντα τὰ τὰ βρέχοντα κινδυνεύσαι· οὐκ ἀληθὲς δὲ ἀναγκαῖον τὸ ἂν
κινδυνεῦσαι βρέχοντα, ὅς μὴ ἐν δεινῷ ἐξ ἀνάγκης. ἢ ἀναγκαῖον μὲν πάντα τὰ τὸν βραχύ
κινδυνεύσαι, ἀποθανεῖν· ἀναγκαῖον δὲ τὸ εἶναι κινδυνεύσαι, κινδυνεύοντα καὶ βρεχόμενον.
καὶ γὰρ τὰ ὀνόματα αὐτὰ τῆς προτάσεως τοῦ σημαίνειν, καὶ καθ' αὑτὰ λεγόμενα

τοῦ ὑπάρχειν σημαίνει. οὕτως δὲ καὶ πᾶς ὁ ὀνόματι λέγων, πρὸς τῷ σχήματι λέγοι καὶ τὴν
φασιν. ὁ γὰρ λέγων Σωκράτης περιπατεῖ, ἰσοδυναμεῖ λέγοντι τῷ ἔστι Σωκράτης καὶ ἐκεῖνος περιπατεῖ.
καὶ ὁ λέγων Σωκράτης οὐκ ἔστιν, ἰσοδυναμεῖ λέγοντι τῷ ἔστι Σωκράτης καὶ ἐκεῖνος οὐκ ἔστιν· ὅπερ ἀδύνατον.
εἰ τὸ μὲν, Σωκράτης οὐκ ἔστιν ἀληθές, τὸ δὲ ἀναγκάσαι Σωκράτης ὃς οὐκ ἔστι ψεύδεσθαι καὶ τὸ οὔτε
δὲ περιπατεῖ, καὶ οὔτε οὐ περιπατεῖ, ἀμφοτέρας ψευδεῖς εἶναι, δῆλον ὅτι οὔτε
τοῦ ὑπάρχειν μένου, διὰ τὸ ἀνομοιοῦν τὴν τῆς ἀποφάσεως. καὶ τὸ σημαίνειν τὸν λέ-
γοντα οὔτε οὐ περιπατεῖ, ἰσοδυναμεῖ τῷ, ὁ δὲ μηδ' οὔτε διὰ τοῦ, οὔτε ἔστι δὲ
κινούμενος ὃς οὐ περιπατεῖ. τοῦτο δὲ οὐ καὶ ἄλλον ἔσωθεν σαφῶς λέγοντας,
τὴν σημαίνειν ἡ ἀπόφασις, σημαίνει γὰρ τὸ ὡς λέγεται τοῦτο ὑπάρχειν,
μὴ ὑπάρχειν. λοιπὸν δὲ ἔστι τοῦτο τὸ εἶναι μὴ, ἀμφοτέρου τυγχάνει. εἴτε
γὰρ ἔστι λέγεται τὸ δεῖν ὑπάρχειν, ἡ ἀπόφασις μὴ ὑπάρχειν αὐτῷ. εἴτε
μὴ ἔστι, καὶ οὕτω λέγειν μὴ ὑπάρχειν αὐτῷ ἡ ἀπόφασις οὐ προσημαίνουσα
ἢ τὸ μὴ εἶναι τὸ ὑποκείμενον. οὐδὲ οὕτω μὲν λέγομεν εἰ ἀληθὴς ἐκείνου
δὲ οὔ. ἀλλ' ἀμφοτέροις ἀληθής. ἡ καταφάσις ψευδής. ὥσπερ καὶ ἐπὶ περιπα-
τεῖ ἀλλὰ τὸ οὔτε ὑπάρχει ὧ φησὶ ὑπάρχειν τὸ περιπατεῖν.
ἔτι μὴ τὸ κινούμενον, οὔτε ἔστι τὸ αὐτὸ καὶ ἐπὶ τοῦ, οὔτε ὁ γραμματικὸς
περιπατεῖ. μὴ ὄντος αὐτοῦ γραμματικοῦ. καὶ γὰρ ἐπὶ περιπατεῖ, αὐτὸ μὲν ψευδὴς
ἐστι ἡ καταφάσις. ἀληθὲς δὲ τὸ, οὔτε ὁ γραμματικὸς οὐ περιπατεῖ. ὧ
γάρ φησιν ὑπάρχειν τὸ περιπατεῖν, ἐκεῖνος οὐχ ὑπάρχει. τὸ δὲ Σωκράτης περιπατεῖ
καὶ Σωκράτης οὐ περιπατεῖ ἀμφοτέρως ἀληθὲς οὐκ ἐν τῷ αὐτῷ χρόνῳ. ὡς τοῦ κει-
μένου. οὐ γὰρ τοιοῦτον ἡ ἀντίφασις· καὶ οὐδὲ μᾶλλον ἀληθεῖς ἅμα
τό, Σωκράτης περιπατεῖ ἐστι· καὶ τὸ Σωκράτης οὐ περιπατεῖ. καθ' ὧν γὰρ τὸ ἀόριστον
ὄνομα. τοῦτον ἐπὶ περιπατεῖ ἐστιν. οὐχ ἧττον δεῖ προστιθέναι, πρὸς τὸ δεῖν
τὰ ἀποφατικὰ αὐτῆς τῶν καταφάσεων ἀποφάσεις τῶν κατηγορουμένων ὁμοίως
ἀναθεωρουμένας:
ἔχει δὲ τάξιν τῶνδε πρὸς ἄλληλα. ἔστω ... ἀγαθὸν ἐφ' οὗ α:
ἀξιωτικῶς, ἔστι οὐ λευκὸν καὶ ἔστι οὐκ ἀγαθόν.
εἰ πάσας τὰς, ὁμοίως τῷ τὰς τῶν κατηγορουμένων ἔχουσι θέσεις τὸ ἔστι οὐ τόδε,
ἀλλ' ὡς οὐ θέσεις τῶν ἀποφάσεων, τῶν οὐκ ἔστι λευκόν, καὶ οὐκ ἔστι ἀγαθόν. καὶ καθό
οὐκ ἔστι τοῦτο. καὶ οὐ θέσις καὶ αὐτὴ ἐστὶν καταφάσεις. ὥσπερ καὶ ἔστι λευκὸν καὶ ἔστι ἀγαθόν.
εἰ καθόλου ἔστι τοῦτο καὶ οὐ θέσις αὐτῶν ἀποφάσεις, τῶν οὐκ ἔστι λευκόν, καὶ οὐκ ἔστι

ἀγαθόν. καὶ ὅλως τὰς ἐξ οὐκ ἔστι τοῦ τε καθὸ παρ' αὐτῆς τὸ ἔστι τρίτον προσκατηγορεῖται,
διὰ τὸ μὴ τεθεῖσθαι γένος τὸ ἀντιφάσεις, ἄς τε ἁπλᾶς καὶ ἐκ μεταθέσεως
ὡς ἐνδέξεται ἐν τῷ περὶ ἑρμηνείας, καὶ νῦν τὸ ἐναντίον προτάσεων καὶ ἀκολουθίαν ἔχουσι
πρὸς ἀλλήλας ἤτοι αἱ ἁπλαῖ ἀντιφάσεις καὶ αἱ ἐκ μεταθέσεως ὑπογραφή. καὶ ἔστι
τοῦ τοιαύτης ὁμωνύμων ἀγωγῶν ὑπὸ αὐτοῦ. ὧν ἐμνημόνευσε μέν, ἐν τῷ περὶ ἑρμηνείας.
ἀπεδέδεικται περὶ τῆς τάξεως αὐτῶν ἐν τοῖς ἀναλυτικοῖς διὰ τῆς λέξεως τῆς,
ὅταν δὲ τὸ ἔστι τρίτον προσκατηγορῆται, ἤδη διχῶς λέγονται αἱ ἀντιθέσεις. λέγω δὲ
οἷον ἔστι δίκαιος ἄνθρωπος. τὸ ἔστι τρίτον φημὶ συγκεῖσθαι ὄνομα ἢ ῥῆμα ἐν τῇ κατα-
φάσει. ἕως τοῦ, τοῦ τετραγώνου ὥσπερ ἐν τοῖς ἀναλυτικοῖς λέγεται, οὕτω τέτακται.
ἃ δὴ ὑπογραφὴν φησὶν ἐν τοῖς τετάχθαι. τοῦ κατὰ τοῦ διαγράμματος. τεταγμένων δὲ
καὶ ὑπογράφων τέθεικεν δὲ τὴν ἁπλῆν μὲν ἀντίφασιν κατὰ τῶν α β. καὶ ἐπὶ μὲν
τοῦ α τὴν κατάφασιν τὴν ἄνθρωπος ἔστιν ἀγαθός. κατὰ δὲ τοῦ β τὴν ἀπόφασιν αὐτῆς
τὴν ἄνθρωπος οὐκ ἔστιν ἀγαθός. καὶ τοῦ τοῖς ὑποτεταγμένοις τὴν ἐκ μεταθέσεως ἀντίφασιν.
ὑπὸ μὲν τὸ β ἐφ' οὗ ἦν ἡ ἀπόφασις, τεταγμένου τοῦ γ. καὶ ἐπ' αὐτοῦ τὴν κατάφασιν
τὴν ἐκ μεταθέσεως τὴν λέγουσαν ἄνθρωπος οὐκ ἔστιν ἀγαθός. ὑπὸ δὲ τὸ α τὸ δ ἐφ'
οὗ ἦν ἡ ἁπλῆ κατάφασις τέθεικε τὸ δ. ἐπ' αὐτοῦ τὴν ἐκ μεταθέσεως ἀπόφασιν
τὴν ἄνθρωπος οὐκ ἔστιν ἀγαθός. ὥστε τετάχθαι ὑπὸ μὲν τὴν ἁπλῆν κατάφασιν τὴν ἀ-
πόφασιν τὴν οὐχ ἁπλῆν ἀλλὰ ἐκ μεταθέσεως λεγομένην. ὑπὸ δὲ τὴν ἁπλῆν
ἀπόφασιν τὴν κατάφασιν οὐ τὴν ἁπλῆν. ἀλλὰ τὴν ἐκ μεταθέσεως λεγομένην
κατὰ τὸ διάγραμμα. δηλοῖ οὖν αὐτῶν τὴν πρὸς ἀλλήλας σχέσιν τε καὶ ἀκολουθίαν.
τὸ δ' ὅτι τὰς μὲν καταφάσεις αὐταῖς αἱ ἀποφάσεις ἀκολου-
θοῦσιν ἑκατέρα ἑκατέρᾳ, οὐκέτι δὲ ταῖς ἀποφάσεσιν αἱ καταφάσεις:

πάλιν δὲ ἣν ὑπάρχει ἡ τῷ α ἢ τῷ β καὶ οὐδενὶ ὑπάρχει τὸ γ τῷ αὐτῷ. καὶ τὸ γ
ἢ τὸ δ. καὶ οὐδενὶ τῷ αὐτῷ. καὶ ὧν τὸ γ. καὶ τὸ β παντὶ ὑπάρχει:

Πάλιν μὲν θάτερον μόριον τῆς ἀντιφάσεως τῆς ἁπλῆς ᾧ τῷ ἐπὶ τῶν α β.
ἐν οὐδενὶ ἅμα ἀμφότερα ἀδύνατον ὑπάρχειν τῷ ἀντιφάσει. καὶ ὅμως
πάλιν παντὶ μὲν θάτερον μόριον τῆς οὐχ ἁπλῆς ἀντιφάσεως. ἃ κεῖται ἐπὶ τῶν γ δ.
ἐν ἀδύνατον ἅμα ἀμφότερα τῷ αὐτῷ. ἀντίφασις γὰρ καὶ αὐτή. καὶ φησὶ ἀντιφάσεως
πάσης ἡ αὐτή. καὶ ὧν ὑπάρχει ἡ κατάφασις ἡ οὐχ ἁπλῶς ἡ λεγομένη ἐκ με-
ταθέσεως ἐφ' ἧς ἔστι τὸ γ ἡ ἄνθρωπος ἔστιν οὐκ ἀγαθός. καὶ ἐφ' οὗ αὕτη ἀληθεύεται,

ὥστε τούτου ἕξεται καὶ ἡ ἁπλῆ ἀπόφασις ἡ ἐπὶ τοῦ β΄, ὥσπερ δέ τε ταύτῃ τὸ γ΄ ἡ λέγουσα
ἄνθρωπος οὐκ ἔστιν ἀγαθός. ἐφ' οὗ γὰρ ἀληθὲς ὅτι ἔστιν οὐ λευκὸν ἢ ἔστιν οὐκ ἀγαθόν, ὥστε
τούτου ἕξεται ἀληθὲς καὶ τὸ οὐκ ἔστιν οὐ λευκὸν καὶ οὐκ ἔστιν ἀγαθόν. ἀδύνατον γάρ τι ἅμα
εἶναι λευκὸν καὶ εἶναι μὴ λευκόν. ἀλλ' οὐκ ἐπὶ τοῦ γ΄ ἐφ' οὗ τὸ ἔστιν οὐ λευκόν, οὐχ οἷόν τε
ἀληθῆ εἶναι τὴν ἁπλῆν κατάφασιν τὴν α΄. τὴν λέγουσαν ἔστι λευκόν. ἀληθὴς
ἐπὶ τοῦ ἔσται ἡ ἀπόφασις αὐτῆς, ἡ β΄ ἡ λέγουσα περὶ αὐτοῦ ὅτι οὐκ ἔστι λευκόν.
ἐπὶ παντὸς γὰρ ἢ τὸ α΄ ἢ τὸ β΄ ὑπάρχει. ὅτι δὲ τὸ ἔστι λευκὸν καὶ ἔστιν οὐ λευκόν, οὐχ ὡς
προτάσεις λαμβάνει· ἀλλ' ὡς κατηγορούμενα αὐτῇ προτάσει, ἐδήλωσε
διὰ τοῦ εἰπεῖν· ἔστι ξύλον οὐ λευκὸν καὶ ἔστι ξύλον λευκόν. αὗται γὰρ αἱ τοιαῦται
προτάσεις ὅλαι ἔχουσαι μετὰ τοῦ κατηγορουμένου τὸν ὑποκείμενον ὅρον
οὐκ ἔσωθεν παραλείπειν. ὁ δὲ ὁ μὲν ὑποκείμενος αὐτοῖς ἐστὶ τε πλεονάζει καὶ ... 
προτάσεσιν, ὁ αὐτός. ἡ δὲ διαφορὰ κατὰ τὸ ἕτερον τῶν προτάσεων τῶν κατα-
φατικῶν πρὸς ἀλλήλας. καὶ τῶν ἀποφατικῶν καὶ τῶν καταφατικῶν πρὸς τὰς ἀπο-
φάσεις. διὰ τὸ διαφόρως λαμβάνεσθαι τὸ κατηγορούμενον. γίνεται δὲ μέντοι
β΄ τουτέστι τῇ ἁπλῇ ἀποφάσει· οὐκέτι πάντως ἀκολουθεῖ τὸ γ΄. τουτέστιν ἡ κατα-
φάσις ἡ ἐκ μεταθέσεως. ἡ μὲν γὰρ ἀπόφασις ἡ ἁπλῆ, οὐκ ἔστι ξύλον λευκόν.
ἀληθὴς δύναται εἶναι καὶ ἐπὶ ξύλου. καὶ ἐπὶ μὴ ξύλου. καὶ ἐπὶ πάντων ἃ μὴ
ἔστι λευκά. οὕτως δὲ καὶ ἐπὶ τῶν μὴ ὄντων ὅλως. οὐδὲ γὰρ ταῦτα λευκά. ἡ δὲ τὸ γ΄
ἡ κατάφασις ἡ ἐκ μεταθέσεως, ἡ λέγουσα ἔστι ξύλον οὐ λευκόν, ἐπὶ ὡρισμένων
ἀληθεύει. ἐπὶ γὰρ μόνων τῶν ξύλων τῶν μὴ λευκῶν ἔστιν ἀληθής. τίθησι γὰρ
τὸ εἶναι ξύλον. διὰ τοῦτο καὶ κατάφασις οὖσα ἐδείχθη. διὸ ὅταν μὲν ἐπὶ ξύλου
ἀληθὴς ἡ ἀπόφασις, οὐκ ἀκολουθήσει αὐτῇ ἡ ἐκ μεταθέσεως κατάφασις.
ὅταν δὲ ὅλως μὴ ἔστι ξύλον. τοῦτο οὐδὲ ξύλον οἷόν τε εἶναι μὴ λευκόν. ὅτι μὲν οὖν
ἡ ἐκ μεταθέσεως κατάφασις ἡ εἶναι ξύλον οὐ λευκὸν λέγουσα. ἀνάπαλιν
δὲ δείκνυσι τὴν ἀκολουθίαν ἐπί τε τοῦ α΄. καὶ τοῦ δ΄ τοῦ ὑποκειμένου αὐτῷ.
τουτέστιν ἐπὶ τῆς ἁπλῆς καταφάσεως. αὕτη γὰρ ὡς ἐπὶ τοῦ α΄. ἡ λέγουσα ἔστι ξύλον
λευκόν. καὶ ἐπὶ τῆς ἀποφάσεως οὐχ ἁπλῶς· αὕτη γάρ ἡ ἐπὶ τοῦ δ΄. ἡ λέγουσα οὐκ ἔστι
ξύλον οὐ λευκόν. ἐπὶ μὲν γὰρ τῶν β΄ καὶ γ΄. τῷ μὲν γ΄ ὡς ὑποκειμένῳ τῷ β΄.
ὃν κατάφασις ἐκ μεταθέσεως. ἕπεται πάντως τὸ β΄. ὅτι ἡ ἁπλῆ ἀπόφασις. οὐκέτι
μέντοι τῷ β΄ τῷ εἰρημένῳ, πάντως καὶ τὸ γ΄ τὸ ὑποκείμενον αὐτῷ ἀκολουθεῖ. ἐπὶ δὲ

τῶν δ' αὖ β, καὶ πάλιν· τὰ μὲν α τουτέστιν ἡ ἁπλῆ κατάφασις, πάντως ἕπεται τῇ ἐκ μετα-
θέσεως ἀπόφασις· ἐφ' οὗ γὰρ ἀληθὲς τὸ α, τὸ ἔστι ξύλον λευκόν· ἔστι δὲ ἐπὶ
ξυλουμένου· ἐπὶ τούτου ἐξ ἀνάγκης ἀληθὲς καὶ τὸ δ· τὸ οὐκ ἔστι ξύλον οὐ λευκόν· τοῦ δὲ καὶ
παρακολουθεῖν τῷ α τὸ δ, ἀπόδειξις· ὅτι ἐπὶ παντὸς ἢ τὸ γ ἢ τὸ δ· ἀντίφασις γὰρ
ἔστιν, ὥστε καὶ ἐπὶ θάτερον αὐτῶν· ἀλλὰ μὴν ἀδύνατον τὸ γ· ἀπὸ τοῦ θάτερ.
γὰρ τῷ γ, τὸ β ὁ ἀπόφασις ὢν τοῦ α· ἀδύνατα ἅμα ἐπὶ τῷ γ· ἐπεὶ τὸ ἂν αὐτῷ τοῦ τὸ
β τῷ ἑπόμενον τῷ γ· ὅ ἐστιν ἀδύνατον· οὐ γὰρ οἷόν τε ἅμα καὶ λευκὸν εἶναι καὶ μὴ
εἶναι λευκόν· οὐ γὰρ συναληθεύει ἡ ἀντίφασις· οὐδ' οἷόν τε ἅμα τὰ αὐτά· τὸ δ
ἄρα ἕπεται τῷ α· τὰ μὲν τούτου μὲν ὡς ὑποκειμένου· ὅτε γὰρ ἂν ᾖ λευκόν, καὶ τὸ τοῦ
ἀληθὲς τὸ μὴ εἶναι αὐτὸ μὴ λευκόν· αὐτὰ μὲν οὖν ὡς ἐναργέστερον ἐχρῆν δεῖξαι τὸ μὴ
δύνασθαι τῷ α τὸ γ ἀκολουθεῖν· ἐπὶ γὰρ τοῦ α, τὸ εἶναι λευκὸν κείμενον· ἐπὶ δὲ
τοῦ γ τὸ εἶναι μὴ λευκόν· ἀδύνατον δὲ τὸ αὐτὸ ἅμα τε εἶναι λευκόν· καὶ εἶναι μὴ
λευκόν· οὐκέτι μέντοι καθόλου τὸ δ· καὶ τὸ ἀνάπαλιν ἐξ ἀνάγκης τὸ α· καὶ ἐπὶ γὰρ τοῦ μὴ ξύλου,
ἀληθὴς μὲν ἡ ἀπόφασις ἡ ἐκ μεταθέσεως, ἐφ' ἧς τὸ δ· ἡ λέγουσα, οὐκ ἔστι ξύλον
οὐ λευκόν· ὁ γὰρ τοῖχος οὐκ ἔστι ξύλον οὐ λευκόν· οὐ γὰρ δὴ τὸ γ ἐπ' αὐτοῦ ἀληθές, οἷόν τε
εἶναι, τοῦ τὸ δέ ἐστι τὸ εἶναι ξύλον οὐ λευκόν· ὅθεν δὲ ἢ τὸ γ ἢ τὸ δ· διὰ δὲ τοῦ δεῖξαι,
ὅτε μὴ ἡ κατάφασις ἀληθὴς ἔδειξε τὴν ἀπόφασιν ἀληθῆ· ὅτε μὴ ὢν αὐτὸ δὴ γνώ-
ριμον τὸ σημαινόμενον ὑπὸ τῆς ἀποφάσεως τῆς οὐκ ἔστι ξύλον λευκόν· οὐκέτι
μέντοι ἐφ' οὗ ἀληθὴς ἡ ἀπόφασις ἡ ἐκ μεταθέσεως, ἐπὶ γὰρ τοίχου ἀληθὴς
ἡ λέγουσα, ὁ τοῖχος οὐκ ἔστι ξύλον οὐ λευκόν· οὐκέτι μέντοι ἐπ' αὐτοῦ ἀληθὴς
τε ἡ κατάφασις ἡ ἁπλῆ ἡ λέγουσα ὁ τοῖχος ἔστι ξύλον λευκόν· ἐφ' ἧς τὸ α ἀκολουθεῖ
ἄρα τῷ μὲν γ τὸ β· τῷ δὲ α τὸ δ· οὐ μὴν ἀνάπαλιν· ὥστε ταῖς μὲν καταφάσεσιν
αἱ ἀποφάσεις ἀκολουθήσουσι· τῇ μὲν ἐκ μεταθέσεως ἀποφάσει, ἡ ἁπλῆ
ἀπόφασις· τῇ δὲ ἁπλῇ καταφάσει, ἡ ἐκ μεταθέσεως ἀπόφασις· οὐκέτι δὲ
ταῖς ἀποφάσεσιν αἱ καταφάσεις, ἐπὶ πλέον γὰρ αἱ ἀποφάσεις:

δῆλον δὲ ὅτι καὶ τὸ α [illegible] τὸ β καὶ τὸ δ [illegible] πρὸ τῶν αὐτῶν [illegible]

ιζ περὶ τῶν διαγωνίων λέγει· ἔστι γὰρ τὸ μὲν α τῷ γ,
διαγώνιον· αἱ καταφάσεις, τὸ δὲ β τῷ δ, αἱ ἀποφάσεις· λέγει δὴ ὅτι τὰ μὲν α γ,
ἀδύνατον ὁμοῦ ὑπάρξαι· τουτέστιν, ἥ τε ἁπλῆ κατάφασις, καὶ ἡ ἐκ μεταθέσεως·
ἀδύνατον γὰρ τὸ αὐτὸ ἅμα καὶ λευκὸν εἶναι καὶ μὴ λευκόν· ὃ σημαίνεται ὑπὸ τῆς ἐκ μετα-
θέσεως

καταφάσεως τῆς ἐπὶ τοῦ γ'. λέγοι δ' ἂν ταῦτα καὶ ἐπὶ τῶν διωρισμένων προτάσεων. αὗται γὰρ εἰσὶν αἱ τὴν ἀντίφασιν ποιοῦσαι· ἐπεὶ τάς γε ἀδιορίστους οὐδὲν κωλύει πάσας συναληθεύειν. ὅτι δὲ μὴ οἷόν τε τὰς καταφάσεις τὰς προειρημένας ἅμα ἀληθεῖς εἶναι, ἱκανῶς μὲν καὶ νῦν ἀρτίως ἐδηλώσαμεν. οὐ μὴν ἀλλὰ καὶ ὅτι οὐδὲ ἅμα ἀληθεῖς ἔσονται καὶ αἱ ἀντιφατικῶς αὐταῖς κείμεναι. τῇ μὲν γὰρ ἁπλῇ καταφάσει, ἕπεται ἡ ἐκ μεταθέσεως ἀπόφασις· ὥστε ἅμα ἀληθὴς ἔσται, ἥ τε κατάφασις ἡ ἐκ μεταθέσεως ἐφ' ἧς τὸ γ', καὶ ἡ ἀπόφασις αὐτῆς ἐφ' ἧς τὸ δ'. πάλιν ἐπεὶ τῷ δ' τῇ καταφάσει τῇ ἐκ μεταθέσεως, ἕπεται ἡ ἁπλῆ ἀπόφασις τὸ β', ἔσονται ἅμα ἀληθεῖς ἥ τε ἁπλῆ κατάφασις ἐφ' ἧς τὸ α', καὶ ἡ ἀπόφασις αὐτῆς ἐφ' ἧς τὸ β'. τῶν δὲ ἀδυνάτων τὰς μὲν τῇ ἀποφάσει τῇ ἁπλῇ ἕπεσθαι τὴν ἐπὶ τοῦ β', καὶ τὴν ἐκ μεταθέσεως ἕπεσθαι τὴν ἐπὶ τοῦ δ'· οὐδὲ ἔχει τὴν φύσιν οὐδέτερον ἅμα ἀληθὲς εἶναι. ἐφ' ὧν γὰρ ἡ μὲν ἁπλῆ ἀπόφασις ἀληθής ἐστιν ἡ β', οὐκ ἔστι δὲ καὶ ἡ ἐκ μεταθέσεως κατάφασις ἡ γ'. οὐ γὰρ ἀντιστρέφει. ἐπὶ τούτων ἐξ ἀνάγκης ἀληθής ἡ δ' ἡ ἐκ μεταθέσεως ἀπόφασις. ἐπὶ παντὸς γὰρ ἡ γ' ἢ ἡ δ'. ἀντίφασις γάρ· καὶ οὐχ ἅπαξ τὸ α' β' ἢ γ' παντί. πάλιν ἐφ' ὧν ἀληθεύουσιν αἱ τῆς δ' τῆς ἐκ μεταθέσεως ἀποφάσεως, οὐκ ἔστιν ἀληθὴς ἡ α' ἡ ἁπλῆ κατάφασις. οὐ γὰρ ἀντιστρέφει. ἐπὶ τούτων ἀληθὴς ἡ ἁπλῆ ἀπόφασις αὐτῆς ἡ β'. ἐπὶ παντὸς γὰρ ἡ τὸ α' ἢ τὸ β'. ὥστε γένοιτο ἅμα ἀληθεῖς αἱ ἀποφάσεις ἐπὶ τινῶν. ἐπὶ γὰρ τοῦ τοίχου, ἀληθὴς ἡ λέγουσα αὐτὸν μὴ εἶναι ξύλον λευκὸν ἀπόφασις ἁπλῆ, καὶ ἡ λέγουσα αὐτὸν μὴ εἶναι ξύλον οὐ λευκόν· ἀπόφασις ἐκ μεταθέσεως οὖσα. ἐμνημόνευσε δὲ τούτου ἐν τοῖς περὶ συλλογισμῶν, ὥς φησι λέγει. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τοῦ καθόλου ὀνόματος ἡ κατάφασις. ἔστω, πλὴν οὐχ ὁμοίως τὰς κατὰ διάμετρον ἐνδέχεται ἀληθεύειν· ἐνδέχεται δέ ποτε. ἐπὶ γὰρ τῶν διωρισμένων ἀντιφάσεων, αἱ κυρίως ἀντιφάσεις, οὐ πᾶσαι ἐνδέχεται τὰς κατὰ διάμετρον συναληθεύεσθαι. ἀλλὰ τινὲς καὶ ποτέ. ταῖς γὰρ ἀποφάσεσι ταῖς β' καὶ δ' ἐνδέχεται, οὐκ ἔστι ξύλον λευκόν· οὐκ ἔστι ξύλον οὐ λευκόν:

[illegible] ὁμοίως δὲ ἔχουσι [illegible] :

Κἂν αὐτοῦ ἐν τοῖς περὶ συλλογισμῶν ἐμνημόνευσε, περὶ τούτου λέγει. ἅπαν γὰρ ἐκεῖ, ἐν ταῖς προτάσεσι τὸ ἔστι τρίτον προσκατηγορεῖται, διὸ γίνεσθαι ἀντιφάσεις τέσσαρας προτάσεις, τέτταρας προστίθησιν· ὧν τὰ μὲν δύο πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν ἔχει κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις. τὰ δὲ δύο, οὔ. τοῦτο δὲ καὶ νῦν δηλοῖ,

+ ὁμοίως δὲ ἔχουσι καὶ αἱ στερήσεις πρὸς τὰς κατηγορικὰς ταύτῃ τῇ θέσει:

ὁ δὲ τῆς στερητικῆς ἀποφάσεως, τὴν ὁμοίαν τάξιν σώζει πρὸς τὴν ἁπλῆν ἀντίφασιν· ἀλλ' ἡ
αὐτὴ ἐστὶν ἀκολουθία; ἢ καὶ ἐκ μεταθέσεως ἀντιφάσεως κατηγορίας δὲ εἰρημένων ταῖς
ταῖς ἀντικατηγορίας καὶ ἀκολουθίας· ὁ δὲ ὁμοίως πρὸς ἀντικατηγορίας καὶ ἀκολουθεῖ,
ἢ τοῖς τὰ ἁπλῶν τε καὶ οὐ καὶ στερητικὰ τὰ ἀντικατηγοροῦντα καταφατικῶς ἢ ἀποφατικῶς
κατηγορίας ἁπλῆς, ἔστιν ἴσον, οὐκ ἔστιν ἴσον· ἐν γὰρ τῇ ἐκ στερητικῶν ἀντιφάσει τὸ ἐκ
τοῦ ἔξω μὲν τῇ ἁπλῇ ἀντιφάσει, τῇ μὲν ἀποφάσει τὴν κατάφασιν, τῇ δὲ καταφάσει
τὴν ἀπόφασιν, ὁμοίαν καὶ ἀκολουθίαν τῇ πρὸ τούτου σώζει τῇ ἐκ μεταθέσεως πρὸς αὐ-
τὴν τῆς ἐκ μεταθέσεως ἀντιφάσεως· ταῖς μὲν γὰρ καταφάσεσι καὶ ἀποφάσεσι
ἀμφοτέρων ταῖς μὲν [illegible] ἀκολουθοῦσιν ἐξ ἀνάγκης, οὐκ ἔτι δὲ ταῖς ἀποφά-
σεσι πάντως αἱ καταφάσεις· ἔστω γὰρ τὸ μὲν ἴσον ἐστὶν ἐπὶ τοῦ α· ἡ δὲ τούτου ἀπό-
φασις τὸ, οὐκ ἔστιν ἴσον, ἐπὶ τοῦ β· καὶ ὑποκείσθω [illegible] μὲν β τὸ γ· ἔχον ἐπὶ τούτων
τοῦ ἴσου στερητικὴν κατάφασιν τὴν ἄνισόν ἐστι· στερητικὸν γὰρ τοῦ ἴσου τὸ ἄνισον· τὸ δὲ ἐπὶ
α, τὸ δ, ἔχον τὴν ἀπόφασιν τὴν τοῦ στερητικοῦ, τὴν οὐκ ἔστιν ἄνισον· ὁμοίαν δὲ καὶ
τούτων ἀκολουθίαν· τῷ μὲν γὰρ γ, τῇ στερητικῇ καταφάσει ἐξ ἀνάγκης ἀκολουθεῖ
τὸ β· ἡ τοῦ ἴσου ἀπόφασις· εἰ μὲν γὰρ ἐπὶ τοῦ ἀνίσου ἐστὶν ἀληθὲς εἰπεῖν καὶ τὴν ἴσον ἐστὶν
ἢ τὴν, οὐκ ἔστιν ἴσον· ἀλλ' ἀδύνατον τὸ ἄνισον καὶ ἴσον εἶναι ἅμα, ἡ ἄρα ἀπόφασις
οὐκ ἔστιν ἴσον· οὐκ ἔτι μέντοι τῇ ἀποφάσει, τῇ οὐκ ἔστιν ἴσον τῷ β, ἐξ ἀνάγκης ἀκολουθεῖ
ἡ στερητικὴ κατάφασις, ἡ ἔστιν ἄνισον, ἡ ἐπὶ τοῦ γ· οὐ γὰρ ἐπὶ πάντων ἐφ' ὧν ἀλη-
θής ἐστιν ἡ ἀπόφασις ἡ ἁπλῆ, ἐπὶ τούτων καὶ ἡ στερητικὴ κατάφασις ἡ ἐπὶ τοῦ γ.
οὐκ ἔστιν μὲν γὰρ χρώματι καὶ φωνῇ, οὐ μὴν καὶ ἄνισον τὸ παράδειγμα ὡς προείπομεν,
ἐπὶ ὅρων μὲν οὐδενὸς ἀληθές ἐστιν· ἐπὶ γὰρ ποσοῦ [illegible] ἐστὶ τοῦ α· καὶ τοῦ δ ἡ ἀ-
κολουθία· τῷ μὲν γὰρ α τῇ ἁπλῇ καταφάσει, ἀκολουθήσει τὸ δ· ἡ στερητικὴ ἀ-
πόφασις· τὸ γὰρ ἴσον, οὐκ ἄνισον· οὐκ ἔτι μέντοι τῇ στερητικῇ ἀποφάσει τῇ, οὐκ ἄνισον
ἐξ ἀνάγκης ἀκολουθήσει τὸ α· ἡ ἁπλῆ κατάφασις· τὸ μὲν γὰρ οὐκ ἄνισον, καὶ ἐπὶ μὴ ποσῶν
» ἀληθές· τὸ δὲ ἴσον οὐκ ἔτι· ἴσον ἀεὶ ἢ οὐκ ἔστιν ἴσον· ὅπου ἄνισον ἐστί· ἔστιν οὐκ ἔστι
» δὲ ἐστὶν ἄνισον· καὶ ἐπὶ πολλῶν δὲ ὧν τοῖς μὲν ὑπάρχει, τοῖς δὲ οὐχ ὑπάρχει τὸ αὐτό,
» ἡ μὲν ἀπόφασις ὁμοίως ἀληθεύει ὅτε μὴ [illegible] ἐστὶ τοῦτο, τὸ δὲ οὐκ ἔστι
τοῦτο· [illegible] καὶ ἐπὶ τοῦ [illegible] τοῖς μὲν ὑπάρχει, τοῖς δὲ μὴ ὑπάρχει· τῶν
[illegible] ἀληθεύεσθαι [illegible]· εἰ γὰρ τῶν ἀνθρώπων οἱ μὲν λευκοί εἰσιν·
οἱ δὲ μή, τὸ μὲν οὐκ εἰσὶ πάντες λευκοί· καὶ τὸ οὐκ ἔστι λευκὸς ἕκαστος, ἀληθές.

οὐκ ἔτι δὲ ἀληθές, τὸ ἄρ' οὐ λευκὸς οὐ πάντως αὐτοῖς ἐστὶν ἢ οὐ λευκὸς αὐτὸς ἕκαστος· τοῦτο
γὰρ ταὐτὸν σημαίνει τῷ μηδὲ ἕνα αὐτῶν εἶναι λευκόν· ὅ ἐστι ψεῦδος· εἴ γε τὰ μὲν
ἔνια τῶν ζῴων λευκά· τὰ δὲ μή· ψευδοῦς οὖν ὄντος τῆς καθόλου καταφάσεως, τῆς
πᾶν ζῷόν ἐστι λευκόν, ἀπόφασις ἂν εἴη, οὐχὶ ἔστιν οὐ λευκὸν πᾶν ζῷον· καὶ γὰρ αὕτη
ψευδὴς ὁμοίως τῇ πᾶν ζῷον λευκόν ἐστιν· οὐδὲ γὰρ λευκὸν εἶναι λέγει· ἡ δὲ οὐ πᾶν
ζῷον λευκόν ἐστιν, ἀπόφασις ταύτης ἐστὶ καὶ ἀληθής· ἀλλὰ ταῦτα, οὐ ταὐτὸν σημαί-
νει τὸ οὐ πᾶν ζῷον λευκόν, καὶ ἔστι πᾶν ζῷον οὐ λευκόν· εἰ δὲ μὴ ταὐτὸν σημαίνει,
οὐδὲ ταὐτόν ἐστιν:· ἐπεὶ δὲ φανερὸν ὅτι ἕτερον σημαίνει τὸ ἔστιν οὐ λευκὸν καὶ οὐκ ἔστι λευκόν·

Δείξας διὰ πλειόνων ὅτι μὴ ταὐτὸν σημαίνει, τὸ οὐκ ἔστι
τόδε, καὶ ἔστιν οὐ τόδε, καὶ τὸ μὲν οὐκ ἔστι τόδε, ἀπόφασίς ἐστιν, ἀκολούθως τοῖς δεδειγ-
μένοις ἐπιφέρει ὅπερ ἔμπροσθεν προειρηκώς· τὸ διαφορὰν δὲ εἶναι τῷ κατασκευάζειν
ἢ ἀνασκευάζειν τὸ ὑπολαμβάνειν, ἢ ταὐτὸν ἢ ἕτερον σημαίνειν τὸ μὴ εἶναι
τόδε, καὶ εἶναι μὴ τοῦτο· τοῦτο δέ ἐστι τὸ μὴ ὁμοίως δύνασθαι ἑκάτερον αὐτῶν.
ἀλλὰ τὸ μὲν ἀποφατικὸν διὰ προτάσεως καταφατικῆς· τὸ δὲ καταφατικόν, ἐξ ἀ-
μφοτέρων καταφατικῶν· καὶ τὸ μὲν καταφατικὸν ἐν τῷ πρώτῳ σχήματι· τὸ δὲ ἀποφατικὸν
ἐν τῷ δευτέρῳ καὶ ἐν τῷ πρώτῳ· πῶς δὲ τοῦτο γίνεται, προσθεὶς διδάσκει· ὁ μὲν οὖν προ-
τεθεὶς τοῦ δεῖξαι τοῦτο ἐστὶ χρήσιμον αὐτοῖς, καὶ πρὸς τὴν ἀνάλυσιν τοῦ συλλογισμοῦ·
δεῖ γὰρ δύνασθαι ἑκάτερον αὐτῶν, οὕτως καὶ ἀναλυθήσεται· ἀσαφὴς δὲ ἡ λέξις
ἐστί, τῷ ταῖς προτάσεσι, μήπω σαφῶς εἰλῆφθαι, μήτε ταῖς καταφατικαῖς μήτε
ταῖς ἀποφατικαῖς· ἀπαιτεῖ γὰρ ὁ λόγος ὃν τρόπον τοῦ δύνασθαι ἑκάτερον·
δηλῶν ταῖς προτάσεσι παραθέσθαι, καὶ δεῖξαι ὅτι ἄλλος ὁ τρόπος τῆς τοῦ ἀπο-
φατικοῦ δείξεως, καὶ ἄλλος τῆς τοῦ καταφατικοῦ, ἐπεὶ οἷον, ὅτι ὃ ἂν ᾖ ζῷον:
οὐκ ἔστι λευκὸν ἢ ἐνδέχεται μὴ εἶναι λευκόν· ἀποφατικὸν γὰρ τὸ ἐνδέχεται μὴ εἶναι
λευκὸν ἀπεδείχθη, ὅτι ἐὰν τοῦτο ᾖ ζῷον· εἰ ἦν γὰρ αὐτὸ ἀναγκαῖον, τοῖς οὐδὲν ζῷον λευκόν
ἐστι, καὶ οὐδὲν ζῷον ἐνδέχεται λευκὸν εἶναι· ἡ μὲν οὖν τοιαύτη καθόλου ἀποφατική
ἐστιν ἄρχεται, ἡ δὲ καθόλου ἀποφατικὴ ἀναγκαία· δεῖ γὰρ ὡς ἄπορον τὸ ἐνδέχεσθαι
μὴ εἶναι λευκὸν προσυπακουστέον, τό, ὅτι ἐὰν ᾖ ζῷον· ὅτι τοίνυν τῷ οὐδὲν ζῷον
ἐνδέχεται μὴ εἶναι λευκόν· οὕτω γὰρ ἂν ἀπόφασις εἶναι· χωρὶς δὲ ἑκάστου κατα-
φάσεως καὶ αὐτὴ δύναται τῷ ἐνδέχεται μὴ εἶναι λευκόν· καὶ αὐτὸ παράδειγμα εἰρηκὼς
τῆς ἐκ μεταθέσεως καταφάσεως, ὥσπερ καὶ τὸ μὴ ἴσον τό· καὶ ὁ τὸ ἀληθὲς ἀπὸ τοῦ μήλου.

ὡς εἶναι ἴσην αὐτῷ, τῷ πᾶν τὸ ζῷον ἐνδέχεται μὴ εἶναι λευκόν· ἔτι δὲ καὶ ἐναντίως ὡς ἀπο-
φατικὴν ἔθηκεν· ἔτι καὶ αὐτῷ ὡς ἐπὶ μὲν τῶν ἁπλῶς καταφάσεων, ὁ μὲν ὅμοιος ὁ λόγος καὶ ἡ λέξις·
χρησάμενος δὲ καὶ ἐπὶ τῆς ἐκ μεταθέσεως καταφατικῆς. τὸ ἀληθὲς εἶναι μὴ λευκόν
τὸ ἀληθὲς εἰπεῖν ὅτε ποτὲ σημαίνοντα, ἐξηγούμενος προστίθησι. τοῦ τε γὰρ ἔστιν εἶναι
μὴ λευκόν, ὡς τῆς ἀληθὲς εἰπεῖν τῆς αὐτῆς οὔσης, τῇ ἔστιν οὐ λευκὸν οὔσῃ καταφατικῇ,
ὡς δέδεικται. τό τε γὰρ ἀληθὲς εἰπεῖν αὐτὸ τοῦ ἔστι τέθεικεν, ὡς καὶ αὐτὸς προϊὼν δηλώσει.
οἱ γὰρ τρόποι τὴν αὐτὴν χώραν ἐν ταῖς [illegible] τῷ ἔστιν ἔχουσιν· ὡς πρὸς τὸ κατα-
φάσιν ἢ ἀπόφασιν ποιεῖν. καὶ τὸ ἀληθὲς δὲ τρόπος τις. καὶ ἐπειδὴ πάλιν αὐτὴ ἡ πρότασις,
τοιαύτη· ὅτι πᾶν ἢ ζῷον, τὸ ἀληθὲς εἰπεῖν μὴ εἶναι λευκόν· ἢ ἴση ἐστὶ τῇ πᾶν ζῷον
ἔστι λευκόν· οὐχ ὁμοίως οὖν φησὶ δειχθήσονται ταῖς ἀποφατικαῖς· οἷον οὐδὲν ζῷον
λευκόν ἐστι· καὶ οὐδὲν ζῷον ἐνδέχεται εἶναι λευκόν· ἃς ὡς ἀποφατικὰς καὶ ταύτας ἀμφοῖν
οἱ μὲν καθόλου, καὶ τὸ καταφατικόν, τὸ πᾶν ζῷον ἔστιν οὐ λευκόν· ἀλλὰ τὰ μὲν καταφα-
τικά, τό τε ἀληθὲς εἰπεῖν· ὅτι πᾶν ζῷον ἔστι λευκόν· καὶ τὸ ἀληθὲς εἰπεῖν ὅτι πᾶν
ζῷον ἔστιν οὐ λευκόν· τοῦτο γὰρ σημαίνει, τὸ εἶναι μὴ λευκόν ὅτι ἰσοδυναμεῖ· τὸ μὲν
τῷ ἔστι λευκόν· τὸ δὲ τῷ ἔστιν οὐ λευκόν· ὁμοίως ἀλλήλοις. καὶ τῷ αὐτῷ τρόπῳ δειχθή(σεται)
παραθετικὰ δὲ τῷ ἔστιν οὐ λευκόν, τὸ ἔστι λευκόν· εἰ γὰρ δεῖξιν τοῦ ὁμοίως καὶ ἀδύνατον
ταῦτα καταφάσεις εἶναι· διὸ καὶ ὁμοίως αὐτοῦ τὴν δεῖξιν ἔσεσθαι· ἀμφότερα γὰρ
ταῦτα ὁμοίως ὄντα καταφατικὰ δειχθήσεται· καὶ τὸ ἴσον δυνάμενα δὲ τούτοις ἐστὶ
καταφατικῶς ἐν τῷ πρώτῳ σχήματι· συνάγεται γὰρ τοῦτο μόνον· τὸ καθόλου καταφατικὸν
δείκνυται. διὸ δὲ τὸ ἀληθὲς εἰπεῖν λευκόν· ὅτι καὶ ἀληθὲς εἰπεῖν ὅτι οὐ λευκόν,
ὡς καθόλου λεγομένων ἀκούειν· ἐνδέχεται γὰρ αὐτοῖς τὸ πᾶν ζῷον, ὡς αὐτὸς ἐφεξῆς
δηλοῖ. ἐπειδὴ δὲ [illegible] ταῦτα προβλήματα καταφατικὰ ὄντα ἐν πρώτῳ καὶ διὰ
πρώτου γίνεται σχήματος ἐξετάζεται. πῶς ἡ λέγουσα ἀληθὲς εἰπεῖν ἔστι λευκόν,
κατάφασίς ἐστι καὶ τί σημαίνει. τὸ γὰρ ἀληθὲς φησί, τῷ ἔστιν ὁμοίως ἐπιτέθειται.
ἴσον οὖν ἐστι τὸ ἀληθὲς εἶναι λευκόν, τῷ ἔστι λευκόν· τούτου δὲ καταφάσεως ἢ καταφα-
τικῆς οὔσης [illegible] πάλιν ὅτι οὐκ ἔστιν ἀπόφασις, ἀληθὲς εἰπεῖν μὴ λευκόν,
ἀλλ' ἢ οὐκ ἀληθὲς εἰπεῖν λευκόν· ἐπειδὴ δὲ ἡ ἀληθὲς εἰπεῖν μὴ λευκόν καταφα-
τικὴ αὐτή, ὡς καὶ ἡ ἀληθὲς εἰπεῖν λευκόν· διὸ καὶ ὁμοίως καὶ διὰ τοῦ αὐτοῦ δειχθήσονται
σχήματος. καὶ ὅτι ἡ λέγουσα ἅπαν ζῷον ἀληθὲς εἰπεῖν μὴ εἶναι λευκόν, οὐκ ἔστιν ἀπό-
φασις οὔτε ἁπλῶς, οὔτε τῆς λεγούσης πᾶν ζῷον λευκὸν εἶναι, ἀλλὰ ἢ οὐ πᾶν ζῷον.

ἢ οὐδὲν ζῷον ἀληθὲς εἰπεῖν λευκόν. πάλιν προσέθηκεν ὑπομιμνήσκων τί ἦν κοι-
τῶν διαφερόντων ἢ τὸ ἴσον καὶ τὸ ἀληθὲς εἰπεῖν μὴ εἶναι λευκὸν δηλώσεων:

εἰ δ' ἐστὶν ἀληθὲς εἰπεῖν ὅτι ἐστὶν ἢ ἄνθρωπος μουσικὸν εἶναι ἢ μουσικὸν εἶναι, ὅσα ἢ ζῷον ληπτέον· ἢ εἶναι μουσικὸν ἢ εἶναι μὴ μουσικόν.

Ἐπειδὴ ὁμοίως χρῆται τῷ τε ἁπλῷ καὶ τῇ ἀποφάσει, καθ' ὃ ἴσον τὸ ἐκκείμενον δηλοῦσθαι, διὰ γὰρ πρώτου σχήματος, νῦν πῶς ποιήσομεν τὴν δεῖξιν ἑκατέρου αὐτῶν ἢ τὸν συλλογισμὸν ὑπογραφή. τὸ γὰρ ὅλον ἐστὶ τοιοῦτον· εἰ βουλοίμεθα δεῖξαι ὅτι πᾶς ἄνθρωπος μουσικός ἐστιν ἢ ὅτι πᾶς ἄνθρωπος οὐ μουσικός, δηλουμένου οὕτως. ἡ μὲν ἀληθὲς εἰπεῖν ὁ αὐτή, ἄνθρωπος μουσικὸν εἶναι, σημαίνει τῷ, πᾶς ἄνθρωπος μουσικός· ἡ δὲ ἀληθὲς εἰπεῖν ὅτι ἄνθρωπος μὴ μουσικὸν εἶναι, σημαίνει τῷ πᾶς ἄνθρωπος οὐ μουσικός. φησὶ δὲ χρῆναι ἐπὶ ἑκατέρας τούτων δεῖξαι μέσον ὅρον λαμβάνειν τὸ ζῷον. καὶ εἰ μὲν βουλοίμεθα δεῖξαι, τὸ πάντα ἄνθρωπον μουσικὸν εἶναι, μείζονα ἄκρον κατηγορούμενον καθόλου τοῦ ζῴου παντός, ληπτέον τὸ μουσικόν· ἔσχατον δὲ καὶ ἐλάττονα, οὗ τὸ ζῷον κατηγορεῖται παντός, τὸν ἄνθρωπον. ἔσονται γὰρ αἱ προτάσεις, πᾶς ἄνθρωπος ζῷον· πᾶν ζῷον μουσικόν· πᾶς ἄρα ἄνθρωπος μουσικός, ὅ τὸ προκείμενον. οὐδὲ δεῖ τὰς προτάσεις ἐξετάζειν, ἀπαιτεῖν ὡς ἀληθεῖς. παραδείγματι γὰρ ἡ ὑπογραφὴ τῆς λέξεως χρῆται, τοῦ πῶς διαγράφεται ἐξ ἀμφοτέρων. δείκνυται τὸ, πᾶς ἄνθρωπος μουσικός ἐστι. ἢ τό, πᾶς ἄνθρωπος οὐ μουσικός. εἰ δὲ τὸ προκείμενον ἦν δεῖξαι πάντα ἄνθρωπον εἶναι μουσικόν, τὸ μὲν ζῷον πάλιν μέσος ὅρος ἔσται ὁ αὐτός· τὸ δὲ μουσικόν, μείζων· καθόλου καταφατικῶς τοῦ ζῴου καὶ αὐτὸς κατηγορούμενος. ἄνθρωπος δὲ ὁ ἔσχατος· καὶ αἱ προτάσεις, πᾶς ἄνθρωπος ζῷον· πᾶν ζῷον ἐστὶν οὐ μουσικόν· καὶ τὸ συμπέρασμα γὰρ τοῦτο· πᾶς ἄρα ἄνθρωπος οὐ μουσικός. εἰ μὲν οὖν ἡ πᾶς ἄνθρωπος οὐ μουσικός, τῇ ἀποφάσει, οὐ καθόλου τοῦτο τὸ συμπέρασμα καὶ ἐδείκνυτο μόνῳ· ἀλλὰ καὶ ἐν τῷ β' ἀντιστρεφομένης τῆς καθόλου ἀποφάσεως τῆς, πᾶς ἄνθρωπος οὐ μουσικός· νῦν δὲ ἐν τούτῳ μόνῳ δείκνυται. ὅτι δὲ μὴ ἔστιν ἀπόφασις, δηλοῦσι τὸ ἀεὶ τοῦ μὴ ἀντιστρέφειν αὐτῷ. ἀληθοῦς γὰρ οὔσης τῆς λεγούσης· πᾶν ἄψυχον οὐκ ἀθάνατον, οὐκ ἔστιν ἀληθὴς ἡ λέγουσα· πᾶν οὐκ ἀθάνατον ἄψυχόν ἐστιν. ἀληθὴς δὲ ἡ τι οὐκ ἀθάνατον ἄψυχον εἶναι λέγουσα. διὰ τοῦτο δὲ ἐν τῷ α' δείκνυται μόνῳ σχήματι. καὶ ἤδη φανερώτατον ἐκ μέσου τοῦ μὴ εἶναι ἀπόφασιν, τὸ μὴ ἀντιστρέφειν αὐτήν:

105 μὴ εἶναι μουσικὸν ὁ ἄνθρωπος οὐδεὶς ἄνθρωπος ἀλλ᾿ ὥσπερ εἰκὸς δηλοῦται: +
Δείξας τὸ καταφατικὸν, τὸ πᾶς ἄνθρωπος ἐστὶν οὐ μουσικός· διὰ τοῦ ἀοριστουμένου σχήματος μετὰ
ἐκ τῶν καταφάσεων, νῦν δηλοῖ τὸ ἀποφατικὸν καθόλου πάλιν ἐπεὶ διὰ τῶν
δηλοῦται· τὸ γάρ, τὸ δεῖ μὴ εἶναι μουσικὸν ὁ ἄνθρωπος ἴσον ἐστὶ τῷ, οὐδεὶς ἄνθρωπος
μουσικός· τοῦτο δὲ φησὶ δηλοῦσθαι κατὰ τοὺς προειρημένους τρόπους· τρεῖς δὲ εἰσὶν οὗτοι.
ἐν μὲν τῷ α σχήματι, ὡς ὅταν δεῖξῃ προτάσεων τῶν ἐν πρώτῳ σχήματι, τοῦ καθόλου ἀποφατικοῦ
συλλογιστικὸς ἐστὶ· οἷον πᾶς ἄνθρωπος ζῷον· οὐδὲν ζῷον μουσικόν· οὐδεὶς ἄνθρωπος μουσικός.
ἢ πᾶς ἄνθρωπος ζῷον· οὐδὲν ζῷον ἄψυχον· οὐδεὶς ἄνθρωπος ἄψυχον· ἀντὶ τοῦ προκειμένου
δεῖξαι ὅτι μηδεὶς ἄνθρωπος ἄψυχον· ἐν δὲ τῷ β σχήματι, λόγοι πρῶτοι εἰσὶν καθόλου ἀπο-
φατικῆς· ἢ καθόλου καταφατικῆς· ἀμφότεροι γὰρ τοῦ καθόλου ἀποφατικοῦ,
εἰσὶν δεικτικοί· οἷον οὐδὲν ἄψυχον ζῷον· πᾶς ἄνθρωπος ζῷον· οὐδεὶς ἄνθρωπος ἄψυχον.
ἢ πάλιν· οὐδεὶς ἄνθρωπος ἵππος· πᾶς ἵππος χρεμετιστικός· οὐδεὶς ἄνθρωπος χρεμετιστικός.
πάλιν γὰρ διὰ τούτων καθόλου ἀποφατικὸν ἐν δευτέρῳ σχήματι, τὸ οὐδεὶς ἄνθρωπος χρεμε-
τιστικός:— πλὴν ὡς οὐ ταὐτὰ ἔχει τὸ α καὶ τὸ β, ὡς φαμὲν μὲν τῷ αὐτῷ μὴ ἐνδέχεσθαι: +
Ἀναδεδράμηκε πάλιν ἐπὶ τὸ προδεδειγμένον αὐτῷ, περὶ τῆς τῶν προτάσεων
ἀκολουθίας· τῶν τε τὴν ἁπλῆν ἀντίφασιν ἐχουσῶν, καὶ τῶν καὶ τὴν μετάθεσιν·
καὶ τὴν ἀκολουθίαν ὡς ἐπὶ τῶν ἐκ τῶν προτάσεων ἔδειξε· νῦν καθολικώτερον
δείκνυσιν· οὐκ ἐπὶ ὕλης· ἀλλ᾿ ἐπὶ στοιχείων μόνων· ἐφ᾿ ὧν τοῖς καθολικοῖς
δεῖξαι ἔθος αὐτῷ ποιεῖσθαι· τὴν δὲ τῶν ὅρων καταγραφὴν ἐπὶ τῇ λέξει· λόγον καὶ
περὶ ἄλλου τινὸς λέγειν· τότε μὲν γὰρ ὡς τὸ α προτεταγμένον ἔσται· τῷ δὲ β ἀπο-
φασκόμενον τὸ α· τὸ γ οὖν καταφάσκεται· ἢ ἐπὶ τε τῷ μὲν γ τὸ β ἑπόμενον.
τῷ δὲ α τὸ δ· νῦν δὲ λέγει τὸ α β, ἀντίφασιν ὥσπερ εἶναι· ἀντιφάσεων γὰρ τὸ,
ἅμα μὲν τῷ αὐτῷ μὴ ἐνδέχεσθαι· παντὶ δὲ ἐξ ἀνάγκης θάτερον· ὁμοίως δὲ καὶ τὸ γ δ ἀντί-
φασις· ἤγουν τότε αὐτῷ ἐκ μεταθέσεως· ἐπὶ τούτων δὲ, οὐκ ἔστι τῷ β τὸ γ,
ἀλλὰ τῷ α· τῷ δὲ δ τὸ β· ὥσπερ ἔχουσι προτάσεως· πάντως τῷ τῆς ἑτέρας
ἀντιφάσεως μορίῳ τὸ τῆς ἑτέρας ἀκολουθήσει· τότε μὲν οὖν ἔλαβεν ἐπὶ ὁμοίων
τῶν καταφάσεων τῆς ἁπλῆς ἀντιφάσεως, ἀπόφασιν· πάλιν δὲ ἐπὶ τῷ ἀπο-
φάσιν τῆς ἁπλῆς, τὴν τῆς ἑτέρας κατάφασιν· νῦν δὲ ἁπλῶς δύο ἀντιφάσεις
λαμβάνει· οὐ διορίσας τινάς· ἢ ἐπὶ τῶν καθόλου δείκνυσιν ὅτι ἀντὶ τοῦ ἑτέρου
τῆς πρώτης ἀντιφάσεως ἕπεται τὸ ἕτερον μόριον τῆς δευτέρας ἀντιφάσεως.

ἐὰν μὴ ἀντιστραφῇ, ἢ τῷ λοιπῷ μορίῳ τῆς δευτέρας ἀντιφάσεως τὸ λοιπὸν τῆς πρώτης
ἀκολουθήσει· ἤγουν ἐὰν ἀντιστραφῇ. αὐτίκα πάλιν γὰρ ἢ ἀκολουθήσει ἔστι γὰρ τῇ κατα-
φάσει ἡ κατάφασις· ἔστι τῇ καταφάσει ἡ ἀπόφασις· ἔστι τῇ ἀποφάσει ἡ κατα-
φάσις· ἔστω τοίνυν πάλιν, ἢ τῶν καταλιμπανομένων μορίων τῶν ἀντιφάσεων
ἡ ἀκολουθία ἐστὶ πάλιν ἐξ ἑτέρας. ὡς δεδείκνυται· ἁπλῶς γὰρ τοῦ τιθεμένου τὸ α
ὅ ἐστι μόριον τῆς α β ἀντιφάσεως, τῷ τὸ γ ὅπερ ἐστὶ μόριον ἐστὶ τῆς γδ ἀντιφάσεως
ἕπεσθαι. δεδείκνυται δὲ πάλιν τῷ β τὸ δ τῆς γδ ἀντιφάσεως μόριον ἑπόμενον·
οὐδενὸς ἐπιπροστεθέντος· ἔστι καὶ τῇ καταφάσει τοῦτο ἔστι τῇ ἀποφάσει, καὶ ἔτι τοῦ τιθεμένου
αὐτῷ. ἔστι καὶ μὴ αὐτῷ. ἀλλὰ τῷ ἀντικειμένῳ ἢ μὲν ἑτέρα ἀντιφάσις αὐτῷ καθὼς
ἡ δὲ ἑτέρα ἁπλῆ. ὡς ἐδείχθη ἐν τοῖς πρὸ ὀλίγου δεικνυμένοις. δείκνυσι δὲ ὅτι
θατέρου τὰ ἑπόμενα συναληθεύειν θατέρου τοῖς προκειμένοις συναληθεύουσι τὰ
ἀεὶ καὶ αὐτοῖς ὑπάρχειν τῶν ἀντιφάσεων δεδειγμένα. φησὶ γὰρ ὅτι καθόλου,
τοῦτο γὰρ τὸ ἁπλῶς σημαίνει, δύο ἀντιφάσεων λαμβανομένων· οἷον τῆς α β
καὶ τῆς γδ· ἐὰν τῷ τῆς ἑτέρας ἀντιφάσεως μορίῳ ἕπηται θάτερον μόριον τῆς
ἑτέρας ἀντιφάσεως· οἷον τῷ α τὸ γ, ἢ μὴ ἀντιστρέφωσιν, ἢ τὸ γ τῷ α ἕπηται·
ἀνάπαλιν τῷ τῆς ἑτέρας ἀντιφάσεως τῆς τοῦ τεθειμένης τοῦ ὑπολειπομένῳ
μορίῳ· ἀκολουθήσει θάτερον μόριον τῆς ὑπολειπομένης ἀντιφάσεως, ἤγουν ἐὰν
ἀντιστρέφηται. τὸ γὰρ δ τῷ β ἀκολουθήσει· οὐκ ἀεὶ δὲ καὶ τὸ β τῷ δ. ἀλλὰ τῷ α ἀκολουθεῖ
ἀκολουθοῦσι· ἢ μὴ ἀντιστρέφουσι. τοῦτο δὲ ὡς εἶπον ἔφθασα ἔδειξεν
ἐπὶ τοῦ λευκοῦ ὡρισμένης· νῦν δὲ καθολικῶς τὴν δεῖξιν ποιεῖται· διὰ τῶν
τῶν στοιχείων τοῦ δὲ ἀλλάξει τὴν δεῖξιν. οὐκ ἀεὶ γὰρ τῷ μὲν γ τὸ α, τὸ β ἀκολουθήσει.
τῷ δὲ α τὸ δ. ὡς ἀεὶ ἔδειξε πρὸ ὀλίγου. ἀλλὰ καθόλου ὁποίῳ ἂν τῆς ἑτέρας ἀντι-
φάσεως ἢ πάλιν τῷ τῆς ἑτέρας ἀντιφάσεως μορίῳ, τὸ ἕτερον μόριον τῆς
ἑτέρας ἀντιφάσεως ἕπηται ἂν μὴ ἀντιστρέφῃ, τῷ καταλειπομένῳ μορίῳ
τῷ τῆς ἑτέρας τὸ καταλειπόμενον ἀκολουθήσει, ἤγουν ἐὰν ἀντιστρέφηται. ἀλλὰ καὶ τὸ ἑξῆς
λεγόμενον ἀποδείξειν· ὅτι τῶν διαιρετῶν αἱ μὲν, συναληθεύουσι πρὸς ἀλλήλας
αἱ δὲ, οὔ. αἱ μὲν γὰρ ἡγούμεναι αὐτῆς ἀπονται αἱ λοιπαί, οὐδέποτε ἅμα
ἀληθεύουσιν. ἐὰν γὰρ οὕτως ἡ ἀπόφασις συναληθεύει μέν, ὡς πρὸ ὀλίγου
δέδεικται. τὰς δὲ ἑκάστας ἑπομένας, οὐδὲ ἂν ποτὲ ἅμα ἀληθεύειν δύνασθαι.
ῥηθέντων οὖν ὅτι τῷ β τὸ δ ἕπεται ἐν ... φανερόν:

προσθέσθαι δὲ ἀναγκαῖον ὅτι τῷ β τὸ δ ἕπεται· καὶ μὴ μόνον ἕπεσθαι τῷ γ τὸ α· οὕτως
δὲ ἀναγκαῖον, ὡς ἀντέκειτο τὸ α τῷ γ ἕπεσθαι καὶ μὴ ἀντιστρέφειν, ἀλλὰ πάλιν ἀντὶ τοῦ α τὸ β
ἕπεται· ἢ δέδεικται ἐπεὶ ἀντίφασις τὸ δ ἢ παντὶ θάτερον αὐτῶν ὑπάρχει· ἐφ' οὗ
δὲ ἀληθὲς τὸ β, οὐκ ἐνδέχεται τὸ γ, διὰ τὸ τῷ γ ἕπεσθαι τὸ α· εἰ ποιεῖ γὰρ αὐτῷ β
τὸ α καὶ κατὰ τοῦ αὐτοῦ ἅμα ἂν εἴη ἀληθῆ τὰ α β, ὅπερ ἀδύνατον· λείπεται ἄρα τὸ δ
ἕπεσθαι τῷ β· πάλιν ἐπεὶ ἀνάκειται τῷ μὲν γ ἕπεσθαι τὸ α· οὐ μὴν ἀντιστρέφειν
οὐ γὰρ καὶ τῷ α τὸ γ· καὶ τὸ ἅπαντος δὲ τὸ γ ἢ τὸ δ· ἂν τὸ α μὴ ἕπηται τὸ γ διὰ τὸ μὴ
ἀντιστρέφειν, τό τε ἀκόλουθον ἔσται αὐτῷ τὸ δ· ἅμα γὰρ ἀληθὲς εἶναι τό τε α καὶ τὸ δ.
ἀδύνατον· αὖ πάλιν τῷ α τὸ δ ἑπόμενον καὶ μὴ ἀντιστρέφον· ἕπεται μὲν αὐτῷ τῷ δ
καὶ τὸ β οὐ μὴν ἀντιστρέφει· ἐνδέχεται γὰρ συναληθεύειν τὰ γ β· οὐ τὰ α β· ἀδύνατον
εἶναι τὰ α δ συναληθεύειν, ἐπεὶ τὰ β γ ἅμα ἔσται καθ' ὃ αὐτὸ ἀληθῆ· τῷ ἕ-
πεσθαι μὲν τῷ γ τὸ α· τῷ δὲ β τὸ δ ἅμα· καὶ ἐὰν ἂν ἀληθῆ τὰ β γ, ἕπεσθαι λη-
φθήσεται οὖν τῷ γ ἅμα ἂν ἀληθῆ γίνοιτο τὰ α δ· ὁμοίως καὶ τὰ α β, εἰ ληφθῇ
ἕπεσθαι τῷ γ τὸ β· τῷ γὰρ γ τὸ δ ἕπεται· ὃ ἀδύνατον· ἀντίφασις γάρ ἐστι: ·

Φανερὸν οὖν ὅτι οὐδὲ τὸ δ τῷ β ἀντιστρέφει: +

Δείξας ὅτι τῷ β τὸ δ ἕπεται, ἑπομένου τῷ γ τοῦ α· δείξας δὲ καὶ ὅτι τὰ μὲν α δ
ἔσται ποτὲ ἅμα ἀληθῆ ὡς ἀποφατικὰ ὄντα· τὰ δὲ β γ, ἀδύνατον· τὰ δ' ἐν
καταφατικὰ, νῦν τὸ ἀκόλουθον ἑπόμενον ἐπὶ τῶν προτεθέντων δείκνυσιν ὅτι γὰρ
μηδὲ τὸ δ τῷ β ἀντιστρέφει· ἐπεὶ μηδὲ τὸ α τῷ γ ἀντέστρεφεν· οὐ γὰρ οἷόν τε τῷ δ
τὸ β ἀκολουθεῖν· ἐπεὶ γὰρ δέδεικται ὅτι ἐνδέχεται ἀληθῆ ποτε εἶναι τὰ α δ,
εἰ ἕποιτο τῷ δ τὸ β, ὅτε ἅμα ἀληθῆ ἔσται τὰ α δ, τότε ἂν ἅμα ἀληθῆ γίνοιτο
τὰ α β· καὶ εἰ γὰρ τοῦ δ ἄμφω ἅμα ἔσται ἀληθῆ ἐὰν ἀντιστρέφοι· καὶ ἕποιτο τῷ δ
τὸ β· ὅτε γὰρ ἐφ' οὗ ἀληθὲς τὸ δ, τότε καὶ ἐπὶ τούτου ἀληθὲς γίνεσθαι τὸ β ἀναγ-
καζόμενον· καὶ τὸ α ποτὲ συναληθεύειν αὐτῷ· ἔσται ἄρα ὁμοίως ἀληθῆ τὰ α β·
ἀδύνατον δὲ ἅμα ἀληθῆ εἶναι τὰ α β· τοῦτο γὰρ ἔκειτο: ·

» Συμβαίνει δὲ ἐνίοτε καὶ ἐν τῇ τοιαύτῃ τάξει τῶν ὅρων ἀπατᾶσθαι· διὰ τὸ μὴ
» τὰ ἀντικείμενα λαμβάνειν ὀρθῶς· ὧν ἀνάγκη παντὶ θάτερον ὑπάρχειν: ·

Δείξας τίς ἡ ἀκολουθία ἅμα τοῖς ἀντιφάσεως ὅταν τῷ ἑκατέρας μορίου
τὸ τῆς ἑτέρας μόριον ἀκολουθῇ μὲν, μὴ μέντοι καὶ ἀντιστρέφῃ, ὅτι καὶ εὖ πάλιν
τῷ καθόλου ἀκολουθοῦν μορίῳ τῆς ἑτέρας ἀντιφάσεως ὡς τὸ ἀπεῖναι θάτερον μόριον

τῆς ἑτέρας ἀντιφάσεως ἀκολουθήσει πάλιν τὸ λεῖπον τῆς ἑτέρας μόριον· καὶ οὐ
κατ' ἀντιστρέφει· διὸ γὰρ ἀντιφάσεων οὐσῶν τῆς αβ καὶ γδ· εἰ ἀεὶ ἕπεται τῷ γ τὸ α·
μηκέτι δὲ καὶ τὸ α τὸ γ, ἀκολουθήσει μὲν καὶ τὸ β τὸ δ· οὐ μὴν ἀντιστρέφει·
οὐ γὰρ καὶ τῷ δ τὸ β, νῦν φησὶν ὅτι εἰ μὴ καθόλου ληφθεῖεν αἱ ἀντιθέσεις καὶ ἀντιφάσεις /
ὡς μὴ τὰ ἀμφότερα αὐτῶ καὶ πάντα τὸ θάτερον ἐξ ἀνάγκης, δέδεικται τῷ γ τὸ α ἑπο-
μένου καὶ τῷ δ τὸ β ἕπεσθαι· ὃ ἐδείχθη μὲν οὕτως ἔχον· τῷ γὰρ μὴ εἶναι μὴ λευκὸν,
οὐκ ἀκολουθεῖ μὲν ἀεὶ ἡ ἁπλῆ ἀπόφασις· τὸ μὴ εἶναι λευκόν· ἤ τινι αὐτῆ ἀεὶ
ἠκολούθει ὡς ἐδείχθη· δέδεικται δὲ ἀκολουθεῖν· εἰ αἱ μὴ ὀρθῶς αἱ ἀντιφάσεις
ληφθῶσιν· αἱ γὰρ τῆς λαμβανομένης ἀντιφάσεις τῶν αβ καὶ γδ· λαμβάνεται καὶ τῷ γ
ἕπεσθαι τὸ α· καὶ μὴ ἀντιστρέφειν· δέδεικται καὶ τῷ δ ἕπεσθαι τὸ β· πῶς; μὴ καλῶς
αὐτῶν τὰς ἀντιθέσεις ποιήσασθαι· εἰ γὰρ λαμβάνοι ἀμφοτέρων ἀποφατικὸν
τῶν αβ ἅμα ζ· ὁμοίως δὲ καὶ ἀμφοτέρων τῶν γδ· πάλιν ἀποφατικὸν τὸ θ·
εἶτα οἷον τὸ ἀμφοτέρων ἅμα ἀποφατικὸν εἶναι· καὶ ἑκάτερον αὐτῶν ἀποφατικὸν
εἶναι· καὶ πρὸς ἕκαστον αὐτῶν ἀντίφασιν ποιεῖν· τὸ μὲν ζ καὶ πρὸς τὸ α ἴδια
καὶ πρὸς τὸ β· ὁμοίως τὸ θ καὶ πρὸς τὸ γ· καὶ τὸ δ· καὶ λαμβάνοι, ἐπεὶ ἀντίφασις
τὸ α καὶ τὸ ζ, ἐξ ἀνάγκης παντὶ αὐτῶν θάτερον· καὶ πάλιν ἐπεὶ ἀντιφάσεις τὸ γ
τὸ θ, καὶ τούτων ἐξ ἀνάγκης θάτερον· τῷ δὲ κειμένου τοῦ γ ἀκολουθεῖν τὸ α τῷ ζ·
ὅπερ ἀπολείπεται τῆς αβ ἀντιφάσεως, ἀκολουθήσει τὸ θ· ὅ τῆς ἑτέρας
τῆς γδ ἀντιφάσεως ὑπολείπεται· εἰ γὰρ ἀντιφάσεων οὐσῶν τῶν αζ γθ,
τῷ γ τὸ α ἕπεται· καὶ ἕπεται τῷ ζ ἕπεσθαι τὸ θ· καθὰ δέδεικται πρὸ ὀλίγου·
τούτων οὕτως ἐχόντων, πάλιν ἐπεὶ ἀντιφάσεις τό τε β ζ· καὶ τὸ θ δ, καὶ τού-
των ἐξ ἀνάγκης παντὶ τὸ ληφθὲν τὸ θάτερον ὑπάρξει· καὶ τῷ δὲ τῷ ζ τὸ θ ἕπεσθαι
ἀκολουθήσει ἄρα τῷ δ τῷ ὑπολειπομένῳ τῆς θ τῆς ἀντιφάσεως· τὸ ὑπολει-
πόμενον ἐκ τῆς ἑτέρας ἀντιφάσεως τῆς ζ β· τοῦτο δέ ἐστι τὸ β· ὥστε καὶ τῷ δ
τὸ β ἀκολουθεῖ, καὶ μὲν οὐ τῷ γ ὁ τῷ ἀντικειμένον τῷ δ, τὸ α· ὁ αὐτὸ καὶ τὸ
τῷ β· ἐδείχθη δὲ ὅτι οὕτως ἐχόντων, οὐ τῷ δ τὸ β· τὸ δὲ δ τῷ β ἀκολου-
θήσει· λύων δὲ τοῦτο καὶ δείκνυσι παρὰ τί τοῦτ' αὐτὸ δοκεῖ ἡ δεῖξις γεγονέναι,
φησὶν οὐ γὰρ ἴσως ἀνάγκη παντὶ τῷ α ἢ τὸ ζ· ἢ πάλιν τὸ ζ ἢ τὸ β λέγεται διὰ
τούτων, ὅτι μὴ κυρίως ἐλήφθη ἡ ἀμφοτέρων ἅμα ἀπόφασις, καὶ ἑκάστης
τέρου αὐτῶν ἰδία ἀπόφασις οὐκ ἔστι· τὸ γὰρ ζ ἡ ἀπόφασις αὐτῶν, ἀντίφασις

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

nulli sub$^{r}$ animal

acceptaui

5 octobris

6 nouembris

19. nouebris

26 nouebris

11 decebris

17 Januarij

24. Januarij

28
29 Januarij

.8. Februarij

ALEXAN·APHR·IN PRI



